Ph.U. 452 ug

Schwegler

Ph. U 452 u9

ΙΣΤΟΡΙΑ
ΤΗΣ
ΠΑΡ' ΕΛΛΗΣΙ ΦΙΛΟΣΟΦΙΑΣ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ

ΥΠΟ

ΑΛΒΕΡΤΟΥ ΣΟΥΕΓΛΕΡΙΟΥ

διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσοφίας,

διασκευασθεῖσα δὲ καὶ συντελεσθεῖσα

ΥΠΟ

ΚΑΡΟΛΟΥ ΚΟΙΣΤΛΙΝΙΟΥ

διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσ. ἐν Τυβίγγῃ,

ΚΑΤΑ ΔΕ ΤΑΣ ΑΡΧΗΘΕΝ ΠΗΓΑΣ ΕΞΕΛΛΗΝΙΣΘΕΙΣΑ
ΑΛΛΑΙΣ ΤΕ ΠΟΛΛΑΙΣ ΠΡΟΣΘΗΚΑΙΣ

καὶ

ΑΝΑΛΥΣΕΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΠΕΡΙ ΑΘΑΝΑΣΙΑΣ ΤΗΣ ΨΥΧΗΣ
ΛΟΓΩΝ ΤΩΝ ΕΝ ΤΩι ΦΑΙΔΩΝΙ ΤΟΥ ΠΛΑΤΩΝΟΣ

ἐπαυξηθεῖσα

ΥΠΟ

ΔΗΜΗΤΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΧΑΝΤΖΕΡΗ

διδάκτορος τῆς φιλοσοφίας.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΤΥΠΟΙΣ Χ. ΝΙΚΟΛΑΙΔΟΥ ΦΙΛΑΔΕΛΦΕΩΣ.

1867.

ΙΣΤΟΡΙΑ

ΤΗΣ

ΠΑΡ' ΕΛΛΗΣΙ ΦΙΛΟΣΟΦΙΑΣ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ

ΥΠΟ

ΑΛΒΕΡΤΟΥ ΣΟΥΕΓΛΕΡΙΟΥ

διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσοφίας,

διασκευασθεῖσα δὲ καὶ συντελεσθεῖσα

ΥΠΟ

ΚΑΡΟΛΟΥ ΚΟΙΣΤΛΙΝΙΟΥ

διδάκτορος καὶ καθηγητοῦ τῆς φιλοσ. ἐν Τυβίγγῃ,

ΚΑΤΑ ΔΕ ΤΑΣ ΑΡΧΗΘΕΝ ΠΗΓΑΣ ΕΞΕΛΛΗΝΙΣΘΕΙΣΑ

ΑΛΛΑΙΣ ΤΕ ΠΟΛΛΑΙΣ ΠΡΟΣΘΗΚΑΙΣ

καὶ

ΑΝΑΛΥΣΕΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΠΕΡΙ ΑΘΑΝΑΣΙΑΣ ΤΗΣ ΨΥΧΗΣ

ΛΟΓΩΝ ΤΩΝ ΕΝ ΤΩι ΦΑΙΔΩΝΙ ΤΟΥ ΠΛΑΤΩΝΟΣ

ἐπαυξηθεῖσα

ΥΠΟ

ΔΗΜΗΤΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΧΑΝΤΖΕΡΗ

διδάκτορος τῆς φιλοσοφίας.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΤΥΠΟΙΣ Χ. ΝΙΚΟΛΑΙΔΟΥ ΦΙΛΑΔΕΛΦΕΩΣ.

1867.

BIBLIOTHECA
REGIA
MONACENSIS

Bayerische
Staatsbibliothek
München

ΓΡΗΓΟΡΙΩι ΑΛΕΞΑΝΔΡΟΥ ΤΩι ΧΑΝΤΣΕΡΗι

Λοχαγῷ τοῦ Ἑλλ. πυροβολικοῦ κ.λ.π.

ΑΔΕΛΦΩι ΤΕ ΑΜΑ ΚΑΙ ΦΙΛΩι ΕΡΑΣΜΙΩι

ΚΑΙ ΕΥΕΡΓΕΤΗι ΠΟΛΥΧΡΟΝΙΩι

ΤΟΥΤΙ ΤΟ ΠΟΝΗΜΑΤΙΟΝ

ἐν Ἀγάπῃ ἀνατίθησιν

Ο ΕΞΕΛΛΗΝΙΣΑΣ.

ΕΙΣΑΓΩΓΗ.

§. Α΄. *Ὁρισμὸς καὶ μέθοδος τῆς ἱστορίας τῆς φιλοσοφίας.*

α΄. Φιλοσοφία ἐστὶν ἡ μετὰ λόγου τῶν ὄντων θεωρία· διαστέλλεται δὲ τῶν ἰδίᾳ ἐπιστημῶν, καθ' ὅσον περ οὐχὶ περὶ τὰ ἐμπειρίᾳ ληπτὰ ὄντα ἐστίν, ᾗ γε αὐτῶν ἕκαστον πέφυκεν ἀναζητοῦσα καὶ διεξερχομένη· τοῦτο γὰρ αἱ φυσικαὶ καὶ ἱστορικαὶ ἐπιστῆμαι προτίθενται· Ἀλλὰ τῆς ἀμέσου πείρας ἀνωτέρω γιγνομένη, τὰς πρώτας οἷον ἀρχὰς τοῦ ὡς ἀληθῶς γε ὄντος ἀναδιφᾷ, τό τε ἔσχατον τέλος καὶ τοὺς νόμους, καθ' οὓς περ τὸ ἀνθρώπειον ἠθικῶς πράσσειν ὀφείλει. Ἑκάστη δὲ τῶν λοιπῶν ἐπιστημῶν ὑποθέσεις τινὰς ἀναποδείκτους παραλαμβάνει· ὡςπεροῦν ἡ φυσικὴ ὡς δεδομένους τινὰς ὅρους παραλαμβάνει καὶ ἀνεπισκέπτως, τούς γε τοιούτους, αἴτιον καὶ αἰτιατὸν, ὂν καὶ γιγνόμενον, τόπον καὶ χρόνον. Ὡσαύτως δ' ἄν τις εἴποι περί τε τοῦ πολιτικοῦ καὶ ποινικοῦ δικαίου ὅτι ἐν τούτοις ὁ τῆς ἰδίας κτήσεως ὅρος τῶν δεδομένων τι τυγχάνει ὄν (α). Οὐ

(α) Ὁ νομομαθὴς, φέρ' εἰπεῖν, τὸν τῆς ἰδίας κτήσεως ὅρον, ὥς τι τῶν δεδειγμένων ἀναμφηρίστως προςδέχεται. Ὡς μὲν οὖν τοῦ πολιτικοῦ δικαίου ἐπιστήμων τὰ περὶ τὴν κτῆσιν δικαιώματα ἑνὸς ἑκάστου τῶν πολιτῶν πρὸς ἀλλήλους ἐξετάζων, νόμους τίθησι, καθ' οὓς γε αἱ ἐν τούτοις ἀναφυόμεναι ἔριδες κάλλιστ' ἂν διαλύοιντο· ὡς δ' ἐπιστήμων τοῦ ποινικοῦ δικαίου ὢν, ποινὰς ἐπιβάλλει τῷ τὴν κτῆσιν τοῦ πέλας ὁπωςδήποτε πα-

μέν τοι ὁμοίως γε καὶ ἡ φιλοσοφία τὰ τοιαῦτα προσίεται, ἀλλὰ τὴν οὐσίαν αὐτῶν πρότερον ὅσον οἷόν τ' ἀνασκοποῦσα, ὃ δὴ καὶ ἴδιον αὐτῇ ἔργον ὑπάρχει (β). Χαλεπὸν μὲν οὖν εἴη ἂν τὴν φιλοσοφίαν τῶν ἄλλων ἐπιστημῶν ἐπ' ἀκριβὲς διακρῖναι· ἄλλοις τε κατὰ καιροὺς ἄλλως περὶ τῶν τῇ φιλοσοφίᾳ, ὥς γ' ἐπιστήμῃ, προςηκόντων ἔδοξεν· ὥστε μηδὲ τῇ ἱστορίᾳ τῆς φιλοσοφίας ἔχοι τις ἂν τὰ οἰκεῖα λόγῳ ἀσφαλεῖ τε καὶ ἐς ἀεὶ βεβαίῳ προςνεῖμαι (γ), ἀλλ' ὡς ἐν συνόλῳ εἰκότως ἂν εἴποι ὅτι τὸ κεφάλαιον καὶ ἡ πραγματεία τῆς ἱστορίας τῆς φιλοσοφίας τὸ ἐπεξιέναι ἐστὶ τὰς ἐπιστημονικὰς

ραβλάπτοντι· Ἀλλ' εἴτε λόγον ἔχει τὸ ἰδίαν κτῆσιν ἐν ἀνθρώποις νομίζεσθαι, εἴθ' ὅπως αὖ οἱ κοινωνικοί φασιν, αὐτό γε τοῦτο κλοπή τις ἄντικρυς τυγχάνει οὖσα, τῶν τοιούτων γε πέρι κρίνειν δίκαιός ἐστιν ὁ τῆς φιλοσοφίας τοῦ δικαίου εἰδήμων, ὁ δ' ἁπλῶς νομομαθὴς οὐδ' ὁπωστιοῦν. Τούτῳ γὰρ προςήκει τὴν κτῆσιν ὥςπέρ τι τῶν δεδομένων ἡγεῖσθαι καὶ ἔργῳ ἤδη καθεστηκότων. Καὶ ὁ περὶ τὴν φυσικὴν δ' ἐπιστήμην σπουδάζων χρῆται μὲν τῇ κατηγορίᾳ τοῦ αἰτίου καὶ αἰτιατοῦ, ἄλλον μέντοι λόγον περὶ αὐτῆς οὐθένα ποιεῖται· εἴτε ἀλληλουχίαν τινὰ αἰτίων τε καὶ γιγνομένων ἐπ' ἄπειρον τείνουσαν παραδεκτέον ἐστίν, εἴτε τι ὡς «πρῶτον κινοῦν,» τούτου πέρι τοὺς λόγους ποιεῖσθαι οὐ τοῦ φυσικοῦ ἔργον ὑπάρχει· παραπλησίως δὲ καὶ περὶ τῶν ὅρων τοῦ τε τόπου καὶ χρόνου, τῷ μὲν φυσικῷ ὑπόθεσίς ἐστιν, τῷ δὲ φιλοσόφῳ πρόβλημα.

(β) Τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀριστοτέλης τὴν φιλοσοφίαν ὁρίζεται. Καὶ γὰρ τὴν ἐπιστήμην τῆς ἐμπειρίας τῷ λόγον ἔχειν φησὶ διαφέρειν· τὴν μὲν γὰρ τὸ διότι καὶ τὴν αἰτίαν γνωρίζειν, τὴν δὲ μόνον τὸ ὅτι (τῶν μετὰ τ. Φυσ. Β. Α. Κεφ. 1, 25). Εἶναι τοίνυν τὴν φιλοσοφίαν φησὶ περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχάς. Α, 1, 25. Καὶ ἐν ἄλλῳ δὲ τόπῳ ἀκριβέστερον αὐτὴν ὁριζόμενος, τῶν πρώτων ἀρχῶν καὶ αἰτίων θεωρητικὴν εἶναι ἀποφαίνεται. 1, 2, 14.

(γ) Οἱ πάλαι φιλοσοφοῦντες ἀνέγραφον τῇ φιλοσοφίᾳ καὶ ἄλλα πολλά, ἅπερ νῦν δὴ ἰδίας ἐπιστήμας ἀποτελεῖ· ὡς λόγου χάριν, Ἀριστοτέλης μὲν τὴν ζωολογίαν καὶ τὰ παραπλήσια, καὶ Καρτέσιος δὲ ἔτι τὴν μηχανικήν.

ἀναζητήσεις, ὅσας περ οἱ ἔκπαλαι πεφιλοσοφηκότες προὐβάλοντο, τὰ πρῶτα τῶν ὄντων αἴτια καὶ τοὺς πρώτους νόμους προθυμούμενοι μαθεῖν, ἥτίς τ' αὖ ἡ οὐσία καθόλου τοῦ τε νοητοῦ καὶ αἰσθητοῦ κόσμου καὶ ὅπως ἀλλήλοιν ἄμφω συνηρμοσμένω τυγχάνετον.

β'. Ἔστι μὲν οὖν φαμεν φιλοσοφίας ἱστορία, ἤτοι ἐν χρόνῳ ἀνάπτυξις, ἀλλ' οὐχ ὥς πέρ τι σύστημα τοῦ ἐπιστητοῦ τέλεον καὶ εἰς ἅπαξ ἀπειργασμένον, ἀλλ' ἐν εἴδει πολλῶν κατὰ καιροὺς ἀλλήλοις ἐπακολουθούντων φιλοσοφημάτων (δ). Τὸ δ' αἴτιον τούτου ὅτι ἕκαστον φιλοσόφημα οὐδὲν ἄλλο ἐστὶν ἢ ἔκφανσίς τις τοῦ τῶν ἀνθρώπων νοῦ ἐν γένει, οἷοςοῦν ἐν χρόνῳ ὡρισμένῳ ὑπάρχει (ε)· οὗτος δὲ τῇ καθόλου τῆς ἀνθρωπότητος προόδῳ παροπηδῶν, διηνεκεῖ μεταβολῇ ὑπόκειται, πλείονας ἀεὶ γνώσεις προςλαμβάνων καὶ εἰς τὴν τῶν ὄντων

(δ) Ὑπάρχει δ' αὐτῇ κοινὴ ἡ πρόοδος, ὥςπερ ἑκάστῃ τῶν ἄλλων ἐπιστημῶν· ἀλλ' ἀλλοίαν τινὰ τὴν πρόοδον αὐτῆς πᾶς ἄν τις ὁμολογήσειεν εἶναι ἢ οἱαςοῦν ἄλλης τῶν ἐμπειρίᾳ ἐπιστημῶν. Ἐν ἑκάστῃ γὰρ τούτων πᾶσα δήποτε πρόοδος ἐπαύξησίς τίς ἐστιν· ὡς λόγου χάριν ἐν τῇ μαθηματικῇ, οὐδὲν τῶν πρόςθεν δεδειγμένων ἀποβάλλεται, προςτιθέμενόν τε τὸ τέως ὑπάρχον ἐπαυξάνει. Πᾶς τις ὅμως περὶ τὴν φιλοσοφίαν σύστημα ἴδιον καινοτομῶν ἐξ ἀρχῆς πάλιν ἄρχεται τὰ ὄντα ἀνασκοπεῖν, ἀπὸ καινοῦ μὲν δόγματος ὁρμώμενος, καινὴν δὲ βάσιν ὑποτιθέμενος καὶ πᾶν τὸ πρόςθεν εὑρημένον, ὡς ἔπος εἰπεῖν, ἀνατρέπων· κύριον γὰρ τῆς φιλοσοφίας ἔργον οὐ περὶ τὸ πλῆθος ἐστὶ τῶν ἐνεργείᾳ ὄντων σπουδάζειν, ἐπ' ἄπειρον αὔξησιν τεινόντων, ἀλλὰ τὸ τὰς πρώτας ἀρχὰς τοῦ ἐπιστητοῦ ὅσον οἷόν θ' ἑκάστοτ' ἀνευρίσκειν.

(ε) Ἐν μὲν οὖν τῇ ἀρχαίᾳ φιλοσοφίᾳ ἡ τῶν σοφιστῶν περὶ τοὺς λόγους τερθρεία ἔκφανσίς ἐστι τῆς ἀρχομένης παρακμῆς τοῦ παρ' Ἕλλησι πολιτικοῦ βίου. Ἐν δὲ τῇ νεωτέρᾳ Κάντιος μὲν πάντων τῶν πρόσθεν ἀνασκευὴν ἐμφαίνει, Ἔγελος δὲ ὁ πᾶν τὸ ἐνεργείᾳ ὂν ὡς λόγον ἔχον ἀποφηνάμενος, ἀποκατάστασιν δηλοῖ.

φύσιν όσημέραι μᾶλλον ἐγκύπτων. Καθάπερ δὲ ὁ κοινὸς ἁπάσης τῆς ἀνθρωπότητος βίος τὴν τῆς προόδου ἔννοιαν ἐμφαίνει, ὁπωςδήποθ' ἡμερώτερος καὶ εὐμουσότερος καὶ ἑνὶ λόγῳ ἀεὶ βελτίων κατά γε τὰ πλεῖστα γιγνόμενος, τὸν αὐτὸν τρόπον καὶ ἡ ἱστορία τῆς φιλοσοφίας ταὐτόν που σημαίνει. Ἐπίδοσιν γὰρ καὶ αὕτη ἀεὶ προϊοῦσαν ἐμφαίνει, ἧς περ ἡ αἰτία ἐν αὐτῷ γε τῷ ἀνθρωπικῷ νῷ ὑπάρχει, φύσιν ἔχοντι τὸ αἰσθήσει ληπτὸν ὂν ἀεὶ νοητότερον ἀπεργάζεσθαι, τὸ Σύμπαν τόδε ἐπὶ μᾶλλον τῇ ἑαυτοῦ νοήσει παρ' ἑαυτῷ ὡς ἐπιστήμην λαμβάνειν. Οὐ μέντοι καὶ ἀναγκαῖον δοκεῖ μοι τὴν τοιαύτην, ὡς ἔπος εἰπεῖν, ὀργανικὴν τῆς φιλοσοφίας ἐπίδοσιν καὶ τοῦ εἰκότος γε πέραν νομίζειν, ὥςπερ Ἕγελος τοῦτ' ἐποίησε. Καὶ γὰρ οὗτος ὁ φιλόσοφος πολύς ἐστιν ἰσχυριζόμενος, ὡς ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας ἀνάγκη τις παραπλησία τῇ ἐν λογικῇ κυριεύει. Πάρεστι γάρ, φησι, καὶ ἐν αὐτῇ ὥςπερ ἐν τῇ λογικῇ λειτουργίαν τινὰ σκοπῆσαι κατὰ νόμους ἀναγκαίους ἀεὶ τελουμένην, ἥτ' αὖ ἐν χρόνῳ τῶν φιλοσοφικῶν συστημάτων διαδοχὴ πρὸς τὴν ἐν τῇ λογικῇ σκοπουμένην ἀλληλουχίαν τῶν καθόλου ἰδεῶν (ϛ) ἐπ' ἀκριβὲς ἀναλογεῖ. Ἀλλὰ γὰρ

(ϛ) Αὐτὸς δὲ ὁ Ἕγελος ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ τῆς φιλοσοφίας ὧδέ πως ἀποφαίνεται λέγων· Δέδοκταί μοι, φησίν, ὡς ἡ τῶν φιλοσοφικῶν συστημάτων διαδοχὴ ἡ ἐν ἱστορίᾳ φαινομένη ἡ αὐτή πού ἐστι καὶ ἡ ἐν τῇ Διαλεκτικῇ ἀλληλουχία τῶν ὅρων τῆς Ἰδέας (ὡς φέρ' εἰπεῖν, δυνάμει εἶναι, γίγνεσθαι, ἐνεργείᾳ ὑπάρχειν, αὐτὸ καθ' αὑτὸ εἶναι, ποσὸν, μᾶλλόν τε καὶ ἧσσον, μέτρον, οὐσία καὶ φαινόμενον· ὑπόστασις, αἰτιολογία, ἡ τῶν ὄντων εἰς ἄλληλ' ἐπίδρασις, τέλος). Δέδοκταί μοι, φησὶν αὖθις, ὡς εἴτις τῶν καθόλου κυρίων ἰδεῶν, ὧν γε συστημάτων ἡ τῆς φιλοσοφίας ἱστορία περιλαμβάνει, μόνα τὰ εἰς τὸ εἶδος ἔχοντα τὸ ἐξωτερικὸν περιέλοιτο, αὐτήν γε τὴν καθόλου Ἰδέαν νοήσει ὅπως κατὰ σμικρὸν καὶ λογικῶς ὑφί-

ταυτηνὶ τὴν θεωρίαν οὔτ' ἄν τις, οἶμαι, ὀρθῶς ἔχουσαν δείξειεν, οὔτ' ἄν εἰκότι γε λόγῳ πρὸς τὰ προκείμενα ἡμῖν πράγματα συμβιβάσειε· πᾶσι γὰρ φανερὸν ὡς ἡ ἱστορία τῆς ἀνθρωπότητος καὶ τῶν ἰδεῶν αὐτῆς πρόοδον μέν τινα καὶ μάλα ἐμφαίνει, οὐ μέν τοι κατά γε τὸ συνεχὲς, ἀλλ' ὡς ἐν συνόλῳ λαμβανομένη· ἐν γὰρ τοῖς ἐπὶ

ζεται. Καὶ τἀνάπαλιν τὴν λογικὴν πρόοδον αὐτὴν καθ' αὑτὴν εἴτις σκοπήσειεν, ἐνίδοι ἂν ἐν αὐτῇ καὶ τὴν κατά γε τὰ οὐσιωδέστερα πρόοδον τῶν ἐν τῇ ἱστορίᾳ ἀπαντώντων. — Ἀλλὰ γὰρ ὅλως ἀνήνυστον φανείη ἂν ἕκαστον σύστημα τῆς ἑλληνικῆς φιλοσοφίας εἴς τινα τῶν καθόλου λογικῶν κατηγοριῶν ἑκάστοτ' ἀνάγειν. Καὶ Σελλέριος δὲ ἔν τινι συγγράμματι περιοδικῷ, χρονικοῖς τοῦ ἐνεστῶτος ἐπιγραφομένῳ (αωμγ') λέγει ὅτι ὁ Ἕγελος ταῦτ' εἰπὼν, αὐτήν τε τὴν φύσιν τῆς ἱστορίας παρενόησε καὶ τὸ λογικὸν καὶ ἱστορικὸν ἀδιακρίτως ἀλλήλοιν συνέχεεν. Ἡ γὰρ λογικὴ περὶ τὰς ἀφῃρημένας μόνον τῶν ἐννοιῶν ἐπιστήμη τυγχάνει οὖσα, τοιόνδε δέ τι οὔπω ἀνασκοπεῖ, εἴπως αὗται καὶ ἔργῳ ἀνυσταὶ ἢ μὴ ἀνυσταὶ ἐν τῷ κόσμῳ τῷ αἰσθητῷ ἢ νοητῷ ὑπάρχουσι· πᾶσα μέντοι θεωρία τῇ ἱστορίᾳ τῆς φιλοσοφίας ὑποκειμένη, εἰς τὸ σύνολον τείνει τῶν ὁπωσδήποτε ὄντων. Ἔτι δὲ πρὸς τούτοις πᾶν μὲν σύστημα φιλοσοφίας ἀπὸ τῶν μάλιστα καθόλου ἐννοιῶν τὴν ἀρχὴν ποιεῖται· ἡ δ' αὖ ἱστορία τῆς φιλοσοφίας αὐτό γε τοῦτο ἀπὸ τῶν καθ' ἕκαστον ἤτοι ἀπὸ τῆς τῶν αἰσθήσει ληπτῶν ὄντων θεωρίας μάλισθ' ὁρμᾶται. Τεκμήριον δέ· Αὐτὸς γὰρ ὁ Ἕγελος, ὅν περ ἀρχόμενος προὐβάλετο κανόνα, τούτου ὀλίγον προϊὼν παντάπασιν ἀφίσταται. Καὶ γὰρ οἱ Ἴωνες φυσιολόγοι, οὕς περ καὶ αὐτὸς, ὡς τῆς φιλοσοφίας ἀρχηγοὺς, τῶν ἄλλων προτάσσει, πρώτην τῶν ὄντων ἀρχὴν τὴν ὕλην ὑπέθεντο· ἡ δ' ὕλη περὶ τὸ τέλος τῆς λογικῆς εἰς ἐξέτασιν περιέρχεται. Τούτοις δ' ἐχομένως τοὺς περὶ τὸν Πυθαγόραν εἰσάγει, οἵπερ ἀριθμὸν τῶν ὄντων ἀρχὴν εἶναι ἁπάντων ἔφασκον, εἰ καὶ ἐν τῷ συστήματι τῆς λογικῆς ὁ ἀριθμὸς πολλῷ ὕστερον ἔρχεται ἢ λόγου χάριν ἡ τῆς γενέσεως ἀρχή. Τὸ δ' αὖ Γίγνεσθαι καθόλου Ἡρακλείτου τὸ δόγμα ἦν. Ἡ ἀναλογία τοίνυν, ἥν περ Ἕγελος ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ τῆς φιλοσοφίας ὑποδείκνυσι, τοῦ μὲν Εἶναι πρὸς τὴν τῶν Ἐλεατῶν φιλοσοφίαν, τοῦ δ' αὖ Γίγνεσθαι πρὸς τὴν τοῦ Ἡρακλείτου καὶ τοῦ αὐτὸ καθ' αὑτὸ εἶναι πρὸς τοὺς ἀτομικοὺς φρούδη τάχιστα παρ' αὐτῷ τῷ Ἑγέλῳ οἴχεται. Καὶ ὅλος ἄρα ὁ παραλληλισμὸς οὐδὲν ἧσσον αἴρεται.

μέρος ἐλίγδην πως χωρεῖ, ὁτὲ μὲν παλινδρομοῦσα, ὁτὲ δὲ ἄφνω ἁλλομένη. Ὡςαύτως δ' ἄν τις εἴποι καὶ περὶ τῆς ἑλληνικῆς φιλοσοφίας, ὅτι καλὴν μὲν καὶ εὔρυθμον ἔλαβε τὴν ἐπίδοσιν, οὐ μέντοι ἀεὶ ἐπὶ τὰ πρόσω ἐξ ἴσου ἰοῦσα διετέλεσεν, ἀλλ' ὥσπερ καὶ ὁ ἄλλος πνευματικὸς τῶν Ἑλλήνων βίος, ἐκβλαστήσασα, ἤκμασε καὶ τέλος παρήκμασεν. Φαίη μὲν οὖν ἄν τις τὴν μὲν πρὸ Σωκράτους φιλοσοφίαν μειρακιῶδές τι πτέρωμα τῆς ἑλληνικῆς διανοίας ἐκφαίνειν, τὴν δὲ Πλατωνικὴν καὶ Ἀριστοτελικὴν ῥώμην τε καὶ ἐμβρίθειαν ἀνδρικὴν καὶ τὴν νέαν Πλατωνικὴν γῆρας ἤδη καὶ παρακμὴν ἐλέγχειν προφανῆ. Τούτων δ' οὕτως ἐχόντων, προςήκει τὸν μέλλοντα ἱστορίαν τῆς φιλοσοφίας συγγράφειν πρῶτον πάντων τὰ ἱστορικῶς δεδομένα ἐς δέον ἐξακριβῶσαι. Εὐστοχήσειε δ' ἂν τούτου, ἱστορικῇ καὶ κριτικῇ ἐρεύνῃ πρότερον εὖ χρησάμενος. Εἶτα δὲ τῆς ἱστορικῆς ὕλης ὅσον οἷόν θ' ὁλοσχερῶς συλλεχθείσης καὶ τῇ κριτικῇ τέχνῃ ἐξακριβωθείσης, λοιπὸν ἂν εἴη αὖθις ἀναζητῆσαι, εἴ γε καὶ ὅσῳ δὴ καὶ καθ' ἥν τινα σχέσιν ἕκαστον τῶν φιλοσοφικῶν συστημάτων εἰς τὸ ἐπιστημονέστερον τὸ μάλιστα καθόλου Ὂν ἤτοι τὴν Ἰδέαν τὴν φιλοσοφικὴν καθ' Ἕγελον, ἐπιλογισμῷ λαμβάνειν συμβάλλεται, ὃ δὴ καὶ τὴν καθόλου τῆς φιλοσοφίας ἐπίδοσιν ἀπεργάζεται.

§. Β'. *Πηγαὶ καὶ συγγράμματα ἱστορικὰ τῆς παρ' Ἕλλησι φιλοσοφίας.*

Jonsius, de scriptoribus historiae philosophicae αχνη'. αψις'.
Ἔπιθι καὶ Βρανδισίου Τ. Α, 23, κ.φ.ξ.

Κυριωτάτη πηγή, ἐξ ἧς τὴν γνῶσιν ἀρυόμεθα τῆς παρ' Ἕλλησι φιλοσοφίας ἐστὶν, ὡς εἰκὸς, πρῶτον μὲν

τὰ συγγράμματα αὐτῶν τῶν Ἑλλήνων φιλοσόφων. Ἐκ τούτων μέν τοι σμικρόν τι μόνον μέρος ἐς ἡμᾶς διεσώθη· Τῶν γὰρ πολυγραφωτάτων ἐν Ἕλλησι φιλοσόφων, οἵων Δημοκρίτου τε (α) καὶ Χρυσίππου (β) οὐδὲ ἓν σύγγραμμα ὁ χρόνος ἡμῖν κατέλιπεν· ὡς δ' ἐν συνόλῳ εἰπεῖν, ὀλίγα τινά ἐστι, κατὰ ποσόν γε λογιζόμενα, τὰ περιγενόμενα πρὸς τὰ ἀπολωλότα· τοσοῦτος ἦν ποτε παρ' Ἕλλησιν ὁ θησαυρὸς τῶν φιλοσοφικῶν συγγραμμάτων. Ἀλλ' ἐν τούτοις ἀγαπητὸν καὶ τοῦτο, ὅτι ἀγαθῇ τύχῃ περιεσώθη εἰς ἡμᾶς τὰ ἐπιστημονικῶς ἐπισημότατα. Πλάτωνος μὲν γὰρ τὰ συγγράμματα ὁλοσχερῆ πάντα ἔχομεν· Ἀριστοτέλους δὲ τὸ ἔλασσον μὲν μέρος, περίπου τὸ ἑκτημόριον, ἀλλ' ὡς δοκεῖ τὰ ἀξιολογώτατα. Καὶ τὴν νέαν δὲ Πλατωνικὴν φιλοσοφίαν καὶ τὴν ὕστερον στωϊκὴν καὶ σκεπτικὴν ἐξ αὐτῶν γε τῶν πρώτων πηγῶν γιγνώσκομεν. Τἀναντία δ' ἄν τις εἴποι περὶ τῶν λοιπῶν ἑλλήνων φιλοσόφων· δύο γὰρ μόνον πρόκεινται ἡμῖν πηγαί, ἐξ ὧν ἂν τὰ δόξαντ' αὐτοῖς ἔχοιμεν ἀρυσθῆναι, ὅσα περ ἄλλοι τινὲς περὶ αὐτῶν ἀφηγοῦνται ἢ ἀπανθίσματα καὶ μαρτυρίαι, δι' ὧν ἡμῖν ἀποσπάσματα τῶν ἠφανισμένων συγγραμμάτων διεσώθη.

Α. Περὶ μὲν οὖν τῶν συστημάτων τῶν πρώην φιλοσόφων παραδιδόασιν ἡμῖν ὑπομνήματα, παρὰ τὸν Ξενοφῶντα, αὐτὸς ἤδη ὁ Πλάτων καὶ Ἀριστοτέλης, ἄμφω μέντοι οὐχὶ ἱστορικῶς, ἀλλὰ πρὸς τὰ ἑαυτῶν δόγματα κρίνοντες· τοῦτ' ἔστι τὰς τῶν πρότερον δόξας οὐχὶ ὡς εἶχον καθ' ἑαυτὰς διεξιέναι προθυμοῦνται, ἀλλὰ μᾶλλον

(α) Ἔπιθι Διογένην τὸν Λαέρτιον ΙΘ'. 46, κ.φ.ξ.

(β) ἐνθ. ἀν. Ζ'. 180.

τό γε ἐν αὐτοῖς ἀληθὲς δοκοῦν πρὸς χρῆσιν ἰδίαν πορίζονται ἢ τὰ ἐκείνων ἐπικρίνοντες, τὴν ἑαυτῶν θεωρίαν ὑποτίθεσθαι σκοποῦσιν. Οὕτως οὖν ὁ Ἀριστοτέλης ἐν ἀρχῇ τῶν μετὰ τὰ φυσικὰ ἱστορικὴν καὶ κριτικὴν εἰσαγωγὴν ἐπὶ τὸ διεξοδικώτερον ποιεῖται τῶν πρώην φιλοσοφημάτων, ἐν ᾗ γε βούλεται ὑποδεῖξαι, ἃς αὐτὸς τέσσαρας πρώτας τῶν ὄντων ἀρχὰς ὑπέθετο, ταύτας, ὡς συνελόντι εἰπεῖν, δοξάσαι καὶ πάντας τοὺς πρότερον πεφιλοσοφηκότας. Ἀλλ' αὕτη ἡ ἀπόδειξις, καίπερ ἄλλως πάνυ ἀξία ἡμῖν λόγου οὖσα, οὐ μέντοι ἀκριβῶς ἱστορική ἐστιν. Ἀριστοτέλης γὰρ τὰ πρότερον φιλοσοφήματα ἐπ' ἀδείας πολλῆς πραγματεύεται, τοῖς ἰδίοις ὅροις ὥς γ' ἐπὶ τὸ πλεῖστον μεταφράζων. Πρὸς δὲ τούτοις καὶ ἰδίας μονογραφίας συνέγραψεν, οἷον περὶ Πυθαγορικῆς φιλοσοφίας, περὶ Ἀρχύτου, Ἐλεατῶν, Γοργίου, Πλατωνικῶν ἰδεῶν καὶ ἄλλων [ὅρα Δ. Λ. Ε'. 22. 25.]· Ἀλλ' οὐκ ἂν ἔχοι τις περὶ τοῦ ὅλου εἴδους αὐτῶν ὀρθῶς κρῖναι, ὀλίγοις ἀποσπάσμασι διασωθεῖσι τεκμαιρόμενος. Οἱ δὲ περὶ Ἀριστοτέλην, τῇ πρακτικῇ τοῦ ἀρχηγέτου διανοίᾳ ἑπόμενοι, ἐπιστρεφῶς περὶ τὰς τοιαύτας ἱστορικὰς καὶ φιλοσοφικὰς μελέτας ἐνησχολήθησαν. Πρὸ πάντων δὲ Θεόφραστος ἦν ὁ τὰ πλεῖστα καὶ περιληπτικώτατα περὶ τῶν πρώην φιλοσοφημάτων συγγραψάμενος [Δ. Λ. Ε'. 42—49]· καὶ ἑνὶ λόγῳ, αἱ πλεῖσται ὅσων γνώσεων παρὰ τοῖς ὕστερον συγγραφεῦσιν ἀπαντῶνται, ἐκ τῶν Θεοφράστου εἰσὶ παρειλημμέναι. Συχνοτάτην δὲ πάντων Σιμπλίκιος μνείαν Θεοφράστου ποιεῖται ἐν τοῖς ἑαυτοῦ ὑπομνήμασιν εἰς τὰ Ἀριστοτέλους φυσικά. Ἄλλοι δὲ περιπατητικοὶ βιογραφικὰ συγγράμματα καταλιπόντες, διὰ Διογένην τὸν Λαέρτιον ὡς ἐπὶ τὸ πολὺ

ἡμῖν γνωστὰ, Ἀριςόξενός ἐςι καὶ Κλέαρχος καὶ Στράτων καὶ Φανίας [ἔπιθι Βρανδισίου Α, 29 κ.φ.ξ.]. Ἀλλὰ πρὸ πάντων οἱ Ἀλεξανδρεῖς πλεῖστα « περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων ἢ περὶ διαδοχῶν τῶν φιλοσόφων » συνέγραψαν. Αὗται μὲν οὖν αἱ ἱστορικαὶ συγγραφαὶ ἐξέλιπον πᾶσαι, ἀλλ' οἷον βάσεις τοῖς ἐς ἡμᾶς διασωθεῖσιν ἀπανθίσμασιν ὑπόκεινται. Ἄφθονον δ' ὕλην καὶ μάλιστα πρὸς ἱστορίαν τῆς στωϊκῆς καὶ Ἐπικουρικῆς αἱρέσεως περιλαμβάνουσιν αἱ Πλουτάρχου [ἐπὶ Ἀδριανοῦ ἀκμάσαντος] ἠθικαὶ πραγματεῖαι. Ἡ δ' ἐν συνόψει ἱςορία τῆς φιλοσοφίας, περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις ἐπιγραφὴν φέρουσα, ὑπ' ὄνομα δὲ τοῦ Πλουτάρχου ἡμῖν περιγενομένη, τάχ' ἄν που μηθὲν ἄλλο εἰς τέλος καὶ δόξειεν εἶναι ἢ ἀπάνθισμά τι τοιαύτης τινὸς συγγραφῆς τοῦ Πλουτάρχου ἤδη ἠφανισμένης· οὐ γὰρ ἂν εἰκότως τοιοῦτον ἔργον ὡς γνήσιον τῷ Πλουτάρχῳ ἀποδοίημεν, ἐπιπολαιότητος μεστὸν καὶ εἰς ἄκρον ἀσυνάρτητον. Ἔτι δὲ ἐν τοῖς συγγράμμασιν Γαληνοῦ τοῦ ἰατροῦ (γ) ὑπάρχει τις ἱςορία τῆς φιλοσοφίας συνοπτικὴ καὶ, ἐάν γε τὰ πρῶτα τῶν κεφαλαίων ἐξέλης, πρὸς τὸ ἄρτι λεχθὲν ὡς τοῦ Πλουτάρχου πόνημα κατὰ πάντα συμφωνοῦσα· ἐξ ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ διεξοδικωτέρου συγγράμματος φαίνεται καὶ αὕτη ἀπηνθισμένη. Ἄλλοθεν δέ ποθεν τυγχάνουσι παρειλημμένα τὰ ἐν ταῖς συγγραφαῖς τοῦ τῆς ἐκκλησίας πατρὸς Ὠριγένους φιλοσοφούμενα, ἅπερ νῦν δὴ, ὡς τι μέρος διεξοδικωτέρας τινὸς κατὰ τῶν αἱρέσεων τῶν Γνωστικῶν συντεταγμένης βίβλου ἀπεδείχθη, πλὴν

(γ) Οὗτος περὶ τὸ ρλα' ἔτος γεννηθεὶς ἰατρὸς ἦν Κομμόδου τοῦ αὐτοκράτορος.

καὶ ταῦτα ἐπιπολαίαν τινὰ σύνοψιν παρέχει [ἐξεδόθησαν δὲ ὑπὸ Μιλλέρου μὲν ἐν Ὀξωνίᾳ, ᾳωνα', ὑπὸ Δουγκερίου δὲ καὶ Σνεϊδεβίνου ἐν Γοτίγγῃ, ᾳωνς'.]. Ὥστ' ἐκ πάντων τούτων Διογένους τοῦ Λαερτίου τὸ πόνημα [ἐκ Λαέρτης τῆς Κιλικίας, ἐπὶ Σεπτιμίου Σεβήρου ἴσως ἀκμάσαντος] «περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων βιβλία δέκα» ἐπιπιγραφὴν ἔχον [ὑπὸ Μεναγίου μὲν τῷ ᾳχξδ' ἐκδεδομένον, ὑπὸ δὲ Μεϊβωμίου τῷ ᾳχϟβ', ὑπὸ δὲ Ὑβνερίου τῷ ᾳωκη' καὶ ὑπὸ Κοβετίου τῷ ᾳων'.], πηγὴν ἀξιολογωτάτην πασῶν τῶν πρόσθεν εἰρημένων ἐνδίκως ἄν τις ἀποκαλέσειε. Καὶ γὰρ εἴπερ τέχνης κριτικῆς καὶ ἐπιστημονικῆς ἐκθέσεως ὁ Διογένης μηδ' ὁπωςτιοῦν ἐπαΐων ἐλεγχθήσεται, πλείονα μέντοι πάντων τῶν ἄλλων περὶ τῶν φιλοσόφων καὶ τῶν αὐτοῖς δεδογμένων ἡμῖν ἀφηγεῖται. Ἔτι δὲ συχνοὺς συγγραφεῖς ἐφ' ἑκάστῳ τῶν φερομένων ἐπιμαρτυρόμενος, οὐκ ὀλίγας ἀφορμὰς εἰς διαφώτισιν τῆς ἐν ἱστορίᾳ κριτικῆς ἡμῖν παρέχει. Τὰς δὲ χρονολογικὰς μαρτυρίας ἠρύσατο ὁ Διογένης ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τῶν ἐμμέτρως συγγεγραμμένων χρονικῶν τοῦ Ἀπολλοδώρου [περὶ τὸ ρμ'. π. Χ.]. — Ἔτι δὲ πρὸς τούτοις καὶ τῶν παρὰ Ῥωμαίοις συγγραφέων οὐκ ὀλίγον εἰς ἱστορίαν τῆς ἑλληνικῆς φιλοσοφίας συμβάλλονται Λουκρήτιός τε (ἐν τῷ διδακτικῷ ποιήματι «περὶ τῆς τῶν ὄντων φύσεως») καὶ Κικέρων καὶ Σένεκας.

Β. Ἀπανθίσματα δὲ συστηματικὰ ἐκ τῶν συγγραμμάτων τῶν Ἑλλήνων φιλοσόφων κατέλιπεν ἡμῖν Ἰωάννης ὁ Στοβαῖος [ἐκ πόλεως Μακεδονικῆς, ἴσως κατὰ τὸν ς' αἰῶνα μ. Χ. ἀκμάσας], ὅς πεντακοσίων περίπου ποιητῶν καὶ λογογράφων πονήματα ἀπηνθίσατο, ἐξ ὧν τὰ πλεῖ-

στα οὐκέτι σώζεται. Ταῦτα δὲ τὰ ἀπανθίσματα ἀποτελεῖ ἐν τοῖς χειρογράφοις δύο ἀλλήλων διάφορα συγγράμματα, ὧν τὸ μὲν «ἐκλογαὶ φυσικαὶ καὶ ἠθικαὶ» ἐπιγράφεται [ὑπὸ Ἥρενος εἰς τόμους δ' ἀπὸ τοῦ ᾳψϟβ' μέχρι τοῦ ᾳωα' ἐκδεδομέναι], τὸ δὲ «Ἀνθολόγιον» [ὑπὸ Γαϊσφόρδου ἐν Ὀξωνίᾳ εἰς τόμους δ' τῷ ᾳωκβ' ἐκδεδομένον]. Ἀλλὰ καὶ Σιμπλίκιος ὁ τῆς νέας Πλατωνικῆς φιλοσοφίας ὀπαδὸς περὶ τὸ τριακοστὸν ἔτος τοῦ ἕκτου μ. Χ. αἰῶνος ἀκμάσας, ἐν τοῖς ἑαυτοῦ σοφοῖς ὑπομνήμασιν εἰς πολλὰ τοῦ Ἀριστοτέλους συγγράμματα καὶ ἰδίως εἰς τὰ φυσικὰ διέσωσεν ἡμῖν ἀξιολογώτατα ἀποσπάσματα ἐκ τῶν πάλαι καὶ μάλιστα τῶν πρὸ Σωκράτους ἀναλαμψάντων φιλοσόφων. Πρὸς τούτοις δὲ καί τινες τῶν ἐκκλησιαστικῶν πατέρων οὐκ ὀλίγον εἰς ἱστορίαν τῆς φιλοσοφίας συντελοῦσι, μάλιστα δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τοῖς Στρώμασι καὶ Ὠριγένης ἐν τῷ κατὰ Κέλσου καὶ Εὐσέβιος ἐν τῇ εὐαγγελικῇ προπαρασκευῇ, οἵτινες, ὑπὲρ τῆς χριστιανικῆς διδασκαλίας ἐν αὐτοῖς ἀπολογούμενοι καὶ πρὸς τοὺς ἀντιπάλους πολεμοῦντες, πλεῖστα ὅσα Ἑλλήνων φιλοσόφων ἀποφθέγματα προφέρονται.

Γ'. Ἀμφότερα δὲ τὰ εἴδη τῶν παραδόσεων, τά τε ἀπανθίσματα καὶ τὰ αὐτολεξεὶ ἀναφερόμενα χωρία, ἄλληλα συμπληροῦντα, ἑκάτερον ἑκατέρου ὡς τῆς ἀληθείας κριτήριον ἀμοιβαδὸν χρησιμεύουσιν. Ἔξεστι μὲν οὖν ἑκάστῳ τὴν ἑαυτοῦ γνώμην τε καὶ κρίσιν τῶν τοιούτων γε πέρι παῤῥησίᾳ ἀποφαίνεσθαι· ἀλλ' ὡς καθόλου εἰπεῖν οἷός τε ἔσεται τὰ δέοντα συγγράψαι περὶ τῆς κατὰ σμικρόν ποτε γενομένης ἐπιδόσεως τῆς παρ' Ἕλλησι φιλοσοφίας, ὃς ἂν πρότερον τὰς ἄρτι λεχθείσας

πηγὰς ἐπ' ἀκριβὲς μετελθὼν, τὴν ἐσωτερικὴν τῶν φιλοσοφικῶν συστημάτων ἀλληλουχίαν ἱκανῶς ἀποκαλύψῃ.

Δ'. Νεώτερα δὲ συγγράμματα τῆς ἑλληνικῆς φιλοσοφίας ἱστορικά ἐστι τὰ ἐφεξῆς.

Α'.] Κατὰ μὲν τὴν Οὐολφίου καὶ Καντίου φιλοσοφίαν.

Τειδεμάννου «Νοῦς τῆς θεωρητικῆς φιλοσοφίας,» ͵αψϟα' κ.φ.ξ. [κατὰ τὸν Οὐόλφιον].

Βουλίου, « Ἐγχειρίδιον τῆς ἱστορίας τῆς φιλοσοφίας,» ͵αψϟϛ' κ.φ.ξ. [φιλολογικὴν καὶ ἱστορικὴν πολυμάθειαν ἐμφαῖνον].

Τεννεμάννου, «Ἱστορία τῆς φιλοσοφίας. ͵αψϟη'. κ.φ.ξ. [κατὰ Κάντιον].

Ῥεϊγχόλδου, Ἱστορία τῆς φιλοσοφίας.» ͵αωκη', κ.φ.ξ. [τοῦ αὐτοῦ ἐγχειρίδιον, ͵αωλϛ'.).

Φρεισίου, Ἱστορία τῆς φιλοσοφίας,,» εἰς τόμους β'. τῷ ͵αωλζ', καὶ ͵αωμ' ἐκδοθεῖσα.

Β'.] Κατὰ δὲ Σελίγγιον καὶ Σλεϊερμάχερα·

Ἀςίου, «Σχεδίασμα». ͵αωζ',αὖθις ἐκδοθὲν τῷ ͵αωκε'.

Ῥιξνερίου, εἰς τόμους γ', πρώτη μὲν ἔκδοσις περὶ τὰ ͵αωκβ' γενομένη, δευτέρα δὲ περὶ τὰ ͵αωκθ'.

ΟΥΙΝΔΙΣΜΑΝΝΟΥ, «Ἡ φιλοσοφία ἐν προόδῳ τῆς παγκοσμίου ἱστορίας» εἰς μέρη δ', ἀπὸ τοῦ αωκζ' μέχρι τοῦ ͵αωλδ' εἰς φῶς φανεῖσα.

Σλεϊερμάχερος, «Ἱστορία τῆς φιλοσοφίας,» ὑπὸ Ῥιττερίου τῷ ͵αωλθ' ἐκδσθεῖσα.

Ῥιττερίου, «Ἱστορία τῆς ἀρχαίας φιλοσοφίας,» εἰς τόμους δ', καὶ ἡ μὲν πρώτη ἔκδοσις αὐτῆς ἀπὸ τῶν ͵αωκθ' μέχρι τῶν ͵αωλδ' ἐφάνη, ἡ δὲ δευτέρα ἀπὸ τῶν ͵αωλϛ' μέχρι τῶν ͵αωλθ'.

ΒΡΑΝΔΙΣΙΟΥ, «Ἐγχειρίδιον τῆς ἱστορίας τῆς παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις φιλοσοφίας·» ὁ μὲν πρῶτος τόμος αὐτῆς κατὰ τὰ ͵αωλε΄ εἰς φῶς προῆλθεν, τοῦ δὲ δευτέρου τόμου τὸ πρῶτον μέρος κατὰ τὰ ͵αωμδ΄, τοῦ δ' αὖ δευτέρου μέρους τὸ μὲν πρῶτον τμῆμα κατὰ τὰ ͵αωνγ΄ ἐφάνη, τὸ δὲ δεύτερον τμῆμα κατὰ τὰ ͵αωνζ΄.

Γ΄.] Κατὰ δὲ τὸν Ἕγελον.

ΕΓΕΛΟΥ, «Ὁμιλίαι,» εἰς τόμους γ΄ ἀπὸ τοῦ ͵αωλγ΄ μέχρι τοῦ ͵αωλϛ΄ ἐκδοθεῖσαι· δευτέρα δὲ ἔκδοσις αὐτῶν ἐγένετο ἀπὸ τῶν ͵αωμ΄ μέχρι τῶν ͵αωμβ΄.

Βεντίου, ἐπεξεργασία τῆς Τεννεμάννου· ταύτης ὁ πρῶτος τόμος κατὰ τὰ ͵αωκθ΄ ἐκτυπωθείς.

Μαρβαχίου «Ἐγχειρίδιον διδακτικὸν τῆς ἱστορίας τῆς φιλοσοφίας,» ὁ μὲν πρῶτος τόμος αὐτοῦ τῷ ͵αωλη΄, ἐξεδόθη ὁ δὲ δεύτερος τῷ ͵αωμα΄.

Βρανίσσου, «Ἱστορία τῆς φιλοσοφίας ἀπὸ Καντίου,» τόμος Α΄, ἱστορίαν τῆς μέχρι Καντίου φιλοσοφίας περιλαμβάνων, περὶ τὰ ͵αωμβ΄ εἰς φῶς προῆλθεν.

Σελλερίου, «Ἡ παρ' Ἕλλησι φιλοσοφία,» πρῶτος μὲν τόμος αὐτῆς τῷ ͵αωμδ΄ τὸ πρῶτον φανείς, τὸ δὲ δεύτερον τῷ ͵αωνϛ΄, δεύτερος δὲ τόμος τῷ ͵αωμϛ΄, δευτέρα δ' ἔκδοσις αὐτοῦ ἐν ἔτει ͵αωνθ΄ ἐγένετο. Τόμου δὲ τρίτου αον καὶ βον μέρος τῷ ͵αωνβ΄ τὸ πρῶτον ἐκδοθέν.

§. Γ΄. *Διαίρεσις τῆς ἱστορίας τῆς παρ' Ἕλλησι φιλοσοφίας.*

Ἡ ἱστορία τῆς παρ' Ἕλλησι φιλοσοφίας ἐκ τεσσάρων περιόδων ἀπαρτίζεται.

Τούτων δὲ ἡ μὲν πρώτη περίοδος τὴν πρὸ Σωκράτους

φιλοσοφίαν ἀποτελοῦσα, διαφέρει μάλιστα τῶν λοιπῶν, καθ' ὅσον περ οἱ ἐπὶ ταύτης φιλοσοφοῦντες μόνοις τοῖς περὶ τὴν φύσιν, ἤγουν τοῖς αἰσθητοῖς οὖσι τὸν νοῦν προσεῖχον. Διὸ καὶ ἡ φιλοσοφία φυσιολογία κατ' ἐξοχὴν ὑπῆρχεν (α). Δι' ἣν δ' αἰτίαν τὸ παρ' Ἕλλησι φιλοσοφεῖν ἐντεῦθεν ἤρξατο πᾶσι φανόν ἐστι· πέφυκεν γὰρ ὁ ἄνθρωπος πρῶτον πάντων τὰ πρὸ τῶν ὀφθαλμῶν, τὸν αἰσθητὸν κόσμον ἤτοι τὴν Φύσιν, φίλιον μελέτημα ποιεῖσθαι· πολλῷ δ' ὕστερον ἑαυτῷ ὡς νοοῦντι καὶ ἐπιγιγνώσκοντι τὸν νοῦν προσέχειν, λόγον θ' ἑαυτῷ ἑκάστοτ' ἀποδιδόναι, πρὸς δὲ τούτοις ᾗ γε δυνατὸν ὅλως, οἷς δέ ποτε νόμοις τὸ Εἰδέναι ποριστὸν ἀνθρώπῳ λογίζεσθαι. Οἱ δ' οὖν φιλόσοφοι οἱ ἐν τούτῳ τῷ χρόνῳ ἀναλάμψαντες ἔχουσί τι ἀλλήλοις καὶ ἕτερον κοινόν· ἅπαντες γὰρ ὁμοίως πρώτην τινὰ τῶν περὶ τὴν φύσιν ὄντων ἀρχὴν προθυμούμενοι ἀνευρεῖν καὶ ταύτῃ τὰ αἰσθήσει ληπτὰ πάντα ὑπαγαγεῖν, βραχέα τινὰ καὶ πρὸς τὴν ὑ-

(α) Ἔπιθι Διογ. τὸν Λαέρτ, Γ, 56. «Ὥςπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν, καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, καὶ συνεπλήρωσαν τὴν τραγῳδίαν· οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικὸς, δεύτερον δὲ Σωκράτης προςέθηκε τὸν ἠθικὸν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν, καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν.» Ταῦτα δέ φησι καὶ Ἀττικὸς παρὰ Εὐσεβ. εὐαγγελ. προπαρασκ. ΙΑ', β', καὶ Ἀριστοκλῆς αὐτόθι κεφ. γ'. — Ἀριστοτέλης δὲ φησι [περὶ ζῴων μορίων Α, α, σελ. 624, 24] πρὸ Σωκράτους — «τὸ τί ἦν εἶναι καὶ τὸ ὁρίσασθαι τὴν οὐσίαν οὐκ ἦν — ἐπὶ Σωκράτους δὲ τοῦτο μὲν ηὐξήθη, τὸ δὲ ζητεῖν τὰ περὶ φύσεως ἔληξε, πρὸς δὲ τὴν χρήσιμον ἀρετὴν καὶ τὴν πολιτικὴν ἀπέκλιναν οἱ φιλοσοφοῦντες.» Ἀλλὰ καὶ περὶ Πυθαγορείων, Ἀριστοτέλης ὁμολογεῖν φησι τοῖς ἄλλοις φυσιολόγοις «ὅτι τό γε ὂν τοῦτ' ἐστὶν ὅσον αἰσθητόν ἐστι καὶ περιείληφεν ὁ καλούμενος Οὐρανός·» τῶν μετὰ τὰ φυσικὰ Α, 8.

περφυᾶ πλῆθυν καὶ ποικιλίαν ὅλως ἀνεπαρκῆ εἰπόντες, ἀπήλλαξαν. Διὸ δὴ καὶ σύμπασαν τὴν θεωρίαν ἑνὸς ἑκάστου τῶν τοιούτων φιλοσόφων εὐχερῶς ἄν τις ἐν ἑνὶ φθέγματι συνοπτικῷ περιλάβοι· οὐ γὰρ ἂν ἁμάρτοι εἰπὼν πᾶσαν μὲν τὴν Θάλητος φιλοσοφίαν ἐν τῷδε τῷ φθέγματι εἶναι, ὡς πάντα ἐξ ὕδατός ἐστι· τὴν δ' αὖ Πυθαγορικὴν σχεδόν τι μηθὲν ἄλλο φθέγξασθαι ἢ τόδε, ὡς πᾶν ἀριθμός ἐστι· καὶ τὴν Ἐλεατικὴν ὅτι μόνον τὸ ἀμεταβλήτως ὂν ἐςὶν ἤτοι τὸ Ἕν, ἄλλο δὲ παρὰ τὸ Ὂν οὐθέν ἐστι τὸ ἐπίπαν· καὶ λόγον ἂν ἔχοι εἰπεῖν ὅτι ἡ παρ' Ἕλλησι φιλοσοφία ἐν τούτῳ τῷ χρόνῳ περὶ τὰς πρώτας τῶν ὄντων ἀρχὰς μάλιστα ἦν.

Δευτέρα δέ ἐστιν ἡ περίοδος τῶν ἐπιλογισμῷ εἰλικρινεῖ τὰς τῶν ὄντων αἰτίας τὰς νοητὰς ἤτοι τὰς ἰδέας καὶ τὰς ἐσχάτας ἀρχὰς ἐζητηκότων, ἐν ᾗ γε οἱ τρεῖς τηλαυγεῖς ἀνέτειλαν ἀστέρες Σωκράτης, Πλάτων καὶ Ἀριστοτέλης, ἕτερος ἑτέρου ἀκροατὴς γενόμενος. Τούτων δὲ πρῶτος Σωκράτης ἦν ὁ τὸ κυριώτατον δόγμα φθεγξάμενος, ἐξ οὗ γε ἀμφότερα τὰ μεγάλα τῶν διαδόχων συστήματα βλαστήσαντα, εἰς θεσπέσιόν τι κάλλος καὶ ὕψος προήχθη· χαίρειν γὰρ ἐάσας τὰ περὶ τὴν φύσιν, ὡς οὐδ' ὁτιοῦν εἰς ἐπιστήμην τε καὶ φρένωσιν λυσιτελῆ ἐν κούφοις λόγοις τῶν Σοφιστῶν αὐτῷ δοκοῦντα, μετέστρεψε τὴν διάνοιαν εἰς τὴν ἐν ἑαυτῷ συνείδησιν, ἤτοι ἀπὸ τοῦ κατ' ἀνθυπόςασιν ὑπάρχοντος εἰς τὸ Εἰδέναι καὶ τὸν λόγον· καὶ τὸ ᾗ γε δυνατόν ἐστι τὸ ὄντως Ὂν εἰδέναι κύριον τῆς φιλοσοφίας ἔργον εἶναι ἀπεφήνατο, διδάσκων ἅμα ὅτι τὸ ὡς ἀληθῶς εἰδέναι τὰ ὄντα οὐθὲν ἄλλο ἐστὶν ἢ τὸ τὴν ἰδέαν αὐτῶν παρ' ἑαυτῷ λαμβάνειν. Πλάτων δὲ αὐτίκα ἐκ ταύτης τῆς Σωκρατι-

κῆς διδασκαλίας ἀφορμὴν λαβὼν, ἀρχήν τιν' αὖθις ἐπεχείρησεν ἀποδοῦναι, ᾗ περ ἂν ὁ νοῦς ἑπόμενος τὰ κατ' ἀνθυπόστασιν νοῆσαι δύναιτο. Ἐξ ὧν γὰρ Σωκράτης διετέλει διδάσκων τοιόν δέ τι ἐπορίσατο, ὅτι ἡ ἰδέα ἤτοι ἡ καθόλου καὶ ἀΐδιος τῶν ὄντων οὐσία, ὡς αὐτὴν νοοῦμεν, οὐ μόνον αὐτό γε τὸ ἐπιστητόν ἐστιν, ἀλλὰ καὶ αὐτὸ τὸ ὄντως ὄν. Οὕτως οὖν λογιζόμενος, κατεβάλετο ἐν τῇ ἑαυτοῦ ἰδεολογίᾳ τὰς οἷον βάσεις πᾶσι τοῖς ὕστερον ἰδεολογικοῖς φιλοσοφήμασιν ὑποκειμένας. Τέλος δὲ ὁ Ἀριστοτέλης τοῦτο μὲν τῆς Πλάτωνος θεωρίας ἀσμένως ἀπεδέξατο, ὡς ἡ ἰδέα αὐτή γε ἡ οὐσία εἴη τῶν ὄντων, ὀπαδὸς ἐν τούτῳ τοῦ Πλάτωνος φαινόμενος· ἄλλως μέν τοι γε ἢ κατὰ Πλάτωνα τὰς ἰδέας πρὸς τὰ ἐνεργείᾳ ὑπάρχοντ' ἔχειν ἐδόξασε. Πλάτων μὲν γὰρ ἰδέαν τε καὶ φύσιν ὁρατὴν δύο πράγματα πάμπαν ἀλλήλοιν ἐναντία ὄντα ἀποφηνάμενος, τὰ αἰσθήσει περιληπτὰ μηθὲν ἄλλο ἔφη εἶναι ἢ ἀτελῆ ὁμοιώματα τῶν χωριστῶν καὶ καθ' ἑαυτὰς ὑπαρχουσῶν ἰδεῶν. Ἀριστοτέλης δὲ τὴν ἰδέαν ἀντὶ τοῦ γε τοῖς οὖσιν ἐνόντος εἴδους ἐκλαβὼν, εἰδοποιὸν αὐτὴν τῆς ὕλης ἀρχὴν οἴεται εἶναι καὶ τοῖς καθ' ἕκαστον γένεσιν τοῖς ἐν τῇ ὁρατῇ φύσει παντοίως ἑαυτὴν ἐπιμερίζουσαν, μηδ' ὁπωστιοῦν χωριστήν τιν' οὐσίαν ὑπολαμβάνειν δεῖν καὶ τῆς γε ὕλης ἐναντίαν, ἀλλ' ὡς τὸ ἐμμένον, ζωήν τε πᾶσι παρέχον τοῖς ἐνεργείᾳ οὖσιν, ἤγουν «τὸ τί ἦν εἶναι ἑκάστῳ καὶ τὴν πρώτην οὐσίαν.»

Ἐν δὲ τῇ τρίτῃ περιόδῳ γένος ἄλλο ἀνδρῶν φιλοσοφούντων ἀνεφύη τὸ πᾶν κῦρος ἀληθείας τε πέρι τῶν ὄντων καὶ ψεύδους τῇ ἰδίᾳ γνώμῃ ἑνὸς ἑκάστου τῶν ἀνθρώπων ἀπονέμοντες, κατὰ τοσοῦτόν γε πάντων τῶν

προλαβόντων διαφέρουσι, καθ' ὅσον περ οὗτοι τὴν κατ' ἀνθυπόστασιν γνῶσιν τοῦ φυσικοῦ κόσμου σχεδόν τι παρ' οὐδὲν τιθέμενοι, κανόνας τινὰς πρακτικοὺς καὶ τῷ ἰδίᾳ γε βίῳ ἑνὸς ἑκάστου ὅσον οἷόν τε λυσιτελοῦντας ἐκ παντὸς τρόπου ἀνευρεῖν ἐπιχειροῦσιν. Τὴν γὰρ περὶ τῆς τῶν ὄντων φύσεως θεωρίαν μονονοὺ πάμπαν παρέντες, κύριον ἔργον πάσης ἐπιστήμης εἶναι ἔφασκον τὸ τοὺς ἀνθρώπους πρὸς ἀρετῆς τε κτῆσιν καὶ εὐδαιμονίαν ὅσον οἷόν τε μάλιστα ἐκπαιδεύειν. Διὸ καὶ περὶ πλείστου πάντων τὴν ἠθικὴν ἐποιοῦντο. Ἀναγραπτέον δ' ἐνταῦθα τρεῖς φιλοσοφικὰς αἱρέσεις· πρώτην μὲν τὴν Στωϊκὴν, δευτέραν δὲ τὴν Ἐπικουρικὴν καὶ τρίτην τὴν Σκεπτικήν.

Τέλος δὲ τὴν τετάρτην περίοδον ἀποτελεῖ ἡ νέα Πλατωνικὴ φιλοσοφία. Καὶ τοῦτο μὲν ἀπὸ τῆς τοῦ πράσσειν ἀνάγκης τοῦ ἰδίᾳ γε ἀνθρώπου ὁρμωμένη, ὥςπερ τὰ φιλοσοφικὰ συστήματα τῆς τρίτης περιόδου, τοῦτο δὲ ἰδανικήν τιν' ἀρχὴν τοῦ ἀνθυφεστῶτος κόσμου τιθεμένη, ὥςπερ αὖ τὰ ἐν τῇ δευτέρᾳ περιόδῳ ἀναφυέντα, ἀμφοτέρων τῶν περιόδων τὰς προθέσεις ἐν ἑαυτῇ συλλαβοῦσα περιλαμβάνει.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Η ΠΡΟ ΤΟΥ ΣΩΚΡΑΤΟΥΣ ΦΙΛΟΣΟΦΙΑ.

§. Δ'. *Διαίρεσις τῆς πρὸ τοῦ Σωκράτους φιλοσοφίας.*

Τὴν πρὸ τοῦ Σωκράτους φιλοσοφίαν εἰς τρεῖς φιλοσοφικὰς αἱρέσεις ἤτοι σχολὰς εἰκότως ἄν τις διέλοιτο, αἵπερ σχεδὸν ἐν τῷ αὐτῷ χρόνῳ ἤκμασαν. Εἴησαν δ' ἂν αὗται, ἡ τῶν Ἰώνων, ἡ τῶν Πυθαγορείων καὶ ἡ τῶν Ἐλεατῶν· καὶ λόγον ἄν τις ἔχοι εἰπεῖν τοὺς ἐν πάσαις ταῖς τρισὶν αἱρέσεσι φιλοσοφήσαντας κοινόν μέν τι ἀλλήλοις ἐσχηκέναι, τὸ τοιόνδε· πάντες γὰρ τὴν τῶν ὄντων οὐσίαν τὴν πρώτην, οἷον ὑπόστασίν τε καὶ ἀρχὴν τοῦ Σύμπαντος, εἰς δύναμιν ἀνευρεῖν ἀνεβάλοντο· κομιδῇ δ' αὖ ἀλλήλων διαφέρειν, καθ' ὅσον περ τὴν οὐσίαν ἐκείνην καὶ πρώτην τῶν ὄντων ἀρχὴν διαφόρως ὡρίσαντο. Οἱ μὲν οὖν Ἴωνες οὐσίαν τε καὶ πρώτην τῶν ὄντων αἰτίαν ἔνυλόν τινα καὶ αἰσθητὴν ὑπόστασιν εἶναι ὑπέλαβον, ἐξ ἧς γε πάντα παρήχθη τὰ καθ' ἕκαστον ὄντα. Οἱ δὲ περὶ Πυθαγόραν μεταξὺ αἰσθητοῦ καὶ νοητοῦ μεσάζον τι τὸν ἀριθμόν, τὸ μέγεθος, τὰς ἀναλογίας καὶ τὰ σχήματα, ἐν οἷς γε πᾶν τὸ ὑπάρχον ἐκφαίνεται. Οἱ δὲ Ἐλεᾶται τέλος αἰσθήσεως μέν τι οἱασοῦν πάμπαν ἀμιγές, μόνῃ δὲ τῇ διανοίᾳ ληπτὸν ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων φάσκοντες, πρὸς πᾶσαν τὴν αἰσθήσει πε-

ριληπτὴν διαφορὰν τῶν ὄντων καὶ μετάῤῥοιαν ὡς μόνον ἀληθὲς δόγμα τοιόνδε τι ἀντετίθεσαν· ἓν λέγοντες εἶναι τὸ Πᾶν πάντοτε καὶ πανταχῇ, τὴν μὲν διαφορὰν καὶ μεταβολὴν τῶν ὄντων δόκησίν τιν', ὡς ἔπος εἰπεῖν καὶ τῶν αἰσθήσεων ἀπάτην ἐξελέγχοντες, τὴν δὲ ἐν αὐτοῖς ὑπολανθάνουσαν πανταχοῦ ἀεὶ ἑαυτῇ γε ὁμοίαν οὐσίαν τοῦ κόσμου, ὡς τὸ ὄντως ὑπάρχον διαβεβαιούμενοι. Αὗται οὖν αἱ τρεῖς αἱρέσεις τὴν κατὰ σμικρὸν τῆς φιλοσοφίας ἐπίδοσιν καὶ μάλα ἐμφαίνουσιν. Ἀπὸ δὲ τούτων τῶν φιλοσοφημάτων οἷον μετάβασίν τινα ἐπὶ τὰ τῆς δευτέρας περιόδου συστήματα ἀποτελεῖ ἡ τῶν σοφιστῶν πραγματεία. Ὅσοι μὲν γὰρ πρὸ τοῦ Σωκράτους μέχρι τοῦ δεῦρο ἐφιλοσόφησαν, πάντες τὴν τῶν ἐκτὸς ὄντων γνῶσιν ἀμέσως πως ἐθήρασαν, εὖ μάλα πεπεισμένοι ὅτι ὁ ἑκάστῳ γε τῶν ἀνθρώπων ἐνυπάρχων νοῦς ἱκανώτατος εἴη τὸν ἀνθυφεστῶσα κόσμον, ᾗ γε δέον, ἐπιγνῶναι, μηδαμῶς πρότερον σκεψάμενοι, εἴπερ καὶ ᾗ τινι μεθόδῳ εἴη ἂν τὸ εἰδέναι δυνατόν. Οἱ δὲ σοφισταὶ αὐτὸ δὴ τοῦτο τὸ εἰ δυνατόν ἐστιν ἀναζητοῦντες, εἰς ἀμφιβολίαν περιέστησαν, εἴπερ ὁ νοῦς ὁ ἀνθρώπειος ἱκανός ἐστι τὴν τῶν ὄντων οὐσίαν κατ' ἀνθυπόστασιν ἐπιγιγνώσκειν. Ἐπεὶ οὖν οἱ Σοφισταὶ τὰ ἐπὶ τῆς δευτέρας περιόδου ἀναφυέντα συστήματα ὡς ἔπος εἰπεῖν ἀρνητικῶς μόνον, θετικῶς δὲ οὐδ' ὁπωστιοῦν παρεσκεύασαν· καὶ τὴν αἵρεσιν ἄρα αὐτῶν τῇ πρώτῃ μᾶλλον ἢ τῇ δευτέρᾳ περιόδῳ ἀποδοτέον. Ἔτι δὲ τὴν τῶν Ἰώνων φυσιολογίαν εἰκότως ἄν τις δίχα διέλοιτο, ᾗ καὶ τῷ Ἀριστοτέλει ἔδοξε [τῶν μετὰ τ. φυσ. Α, 3, 16 κ.φ.ξ.] εἴς τε τὴν τῶν παλαιτέρων Ἰώνων, τὴν οὐσίαν προθεμένων ἀνευρεῖν ἤτοι τὴν πρώτην ὑπόστασιν, ἐξ ἧς γε

τὰ ὄντα πάντα συνέστη, καὶ εἰς τὴν τῶν νεωτέρων, οἵτινες τὸ αἴτιον τὸ κινοῦν, δι' οὗ περ ἐκεῖνα παρήχθη, ἤτοι τὴν αἰτίαν τοῦ γίγνεσθαί τε τὰ ὄντα καὶ ἀπόλλυσθαι ἐπηγγείλαντο ἀνιχνεῦσαι. Καὶ πρὸς ταύτην τὴν αἰτίαν ἀποβλέποντες, τὴν πρώτην τῶν ὄντων οὐσίαν ὁρίσασθαι ἐπειρῶντο. Ζήτημα δὲ κύριον, ὡς Ἀριστοτέλης φησὶ, τοῖς μὲν ἡ ὕλη ἢ τὸ ὑποκείμενον ἦν, τοῖς δὲ ἡ ἀρχὴ τῆς κινήσεως. Δέον ἄρα κατὰ τοῦτον τὸν λόγον τῆς Ἰωνικῆς φιλοσοφίας τὰ τῆς οὐσίας τῶν ὄντων ζητητικὰ συστήματα [οἷον τὸ Θάλητος, Ἀναξιμάνδρου, Ἀναξιμένους] ἀπὸ τῶν τῆς αἰτίας ζητητικῶν [οἷον τὸ Ἡρακλείτου, Ἐμπεδοκλέους, Ἀναξαγόρου, Δημοκρίτου] ἀκριβῶς διαστέλλειν.

§. Ε. ΘΑΛΗΣ.

Θαλῆς ὁ Μιλήσιος, τῆς παρ' Ἕλλησι φιλοσοφίας ἀρχηγέτης παρὰ πᾶσι τοῖς πάλαι μιᾷ φωνῇ ἐπιφημιζόμενος· καὶ τῇ σεμνῇ δὲ τῶν ἑπτὰ τῆς Ἑλλάδος σοφῶν χορείᾳ συγκαταλεγόμενος, ἅτε δὴ ἠθικῇ τινι καὶ πολιτικῇ σοφίᾳ οὐκ ὀλίγον τὸν νοῦν ἐπιστήσας. Ἔοικε δὲ καὶ Πλάτων οὔπω ἐθέλοντι τοῖς ἰδίᾳ φιλοσόφοις τὸν ἄνδρα συγκαταλέξαι, ὡς εὑρετικόν τινα καὶ εἰς τέχνας εὐμήχανον αὐτὸν ἐπαινῶν καὶ πρὸς Ἀνάχαρσιν τὸν Σκύθην παραβάλλων (α). Ἀριστοτέλης μέντοι ἀρχηγὸν διαῤῥήδην αὐτὸν ἀποκαλεῖ τῶν περὶ τὴν τῆς φύσεως

(α) Πλάτ. πολιτ. Ι' σελ. 600, α· « ἀλλ' οἷα δὴ εἰς τὰ ἔργα σοφοῦ ἀνδρὸς πολλαὶ ἐπίνοιαι καὶ εὐμήχανοι εἰς τέχνας ἤ τινας ἄλλας πράξεις λέγονται, ὥςπερ αὖ Θάλεώ τε πέρι τοῦ Μιλησίου καὶ Ἀναχάρσιος τοῦ Σκύθου».

ἔρευναν φιλοσοφικῶς ἐσπουδακότων (β)· ταύτῃ δὲ τῇ γνώμῃ ἠκολούθησαν καὶ οἱ ὕστερον ἱστοριογράφοι (γ). Λέγουσι δὲ τὸν Θαλῆν οἱ πάλαι χρονολογοῦντες γεννηθῆναι μὲν τῷ πρώτῳ ἔτει τῆς λέ Ὀλυμπιάδος [χμ΄. π. Χ.], τελευτῆσαι δὲ τῷ τρίτῳ ἔτει τῆς νζ΄. [φν΄. π. Χ,] (δ). Ἀσφαλέστατον δὲ χρονολογίας τεκμήριον παρέχει ἡμῖν ἡ τοῦ Ἡροδότου μαρτυρία ἀφηγουμένου ὅτι [Α. οδ΄] ἐπὶ Μήδων καὶ Λυδῶν ἀλλήλοις πολεμούντων συνέβη ἔκλειψιν ἡλίου γενέσθαι, ἣν « Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον, ἐν ᾧ δὴ καὶ ἐγένετο. » Αὕτη δὲ ἡ ἔκλειψις τοῦ ἡλίου, ὥςπερ ἔνιοι τῶν νεωτέρων ἀστρονόμων ὑπολογίζονται, τῷ φπέ ἔτει συμπίπτει (ε),

(β) Ἀριστ. μεταφ. Α, γ, 7. « Θαλῆς ὁ τῆς τοιαύτης [τῆς τὴν πρώτην τῶν ὄντων ὕλην ζητούσης) ἀρχηγὸς φιλοσοφίας. »

(γ) Φέρ' εἰπεῖν Διογένης ὁ Λαέρτιος Α, 122· ἄλλα δὲ χωρία ἔπιθι παρὰ ΜΕΝΑΓΙΩι εἰς Διογ. τὸν Λαέρ. Α, κδ΄. 27.

(δ) Ἀπολλόδωρος παρὰ Διογ. Λ. Α, λζ΄. συνδοκεῖ δὲ καὶ Ἑρμάννῳ de phil. jon. aetat. 1849, p. 22.

(ε) Αἱ παρὰ τοῖς πάλαι σὺν ἱστορικοῖς πράγμασι μνημονευόμεναι ἐκλείψεις ἀσφαλέστατον κριτήριον ἐν χρονολογίᾳ παρέχουσι. Τοιαῦται δὲ ἐκλείψεις εἰσὶν ἡ ἡλιακὴ ἡ ἐπισυμβᾶσα ἐπὶ Ξέρξου ἀπὸ Σάρδεων εἰς Ἄβυδον ἀναζευγνύντος (Ἡροδ. Ζ, λζ΄,), ἡ σεληνιακὴ ἡ τῇ δορπίᾳ τῆς ἐν Πύδνᾳ μάχης γενομένη καὶ ἄλλαι. Διὰ τοῦτο καὶ ἑταιρεία τις ἐν Λειψίᾳ Ἰαβλονόβσκειος λεγομένη, ἆθλον προὔθετο τὰς ἐπισημοτάτας τῶν παρὰ τοῖς πάλαι μνημονευομένων ἐκλείψεων ἐπ' ἀκριβὲς ὑπολογίσασθαι. Τοῦτο δὲ τὸ πρόβλημα αἰσίως ἔλυσεν ὁ Ζέχιος ἔν τινι πονήματι ἐπιγραφὴν φέροντι· « Ἀστρονομικαὶ Ἔρευναι περὶ τῶν ἀξιολογωτάτων ἐκλείψεων, ὧν Ἕλληνές τε καὶ Ῥωμαῖοι συγγραφεῖς μνείαν ποιοῦνται. » ᾳωνγ΄. Οὗτος δὴ ὁ Ζέχιος ἐν τούτῳ τῷ πονήματι (σελ. νζ΄.) τὴν Θάλητος ἔκλειψιν τοῦ ἡλίου εἰς τὸ φπέ. ἔτος π. Χ. ἀνάγει, τῇ πέμπτῃ καὶ εἰκοστῇ ἡμέρᾳ πρὸ τροπῶν τῶν θερινῶν, ὃ δὴ καὶ πρὸς τὰς λοιπὰς περὶ χρόνου τοῦ Θάλητος παραδόσεις συνᾴδει. Οἱ δὲ πρότερον ἐτίθεσαν αὐτὴν εἰς τὸ χθ΄. ἔτος (Ὀλ-

ὅπερ καὶ κάλλιστ' ἂν ἁρμόσειεν τῇ πρόςθεν ῥηθείσῃ χρονολογίᾳ. Ὡς δ' ἄν τις ἐκ παντοίων λόγων τεκμήραιτο, ὅσοι περ ἡμῖν τὴν περὶ τὸν βίον πεῖραν τἀνδρὸς (ϛ) καὶ τὴν πολιτικὴν σύνεσιν παραδιδόασιν, ὁ Θαλῆς μεγίστης τιμῆς παρὰ τοῖς καθ' ἑαυτὸν ἠξίωται. Ἦν δὲ καὶ ἄλλος τις λόγος τούτου πέρι κατέχων, ὡς Κροίσου βουλομένου διαβιβάσαι τὸν στρατὸν διὰ τοῦ Ἅλυος ποταμοῦ καὶ διὰ τὸν πολὺν ῥοῦν ἀποροῦντος, παρόντα τὸν Θαλῆν ἐν τῷ στρατοπέδῳ, δίχα τὸν ποταμὸν ἀποσχίσαι, τὸ ἥμισυ τοῦ ῥείθρου βαθείᾳ διώρυγι

τμάννος φέρ' εἰπεῖν ἐν ταῖς διατριβαῖς τῆς ἐν Βερολίνῳ Ἀκαδημίας, ͵αωιϐ' — ιγ',) ὅπερ πρὸς ἄλλας παραδόσεις περὶ τῆς τοῦ Θάλητος ἡλικίας ἀπᾴδει. Ἐπεὶ κατὰ Ὀλτμάννον μὲν ἦν ἂν ὁ Θαλῆς τότε ἐτῶν ἑνὸς καὶ τριάκοντα, κατὰ Ζέχιον δὲ πέντε καὶ πεντήκοντα ἔτη γεγονὼς ὃ καὶ πιθανώτερον δοκεῖ.

Καὶ πάνυ ἐνδεχόμενόν ἐστι Θαλῆν τὸν Μιλήσιον τοιαῦτά τινα ὑπολογίσασθαι· Αἱ γὰρ ἐκλείψεις τοῦ ἡλίου, ἐννέα καὶ δέκα ἐτῶν ἀνακυκλουμένων, ἀποκαθίστανται κατὰ μέγεθος σχεδόν τι τὸ αὐτὸ φαινόμεναι· τοῦτο ἴσως καὶ οἱ Ἀσσύριοι ἤδη ἦσαν παρατετηρηκότες.

(ϛ) Ἀριστοτέλης ἐν Αῳ τῶν πολιτικῶν (κεφ. ιά.) ἀφηγεῖται τόδε περὶ Θάλητος· « ὀνειδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, εὐπορήσαντα χρημάτων ὀλίγων, ἀῤῥαβῶνας διαδοῦναι τῶν ἐλαιουργίων τῶν τ' ἐν Μιλήτῳ καὶ Χίῳ πάντων, ὀλίγου μισθωσάμενον, ἅτ' οὐθενὸς ἐπιβάλλοντος· ἐπειδὴ δ' ὁ καιρὸς ἧκε, πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης, ἐκμισθοῦντα ὃν τρόπον ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι ὅτι ῥᾴδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' οὐ τοῦτ' ἐστὶ περὶ ὃ σπουδάζουσιν. » — Τὸ αὐτὸ καὶ παρὰ Διογένει τῷ Λαερτίῳ Α, κϛ'. — Ὑπεναντίον δέ πως τούτου ἐστὶ τὸ ἐν Θεαιτήτῳ τοῦ Πλάτωνος διήγημα οὑτωσὶ ἔχον· « Θαλῆν ἀστρονομοῦντα καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν Οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν· ταὐτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας ὅσοι ἐν φιλοσοφίᾳ διάγουσιν. »

ἀπολαβόντα, ὥστε «ὁ ποταμὸς ἀμφοτέρῃ διαβατὸς ἐγένετο» (Ἡροδ. Α. οέ. Διογ. Λαέρ. Α, λή.). Ἴωσι δὲ ὑπὸ Περσῶν πιεζομένοις ἐκέλευεν «ἓν βουλευτήριον ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ· Τέων γὰρ μέσον εἶναι Ἰωνίης. Τὰς δὲ ἄλλας πόλιας οἰκεομένας, μηδὲν ἧσσον νομίζεσθαι κατάπερ εἰ δῆμοι εἶεν (Ἡρόδ. Α, ρό.).»

Πᾶν δ' ὅτι ἐκ τῆς Θάλητος φιλοσοφίας πίστεώς τινος ἄξιον ἡμῖν παραδέδοται ἐν τούτῳ τῷ ἑνὶ φθέγματι συγκεφαλαιοῦται· πᾶν ἐξ ὕδατός ἐστιν, ἀρχὴν πρώτην τῶν ὄντων ἁπάντων τὸ ὕδωρ εἶναι εἰπών (ζ). Ἣ μὲν οὖν τὸ φθέγμα τοῦτο ἠτιολόγησεν (η), ᾧτινι δ' αὖ τρόπῳ τὰ καθ' ἕκαστον τῶν ἐν τῇ φύσει γιγνομένων τε καὶ μεταβαλλομένων ἐξ ἐκείνης τῆς πρώτης ἀρχῆς παρήγαγε, καὶ εἰ τὸ

(ζ) Πλουτ. περὶ τῶν ἀρεσκ. τοῖς φιλ. Α, Γ, α. «Ἐξ ὕδατός φησι πάντα εἶναι, καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. Cic. Acad. IV, 37. Thales ex aqua dixit constare omnia.

Ἀ ρ χ ὴ ν δ' ὡς ὅρον Ἀναξίμανδρόν φασιν πρῶτον εἰς τὴν φιλοσοφίαν εἰσαγαγεῖν (ἴδ. § ς'.)

(η) Ἀριστοτέλης δέ φησι (Μεταφ. Α, Γ, 8.) «Λαβὼν ἴσως τὴν ὑπόληψιν ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν (το δ' ἐξ οὗ γίγνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν, τὸ δ' ὕδωρ ἀρχὴν τῆς φύσεως εἶναι τοῖς ὑγροῖς.» Ταῦτα μὲν οὖν ὑποτοπάζει ἁπλῶς ὁ Ἀριστοτέλης ἀλλ' οὐ διαβεβαιοῦται. Ἔνιοι δὲ τῶν ὕστερον ἄλλας αἰτίας ἀποδιδόασι, πρὸς ἃς ὁ Θαλῆς ἀποβλέψας ἀρχὴν τῶν ὄντων ἁπάντων τὸ ὕδωρ εἶναι ἔφατο. Σιμπλίκιος, φέρ' εἰπεῖν, λέγει (εἰς τὰ φυσ. φύλ. ή.) ὅτι Θαλῆς εἰς τὸ γόνιμον καὶ τρόφιμον καὶ συνεκτικὸν καὶ ζωτικὸν καὶ εὐτύπωτον τοῦ ὕδατος ἀπεῖδεν.» ἀλλ' οὐδεὶς ἂν, οἶμαι, ἔχοι σαφῶς εἰπεῖν, εἴπερ ὄντως ὁ Θαλῆς οὕτω φιλοσοφικῶς τὴν ἑαυτοῦ θεωρίαν ἠτιολόγησεν. Ἀπεφήνατο δὲ, ὡς φησὶν Ἀφιστοτέλης (μεταφ. Α, Γ'. Ζ'.), καὶ τὴν γῆν ἐφ' ὕδατος εἶναι. Περὶ οὐρανοῦ. Α, ιγ'. Τὸ δ' ἐπ' ἐμοὶ, εἰκότως ἄν τις τὴν γνώμην ταύτην τῷ περὶ τοῦ ὕδατος δόγματι συνάψειεν.

ἐπίπαν τοιαύτῃ τινὶ παραγωγῇ τὸν νοῦν ἐπέστησε (θ), τούτου πέρι οὐδ' αὐτοὶ οἱ πάλαι πλέον τι ἔτι εἶχον λέγειν, ἀλλ' οὐδ' ἐς ἡμᾶς ἀσφαλής τις παράδοσις ἐξῖκται· ὡς δ' ἐν συνόλῳ εἴποι τις ἂν ὅτι τὰ περὶ τὴν Θάλητος φιλοσοφίαν ἔχοντα οὐθὲν ἄλλο ἐστὶ τὸ παράπαν ἢ λόγος ἁπλῶς ᾀδόμενος. Οὐδὲν γὰρ οὐδαμοῦ σύγγραμμα τοῦ ἀνδρὸς μνημονεύεται, (ι.) Καὶ οὗ ἂν Ἀριστοτέλης μνείαν αὐτοῦ ποιῆται οὐθὲν ἄλλο μαρτύριον προφέρεται ἢ τὸν περὶ αὐτοῦ διατεθρυλλημένον λόγον.(ια) Εἰ δέ τινες ἄρα τῶν μεταγενεστέρων συγγραφέων φιλοσοφήματά τινα λίαν ἐπιστημονικὰ τῷ Θάλητι ἀποδιδόασιν, οἷον φέρ' εἰπεῖν, τὸ περὶ ψυχῆς τῆς παγκοσμίου ἢ νοῦ τινος τὸ σύμπαν δημιουργοῦντος (ιϐ), τό τε περὶ ἀθανασίας τῆς

(θ) Θεόφραστός φησι πρῶτον Ἀναξιμένην ὑπειληφέναι γίγνεσθαι τὰ ὄντα πυκνώσει καὶ μανώσει τῆς πρώτης ὕλης (παρὰ Σιμπλικ, εἰς φυσ. φύλ. λϐ'.)

(ι) Ἀριστοτ. περὶ ψυχῆς Α, ϐ'. « Ἔοικε καὶ Θαλῆς, ἐξ ὧν ἀπομνημονεύουσι, κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν, εἴπερ τὸν λίθον (ἤγουν τὴν μαγνήτιδα) ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. » Διογ. Λαέρ. Α, κγ'. « Κατά τινας σύγγραμμα κατέλιπεν οὐδέν. »

(ια) Ἔπιθι καὶ τὰς ἐμὰς σημειώσεις εἰς τὰ μετὰ τὰ φυσ. Α, γ, η. Ἔτι δ' Ἀριστοτέλης (αὐτόθι Α, γ'. ιά.) « Θαλῆς λέγεται οὕτως ἀποφήνασθαι. » Ἐν τῷ περὶ Οὐρανοῦ, Β, ιγ'. (« τὴν γῆν ἐφ' ὕδατος κεῖσθαι), τοῦτον ἀρχαιότατον παρειλήφαμεν τὸν λόγον, ὅν φασιν εἰπεῖν Θαλῆν τὸν Μιλήσιον. » Πολιτικ. Α, ϐ'. « Θαλῆς μὲν οὖν λέγεται κτλ. Ἔνθα Ἀριστοτέλης τοῦ παρὰ Θαλεῖ κινοῦντος αἰτίου μνείαν ποιεῖται, λέγει ἴσως Μετ. Α, γ'. ή. περὶ ψυχ. Α, έ.

(ιϐ) Cic. de N. D. 1, 10. « Thales Milesius, qui primus de talibus rebus qaesivit, aquam dixit esse initium rerum, deum autem eam mentem, quae ex aqua cuncta fingeret. » Στοϐ. Ἐκλογ. Α, σελ. 54. « Θαλῆς νοῦν τοῦ Κόσμου τὸν Θεὸν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ Θεῶν πλῆρες. » Ἀλλὰ ὅτι Νοῦς ἐστιν ὁ τὸ Σύμπαν διακοσμῶν, πρῶτος Ἀναξαγόρας ἐφθέγξατο.

ψυχῆς δόγμα (ιγ) καὶ τὰ παραπλήσια, ταῦτα πάντα οὔτ' ἐκ γνησίων παραδόσεων παρείληπται, οὔτε πρὸς ῥητὰς τοῦ Ἀριστοτέλους διασαφήσεις συμφωνοῦσι· Διὸ καὶ οὐδεμιᾶς πίστεως ἄξια φαίνεται (ιδ). Κατὰ γοῦν τὸν Ἀριστοτέλην πάντων μαρτύρων τὸν ἀληθέστατον Θαλῆς ὁ Μιλήσιος φιλοσοφῶν, οὐθὲν ἄλλο ἀνεβάλετο εὑρεῖν ἢ τὴν πρώτην τῶν ὄντων ἀρχήν· ταύτην δὲ τὸ ὕδωρ εἶναι ἀπεφήνατο.

§ ΣΤ'. ΑΝΑΞΙΜΑΝΔΡΟΣ.

Ὅρα Σλεϊερμάχειρος «περὶ Ἀναξιμάνδρου» ἐν ταῖς διατριβαῖς τῆς ἐν Βερολίνῳ ἀκαδ. ᾳωια'. Εὑρίσκεται δὲ καὶ ἐν τρίτῳ τόμῳ (2, 171, κ.φ.ξ.) τῶν συγγραμμ. τοῦ αὐτοῦ.

Ἀναξίμανδρος, Μιλήσιος καὶ οὗτος ἐπίδοσίν τινα ἤδη

(ιγ) Διογ. Λαερ. Α, κδ'.

(ιδ) Ἀδέσποτον δὲ προςέτι, εἰ καὶ Βρανδίσιός ἐστιν ὁ ὑπολαμβάνων, ὅτι Θαλῆς ὁ Μιλήσιος πρὸς τῇ πρώτῃ τῶν ὄντων οὐσίᾳ καί τινα πρώτην δύναμιν ἅμα ὑπενόησε. Πορίζεται δὲ τοῦτο ἐκ τῆς παρ' Ἀριστοτέλει ἀπαντωμένης τοῦ Θάλεω γνώμης « πάντα πλήρη θεῶν εἶναι, » (περὶ ψυχῆς Α. Ε'.) καὶ τὴν λίθον τὴν (μαγνήτιδα) « ψυχὴν ἔχειν ὅτι τὸν σίδηρον κινεῖ » (περὶ ψυχ. Α, Β'.), ἅπερ οὐθὲν ἄλλο ἐθέλει λέγειν, ἢ ὅτι πάντα τὰ ὄντα ψυχὴν ἢ, ὡς ἄν τις τῶν ὕστερον εἴποι, ζωὴν ἔχει· Διὸ καὶ τὴν λίθον τὴν μαγνήτιδα ὑπέλαβεν ἔμψυχόν τι εἶναι. Ἀλλ' ἔκ γε τούτων οὕτως ἀμφισήμων ῥήσεων σχολῇ γ' ἄν τις παραπλήσια τῷ Βρανδισίῳ εἰκάσειεν. Ὁμοίως δ' ἄκυρα φαίνεται ἡμῖν καὶ τὰ τῷ Ῥιττερίῳ περὶ Θάλητος εἰρημένα (Α, 212) ὅτι ἡγεῖσθαι προςήκοι Θαλῆν τὸν Μιλήσιον, ἅτε δὴ τὸν κόσμον ὡς ἔμψυχόν τι ὃν νομίσαντα, ἀρχηγὸν γεγονέναι τῶν δυναμικῶς τὰ περὶ τὴν φύσιν βουλομένων ἐξηγεῖσθαι. Ἀριστοτέλης γὰρ σαφῶς ἀρνεῖται ὅτι οἱ παλαιοὶ τῶν φυσιολόγων τὸ κινοῦν αἴτιον οὐκ ἀπὸ τῆς ὕλης διέκριναν (Μεταφ. Α, Γ, ιέ. ιή.)· Ἀναξαγόραν δέ φησι πολλὰ περὶ τὴν φιλοσοφίαν καινοτομῆσαι νοῦν δημιουργὸν αὐτὸν πρῶτον εἰςαγαγόντα (Α, Γ, κγ'.).

τῆς παρ' Ἴωσι φυσιολογίας ἐμφαίνει. Ἐγεγόνει δὲ καθ' ἃ φησὶν Ἀπολλόδωρος παρὰ Διογένει τῷ Λαερτίῳ (Β, β'.) τῷ δευτέρῳ ἔτει τῆς μβ'. Ὀλυμπιάδος ἤτοι περὶ τὸ χια' ἔτος π. Χ., τριάκοντα ἄρα ἔτεσι νεώτερος Θάλεω, οὗ ἀκροατής, ἑταῖρος καὶ διάδοχος κέκληται. Πρῶτος δ' ὧν ἴσμεν Ἑλλήνων φιλοσόφων ἐθάῤῥησε « λόγον ἐξενεγκεῖν περὶ Φύσεως σ υ γ γ ε γ ρ α μ μ έ ν ο ν » (Θεμιστ. Λόγ. κς'.), οὗπερ βραχέα τινὰ λείψανα ἐς ἡμᾶς διεσώθη. Ἦν δὲ τὸ βιβλίον καὶ ἐπὶ Ἀπολλοδώρου σπάνιον (πρβλ. Διογ. Λ. Β, β'.), ὁ δὲ πολυμαθὴς Σιμπλίκιος οὐκέτι αὐτῷ περιέτυχε. διήνεγκε δὲ μάλιστα Ἀναξίμανδρος Θάλητος εἰς τρία μέρη τῆς φιλοσοφίας, τὰ ἐφεξῆς.

Πρῶτον μὲν γὰρ Ἀναξίμανδρος πρῶτος τὴν πρώτην τῶν ὄντων οὐσίαν, τεχνικώτερον ἀ ρ χ ὴ ν προςηγόρευσε καὶ ἐπιστημονικώτερον ὡρίσατο (Σιμπλ. εἰς Ἀριστ. φυσ. φύλ. ς'. (α) Ὠριγ. φιλοσ. Α, ς'.), Θάλητος, ὡς ἔοικεν, οὐδὲν ἄλλο εἰπόντος ἢ ὅτι πάντα ἐξ ὕδατός ἐστιν. Ἔφασκεν οὖν ἀρχὴν τῶν ὄντων καὶ στοιχεῖον εἶναι τὸ ἄ π ε ι ρ ο ν (β), ἀθάνατόν τε ὂν καὶ ἀνώλεθρον (γ)· ἐκ τούτου πάντα γίγνεσθαι, φθαρέντα δὲ εἰς ταὐτὸν αὖθις ἐπανέρχεσθαι, ὥςπεροῦν καὶ τὸ ἀξιολογώτατον ἀπόσπασμα ἐκ τοῦ συγγράμματος αὐτοῦ ἐπιμαρτυρεῖ οὑτωσὶ ἔχον· « Ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν ἐς ταῦτα γίνεσθαι κατὰ τὸ Χρεών· διδόναι γὰρ

(α) « Ἀναξίμανδρος ἀρχὴν εἴρηκε τῶν ὄντων τὸ ἄ π ε ι ρ ο ν, πρῶτος τοῦτο τοὔνομα κομίσας τῆς ἀρχῆς· » φύλ. λβ'. « Πρῶτος αὐτὸς ἀρχὴν ὀνομάσας τὸ ὑποκείμενον ».

(β) Σιμπλ. εἰς Ἀριστ. φυσ. φύλ. λβ'. « ἄπειρον. » Διογ. Λ. Β, ά.

(γ) Ἀριστ. φυσ. Γ, δ'. » Ἀθάνατον καὶ ἀνώλεθρον. Ὠριγ. φιλοσ. Α, ς'. « ταύτην τὴν ἀρχὴν ἀΐδιον εἶναι καὶ ἀγήρω ».

αὐτὰ τίσιν καὶ δίκην ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν.» (δ) Κατὰ γοῦν τοῦτο τὸ βαθὺ καὶ γενναῖον φθέγμα, ὅπερ λιγυφώνως πάνυ τὴν ῥοδοδάκτυλον τῆς φιλοσοφίας ἠῶ ἡμῖν ἀγγέλλει, πᾶν τὸ πέρας ἔχον, ὡρισμένον, αὐτοτελὲς, ζωὴ καὶ ἐνέργεια τὴν ἐν ἐκείνῃ τῇ πρωτογενεῖ οὐσίᾳ γαλήνιον καὶ ἐναρμόνιον τῶν ὄντων συνύπαρξιν ὡς ἔπος εἰπεῖν θροοῦν, ἐμποδὼν αὐτῇ γίγνεται καὶ δὴ καὶ ὥς πέρ τις ἔχθρα ἀμοιβαία ἢ ἁρπαγή τε καὶ ἀδικία φαίνεται. Διὸ καὶ τὸ ἰδίᾳ ὂν δίκην ὀφείλει διδόναι ἐπανιὸν αὖθις εἰς τὸ πρωτογενὲς στοιχεῖον, βαιὸν χρόνον γεγηθὸς ἐπὶ τῇ ἰδίᾳ ὑπάρξει.

Δεύτερον δὲ οὐ μόνον ἐν θεωρίᾳ ἁπλῶς, ἀλλὰ καὶ πρὸς αὐτά γε τὰ ἐν τῇ φύσει τὴν πρώτην τῶν ὄντων ἀρχὴν ἐμβριθέστερον Θάλητος ὁ Ἀναξίμανδρος συνενόησε. Θαλῆς μὲν γὰρ ὡρισμένον στοιχεῖον ἀρχὴν ἔθετο τῶν ὄντων, Ἀναξίμανδρος δὲ τὰ ὡρισμένα στοιχεῖα ὥσπερ τι δευτερεῦον ὑπολαμβάνων, ἀρχὴν τίθεται ὑπόστασίν τινα προτέραν τῆς τῶν στοιχείων ὑπάρξεως, πρώτην τινὰ οὐσίαν ἄποιον (Διογ. Λ. β, α.). Οἱ μὲν οὖν παλαιοὶ οὐχ' ὁμογνωμονοῦσιν ἀλλήλοις περὶ τοῦ ὅπως δεῖ τὴν παρ' Ἀναξιμάνδρῳ πρώτην τῶν ὄντων οὐσίαν συνιέναι (Σλέϊερμ. σελ. 175 κ.φ.ξ.) Ἐπεὶ μέντοι Ἀριστοτέλης διαῤῥήδην φησὶν (ε) Ἀναξίμανδρον εἰπεῖν ἐκ τοῦ ἑνὸς Ἀπείρου ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι καὶ κατά γε τοῦτο τὸ δόγμα τοῖς φυσικοῖς αὐτὸν ἀντιτίθησιν, οἵ περ τὰ στοιχεῖα μανώσει τε καὶ πυκνώσει τῆς

(δ) Σιμπλ. εἰς φυσ. φύλ. ς'.

(ε) Ἀριστοτ, Φυσικ. Α, δ', «Οἱ δ' ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας (ἤγουν τὸ θερμὸν καὶ ψυχρὸν) ἐκκρίνεσθαί φασιν, ὥςπερ Ἀναξίμανδρος.»

πρώτης οὐσίας γίγνεσθαι ἔφασκον, εἰκὸς ἂν εἴη ταύτην δὴ τὴν πρώτην οὐσίαν μηθὲν ἄλλο εἶναι ὑπολαβεῖν ἢ τὰς δυνάμει τῶν στοιχείων ἐναντιότητας, ἤτοι τὴν χημικὴν ἀδράνειαν ἢ τὴν ἔτι ἀχώριστον καὶ ἀόριστον αὐτῶν ἑνότητα. Ταῦτα δ' οὕτως ἔχειν δηλώσειεν ἄν, οἶμαι, καὶ ὅτι Ἀριστοτέλης ἐν τῷ δωδεκάτῳ βιβλίῳ τῶν μετὰ τὰ φυσικὰ (β', ἑ.) τὸ Ἀναξιμάνδρου μῖγμα ὡς « τοῦ δυνάμει ὄντος » παράδειγμα προφέρεται (ϛ). Ὅτι μὲν οὖν τὴν παρ' Ἀναξιμάνδρῳ πρώτην τῶν ὄντων ἀρχὴν ἤτοι τὸ ἄπειρον ὡς ὕλην δεῖ νοεῖν, ὡς δὲ δυναμικὴν ἀρχὴν οὐδαμῶς, φανερόν· καὶ γὰρ Ἀναξίμανδρος τοῖς ἄλλοις φυσικοῖς συγκατηρίθμηται. (Ἀριστοτέλης ἐν τῷ ᾱῳ τῶν φυσικῶν συγκαταλέγει αὐτὸν τοῖς φυσικοῖς, καὶ ἐν τῷ γῳ ὡσαύτως τοῖς φυσιολόγοις). Ἔνιοι δὲ τῶν μεταγενεστέρων οὐ πάνυ σαφῶς ἐκφράζονται, ἐν οἷς καὶ Διογένης ὁ Λαέρτιος (Β,ά.), λέγων· « Ἀναξίμανδρος ἔφασκεν ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα ἢ ὕδωρ ἢ ἄλλο τι ». Ἀλλὰ κατ' αὐτό τοῦτο, ὥσπερ Ἀριστοτέλης συχνάκις ὑπομιμνήσκει (ἔπιθι τὰ ἐμὰ ὑπομν. εἰς τὸ Αον βιβλίον τῶν μετὰ τὰ φυσ. κεφ. έ, 28) διαφέρουσι κυρίως οἱ Ἴωνες φυσιολόγοι τῶν Πυθαγορείων, ὅτι οὗτοι μὲν αὐτό γε τὸ ἄπειρον ἀρχὴν τῶν ὄν-

(ϛ « Ἐξ ὄντος γίγνεται πάντα, δυνάμει μέντοι ὄντος, ἐκ μὴ ὄντος δ' ἐνεργείᾳ. Καὶ τοῦτ' ἐστὶν Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου. » Πρβλ. Irenaeus contra haereses 11, 14: Anaximander hoc quod immensum est omnium initium subjecit, seminaliter habens in semet ipso omnium genesin. Ὅταν μὲν ἡ πρώτη οὐσία (ὡς ἡ παρ' Ἀναξιμένει) πυκνώσει καὶ ἀραιώσει ἄλλο τι γίγνηται, ἀνάγκη πᾶσα ἔχειν αὐτὴν ἤδη ποιότητά τινα ὡρισμένην. Οὐχ ὁμοίως μέντοι, ὅταν τὸ ἄλλο ἐκκρίσει ἐξ ἐκείνης προκύπτῃ. οὐδεμία γὰρ οὕτως ἀνάγκη τὴν πρώτην οὐσίαν ἐν ἑαυτῇ τὸ ἀποκριθὲν ἐνεργείᾳ περιλαμβάνειν, ἀλλὰ δυνάμει μόνον.

των εἶναι ἔφασκον, οἱ δ' Ἴωνες φυσιολόγοι ὑλικήν τιν' ὑπόστασιν ὑπεβάλοντο, τὴν τοῦ ἀπείρου ἰδιότητα αὐτῆς κατηγοροῦντες· τοιοῦτο δ' ἦν καὶ Ἀναξιμάνδρου τὸ δόγμα· τὴν πρώτην γὰρ οὐσίαν ἄπειρον λέγων, οὐθὲν ἄλλο ἐθέλει λέγειν ἢ δύναμίν τινα παραγωγὸν ἐς ἀεὶ ἀτελεύτητον (ὡς καὶ Πλούταρχος ἐν τῷ περὶ τῶν ἀρεσκ. τοῖς φιλ. Α, γ, δ, φησὶ « τὸ πρῶτον στοιχεῖον ἄπειρον, ἵνα ἡ γένεσις μηδὲν ἐλλείπῃ »).

Τέλος δὲ ἐκτίθησιν ὁ Ἀναξίμανδρος ὅπως τὰ ἐπὶ μέρος, τὰ πέρας ἔχοντα ἐξ ἐκείνης τῆς ἀπείρου ἀρχῆς προελήλυθε· πρῶτον μὲν οὖν φησιν ἐκ τῆς ἀρχεγόνου καὶ ἀποίου οὐσίας διὰ τὴν αὐτῇ ἐνοῦσαν κίνησιν τὴν ἀΐδιον (Σιμπλ. εἰς τὰ φυσ. Φύλλ. ς'.) τὰς πρώτας στοιχειώδεις ἐναντιότητας ἀποκριθῆναι, τὸ ψυχρὸν καὶ τὸ θερμόν· εἶτα δὲ ἐκ ταύτης, φησί, τῆς κυρίας ἐναντιότητος τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ (δῆλος δ' ἐστὶ φαντασιώδη τινὰ μεταρσιολογῶν, καὶ τὸ νηπιῶδες τῆς τότε φυσιολογίας ἡμῖν ὑπεμφαίνων) τὸν ἀληθῆ κόσμον παρῆχθαι (ζ). Ἀλλά γε τὸ ἐξ ἀρχῆς ὄν, τὸ Ἄπειρον ὑπέ-

(ζ) Πλούτ. Ἀρέσκ. Ε, ιθ'. « Ἀναξίμανδρος ἐν ὑγρῷ γεννηθῆναι τὰ πρῶτα ζῷα, φλοιοῖς περιεχόμενα ἀκανθώδεσι. Προβαινούσης δὲ τῆς ἡλικίας, ἀποβαίνειν ἐπὶ τὸ ξηρότερον καὶ περιῤῥηγνυμένου τοῦ φλοιοῦ ἐπ' ὀλίγον χρόνον μεταβιῶναι. » Πλούτ. παρ' Εὐσεβ. Προπ. Εὐαγ. « Ἔτι φησὶν ὅτι κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζώων ὁ ἄνθρωπος ἐγεννήθη, ἐκ τοῦ τὰ μὲν ἄλλα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἄν ποτε τοιοῦτον ὄντα διασωθῆναι ». Πλουτ. συμπόσ. Η, ή. σελ. 730. « Ἀεὶ οἱ τοῦ Ποσειδῶνος ἱερεῖς . . . ἰχθῦς οὐκ ἐσθίουσιν . . . Ἐκ τῆς ὑγρᾶς τὸν ἄνθρωπον οὐσίας φῦναι δόξαντες, ὡς καὶ Σύροι . . . Ἐπιεικέστερον Ἀναξιμάνδρου φιλοσοφοῦντες· οὐ γὰρ ἐν τοῖς αὐτοῖς ἐκεῖνος ἰχθῦς καὶ ἀνθρώπους, ἀλλ' ἐν ἰχθύσιν ἐγγενέσθαι τὸ πρῶτον ἀνθρώπους ἀποφαίνεται καὶ τραφέντας ὥσπερ οἱ παλαιοί, καὶ γενομένους ἱκανοὺς ἑαυτοῖς βοηθεῖν, ἐκβληθῆναι τηνικαῦτα καὶ γῆς λαβέσθαι. »

λαβεν ὁ Ἀναξίμανδρος οὐ μόνον πάσης γενέσεως αἴτιον εἶναι, ἀλλὰ καὶ πάσης φθορᾶς διὰ τὴν ἐνοῦσαν αὐτῷ κίνησιν τὴν ἀίδιον (η) Πᾶν δὲ τὸ γεγενημένον πάλιν αὖθις εἰς τὴν πρώτην ΑΠΕΙΡΟΝ φύσιν ὑποδύεσθαι ἵνα τίσιν καὶ δίκην δῷ τῆς ἀδικίας τοῦ χρόνου τινὰ αὐθύπαρκτον γεγονέναι ὥστ' ἐν τῷ Σύμπαντι ἀτελεύτητόν τινα ἀνακύκλησιν καὶ περιοδικὴν γενέσεώς τε ἐναλλὰξ καὶ φθορᾶς ἐπικρατεῖν. Τοιαύτην δέ τινα κατὰ περιόδους γιγνομένην γενέσεώς τε καὶ φθορᾶς ἐναλλαγὴν ἅμα δὲ καὶ ἀίδιον κίνησιν δοξάζων ὁ Ἀναξίμανδρος, πρόδρομος φαίνεται τοῦ Ἡρακλείτου. Τὸ δέ γε περὶ τῶν ἀπείρων κόσμων δόγμα ὅ τινες τῷ Ἀναξιμάνδρῳ ἀποδιδόασιν εἰς οὐθὲν ἄλλο τοῦ φιλοσόφου φθέγμα ἀνοιστέον ἄν τις νοήσειεν ἢ εἰς ταύτην τὴν ἀτελεύτητον διαδοχὴν φθειρομένων τε καὶ αὖθις γιγνομένων κόσμων.

§. Ζ'. ΑΝΑΞΙΜΕΝΗΣ.

Ἀναξιμάνδρῳ οὖν ἕπεται τῷ χρόνῳ ὁ συμπολίτης αὐτοῦ Ἀναξιμένης ὁ Εὐρυστράτου. Λέγεται δὲ παρὰ πάντων σχεδὸν τῶν πάλαι ἀκουστὴς, ἑταῖρος καὶ διάδοχος γενέσθαι Ἀναξιμάνδρου. Ἀπολλόδωρος δὲ παρὰ Διογένει τῷ Λαερτίῳ (β, γ.) φησὶν αὐτὸν περὶ τὴν Σάρδεων ἅλωσιν τελευτῆσαι· τοῦτο δὲ εὖ ἂν ἁρμόσειεν εἰς τὴν δευτέραν πολιορκίαν τῆς πόλεως ταύτης ἀναφερό-

(η) Σιμπλίκ. εἰς Φυσικ. φύλ. ς'. «Οὗτος οὐκ ἀλλοιουμένου τοῦ στοιχείου τὴν γένεσιν ποιεῖ, ἀλλ' ἀποκρινομένων τῶν ἐναντίων διὰ τῆς ἀϊδίου κινήσεως». Ὁ αὐτὸς αὐτόθι φύλ. Θϐ. « Ἄπειρόν τινα φύσιν ἀρχὴν ἔθετο, ἧς τὴν ἀίδιον κίνησιν εἶναι ἔλεγεν αἰτίαν τῆς τῶν ὄντων γενέσεως ».

μενον (α), τὴν ἐπὶ Δαρείου, ἐν ἔτει φ' π. Χ. γενομένην.
Ἡ δὲ θεωρία αὐτοῦ, ἣν ἐν ἰδίῳ συγγράμματι κατέλιπεν οὐθὲν ἄλλο, ὥς γ' ἐν συνόλῳ, ἦν ἢ συνδυασμός τις τῶν φιλοσοφημάτων ἀμφοτέρων τῶν πρὸ αὐτοῦ ἀκμασάντων φυσιολόγων.

Α'. Καθόλου μὲν περὶ τῆς πρώτης τῶν ὄντων ἀρχῆς ὁ Ἀναξιμένης ἀποφαινόμενος τῇ Ἀναξιμάνδρου θεωρίᾳ προστίθεται, τὴν πρώτην οὐσίαν ἄπειρον, πάντα περιέχον καὶ ἀεὶ κινούμενον ὑπολαμβάνων, ἅπερ δῆλον ὅτι παρὰ τοῦ πρότερον φιλοσοφήσαντος παρείληφεν.

Β'. Ταύτην δὲ τὴν ἀρχὴν πρὸς τὰ ἐν τῇ φύσει γιγνόμενα ἀναφέρων ἐγγὺς αὖθις γίγνεται τῶν τῷ Θάλητι δεδογμένων· Καὶ γάρ, ἀντ' ἀορίστου τινὸς οὐσίας στοιχεῖον, ὥσπερ κἀκεῖνος, ὡρισμένον ἀρχὴν καὶ ὑπόστασιν οὖσαν τῶν ὄντων τίθεται· ταύτην δ' εἶναι τὸν ΑΕΡΑ. Ἔν τινι δ' ἀποσπάσματι, ὃ καὶ μόνον γνήσιον τῆς συγγραφῆς αὐτοῦ ἐς ἡμᾶς περιγέγονε, τοιόνδε τι γνωματεύει, «οἷον ἡ ψυχὴ ἡ ἡμετέρα ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει» (β). Καὶ πιθανῶς ἄν τις εἴποι ὅτι Ἀναξιμένης, ἅτε δὴ τὸν ἀέρα καὶ τὴν πνοὴν (γ) λυσιτελέστατα τῷ τῶν ζώων βίῳ εἶναι συνιδών, καὶ τῶν ἄλλων ὄντων ἁπάντων ἀρχὴν ζωτικὴν ὡσαύτως τὸν ἀέρα εἶναι ἐτόπασεν. Ὅτι δ' Ἀναξιμένης ἀέρα λέγων, ἄλλο τι παρὰ τὸν περιέχοντα ἡμᾶς, ἤτοι λεπτοφυέστερον καὶ ταῖς αἰσθήσεσιν ἄληπτον στοιχεῖον ἐν νῷ εἶχε, καθάπερ Βρανδίσιος (Α, 143) καὶ Ῥιττέριος

(α) Ἡ γὰρ πρώτη συνέβη ἐπὶ Κύρου ἐν ἔτει φμς'. π. Χ.

(β.) Πλούτ. περὶ τῶν ἀρεσκ. τοῖς φιλ. Α, Γ, ΣΤ. Ἰωάν. Στοβ. Ἐκλογ. Α. σελ. 296.

(γ.) animus = ἄνεμος.

(Α, 217) ὑπολαμβάνουσιν, οὐ πάνυ μοι δῆλον ἔοικεν εἶναι.

Γ'. Τέλος δὲ Ἀναξιμένης σαφέστερον ἐπεξελθεῖν ἀνεβάλετο, ᾧ τινί ποτε τρόπῳ ὁ κόσμος ἐξ ἐκείνης τῆς πρώτης οὐσίας προῆλθεν. Αἰτιολογεῖ δὲ τὴν γένεσιν τοῦ Κόσμου, ὥςπερ Ἀναξίμανδρος, φάσκων ὅτι ἡ πρώτη οὐσία, ὡς ἀρχὴ ζωῆς τῆς ἐν τῷ Παντὶ, ἀεὶ κινουμένη τε εἴη καὶ ἑαυτὴν μεταβάλλουσα· γίγνεσθαι δέ φησιν ἐκ τοῦ ὑλικοῦ ἑνὸς τὰ ἄλλα μανότητι καὶ πυκνότητι· ἀραιούμενον μὲν γὰρ τὸν ἀέρα Πῦρ γίγνεσθαι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, εἶτα ἔτι μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων. (Σιμπλ. εἰς Φυσ. φύλλ. λϐ'.).

Συγκεφαλαιοῦντι δὲ τὰ μέχρι τοῦδε εἰρημένα δῆλόν που γένοιτο ἄν τοὺς τρεῖς πρώτους Ἴωνας φυσιολόγους, α^{ον} μὲν τὴν ὑπόστασιν ἤτοι τὴν πρώτην τῶν ὄντων οὐσίαν ἀναζητῆσαι· ϐ^{ον} δὲ τὴν ὑπόστασιν ταύτην ἔνυλόν τιν' οὐσίαν εἰπεῖν, ἥν γε ἕκαστος διαφόρως ὡρίσαντο· καὶ γ^{ον} κατὰ τὴν φύσιν ταύτης τῆς πρωτογενοῦς οὐσίας τὰ πρῶτα εἴδη καὶ τὰς ὑποστατικὰς τῶν ἐν τῇ φύσει ὄντων παραλλαγὰς ὁρίσασθαι.

§. Η'. *Μετάβασις εἰς τὰ συστήματα τὰ ζητητικὰ τῆς αἰτίας.*

Ἐπεὶ οὖν οἱ παλαιότατοι τῶν φιλοσόφων τὴν ἐσχάτην τῶν ὄντων ὕλην ἀναδιφῆσαι κύριον ἔργον προεβάλοντο, ἐδέησε πάντως, τῆς ἀνθρωπικῆς διανοίας ὁσημέραι βρῖθος μεῖζον λαμβανούσης, καὶ τῶν ἐξ ἀρχῆς αἰτίων εἰς ἐπίσκεψιν ἐλθεῖν, ἐξ ὧν γε τὰ ὄντα γ ί γ ν ε-

ται τε καὶ ἀπόλλυται. Πείρᾳ γὰρ φανερὸν ὅτι οὑτινοσοῦν πράγματος εἰς γένεσιν πρὸς τῇ ὕλῃ ἐπάναγκές ἐστι καὶ τὸ αἴτιον τὸ κινοῦν, ἤτοι ὅπως ἡ γένεσίς ἐστι τῶν ὄντων δυνατὴ ζήτημα προέθεντο (α). Καὶ εἴς γε τὴν λύσιν τοῦ προβλήματος ἀνήρτησαν καὶ τὸ ἀκριβέστερον ὁρίσασθαι τὴν τῶν ὄντων ἀρχὴν τὴν ὑλικήν. Διπλῇ δὲ μεθόδῳ ἐξῆν τοῖς φιλοσοφοῦσι πρὸς λύσιν τοῦ προβλήματος χρήσασθαι, ἤτοι δυναμικῇ ἢ μηχανικῇ. Οἱ μὲν οὖν μηχανικῶς ἐπιχειροῦντες τῶν ἐν τῇ φύσει γιγνομένων λόγον ἀποδιδόναι οὔ φασιν εἶναι τῶν ὄντων γένεσιν τοπαράπαν, ἤγουν ἀληθῆ κατὰ ποιὸν τῆς ὕλης μεταβολήν, ὡς λογικῶς ἀδύνατον ὄν. Ὅλως γὰρ ἀκατάληπτόν φασιν Ἐμπεδοκλῆς τε καὶ Ἀναξαγόρας εἶναι τὸ ἐκ μηδενός τι γίγνεσθαι καὶ εἰς μηδὲν αὖθις φθείρεσθαι. Διὸ δὴ καὶ οἱ ταύτην τὴν περὶ φύσεως θεωρίαν ἀσπαζόμενοι πᾶσαν γένεσίν φασιν, ἁπλῆν εἶναι τόπου μεταβολὴν ἤτοι μεταβαλλομένην μῖξιν τῶν πρώτων καὶ ἀμεταβλήτων τῆς ὕλης μορίων. Ἐπάναγκες μέν τοι αὐτοῖς ἦν τῇ ὕλῃ δύναμίν τινα κινητικὴν προσθεῖναι, δι' ἧς ἂν ἡ μεταβολὴ ἐκείνη τῷ μίγματι προσγένοιτο. Ὅσοι μέν τοι δυναμικῶς τὰ περὶ τὴν φύσιν ἀνεβάλοντο ἀκριβοῦν γένεσιν ὡς ἀληθῶς τῶν ὄντων

(α) « Προϊόντων δ' οὕτως τῶν [πρώτων φιλοσοφησάντων], αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν· εἰ γὰρ ὅτι μάλιστα πᾶσα φθορὰ καὶ γένεσις ἔκ τινος ἑνὸς ἢ καὶ πλειόνων ἐστὶν, διὰ τί τοῦτο συμβαίνει καὶ τί τὸ αἴτιον; οὐ γὰρ δὴ τό γε ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό· λέγω δ' οἷον οὔτε τὸ ξύλον οὔτε ὁ χαλκὸς αἴτιος τοῦ μεταβάλλειν ἑκάτερον αὐτῶν, οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην ὁ δὲ χαλκὸς ἀνδριάντα, ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς αἴτιον. Τὸ δὲ τοῦτο ζητεῖν ἐστὶ τὸ τὴν ἑτέραν ἀρχὴν ζητεῖν, ὡς ἂν ἡμεῖς φαίημεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως.» Ἀριστ. τῶν μετὰ τὰ φυσ. Α. Γ'.

εἶναι ἔφασκον, οὐ χωρὶς οὔσας ὕλας τινὰς ἀμεταβλήτους, ἀλλὰ δύναμίν τινα φυσικὴν, ὕλην παράγουσάν τε καὶ μεταβάλλουσαν, ὡς τὸ ἐξ ἀρχῆς ὂν καὶ πρῶτον ὑποτιθέμενοι. Διὸ ὕλην καὶ τὸ κινοῦν οὐδαμῶς ἀλλήλων χωρίζοντες, τὰ ἐν τῇ φύσει ἔνυλα, μεταβολὴν μὲν πάσχοντα, αὐτὰ δὲ καθ' αὑτὰ ὑποστάσεως ἄμοιρα, τῆς γ' ἐξ ἀρχῆς καὶ πανταχῇ διηκούσης δυνάμεως οἷον ἐκφάνσεις εἶναι ἡγοῦντο. Τὴν μὲν οὖν δυναμικὴν τῆς φύσεως θεωρίαν Ἡράκλειτος ἦν ὁ εἰσηγησάμενος, τὴν δὲ μηχανικὴν κατὰ σμικρὸν ἀποτελεσθεῖσαν Ἐμπεδοκλῆς τε καὶ Ἀναξαγόρας καὶ Δημόκριτος.

§. Θ'. ΗΡΑΚΛΕΙΤΟΣ.

Ἡράκλειτος Βλύσωνος, ἤ, ὥς τινες, Ἡρακίοντος Ἐφέσιος, ὃς ἤκμαζε περὶ τὸ φ' ἔτος π.Χ. Ἦν ἄρα νεώτερος Πυθαγόρου καὶ Ξενοφάνους, ὧν ἐν τῇ ἑαυτοῦ συγγραφῇ καὶ μνείαν ἐποιήσατο. Τὰ δὲ περὶ τὸν βίον αὐτοῦ οὐ πάνυ ἐξηκριβωμένα ἡμῖν παραδέδοται. Ἔστι μὲν οὖν παρὰ τῶν πάλαι λόγος διατεθρυλλημένος, σκυθρωπὸν αὐτὸν τὸ ἦθος γενέσθαι καὶ μελαγχολικὸν (α) ὑπερο-

(α) Διογ. Λ. Θ. ς'. ὑπὸ μελαγχολίας. Ὠριγ. φιλ. Α. δ'. τὰ πάντα ἔκλαιεν,— ἐλεῶν τὸν τῶν θνητῶν βίον Juv. Sat. X, 28: de sapientibus alter ridebat, quotiens de limine moverat unum protuberatque pedem flebat contrarius auctor. Καὶ ὁ Σχολ. αὐτόθι· duo philosophi Democritus et Heraclitus erant, quorum Democritus actus hominum omnes ridebat, Heraclitus vero flebat. Sen. de ir. 11, 10 Heraclitus quotiens prodierat, flebat; miserebatur omnium, qui sibi laeti felicesque occurrebant. Democritum contra ajunt nunquam sine risu in publico fuisse. Ὁ αὐτὸς de tranq. anim. 15.

πτικόν τε καὶ ἀνθρώπων κατοφρονητικὸν (β)· ἴσως δ' ἄν τις οὐκ ἀπεικότως ὑπολάβοι ὅτι ταῦτα πάντα ἐξ αὐτοῦ τοῦ φιλοσοφεῖν καί τινων ἰδίᾳ ῥήσεων τἀνδρὸς μᾶλλον οἱ ἔπειτα συνήκασαν ἢ βεβαίᾳ τινὶ περὶ αὐτοῦ παραδόσει ἑπόμενοι. Καὶ πολλαχοῦ δὲ τοῦ συγγράμματος αὐτοῦ δικαίως ἂν δόξειεν ἀριστοκρατικὸς τὸ φρόνημα γενέσθαι καὶ τοῦ δήμου ἀνυποστόλως πάνυ καταφρονητικός (γ)· φέρεται δὲ καὶ ἄλλα τινὰ ἐκ τοῦ συγγράμματος αὐτοῦ φορτικώτερον εἰρημένα καὶ φιλοσοφικῆς ἐπιεικείας πάμπαν ἀλλότρια, ἐν οἷς καὶ τὸν Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως. (δ) Μάλιστα δὲ περὶ τῶν πρώην πεφιλοσοφηκότων πολλὰ ἔλεγε πικρά τε καὶ ἀλαζονικά· οἷόν που καὶ τὸ ἐφεξῆς ἀπόφθεγμα· « Πουλυμαθηίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον. » Εἶναι γὰρ ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην ἥτ' οἴη κυβερνήσει πάντα διὰ πάντων (Διογ. Λ. Θ, ά.) (ε). Τἀναν-

(β) Διογ. Λαέρ. Θ, Α· « μεγαλόφρων γέγονε παρ' ὁντινοῦν καὶ ὑπερόπτης. » Θ, κή. « ὑπεροπτικὸς τῶν μειζόνων » Τατιαν. λόγ. πρὸς Ἑλλ. γ'. «διὰ τὸ αὐτοδίδακτον εἶναι καὶ ὑπερήφανον.» Τίμων παρὰ Διογ. τῷ Λ. Θ, ς'. «Ὀχλολοίδορος.» Πρβλ. καὶ τὸ ἀπόσπασμα παρ' Ἀριστοτέλει ἐν ἠθικοῖς Νικομαχείοις, Κ, ε'. « Ἡράκλειτός φησιν ὄνον σύρματ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν. » Καὶ ἀπόσπασμα Ε'. παρὰ Σλεϊερμάχειρι· «Κύνες γὰρ καὶ βαΰζουσιν, ὃν ἂν μὴ γιγνώσκωσιν.» Σλεϊερμάχειρ φησὶ τὸ φθέγμα τοῦτο ἀναφορὰν πάντως ἔχειν εἰς τὴν καινὴν τοῦ φιλοσόφου διδασκαλίαν, ἣν διὰ φθόνον ἢ μίσος ὥςπερ τι τῶν ἀλλοτρίων εἰώθασι καταπολεμεῖν.

(γ) Διογ. Λ. Θ, β'.

(δ) Δ. Λ. Θ, ά.

(ε) Καὶ αὖθις περὶ Πυθαγόρου Παρὰ Δ. Λ. Η, ς'. « Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων, καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφάς, ἐποίησεν ἑωυτοῦ σοφίην, πουλυμαθηίην, κακοτεχνίην.»

τία δὲ πρὸς τοὺς πολυμαθεῖς ἐκείνους ἐπεδείκνυεν ἑαυτὸν αὐτοδίδακτον γενόμενον. Ἔφασκε γὰρ νέος ὢν μηδὲν εἰδέναι, τέλειος μέντοι γενόμενος, πάντ' ἐγνωκέναι. Ἤκουσέ τ' οὐδενὸς, ἀλλ' ἑωϋτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑωϋτοῦ. [Δ. Λ. Θ, έ. πρβλ. καὶ ἀπόσπασμα ογ'. « Ἐδιζησάμην ἐμαυτόν.»] Διὸ δὴ καὶ τὰ ἴδια δόγματα οὕτως ἑαυτῷ πιστεύων ἐφθέγγετο, ὥστε Ἀριστοτέλη ἐν ἠθικοῖς Νικομαχείοις (ζ, έ.) εἰπεῖν· « ἔνιοι πιστεύουσιν οὐδὲν ἧττον οἷς δοξάζουσιν, ἢ ἕτεροι οἷς ἐπίστανται· δηλοῖ δ' Ἡράκλειτος. »

Κατέλιπε δὲ τὴν φιλοσοφικὴν αὐτοῦ θεωρίαν ὁ Ἡράκλειτος ἔν τινι συγγράμματι, ὅπερ παρὰ τοῖς πάλαι μεγάλως ἐθαυμάζετο. Καὶ μνημονεύεται μὲν πολλαχῶς, ἀρχῆθεν δὲ φαίνεται ἐπιγραφὴν « περὶ φύσεως » ἐσχηκέναι (ς)· πολὺς δ' ἦν λόγος καὶ περὶ τῆς σκοτεινότητος αὐτοῦ (ζ), παρ' ὃ καὶ Ἡράκλειτος ὁ σκοτεινὸς ἐπωνομάσθη. (καὶ κατὰ πρῶτον παρὰ ψευδοαριστοτ. ἐν τῷ περὶ Κόσμου έ.) Τηνάλλως δὲ καὶ πάνυ κενολόγως ἔφασάν τινες τῶν ὕστερον συγγραφέων, ἐπίτηδες αὐτὸν τὸ βιβλίον ἀσαφέστερον συγγράψαι, « ὅπως οἱ δυνάμενοι προςίοιεν αὐτῷ καὶ μὴ ἐκ τοῦ δημώδους εὐκαταφρόνητον εἴη » (Διογ. Λ. Θ. έ.). Δόξειε δ' ἄν, ὡς ἐγῷμαι, ἀληθέστερον τὴν Ἡρακλείτου ἀσάφειαν ἐκ τῆς ἀτεχνίας προελθεῖν τῆς τηνικαῦτα περὶ τὴν καταλογάδην συγγραφὴν, ἢ μάλιστα κατὰ τὴν τῶν λέξεων σύνταξιν ἔτι πάνυ ἀνεξέργαστος ἦν· διὸ καὶ Ἀριστοτέλης ἐν

(ς) Διογ. Λ. Θ, έ.

(ζ) " Τοῖς δ' ἔνι κοκκυστὴς ὀχλολοίδορος Ἡράκλειτος αἰνικτὴς ἀνόρουσε. ,, Τίμων παρὰ Διογ. τῷ Λ. Θ, έ.

ῥητορικῇ φησι (Γ, έ.) «τὰ Ἡρακλείτου διαστίξαι ἔργον, διὰ τὸ ἄδηλον εἶναι, ποτέρῳ πρόςκειται, τῷ ὕστερον ἢ τῷ πρότερον.» Πρὸς δὲ τούτοις ὁ πάλαι πεζὸς λόγος μόγις ἤδη τῆς ποιήσεως ἐκλυόμενος, καὶ διαλεκτικῆς εὐστροφίας ἄμοιρος ἔτι ὤν, ἐπὶ τῷ εἰκονικώτερον, μυθικώτερον καὶ γνωματευτικώτερον ἀπέκλινεν· ἔνθεν καὶ ἐν τῷ συγγράμματι τῷ Ἡρακλείτου πολλὴ μὲν ἡ δι' εἰκόνων λέξις ὑπῆρχε, πολλαὶ δὲ καί πως φορτικαὶ αἱ παραβολαὶ, οὐκ ὀλίγα δὲ καὶ τὰ ἀποφθέγματα πολλῆς δυνάμεως μετέχοντα. Λογιστέον δ' ἐν τούτοις καὶ τὴν περὶ τὸ φιλοσοφεῖν ἰδιάζουσαν τοῦ Ἡρακλείτου φύσιν, ἤτοι ἣν εἶχεν ἕξιν τὰ ἑαυτοῦ διανοήματα ἐν βάθει ἀδιοράτῳ κεκαλυμμένα διεξιέναι. Αὕτη τοίνυν ἡ ψυχικὴ τοῦ ἀνδρὸς διάθεσις ἀπειργάσατο τὸν λόγον αὐτοῦ διακεκομμένον, ἀποφθεγματικὸν καὶ μαντικῆς τινος σεμνότητος οὐκ ἀλλότριον, ὃς τούτου γε ἕνεκα ὑψηλός τε καὶ λαμπρὸς ἐνίοτε καθίσταται (θ). Ὡς δ' ἄν τις ἀληθεῖ λόγῳ χρήσαιτο, πάντων τῶν πρὸ Σωκράτους φιλοσόφων Ἡράκλειτος βαθυνούστατός τε φαίνεται καὶ δαιμονιώτατος γεγονέναι. Φασὶ δὲ καὶ τὸν Σωκράτην Εὐριπίδι περὶ τοῦ συγγράμματος τοῦ Ἡρακλείτου τάδε εἰπεῖν· «ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ.» (Διογ. Λ. Β, κβ'. πρβλ. καὶ θ, ιβ'.). Ἡ δ' Ἡρακλείτου φιλοσοφία διὰ πολλῶν ὕστερον ἑκατονταετηρίδων διετέλεσεν ἰσχύουσα, μὴ ὅτι γε ἐπὶ Πλάτωνος μόνον, ὃς ἐν Θεαιτήτῳ (σελ. ρπ'. κ.φ.ξ.) τῶν Ἡρακλητείων καθάπτεται, ἅτε δὴ ἐπὶ τὸ ἀμεθοδώτερον καὶ ἐνθουσιαστικώτερον ἀποκλι-

(θ) Διογ. Λ. Θ, ζ'.

νάντων (ι), ἀλλ' ἔτι καὶ ἱκανὸν χρόνον μετὰ Χριστόν. Μάλιστα δὲ οἱ Στωϊκοὶ, οἵ περ τὴν ἑαυτῶν περὶ φύσεως θεωρίαν σχεδόν τι πᾶσαν ἐκ τῆς Ἡρακλείτου ἠρύσαντο, πλείστην ἐπιμέλειαν ἐποιήσαντο τὴν φιλοσοφίαν ἐκείνην αὖθις ἐπανορθῶσαι καὶ ἔτι μᾶλλον τελειῶσαι· ἔνιοι δ' αὐτῶν ὥςπερ Κλεάνθης καὶ Σφαῖρος (Διογ. Λ. Θ. ιέ.) καὶ ἑρμηνευτικὰ ὑπομνήματα εἰς τὸ σύγγραμμα αὐτοῦ συνέγραψαν.

Τὰ δὲ ἀποσπάσματα τοῦ συγγράμματος τὰ ἐς ἡμᾶς διασωθέντα συνέλεξε τὸ πρῶτον ὁ Σλεϊερμάχειρ ἔν τινι διατριβῇ ἐπιγεγραμμένῃ « Ἡράκλειτος ὁ σκοτεινὸς ὁ Ἐφέσιος, πρὸς τὰ ἀποσπάσματα τοῦ ἰδίου συγγράμματος καὶ τὰς μαρτυρίας τῶν παλαιῶν ἀπαρτισθεὶς [ἐν τῷ Μουσείῳ τῆς ἀρχαιολογικῆς ἐπιστήμης ὑπὸ Οὐολφίου καὶ Βουτμάννου ἐν ἔτει ᾳωή. καὶ τῶν ἁπάντων τοῦ Σλεϊερμάχειρος, Τόμ. Γ'. 6. σελ. 1 —146]. Ἀλλ' ἡ συλλογὴ αὕτη ἐξ ογ' ἀποσπασμάτων συγκειμένη, οὐ πάντῃ ὁλοσχερής ἐστιν. Εἰς συμπλήρωσιν δ' αὐτῆς λυσιτελῆ ἐστι τὰ Βερνάϋος Heraclitea [Part. 1 1848.], καὶ αἱ « Μελέται περὶ Ἡρακλείτου » [ἐν τῷ Ῥηνείῳ Μουσείῳ. Ζ'. ᾳων'. σελ. 90, κ.φ.ξ. Θ'. ᾳωνδ'. σελ. 241 κ.φ.ξ.] καὶ Epistola Critica εἰς Βουνσενίου Ἱππόλυτον [Β. ᾳωνγ'. σελ. 649, κ.φ.ξ.]. Ἀξιολογώτατον δέ ἐστι τὸ Λασσάλου πόνημα « Ἡ φιλοσοφία Ἡρακλείτου τοῦ σκοτεινοῦ. » [ἐν Βερολίνῳ ᾳωνή.]

(ι) Οὗτοι γὰρ λιπαρῶς ἐκείνου τοῦ φθέγματος ἐχόμενοι, ὅτι πάντα χωρεῖ οὐθέν τε ἔμπεδον μένει δίκην ποταμοῦ ἀεὶ ῥέοντος, ἐκτόπως καὶ τόδε ἐπορίσαντο, ὡς οὐδεμία καθ' ἑτερότητα τῶν ὄντων ἐπιστήμη γένοιτ' ἂν, καθάπερ καὶ Ἀριστοτέλης ἐν τετάρτῳ τῶν μετὰ τὰ φυσικὰ φησὶν αὐτοὺς δοξάζειν (Κεφ. Ε, κέ.) " Περὶ τὸ πάντῃ πάντως μεταβάλλον οὐκ ἐνδέχεσθαι ἀληθεύειν. "

Α. Ἡ παρ' Ἡρακλείτῳ ἀρχὴ τῆς γενέσεως.

Ὡς τῆς Ἡρακλείτου φιλοσοφίας ἴδιον καὶ οὐσιῶδες δόγμα ὑπὸ τῶν παλαιῶν συχνάκις φέρεται τόδε· ὅτι τὸ πῦρ ἐστι τῶν ὄντων ἁπάντων ἀρχή. Ὥςπερ Θαλῆς μὲν τὸ ὕδωρ, Ἀναξιμένης δὲ τὸν ἀέρα, οὕτως Ἡράκλειτος ὁ Ἐφέσιος, φησὶν Ἀριστοτέλης ἐν τῷ αψ τῶν μετὰ τὰ φυσικὰ (Γ΄.), τὸ πῦρ ἀρχὴν πάντων τῶν ὄντων εἶναι ἔφη. Εἰ μὲν οὖν τις οὕτω τὰ τοῦ Ἡρακλείτου ἐννοήσειεν, εἰκότως ἂν αὐτὸν τῇ τῶν παλαιτέρων Ἰώνων χορείᾳ συγκαταλέξειεν. Πλὴν τοῦτο ἴσον ἂν εἴη τῷ παρανοῆσαι ὅλως τὴν Ἡρακλείτου φιλοσοφίαν. Καὶ γὰρ ὡςαύτως παρὰ πάντων ὁ φιλόσοφος ὁμολογεῖται καὶ τόδε τὸ δόγμα ἀποφηνάμενος ὅτι τὰ πάντα οἷον ἐν ῥοῇ διηνεκεῖ ἐστι, πάντα χωρεῖ καὶ οὐδὲν μένει, ἠρεμίαν τε καὶ στάσιν ἐκ τῶν ὅλων ἀναιρῶν. Εἰ μὲν οὖν ταῦθ' οὕτως ἔχοι, πῶς ἄν τις εὐλόγως Ἡράκλειτον ὑπολάβοι τὸ πῦρ ὡς οὐσίαν τῶν ὄντων παραμόνιμον νοῆσαι, καθάπερ καὶ οἱ παλαιότεροι τῶν φυσιολόγων, πάντα φάσκοντες ἐξ ὕδατός τε καὶ ἀέρος γίγνεσθαι; (Διογ. Λ. Θ, ζ.) Ἀλλ' εἰ μὲν τὰ πάντα ἀεί τι γιγνόμενον ἦν καὶ πάλιν ἀπολλύμενον, ἐχρῆν πάντως καὶ τῷ πυρὶ ταὐτόν που συμβαίνειν· καὶ γὰρ τοῦτό ἐστιν ὃ Ἡράκλειτόν φασι δοξάσαι ἐκ πυρὸς τὰ πάντα ἀϊδίως γίγνεσθαι εἰπόντα καὶ εἰς πῦρ πάντα αὖθις τελευτᾷν· τούτου γὰρ κατασβεννυμένου, κοσμοποιεῖσθαι τὰ πάντα· πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον εἰς ἑαυτὸ συστελλόμενον γῆν γίγνεσθαι· ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς φύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίγνεσθαι καὶ οὕτω πάλιν εἰς τὴν πρώτην φύσιν τοῦ πυρὸς ἐπανιέναι. Ἐςιν

οὖν παρ' Ἡρακλείτῳ τὸ ἐξ ἀρχῆς καὶ πρῶτον, ἐξ οὗ γε τὰ λοιπὰ, οὐ τὸ πῦρ, ἀλλ' ἡ ἔννοια τῆς ἀϊδίου γενέσεως. Ἡγητέον μέντοι τὸ καθ' Ἡράκλειτον πῦρ ἀρχήν πως εἶναι τῶν ὄντων, καθ' ὅσον περ στοιχεῖόν τι τυγχάνει ὂν, ὅπερ τὴν πρώτην δημιουργὸν τῆς τῶν ὄντων γενέσεως δύναμιν ἐν ἀδιαλείπτῳ μεταβολῇ ὑπεμφαίνει. Τοιγαροῦν πρῶτος πάντων Ἡράκλειτος ἦν ὁ ὑπόστασίν τινα θέμενος, δύναμιν πρώτην κυρίως καὶ αἰτίαν τῆς κινήσεως (§ δ'.), ἤτοι δυναμικὴν τῶν ὄντων ἀρχὴν οὖσαν. Ἐξέθετο δ' Ἡράκλειτος τὴν τοῦ γίγνεσθαι ἀρχὴν, πάνυ αἰνιγματωδῶς ἀλληγορῶν· « Ποταμοῖς τοῖς αὐτοῖς (φησὶν) ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν » (ἀπόσπασμα οϐ'.)· ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ » (ἀπόσπ. κ'.), οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς « σκίδνησι καὶ πάλιν συνάγει, » μᾶλλον δὲ οὐδὲ πάλιν, οὐδὲ ὕστερον, ἀλλ' ἅμα « συνίσταται καὶ ἀπολείπει, πρόσεισι καὶ ἄπεισιν. » Ὅθεν οὐδ' εἰς τὸ εἶναι περαίνει τὸ γιγνόμενον αὐτῆς, τῷ μηδέποτε λήγειν μηδ' ἵστασθαι τὴν γένεσιν—, καὶ πάλιν, « Ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν, ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ. » Ἀλλὰ καὶ Πλάτων, ὧν ἴσμεν μαρτύρων ὁ πρεσβύτατος ὡς κυριώτατον τῆς Ἡρακλείτου φιλοσοφίας τόδε τὸ δόγμα ἡμῖν παραδίδωσιν ὅτι τὰ πάντα οἷα γε ῥοὴ ποταμοῦ ῥεῖ, (ια) πάντα οἴχεται, οὐδέν τε ἵσταται (ιϐ), οὐδὲν δ' οὐδέποτέ

(ια) Ἐν Θεαιτήτῳ σελ. 160.

(ιϐ) Ἐν Κρατύλῳ σελίδι 401. « Σχεδόν τι αὖ οὗτοι καθ' Ἡράκλειτον ἂν ἡγοῖντο τὰ ὄντα ἰέναι τε πάντα καὶ μένειν οὐδέν. » σελ. 402. « Λέ-

τι ὄντως ἐστὶν, ἀλλὰ πᾶν ἀεὶ γίγνεται μόνον (ιγ). Ταύτῃ τοι οὖν ἔδει τὸν Ἡράκλειτον μηδεμίαν, ὡς εἰκὸς, πίστιν τῇ διὰ τῶν αἰσθήσεων ἀντιλήψει ἀποδιδόναι, ὡς παραμόνιμον τῶν καθ' ἕκαστον ὄντων τὴν ὕπαρξιν ἡμῖν ἐμφαινούσῃ. Τὰς δ' αὐτὰς αἰσθήσεις, ὅρασίν τε καὶ ἀκοὴν, ἅς περ Παρμενίδης ὁ Ἐλεατικὸς φιλόσοφος ψευδεῖς ἤλεγχεν, ὡς ψευδῆ τῶν ὄντων γένεσιν ἡμῖν εἰδωλοποιούσας, ἐγκαλεῖ ὁ Ἡράκλειτος τῆς ὅλως ἀντιθέτου ἀπάτης, ὡς τὴν ἀεὶ μεταῤῥέουσαν τῶν ὄντων γένεσιν εἰς ὕπαρξιν ἔμμονον μετασχηματιζούσας « Κακοὶ μάρτυρες ἀνθρώποισι (φησὶν) ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων. »

Ἀλλ' ὁ Ἡράκλειτος τῇ διὰ τῶν αἰσθήσεων ἀντιλήψει οὔτε ἀλήθειαν, οὔτε πίστιν τινὰ τὸ παράπαν ἀποδιδόναι εἶχεν, καθ' ὅσον μάλιστα τό τε αἰσθανόμενον καὶ τὸ, οὗ γε ἐκεῖνο αἴσθησιν λαμβάνει, ἄμφω τούτω ἐν διηνεκεῖ ἅμα ῥοῇ, ἀδιαλείπτῳ τε μεταβολῇ τυγχάνειν ἔλεγεν. Ὥστε μηδ' ἄν τινα δύνασθαί τι τῶν ἐνδελεχῶς ῥεόντων ἐπισχεῖν καὶ τούτῳ τὸν νοῦν ἐπιστήσαντα, ἀληθές τι κατ' αὐτοῦ εἰπεῖν (ιδ).

Β. οἵα ἡ γένεσίς ἐστι τῶν ὄντων.

Ἡράκλειτος οὖν τὴν τῆς γενέσεως τῶν ὄντων ἀρχὴν ἀκριβέστερον διασαφῶν καὶ ἀναλύων, οὑτωσὶ λέ-

γει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει, καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα, λέγει, ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. »

(ιγ) Ἐν Θεαιτήτῳ σελίδι 152.

(ιδ) Ἀριστ. Μετ. Α, ς'. β'. « Ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης. »

γει· ἡ τῶν ὄντων γένεσις οὐχ ὁμαλή τίς ἐστι καί, ὡς ἔπος εἰπεῖν, ἰθυτενῶς ἰοῦσα ἀνάπτυξις· ἐπεὶ εἰ τοιαύτη τις ἦν, οὐκ ἂν ἀρχὴν κινήσεως συνεχοῦς ἐν ἑαυτῇ περιέλαβεν· Διὸ πολλῷ μᾶλλον αὐτὴν ὡς ἐξ ἐναντιοτήτων τελεσφορεῖσθαι νοητέον, αἵπερ ἀλλήλαις ἀντιπολεμοῦσαι, νῦν μὲν ἐφέλκονται, νῦν δ' ἀποκρούουσιν ἀλλήλας καὶ ὁτὲ μὲν εἰς σύμμιξιν, ὁτὲ δ' αὖ εἰς ἀποσύνθεσιν ἀπ' ἀλλήλων τείνουσιν. Ἐν μόνοις γὰρ τοῖς ἐναντίοις ἐνεργὴς εἰς ἄλληλ' ἐπίδρασις ἐνδέχεται καὶ διὰ ταύτης ζωή τε καὶ κίνησις καθόλου (ιε). Ταύτην δὲ τὴν δόξαν διαῤῥήδην πάνυ ὁ Ἡράκλειτος ἐν τῷδε τῷ φθέγματι ἀπεφήνατο· « πόλεμος πάντων Πατὴρ » καὶ βασιλεὺς καὶ κύριος πάντων· τόν τε Ὅμηρον εὐχόμενον, ἔκ τε Θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι, λανθάνειν ἔφη τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης τε καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων· « οὐ γὰρ ἂν εἶναι ἁρμονίαν μὴ ὄντος ὀξέος καὶ βαρέος, οὐδὲ τὰ ζῶα ἄνευ θήλεος καὶ ἄῤῥενος, ἐναντίων ὄντων (ιϛ)· » ἀλλὰ πάντα οἴχεσθαι ἄν. (ιζ).

Τὸ δὲ σύμπαν ἔλεγε συντηρεῖσθαι διά τε τὴν διηνεκῆ καὶ αὐτόματον γένεσιν δυνάμεων καὶ φαινομένων ἀλλήλοις ἐναντίων καὶ τὴν τούτων ἀδιάλειπτον ἐναντιοδρομίαν ἢ ἐναντιοτροπήν· Διὸ δὴ καὶ ἔνια κακὰ ἡμῖν δοκοῦντα εἶναι, προσήκει πολλῷ μᾶλλον ἀγαθὰ ἀντὶ κακῶν αὐτὰ ἡγεῖσθαι, ὡς ἐναντιότητας οὔσας, αἵτινες ἅμα γενόμεναι, ἀλλήλαις συναντῶσαι, τὴν τῆς ζωῆς συντήρησιν ἐς ἀεὶ τελεσιουργοῦσι.

(ιε) Διογ. Λ. Θ, η. « γίνεσθαι πάντα κατ' ἐναντιότητα. »

(ιϛ) Ἀριστοτ. Ἠθικ. Εὐδ. Ζ, α.

(ιζ) Σλεϊερμάχειρος, σελ. 63. « Οἰχήσεσθαι γάρ φησι πάντα. »

Ταῦτα δ' ἐννοῶν φησίν· « ἀνθρώποις γίγνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον· νοῦσος ὑγίειαν ἐποίησεν ἡδὺ καὶ ἀγαθὸν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν » (ιη). Ἀλλὰ πρὸς τούτοις αὐτὴ αὕτη ἡ τῶν στοιχείων καὶ δυνάμεων πρὸς ἀλλήλας ἐναντιότης εἰς ἁρμονίαν αὖθις διαλύεται ὥστε εἰ καὶ ἐξ αὐτῆς τῆς ἁρμονίας ἄλλαι ἐναντιότητες ἀεὶ ἐκ νέου ἀναφύονται, αὐτὸ τὸ Σύμπαν οὐδὲν ἧσσον ἁρμονία ἐστὶν ἢ ἔρις τε καὶ ἐναντιότης (ιθ). Φαίνεται δὲ ταῦτα εἰρηκέναι ἐν τῷδε τῷ γενναίῳ φθέγματι « τὸ ἓν φησι διαφερόμενον αὐτὸ αὑτῷ, ξυμφέρεσθαι, ὥςπερ ἁρμονίαν τόξου τε καὶ λύρας (κ). Εἰκάσειεν οὖν ἄν τις τὸ φθέγμα τοῦτο μηθὲν ἄλλο ἐθέλειν λέγειν ἢ τὴν ἁρμονίαν τῆς ἐν τῷ παντὶ ζωῆς μὴ εἶναι μὲν ἁπλῆν, μηδ' ἄνευ ἐναντιοτήτων, ἀλλὰ διαλλαγήν τινα μᾶλλον εἶναι καὶ ἐξομάλυνσιν ἐναντιοτήτων ἤδη πρότερον ὑπαρχουσῶν· τούτων γὰρ χωρὶς μηδ' ἂν ὅλως ἁρμονία γένοιτο.

γ'. Τὸ πῦρ.

Τὸ πῦρ ὁ Ἡράκλειτος στοιχεῖον εἶναι ἔφασκεν συμπεφυκυῖαν ἑαυτῷ καὶ οἷον ἐνδογενῆ δύναμίν τινα ἔχον,

(ιη) Στοβ. Ἀνθολ. Γ. πγ'. πδ'. Πρβλ. δὲ καὶ Σελλερίου Ἱστ. τ. φ. Τ. Α, σελ. 468 σημ. ϐ'.

(ιθ) Διογ. Λαερ. Θ, ζ'. « Διὰ τῆς ἐναντιοτροπῆς ἡρμόσθαι τὰ ὄντα. » Ἀριστοτ. Ἠθιχ. Νιχ. Η, ϐ'. « Ἡράκλειτος τὸ ἀντίξοον συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν — γίγνεσθαι. » Μηδαμῶς γὰρ ἁρμονία γένοιτ' ἂν ἐξ ὁμοίου, ἀλλ' ἀεὶ ἐκ τοῦ διαφέροντος.

(κ) Παρὰ Σλέϊερμ. ἀπόσ. λγ', λδ'. καὶ Πλάτ. συμπ. σελ. 87. — Σοφιστ. σελ. 242· « διαφερόμενον ἀεὶ ξυμφέρεται ». Τὰ δὲ περαιτέρω περὶ τῆς πολυθρυλλήτου παραϐολῆς πρὸς τὸ τόξον καὶ τὴν λύραν ἔπιθι ἐν Σελλερίου Ἱστ. τ. Φιλ. σελ. 466, κ.φ.ξ.

δι' ἧς τὰ ὄντα γίγνεται. Ἐκ πυρὸς, τῆς δυνάμεως ἐκείνης συνδρώσης, τὰ αἰσθητὰ ὄντα προκύπτειν, ἀεὶ μὲν ῥέοντα, ἀεὶ δὲ μεταβάλλοντα, ἄλληλ' ἐναλλάσσοντα, ἔντε ἔριδι διηνεκεῖ, ἀλήκτῳ τε πολέμῳ συνεχόμενα. Τοιαύτην δὲ τῷ πυρὶ προςένειμε λειτουργίαν, τὰ μὲν εἰς τὴν κινητικὴν αὐτοῦ φύσιν ἴσως ἀποβλέψας, δι' ἣν εἰλικρινέστατον ὁμοίωμα ζωῆς ἀπαύστου φαίνεται, τὰ δὲ εἰς τὴν γόνιμόν τε καὶ ζωοποιὸν, διαλυτικήν τε καὶ τηκτικὴν καὶ διαβρωστικὴν, ἄλλα μὲν εἴδη, ἄλλας δὲ συνθέσεις ἀεὶ καινουργοῦσαν δύναμιν. Πρὸς δὲ τούτοις ἤλπισεν ὁ Ἡράκλειτος ἐκ τοῦ λεπτοφυεστάτου τῶν στοιχείων πάντων, εἰς ἁδρομερεστέρας ὕλας ἀεὶ μεταβάλλοντος, οἷός τε ἔσεσθαι καὶ τὰς παντοειδεῖς τῶν αἰσθήσει ληπτῶν ὄντων οὐσίας παραγαγεῖν. πᾶν ἐκ πυρός ἐστι, καὶ πᾶν « ἀμοιβὴ πυρὸς, » (Διογ. Λ. Θ, ή.) « τροπὴ πυρος » (ἀπόσπ. κέ.) λέγων. Ὅπως δὲ τὰ καθ' ἕκαστον περὶ τὴν φύσιν ἐν διηνεκεῖ γενέσει τε καὶ μεταλλαγῇ ἐστιν, οὕτως ἦν τὸ πρῶτον καὶ ἐκεῖνο τὸ σχοιχειῶδες πῦρ, ἐξ οὗ τὰ πάντα γέγονεν, ἀεὶ μειούμενόν τε τὴν δύναμιν καὶ πάλιν αὐξανόμενον, « ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα, » ψυχραινόμενόν τε καὶ πηγνύμενον, αὖθίς τε θερμαινόμενον, διαχεόμενόν τε καὶ κινούμενον. Ἐκ ταύτης οὖν τῆς ἀμοιβῆς παντοίαν ὕλην φησὶ παράγεσθαι, ἐξ ἧς γε τὸν κόσμον πάντα συνίστασθαι. Τὸ γὰρ πῦρ καθ' ὅσον περ ἡ θερμαντικὴ αὐτοῦ δύναμις μειοῦται, κατὰ τοσοῦτον καὶ εἰς εἴδη ἐξαλλάσσειν παχυμερέστερα τὴν φύσιν γιγνόμενα. μεταβάλλεσθαι δὲ κατ' ὀλίγον πρῶτον μὲν εἰς ἀέρα, εἶτα δ' εἰς ὕδωρ καὶ τέλος εἰς γῆν. Ὅταν δ' αὖθις τῶν διαδοχικῶν τούτων ἄρσεων τῆς κατ' ἀρχὴν φύ-

σεως αὐτοῦ ἐπικρατήσῃ, τρέπεσθαί φησιν αὖθις τὴν ἀντίστροφον ὁδὸν, « Ζῇ πῦρ τὸν γῆς θάνατον καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος » (κα). Τὴν μὲν οὖν προτέραν ἐξαλλαγὴν, ὅταν τὸ πῦρ, κατὰ σμικρὸν σβεννύμενον, εἰς ἀέρα μεταβάλλῃ καὶ ὕδωρ καὶ γῆν, ἀποκαλεῖ ὁ Ἡράκλειτος « Κάτω ὁδὸν, » ὡς μᾶλλον καὶ μᾶλλον ὑφιζανόντων τῶν βάρους πλείονος μετεχόντων· τὴν δ' ἑτέραν, ὅταν αὖθις τὸ πῦρ ἅπτηται, « ἄνω ὁδὸν » (κβ). Εἴη ἂν ἄρα τὸ σύμπαν κατ' αὐτὸν μὴ ὅτι γε πῦρ ἁπλῶς, ἀλλ' ἐν διηνεκεῖ τροπῇ πῦρ ὄν. Πέφυκε δὲ ἡ τοῦ παντὸς ζωὴ μηθὲν ἄλλο εἶναι ἢ ἀδιάλειπτοι καὶ συνεχεῖς τοῦ πυρὸς τροπαί. Ὅτι δὲ ταῦτα οὕτως ἔγνω δῆλος ἂν γένοιτο ἐκ τοῦδε μάλιστα τοῦ φθέγματος. « Κόσμον τὸν αὐτὸν ἁπάντων οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν· ἀλλ' ἦν ἀεὶ καὶ ἔσται, πῦρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα » (ἀπόσπασμα κέ). Ἑκατέρα δὲ τούτων τῶν μετατροπῶν ἑκατέραν ἐναλλάσσει ἀεὶ ἀνακυκλούμεναι κατά τινας περιόδους· γίγνεσθαι δὲ τοῦτο φησὶ καθ' εἱμαρμένην (κγ). Καὶ ἐν τῇδε μὲν τῇ περιόδῳ ἐπικρατεῖν, φέρ' εἰπεῖν, τὴν ὁδὸν τὴν κάτω,

(κα) Παρὰ Σλεϊερμάχερι σελίδ. 40. Τέσσαρες οὖν βαθμοὶ τοῖς τέσσαρσι στοιχείοις ἀντιστοιχοῦντες. Ἔπειθι δὲ καὶ Μάρκον Αὐρήλιον Δ, μς'. « Γῆς θάνατος, ὕδωρ γενέσθαι, καὶ ὕδατος θάνατος, ἀέρα γενέσθαι, καὶ ἀέρος πῦρ καὶ ἔμπαλιν. »

(κβ) Οὐκοῦν χρὴ καθ' Ἡράκλειτον τὸ στοιχεῖον νοεῖν, ὅπως οἱ μεταγενέστεροι τὸ ὄνομα ἐξελάμβανον, ὡς ὕλην δηλοῦν οἷον βάσιν παραμόνιμον τοῖς οὖσιν οὖσαν. Ἡράκλειτος γὰρ ἐδόξαζεν ἐξαλλαγήν τε καὶ τροπὴν εἶναι δι' ὅλου τοῦ ἐν τῇ φύσει ζῶντος κατὰ βαθμοὺς χωροῦσαν.

(κγ) Παρὰ Διογένει τῷ Λαερτίῳ Θ, ή.

ὅταν τὸ πᾶν κατ' ὀλίγον πηγνύμενον εἰς ὕδωρ μεταβάλλῃ καὶ γῆν· ἐν τῇ δε δὲ τὴν ὁδὸν τὴν ἄνω, ὅταν ὁ κόσμος εἰς πῦρ πάλιν ἀναλύηται. Πάντες δὲ οἱ παλαιοὶ ἀπὸ Ἀριστοτέλους (κδ) ὁμοφώνως (κε) φασὶν Ἡράκλειτον διδάξαι τὸν κόσμον πάντ' ἐκκαίεσθαι κατά τινας περιόδους· καὶ οὐδείς γε λόγος ἀποχρῶν ἐστιν, ᾧ ἄν τις χρησάμενος διαψεύσειε τοῦτο, ὥςπερ Σλεϊερμάχειρ ἐποίησεν. Οὐδ' ἀντιφατικῶς ἔχον δόξειεν ἂν τὸ δόγμα πρὸς τὴν ὅλην τοῦ Ἡρακλείτου θεωρίαν, εἰ μὴ πυροειδῆ τοῦ λοιποῦ διατελεῖν τὸν κόσμον ἐδόξασεν· ἀλλ' ἅμα ἐκπυρωθέντος αὐτοῦ νέαν ἄρχεσθαι αὐτίκα περίοδον, τοῦ πυρὸς εἰς ὕδωρ τε καὶ γῆν μεταβαλλομένου. Καὶ ὁ λόγος ὁ περὶ τοῦ μεγάλου καὶ παγκοσμίου ἐνιαυτοῦ τοῦ «ἐκ μυρίων ὀκτακιςχιλίων ἐνιαυτῶν ἡλιακῶν» συγκειμένου, ὃς τῷ Ἡρακλείτῳ ἀποδέδοται, (παρὰ Σλεϊερμάχειρι σελ. 56.) φανεράν που ἀναλογίαν πρὸς τὴν θεωρίαν ἔχει περὶ τῶν ἀμοιβαδὸν γιγνομένων τοῦ κόσμου περιόδων (κϛ).

(κδ) Φυσικῶν Γ, έ. «Ὥσπερ Ἡράκλειτός φησιν, ἅπαντα γίνεσθαί ποτε πῦρ.»

(κε) Παρὰ Διογένει τῷ Λαερτίῳ Θ, ή. καὶ παρὰ Σλεϊερμάχειρι σελ. 95, κεφξ.

(κϛ) Ἡράκλειτος τὸν Δία τὸν κόσμον δημιουργοῦντα πρὸς παῖδα παίζοντα παραβάλλει (Κλήμεντ. Ἀλεξ. Παιδαγ. Α, έ. — Λουκιαν. ἐνύπν. 14.). ἀνάγεται δὲ καὶ τοῦτο εἰς τὴν αὐτὴν τοῦ Ἡρακλείτου δόξαν, καθ' ἣν ὁ Κόσμος γίγνεταί τε καὶ ἀπόλλυται ἐναλλὰξ ἀεὶ εἰς τὸν πάντα αἰῶνα. Ζεὺς γὰρ κόσμους δημιουργῶν καὶ αὖθις καταλύων, ὅμοια φαίνεται ποιῶν,

— — ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης,
ὅςτ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,
ἄψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων· Ἰλιάδ. Ο, τξδ'.

τοῦτο δὲ ἱκανῶς δηλοῖ καὶ ὅτι Ἡράκλειτος τὸν κόσμον πάντα καὶ τὰς ἐν χρόνῳ φάσεις αὐτοῦ οὐ κατὰ λόγον τινὰ καὶ τέλος ἔσχατον γίγνεσθαι ἐδόξαζεν· (Πρβλ. Βερναύσιον ῥην. Μουσ. VII. σ. 108, κφξ.)

Ἐκ τούτου οὖν τοῦ δόγματος, ὡς αἱ τοῦ κόσμου περίοδοι ἀλλήλας διαδέχονται, δῆλον ἂν ἡγοῦμαι τὸν Ἡράκλειτον γενέσθαι μὴ κατὰ τύχην τινὰ καὶ εἰκῆ δοξάσαι τὴν τῶν ὄντων ἀέναον ῥοὴν γίγνεσθαι καὶ μεταλλαγὴν, ἀλλὰ κατά γε νόμους τοὺς ἀναγκαιοτάτους. Διαῤῥήδην δὲ καὶ πάνυ λαμπρῶς φησιν ἀμετάβλητόν τινα λόγον ἐν τῷ παντὶ καὶ τῇ κινήσει αὐτοῦ ἐπικρατεῖν, καθ' ὅν γε πᾶν σὺν ἀνάγκῃ τινὶ γίγνεσθαι, ἥτις οὐδενὶ ἰδίᾳ τῶν ὄντων τὴν τεταγμένην αὐτῷ μοῖραν ὑπερβαίνειν συγχωρεῖ, ἀλλὰ καὶ νόμον μάλιστα τόνδε διασώζει τὰς ἐναντιότητας ἐκείνας τὸν πάντα αἰῶνα ἀναφύεσθαι καὶ πάλιν εἰς ταὐτὸν αὖθις ἁρμόζεσθαι, ἐξ ὧν πᾶσα ζωὴ βλαστάνει. Τοῦτον δὲ τὸν λόγον ἀποκαλεῖ Ἡράκλειτος καὶ νόμον θεῖον, (ἀπόσπ. ιή.), Δίκην, Θεὸν, Δία, Ἀνάγκην, Εἱμαρμένην, καὶ διαπρυσίως ἀποφαίνεται ὡς μηδὲν ἂν τῶν ἐν τῷ κόσμῳ οἷόν τε εἴη ἢ ὑπεκχωρῆσαί πως αὐτῷ ἢ ἐναντιωθῆναι (κζ). Ἀλλὰ καὶ οὗτος ὁ Λόγος ἢ νόμος ὁ θεῖος καὶ ἢ ἄλλοις ὀνόμασιν ὠνόμασται, ὥςπερουν καὶ ἡ ἐν τῷ γίγνεσθαι δύναμις εἰς ἓν καὶ ταὐτὸν τῷ ἐν ᾧ γε δρᾷ πυρὶ κατ' οὐσίαν συνέρχεται. αὐτὸ δὲ τὸ ἀΐδιον πῦρ ἡ τὰ πάντα διϊθύνουσα δύναμίς ἐστιν· διὸ καὶ παρ' Ἡρακλείτῳ

(κζ) Ἀπόσπασμα ιή. «Κρατεῖ (νόμος ὁ θεῖος) τοσοῦτον ὁκόσον ἐθέλει, καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.» λ'. «Ἥλιος οὐχ ὑπερβήσεται μέτρα· εἰ δὲ μὴ, Ἐριννύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν.» ιά. «Ἓν τὸ σοφὸν μοῦνον, — Ζηνὸς οὔνομα.» Πλούτ. ἐν τῷ περὶ ἀρεσκ. τ. Φιλοσ. Α, κζ'. «Πάντα καθ' εἱμαρμένην, τὴν δὲ αὐτὴν ὑπάρχειν καὶ ἀνάγκην.» Διογ. Λ. Θ, Ζ, ή. «πάντα τε γίγνεσθαι καθ' εἱμαρμένην καὶ διὰ τῆς ἐναντιοτροπῆς ἡρμόσθαι τὰ ὄντα.» Στοβ. Ἐκλογ. Α, ξ'. «Εἱμαρμένην λόγον ἐκ τῆς ἐναντιοδρομίας δημιουργὸν τῶν ὄντων.» Καὶ πάλιν αὐτόθι, ροη'. «Λόγον τὸν διὰ οὐσίας τοῦ παντὸς διήκοντα.»

φρόνιμον αὐτὸ κέκληται. τὸ πῦρ λεπτοφυεστάτη γε οὖσα οὐσία, ἔστι καθ' Ἡράκλειτον, ὡς ἐν ὅλῳ εἰπεῖν, τὸ ἐξ ἀρχῆς φρόνιμον καὶ δὴ καὶ ἡ μάλιστα καθόλου φρόνησις, δι' ἥν περ ἡ ἔννομος τῶν ὄντων πορεία συντηρεῖται (κή).

Τὰ δ' ἐπὶ μέρος τῆς Ἡρακλείτου Φυσικῆς πραγματείας συνακόλουθά ἐστι τῇ κυριευούσῃ ἰδέᾳ τῆς ὅλης φιλοσοφικῆς θεωρίας, ὅτι τὸ πῦρ ἀρχὴ πάσης ζωῆς ὑπάρχει, πάσης τε δυνάμεως καὶ παντὸς ἀγαθοῦ. Ἀξία δ' ἑκάστου τῶν ὄντων καὶ τὸ ἐντελεχείᾳ εἶναι αὐτὸ ἐν ἴσῳ λόγῳ ἐστὶ πρὸς τὸ πῦρ τὸ ζωτικὸν τὸ ἐν αὐτῷ ὑπάρχον· ὅσῳ μὲν γὰρ πλέον ἐν τοῖς οὖσι τὸ θερμὸν ὑπάρχει, τόσῳ γε πλέων ἥτε κίνησις αὐτῶν καὶ ζωὴ καὶ συνείδησις ἐκφαίνεται· ὅσῳ δ' αὖ τὸ ὑγρὸν καὶ τὸ ψυχρὸν πλεονάζον ἐστί, τόσῳ ἥτε νάρκη καὶ ὁ θάνατος ἐπικρατεῖ. Ἀλλὰ καὶ τὴν ψυχὴν ὁ Ἡράκλειτος κέντρον οὖσαν τῆς τε ζωτικῆς δυνάμεως καὶ τῆς αὐτοκινησίας, ὁμοίως ἀποφαίνεται «ξηρὰν ἀναθυμίασιν» εἶναι (παρὰ Σλεϊερμάχειρι σελίδι ριζ'.), τήν τε ξηρὰν ψυχὴν σοφωτάτην τε καὶ ἀρίστην (κθ). Διὰ τὸν αὐτὸν δὲ λόγον ἐμέμφετο καὶ τὴν μέθην ὡς ὑγρὰν τὴν ψυχὴν ποιοῦσαν (ἀπόσπασμα νθ'.) «ἀνὴρ, φησὶν, ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὄκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων·» τὴν γὰρ ὑγρότητα

(κη) Ὠριγ. φιλοσ. Θ, ζ'. «Λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον.» — Ἱπποκρατ. περὶ διαίτ. Α, ι'. «τοῦτο (τὸ πῦρ) πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε καὶ ἐκεῖνα, οὐδέποτε ἀτρεμίζον.» —

(κθ) Ἀπόσπασμα ξά. «αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη.» Πρβλ. καὶ ἀπόσπ. ξ'.

τῆς ψυχῆς θάνατον εἶναι ἔφη. [Ἐπιθι ἀπόσπ. μθ' σελ. ριζ'. ἔν. ἀν.].

Ἀλλὰ μὴν Ἡράκλειτος τοῖς κυριωτάτοις δόγμασι τῆς ἑαυτοῦ φιλοσοφίας ὡςαύτως ἑπόμενος, πάντων μάλιστα τὴν ψυχὴν ἀξιοῖ ἀεὶ ἐν κοινωνίᾳ τῆς τε καθόλου ζωτικῆς ἀρχῆς καὶ τῆς τοῦ Σύμπαντος διακοσμήσεως διατελεῖν, τοῖς δὲ καθ' ἕκαστον, οἷς περ δοκοῦσά τις μόνον ὕπαρξις, πεπερασμένη τε καὶ ἐφήμερος πρόσεστι, μηδοπωστιοῦν περιπεφυκέναι, ἀλλ' ὅπερ μόνον πάντων τῶν ἐν τῇ διηνεκεῖ μεταβολῇ αὐτίκα παροιχομένων ἀληθείας τε καὶ βεβαιότητος μεταλαγχάνει ἢ ὡς ἐν ἄλλῳ γε λόγῳ εἰπεῖν, τοὺς γενικοὺς καὶ ἀμεταβλήτους νόμους, καθ' οὓς περ πᾶν τὸ ὑπάρχον κυβερνᾶται, τούτους εἰδέναι τε καὶ βούλεσθαι καὶ ἀεὶ μεταδιώκειν παραινεῖ. Νοεῖ δὲ τὸ τοιοῦτον ὁ Ἡράκλειτος φυσικῶς τε ἅμα καὶ ἠθικῶς· Φυσικῶς μὲν γὰρ διδάσκει τὴν ψυχὴν, ἅτε δὴ μέρος καὶ αὐτὴν οὖσαν τῆς διὰ τοῦ σύμπαντος διηκούσης ἔμφρονος οὐσίας τοῦ πυρὸς, ἐκ ταύτης δεῖν ἀεὶ νέαν προςφέρεσθαι τροφὴν, καθάπερ καὶ τὸ σῶμα ἐξ ὕλης φαυλοτέρας· ὥςπερ γὰρ ἔφη τοὺς ἄνθρακας ἀποσβέννυσθαι μὲν, ὅταν πόῤῥω τοῦ πυρὸς χρόνον πολὺν ἀφεστῶσιν, αὖθις δ' ἀνακαίεσθαι, ἐπειδὰν ἐγγύτερον κομισθῶσιν, ὅμοιόν τί που καὶ τῇ ψυχῇ συμβαίνειν· ἔμφρονα γὰρ αὐτὴν παραμένειν, ἐφ' ὅσον περ τῇ ἔμφρονι τοῦ κόσμου οὐσίᾳ οἷον προςχαίνουσα, εἰςδέχεται, ὅπερ καθ' Ἡράκλειτον τῇ λειτουργίᾳ τῶν ἀναπνευστικῶν καὶ αἰσθητηρίων ὀργάνων δῆλον ὅτι γίγνεται· ἐν γὰρ τῷ καθεύδειν, τῶν αἰσθητηρίων οἷον ἀποφρασσομένων, μειοῦσθαι ἔλεγε τὴν φρόνησιν, ἰσχὺν δὲ λαμβάνειν τὰ ἴδια ἑκάστου φαντάσματα· καὶ τοὺς μὲν

ἐγρηγοροῦντας ἕνα καὶ τὸν αὐτὸν ἔχειν κόσμον κοινὸν ἅπαντας, τοὺς δὲ καθεύδοντας ἐπαναχωρεῖν ἕκαστον εἰς κόσμον ἴδιον (λ). Ἀλλὰ μηδὲ τὸν ἐγρηγορότα ἄνθρωπον ἔξω κινδύνου εἶναι ἔφασκεν τὴν φρόνησιν ἀπομονωθῆναι, τοῦ τε κοινοῦ πᾶσι καὶ ἀληθοῦς λόγου ἐκστῆναι καὶ τῆς τῶν αἰσθήσεων ἀπάτης, τῆς φαντασίας καὶ τῶν παθῶν ἥσσονα ὀφθῆναι. Φύσιν γὰρ ἔφη τὸν ἄνθρωπον ἔχειν ὑπό τε τῶν αἰσθήσεων καὶ τῶν δοξῶν μάλιστα κρατεῖσθαι (λα). Διὸ δὴ Ἡράκλειτος μηδαμῶς ταῖς αἰσθήσεσιν, ἀλλὰ τῷ νῷ ἀεὶ ἕπεσθαι παραινεῖ, μηδ' αὖ τῷ ἰδίᾳ γε νῷ, ἀλλὰ τῷ κοινῷ, ὅςπερ κάλλιον ἐκείνου τἀληθὲς ἐπιγιγνώσκει (λϐ). ἐγκράτειάν τε ἀσκεῖν συμϐουλεύει καὶ τοῖς νόμοις ὑπακούειν· μηθὲν γὰρ ἂν ὑπεροψίας τε καὶ ὕϐρεως κακὸν μεῖζον πᾶσιν ἀνθρώποις γίγνεσθαι ἔφη (λγ). Καὶ τὸ « μηδὲν ἄγαν » λεγόμενον πασῶν ἀρετῶν κρατίστην εἶναι· σοφόν τε ὡς ἀληθῶς εἶναι, ὃς ἂν τὴν τῶν ὄντων φύσιν ὀρθῶς νοῇ καὶ τῇ τούτων ἀληθείᾳ εἴς τε λόγους καὶ ἔργα χρῆται· πάντων δὲ μάλιστα ὃς ἂν συνίῃ ὅτι ἐν τῷ παντὶ καὶ κακόν τι ἰδίᾳ δοκοῦν εἰς ἀγαθὸν ὑπουρ-

(λ) Σέξτου Ἐμπειρ. πρὸς τοὺς μαθηματικοὺς Ζ, 127 κφξ. — Πλουτ. περὶ δεισιδαιμ. κεφ. γ'.

(λα) Ἀπόσπασμα ξϛ'. « Ἦθος ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμην, θεῖον δὲ ἔχει. » μή. « τοῦ λόγου ἐόντος ξυνοῦ, ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν. » νή. « Χαλεπὸν θυμῷ μάχεσθαι, ψυχῆς γὰρ ὠνέεται· » νζ'. « Ἦθος ἀνθρώπῳ δαίμων. » Διογ. Λ. Θ. ζ'. « Τὴν οἴησιν ἱερὰν νόσον ἔλεγεν. »

(λϐ) Ἀπόσπ. μή. « Δεῖ ἕπεσθαι τῷ ξυνῷ » ἀποσπ. ιή. « ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκως περ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως,,.

(λγ) Ἀπόσπ. ιϛ'. « Ὕϐριν χρὴ σϐεννύειν μᾶλλον ἢ πυρκαϊήν »

γεῖ· πᾶς τε ὁ βίος καὶ πᾶν τὸ ἐν αὐτῷ ἡδύ τε καὶ χάριεν διὰ διηνεκοῦς μεταλλαγῆς ἀλλήλαις ἀντικειμένων καταστάσεών τε καὶ ἐνεργειῶν προξενεῖται (λδ).

§. ι΄. ΕΜΠΕΔΟΚΛΗΣ.

α΄. *Βίος αὐτοῦ.*

Ἐμπεδοκλῆς Μέτωνος Ἀκραγαντῖνος λέγεται κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα ἀκμάσαι (=υμδ΄. π. Χ. — παρὰ Διογ. τῷ Λαερ. Η,΄ οδ΄.). Καὶ σχεδὸν πάντες οἱ παλαιοὶ τῆς Πυθαγορικῶν γεγονέναι χορείας τὸν ἄνδρα ὁμολογοῦσιν (Δ. Λ. Η, νδ΄.). Ἀλλ' εἰ καί τινα τῶν πρακτικῶν αὐτοῦ ἀξιωμάτων κοινόν τι τοῖς τῶν Πυθαγορείων ἔχει, οἷόν περ καὶ τὸ κρέατός τε καὶ κυάμων ἀπέχεσθαι, τὸ δὲ περὶ μετεμψυχώσεως καὶ δαιμόνων δόγμα πυθαγόρειον εἶναι τὴν ἀρχὴν εἰκότως ἄν τις ὑπολάβοι· ἥγε μὴν φιλοσοφικὴ αὐτοῦ θεωρία κατ' οὐδὲν οὐδαμοῦ δόξειεν ἄν, οἶμαι, τῆς τῶν Πυθαγορείων μετέχειν. Ἀλλὰ γὰρ οὐδὲ τοῖς Ἐλεάταις αὖ συγκαταλεκτέος ἂν εἴη, καί τοι ἀδύνατον εἶναι ἀποφηνάμενος τό τε γίγνεσθαι τὰ ὄντα καὶ ἀπόλλυσθαι, ὥσπερ καὶ τοῖς Ἐλεάταις ἔδοξεν· πολλῷ δὲ μᾶλλον ἔχοι τις ἂν Ἐμπεδοκλέα Ἡρακλείτῳ καὶ τοῖς διαδεξαμένοις αὐτὸν Ἴωσιν συγκαταριθμεῖν, καίτοι μὴ ἀκριβῶς Ἴωνα γεγενημένον. (ἔπιθι καὶ Σελλερίου ἱστ. Α, σελ. φξϛ΄.) Τὰ δὲ περὶ

(λδ) Στοβ. Ἀνθολόγιον Γ, πδ΄. « σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν, κατὰ φύσιν ἐπαΐοντας ». αὐτόθι πγ΄. «ἀνθρώποις γίγνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον ». κ.φ.ξ. ἔπιθι σχόλιον ιή. καὶ πλείονα παρὰ Σελλερίῳ σ. 468, σχόλ. ζ. —

τὸν βίον αὐτοῦ παντοδαποῖς ἐστι μύθοις πεπυκασμένα, ἐν οἷς γόης ὑμνεῖται δεινὸς γεγονέναι, ὃς ἐκ μέλανος ὄμβρου καίριον αὐχμὸν τοῖς ἀνθρώποις ἐτίθη καὶ ἐξ ἀκαμάτων καὶ σφοδρῶν ἀνέμων γαλήνην τε καὶ νηνεμίαν, παρ' ὃ καὶ Κωλυσανέμας ἐκέκλητο. διεθρυλλεῖτο δὲ καὶ ὡς ἰατρὸς νεκροὺς ἐγείρων ἤγουν τὴν ἄπνουν λεγομένην (Η, ξζ'.), ἔτι δὲ ὡς μάντις καὶ ἑνί γε λόγῳ ἀνὴρ τεράστιος καὶ θαυματουργὸς, μονονουχὶ θεὸς τὴν φύσιν ὤν (Δ. Λ. Η, νθ'. ξ'.). Αὐτὸς δ' ἐπὶ τούτοις ἐν τοῖς καθαρμοῖς κομποῤῥημονεῖ οὑτωσὶ λέγων.

(ἀρχὴ τῶν καθαρμῶν.)

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλευς, ἀγαθῶν μελεδήμονες ἔργων,
ξείνων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι,
χαίρετ'. Ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος οὐκέτι θνητὸς
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥςπερ ἔοικε,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις·
τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι· οἱ δ' ἅμ' ἕπονται
μυρίοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπὸς,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων,
δηρὸν δὴ χαλεπῇσι πεπαρμένοι ἀμφ' ὀδύνῃσιν,
Παντοίων ἐπύθοντο κλύειν εὐηχέα βάξιν.

Ἐν δὲ τοῖς λεγομένοις Ἰατρικοῖς σεμνολογεῖ ὡς ἐφεξῆς·

Φάρμακα δ' ὅσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα·
παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν,

καὶ πάλιν, εὖτ' ἐθέλησθα, παλίντιτα πνεύματ' ἐπάξεις
θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
ῥεύματα δενδρεόθρεπτα, κατὰ θέρος αἰθύσσοντα.
ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

Ἵνα δὴ ταύτης τῆς θειοτέρας τιμῆς ἀπολαύοι, οὐδὲν ἐδέχετο ἐγκόσμιον ἀξίωμα οὐδὲ ἀρχὴν, καίτοι εὐχερῶς πάνυ τῶν τοιούτων ἐξικέσθαι δυνάμενος. Διὰ γὰρ γένους λαμπρότητα καὶ πλούτου περιουσίαν πλεῖστον ὅσον ἐν τῇ ἑαυτοῦ ἴσχυεν, μεγαλόδωρός τε ἅμα καὶ κοινωφελὴς ὤν. (Δ. Λ. Η, ογ'. ξγ'.—ξζ'.) Πολλὰ δὲ καὶ περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς μεμυθολόγηται. Ἡρακλείδης μὲν γὰρ παρὰ Διογένει τῷ Λαερτίῳ φησὶν ὅτι Ἐμπεδοκλῆς, ἅτε μέγα κλέος παρὰ τοῖς πολίταις ἀράμενος ἀπὸ τῶν περὶ τὴν ἄπνουν πεπραγμένων, ἐκάλεσέ τινας τῶν φίλων καὶ δὴ καὶ Παυσανίαν μάλα οἰκεῖον ὄντα αὐτῷ ἐπὶ θυσίαν, ἣν πρὸς τῷ Πεισιάνακτος ἀγρῷ ἐτέλει. « Εἶτα δὲ μετὰ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις, ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπῃ βούλοιντο, αὐτὸς δ' ἔμεινεν ἐπὶ τοῦ τόπου, ἐφ' οὗπερ κατεκέκλιτο. Ὡς δ' ἡμέρας γενομένης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος· ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτ' ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῶν δ' ἐπὶ τῷ γενομένῳ ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας, ἔπεμψέ τινας ζητήσοντας. Ὕστερον δὲ ἐκώλυσε πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι καὶ θύειν αὐτῷ δεῖν, καθαπερεὶ γεγονότι

θεῷ·—Ἱππόβοτος δέ φησιν ἐξαναστάντα αὐτὸν ὡδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην, εἶτα παραγενόμενον ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς, ἐναλέσθαι καὶ ἀφανισθῆναι, βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεὸς, ὕστερον δὲ γνωσθῆναι, ἀναῤῥιπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. Πρὸς τοῦθ' ὁ Παυσανίας ἀντέλεγε. Τῶν δὲ συγγραμμάτων αὐτοῦ τὸ ἐπισημότατον ἦν τὸ περὶ φύσεως, ποίημα διδακτικὸν ἐκ στίχων συγκείμενον πεντακισχιλίων (α), ἐξ ὧν πεντήκοντα καὶ τετρακόσιοι ἐς ἡμᾶς διεσώθησαν (β).

Συλλογὰς δὲ τῶν Ἐμπεδοκλέους ἐπῶν ἐποιήσαντο Στούρζιος (ͱαωε'.) καὶ Κάρστην (ͱαωλη'.) καὶ Στείνιος (ͱαωνβ'.).

Ἐμπεδοκλέους θεωρία περὶ τὸ γίγνεσθαι.

Οἱ μὲν οὖν πρεσβύτεροι τῶν Ἰώνων εἰς τὰ διὰ τῶν αἰσθήσεων ληπτὰ ἀποβλέψαντες, γένεσιν ὡς ἀληθῶς γε οὖσαν τῶν ὄντων ἀπεδέξαντο καὶ ὡς ἄν τις εἰκάσειε, μεταβολὴν ἀτεχνῶς καὶ ἀλλοίωσιν εἶναι τῶν ὑλικῶν μορίων καὶ εἰς ἄλληλ' ἐναλλαγὴν προϋπέθεντο. Ἐμπεδοκλῆς δ' ἦν πρὸς ταῦτα σφόδρ' ἀντιλέγων. Τὴν γὰρ γένεσιν, ἅτε δὴ μετάβασίν γέ τινα τοῦ ὄντος οὖσαν ἐπὶ τὸ οὐκ ὄν, τοῦ δ' οὐκ ὄντος αὖ ἐπὶ τὸ ὄν, πάμπαν ἀμήχανον, ἀνήνυστόν τε καὶ ἄπρηκτον ἔφασκεν εἶναι. (στίχ. πα'.—πγ'. καὶ τμζ'.—τμθ'.)

(α) Διογ. Λ. Η, οζ'. παρ' ᾧ τὸ ποίημα « Καθαρμοί » ἤτοι Θρησκευτικοὶ ἁγνισμοὶ συγκαταλέγεται τῷ περὶ φύσεως ποιήματι.

(β) Παρὰ μὲν Στουρσίῳ φέρονται υιή. στίχοι, παρὰ δὲ Κάρστενι υμή. καὶ παρὰ Στεϊνίῳ υνά.

Νήπιοι (λέγων)· οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
οἳ δὴ γίγνεσθαι, πάρος οὐκ ἐὸν, ἐλπίζουσιν,
ἠὲ καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντη.

Τὸ γὰρ γίγνεσθαι δοκοῦν μηθὲν ἄλλο εἶναι ἔλεγεν ἢ μεταβολήν τινα κατὰ τὴν σύνθεσιν τῶν πρώτων καὶ ἁπλῶν τῆς ὕλης μορίων ἤτοι τῶν στοιχείων. Δηλοῖ δὲ τὸ τοιοῦτον οὑτωςὶ λέγων·

(Ἐκ τοῦ πρώτου τῶν φυσικῶν.)

Ἄλλο δέ τοι ἐρέω· φύσις οὐδενός ἐστιν ἁπάντων
θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή,
ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων
π'. ἐστὶ, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν (γ).

Κατὰ ταύτην οὖν τὴν θεωρίαν ἄλλοθι μὲν οὐδαμοῦ ἔχοι τις ἂν τὴν αἰτίαν τῆς ἀνεκλιποῦς τῶν γιγνομένων ποικιλίας ἀναζητῆσαι, ἀλλ' ἢ ἐν τῇ ἀμοιβαδὸν τελουμένῃ τῶν ὑλικῶν μορίων ἀναμίξει, εἰς ἣν καὶ ὁ Ἐμπεδοκλῆς πάντα τὰ ἐν τῇ φύσει γιγνόμενα ἀναφέρει, εὐφυῶς πάνυ καὶ ὅσον οἷόν τ' ἐμβριθέστερον τὰ ἐμπειρίᾳ ληπτὰ ὄντα ἐξετάζων.

Γ'. Ἐμπεδοκλέους ἡ περὶ τῶν στοιχείων θεωρία.

Τοιαύτην οὖν τὴν γένεσιν τῶν ὄντων ὁ Ἐμπεδοκλῆς ὑπολαβὼν, πολλαπλῆν, ὡς εἰκὸς, καὶ τὴν ἐξ ἧς ὕλην ὑπέλαβεν. καὶ γὰρ μίαν εἶναι καὶ ἁπλῆν τὴν πρώτην

(γ) Ἀριστοτέλης ἐν τῷ περὶ Οὐρανοῦ βιβλίῳ γ'. §φ ζ'. φησίν· « οἱ περὶ Ἐμπεδοκλέα καὶ Δημόκριτον λανθάνουσιν αὐτοὶ αὑτοὺς (;) οὐ γένεσιν ἐξ ἀλλήλων ποιοῦντες, ἀλλὰ φαινομένην γένεσιν ».

ὕλην ἔχοι τις ἂν εἰπεῖν, ἐὰν τὴν κατὰ ποιὸν μεταβολὴν αὐτῆς ὡς ἐνδεχομένην ὑποτίθηται. Τοῦτο δ' ἄντικρυς ἀποφάσκων, τὸ δὲ πολλαπλοῦν τε καὶ πολυειδὲς τῶν φυσικῶν ὄντων ἀναμίξει τινὶ γίγνεσθαι ἀντεισηγούμενος, πολλαπλῆν τε ἐξ ἀνάγκης καὶ πολυφυᾶ τὴν ἐξ ἧς γε πρώτην ὕλην ὑπολήψεται. Αὐτό γε δὴ τοῦτο καὶ Ἐμπεδοκλῆς πεποίηκε, πρῶτος ἅμα τὸ πολλαπλοῦν ἐκεῖνο τετρακτύν τινα εἶναι εἰπὼν (δ).

νε'. Τέσσαρα [φησὶ] τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.
Ζεὺς ἀργὴς Ἥρητε Φερέσβιος ἠδ Ἀΐδωνεὺς
Νῆστις δακρυόεσσά τ', ἐπικρούνωμα βρότειον.

Καὶ αὖθις φέρεται λέγων.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
ον'. πῦρ καὶ ὕδωρ καὶ γαῖαν ἰδ' αἰθέρος ἄπλετον ὕψος·
ἐκ γὰρ τῶν ὅσα τ' ἦν, ὅσα τ' ἔσσεται, ὅσσα τ' ἔασιν.

Ὅθεν μέντοι τὴν τετρακτὺν ταύτην τῶν ῥιζωμάτων (ὡς αὐτὸς σεμνολογῶν τὰ στοιχεῖα ἀπεκάλει) παρῆγε καὶ ὅπως ᾐτιολόγει οὐκέτι ἐνδέχεται ἔκ γε τῶν σωζομένων τῆς ἐποποιίας αὐτοῦ σαφῶς δηλῶσαι. Πιθανώτατα δ' ἄν τις εἴποι παρειληφέναι αὐτὴν ἁπλῶς ὥσπερ τι δεδομένον ἐκ τῆς θεωρίας τῆς ἐμπειρικῆς.

δ'. *Ἐμπεδοκλέους ἡ περὶ τῶν κινητικῶν δυνάμεων θεωρία.*

Πρῶτον πάντων τοῦτό γε ἐνταῦθα ζητεῖται ὅ τί πότ' ἐστιν, ὅπερ τήν τε σύγκρισιν καὶ διάκρισιν τῶν τεσσά-

(δ) Ἀριστοτέλης δ' ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ (γ'. ιϐ'.) φησίν· « Ἐμπεδοκλῆς τὰ τέτταρα, πρὸς τοῖς εἰρημένοις γῆν προστιθεὶς τέταρτον» . δ'. ιά. « Ἐμπεδοκλῆς τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν ».

ρων στοιχείων ἀπεργάζεται; Οἱ μὲν οὖν Ἴωνες φυσιολόγοι ἐκ δυνάμεώς τινος τῇ πρωτογενεῖ ὕλῃ ἐμπεφυκυίας τὴν τῶν ὄντων γένεσιν παρῆγον. Ἀλλὰ τοῦτο οὐκ ἐξῆν καὶ τῷ Ἐμπεδοκλεῖ δοξάσαι, ἅτε δὴ τὴν ὕλην μηδεμιᾶς κατὰ ποιὸν μεταβολῆς δεκτικὴν εἶναι ὑποθεμένῳ, ἀλλὰ μόνον συνθέσεώς τινος ἑκάστοτε μεταλλασσομένης. Ἐδέησε τοίνυν τὴν ὕλην χωρὶς εἶναι τῆς αἰτίας τῆς κινούσης ὑπολαβεῖν καὶ ταύτην, ὥς τι ἕτερον ὄν, τῇ ὕλῃ ἀποδοῦναι, ὃ δὴ καὶ ἴδιον γνώρισμα τῆς μηχανικῆς φυσιολογίας ὑπάρχει. Ἔτι δὲ οὐ μίαν ἁπλῶς τὴν αἰτίαν εἶναι τὴν κινοῦσαν ὁ Ἐμπεδοκλῆς ἀπεφήνατο, ἀλλὰ δύο ἀντὶ μιᾶς πρῶτος αὐτὸς εἰσήνεγκε, τὴν ἑτέραν τῇ ἑτέρᾳ ἐναντίαν οὖσαν (ε). Δόξαν γὰρ αὐτῷ τὸ γίγνεσθαι λειτουργίαν εἶναι δισσήν, σύγκρισίν τε καὶ διάκρισιν, ὡς ἀναγκαῖον ὂν ὑπέλαβεν καὶ τὴν κινοῦσαν αἰτίαν δίχ' ὡσαύτως διαλαβεῖν εἴς τε τὴν συγκριτικὴν καὶ τὴν διακριτικήν· καὶ τὴν μὲν φιλότητα ἀπεκάλει καὶ ἁρμονίαν καὶ στοργήν, Ἀφροδίτην τε καὶ Κύπριν, τὴν δ' ἑτέραν τὴν διακριτικὴν νεῖκος, ἔχθος, κότον τε καὶ δῆριν (ϛ). Οὐ μέν τοι ἀκριβῶς τὴν ἑτέραν τῆς ἑτέρας τούτων τῶν δυνάμεων ὁ Ἐμπεδοκλῆς ἕως τέλους διωρίσατο, ἅτε δὴ φύσει τὸν χωρισμὸν μηδαμῶς δεχομένας. Διὸ δὴ καὶ τὴν φιλίαν συνθετικὴν οὖσαν δύναμιν ἀποφηνάμενος, τὸ δ' αὖ νεῖκος

(ε) Ἀριστοτέλης ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ (δ', ἑ.) « Ἐμπεδοκλῆς παρὰ τοὺς πρότερον πρῶτος ταύτην τὴν αἰτίαν (τὴν κινητικὴν) διελών, εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν τῆς κινήσεως ἀρχήν, ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. »

(ϛ) Ἐμπεδ. στίχ. ϟδ'. ϟέ. Διογ. Λ. Η, ος'. « φιλία, ᾗ συγκρίνεται, καὶ νεῖκος, ᾧ διακρίνεται. »

ἀποσυνθετικὴν τἀναντία τούτων αὖθις παραδίδωσιν, αὐτὸ μὲν τὸ νεῖκος ὡς συνέχον τε καὶ κοσμοποιοῦν, τὴν δὲ φιλίαν ὡς δύναμιν χωρίζουσαν, οὗ γε ἕνεκα καὶ Ἀριςοτέλης (ἔν τε τῷ αφ τῶν μετὰ τὰ φυσικὰ δ'. ή, κ.φ.ξ. καὶ ἐν τῷ γφ, δ', ιθ', κ.φ.ξ.) φησὶν ὅτι ὁ Ἐμπεδοκλῆς χρῆται μέν πως οἷς ἔθετο τῶν ὄντων αἰτίοις « οὐ μὴν οὐθ' ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον. Πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος συγκρίνει· ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διϊστῆται τὸ πᾶν ὑπὸ τοῦ νείκους, τό, τε πῦρ εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· ὅταν δὲ πάλιν πάντα ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἓν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν.» Καὶ ὡς ἀληθῶς εἰπεῖν ψιλή τις θεωρία καὶ ἀνήνυστος ἂν εἴη τὸ κατὰ τὴν γένεσιν τῶν ὄντων συγκριτικὴν ἀποκριτικῆς δυνάμεως, ὡς ἕτερον ἑτέρου ὄντα, ἑκάστοτε διαστέλλειν· καὶ γὰρ ἑκατέρα αὐτῶν εἰδοποιός τις ἀρχὴ ὁμοίως ἀναδείκνυται.

Ε'. *Περὶ τῶν τοῦ κόσμου περιόδων.*

Ἡγεῖτο δὲ ὁ Ἐμπεδοκλῆς ἀμφοτέρας τὰς ἄρτι λεχθείσας αἰτίας τὰς κινητικὰς ἑκατέραν ἑκατέρας ἐναλλὰξ ἑκάστοτ' ἐπικρατεῖν· τὸ μὲν οὖν ἐξ ἀρχῆς, τὰ τέσσαρα ἐκεῖνα ῥιζώματα ἢ στοιχεῖα μήπω χωρὶς ἀλλήλων εἶναι, ἅμα πάντα ἐν μορφῇ Σφαίρου ὄντα. Ἐν τούτῳ δὴ τῷ Σφαίρῳ μόνην τὴν φιλίαν ἰσχύειν τηνικαῦτα, ἡσυχίαν τ' εἶναι παντελῆ καὶ ἁρμονίαν, τὰ πάντα ὄντα ἓν, διὸ δὴ καὶ τὰ ἐπὶ μέρος ὄντα μήπω τόθ' ὑπάρχειν. Χρόνῳ δ' ὕστερον τὸ νεῖκος, ἔξω που τέως ὄν,

ἀπὸ τῆς περιφερείας εἰς τὸν σφαῖρον ἐκεῖνον ἐπεισδῦν, διαῤῥῆξαι αὐτόν· καὶ τὸν τρόπον τοῦτον τὴν μονάδα εἰς τὰ πολλὰ ἀποσχισθῆναι· ἀρχὴν δ' οὕτω λαβεῖν ἔφασκε τὴν περίοδον τῶν ἐναντιοτήτων, τῆς μεταβολῆς, τῆς τε συγκρίσεως καὶ ἀποκρίσεως (ζ), καὶ δὴ καὶ τόν γε νῦν κόσμον ὄντα συστῆναι, ἐν ᾧ φιλίαν καὶ νεῖκος ἀλλήλοιν ἀντίξοα φέρεσθαι. Τά τε ἔχθει ἀπ' ἀλλήλων διαφύντα ἐπερχομένην τὴν φιλίαν ἀεὶ αὖθις εἰς καινὰ πλάσματα συναρμόζειν, τὰ μὲν χρονιώτερον ἔμπεδα μένοντα, οἷόν περ τὸ ξύμπαν τόδε ἔφυ, τὰ δὲ βαιὸν χρόνον ἐπισχόντα, διαφυέντα πάλιν οἴχεσθαι, ἀεὶ εἶδος μεταλλάσσοντα, οἷά περ πάντα τὰ καθ' ἕκαστον στοιχειώδη τε καὶ ὀργανικὰ ὄντα. Ἀλλὰ καὶ τοῦτον τὸν κόσμον, χρόνου τοῦ εἱμαρμένου αὐτῷ γενομένου, αὖθις εἰς τὸν σφαῖρον ἐκεῖνον, ἐπανιέναι. Εἴρηκε δὲ ταῦτα ἐν τῷ πρώτῳ τῶν φυσικῶν ὧδέ πως·

πείρατα μύθων
δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι.
Τοιήδε θνητῶν γένεσις, τοιήδ' ἀπόλειψις·
τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' αὔξει τε,
ἡ δὲ πάλιν διαφυομένων θρυφθεῖσα διέπτη·
καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει.
Οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι,
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι,

(ζ) Ἀριστοτέλης ἐν γ'. τῶν μετὰ τὰ φυσικά, δ'. κά. « εἰμὴ ἦν τὸ νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὥς φησιν. »

τῇ μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητα κατὰ κύκλον.

— — —

Ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο,
καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐν μέρει αἴσης·
αὐτὰ γὰρ ἔστι γε ταῦτα, δι' ἀλλήλων δὲ θέοντα
γίγνοντ' ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν,
ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἕνα κόσμον,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει,
εἰςόκεν ἂν συμφύντα τὸ πᾶν ὑπένερθε γένηται.
(Ἔπιθι δὲ καὶ Ἀριστοτέλους φυσικῶν βιβλίον ὄγδοον α'.)

Οὗτος δὲ ὁ κατὰ περιόδους τινὰς ἐν τῷ μέρει γιγνόμενος κόσμος, ἀπὸ τοῦ Σφαίρου προκύπτων καὶ εἰς τὸν Σφαῖρον ἐπανιὼν, διατελεῖ ἀεὶ ἐπ' ἄπειρον τείνων, ἅτε δὴ μηδετέρου τῶν αἰτίων τῶν κινητικῶν τὸ ἕτερον δυναμένου καταλῦσαι.

Καὶ τὰ καθ' ἕκαστον δὲ τῆς παρ' Ἐμπεδοκλεῖ φυσικῆς, ὡς ἐκ τῆς τῶν στοιχείων φύσεως τὰς τοῦ ὀργανικοῦ βίου λειτουργίας, μάλιστα δὲ τήν τε αἴσθησιν καὶ ἀντίληψιν τῶν ὄντων πειρωμένης διασαφῆσαι, οὐ πάνυ τι ἀλυσιτελῆ τυγχάνει ὄντα εἰς ἐπιστημονικὴν τῆς φύσεως ἐπίσκεψιν. τῆς γὰρ αἰσθήσεως τῶν ὄντων τοιάνδε τινὰ αἰτίαν ὁ Ἐμπεδοκλῆς προφέρεται, τὴν καθ' ὕλην σύνθεσιν τοῦ τε κατ' ἀνθυπόστασιν ὁρατοῦ καὶ αὐτοῦ τοῦ ὁρῶντος προσώπου μίαν καὶ τὴν αὐτὴν εἶναι λέγων. Πᾶσαν οὖν αἴσθησιν λεπτοφυέσι τισὶ τῆς ὕλης μορίοις γίγνεσθαι, ἅπερ ἀπὸ τῶν ἐκτὸς αἰσθητῶν ὄντων ὁπωςδήποτ' ἐκλυόμενα, οὐσίαις ὁμοφυέσι ταῖς παρ' ἑκά-

ὅτῳ τῶν αἰσθητηρίων τοῦ σώματος ὀργάνων συναντᾷ· ὁμοίῳ γὰρ ὁμοῖον ἀεὶ γινώσκεσθαί φησιν, οὑτωσὶ λέγων·

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργῇ δὲ στοργὴν, νεῖκος δέ τε νείκεϊ λυγρῷ·
ἐκ τούτων γὰρ πάντα πεπήγασιν ἁρμοσθέντα,
τκε'. καὶ τούτοις φρονέουσι καὶ ἥδοντ' ἠδ' ἀνιῶνται.

Ἀλλὰ καὶ τὴν αἴσθησιν οὐθὲν ἄλλ' ἔφασκεν εἶναι ἢ μῖξίν τινα τῶν στοιχείων καὶ εἰς ἄλληλ' ἔνεσιν, οἵαν καὶ πᾶσαν ἄλλην φυσικὴν γένεσιν. Καὶ μὴν καὶ αὐτὸ τὸ ἐννοεῖσθαι καὶ ἐνθυμεῖσθαι καὶ τὸ ἐπιλογισμῷ τὰ ὄντ' ἐπιγιγνώσκειν τῷ αὐτῷ τρόπῳ εὐοδοῦσθαι ἔλεγεν. πᾶν γὰρ φρονήσεως μετειληχέναι καὶ νοήματος.

τιγ'. Πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

Καὶ τὴν δι' ἐπιλογισμοῦ ἄρα τῶν ὄντων νόησιν προσὸν εἶναι ἔλεγε τοῦ καθόλου σωματοειδοῦς ὄντος. Εἶναι δ' ἀνθρώπῳ τὸ γνωστικὸν ἐν τῷ αἵματι· ἐν τούτῳ γὰρ τὰ στοιχεῖα ἐντελέστατα ἀλλήλοις συμπεφῦρθαι· ἐν τῷ αἵματι ἄρα καὶ τὴν δύναμιν ἐνιδρῦσθαι, δι' ἣν παντοδαπῶς τὰ ὄντα ληπτὰ τῷ ἀνθρώπῳ γίγνεται. Ἡ φρὴν, φησί,

τιε'. αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀμφιθροῶντος,
τῇ τε νόημα μάλιστα κυκλίσκεται ἀνθρώποισιν·
αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.
(Ἔπιθι καὶ τὸ περὶ αἰσθήσεως τοῦ Θεοφράστου §. ι'.)

Τὰ δὲ θρησκευτικὰ τοῦ Ἐμπεδοκλέους δόγματα ὅτι ἦν ποτε χρόνος ἄλλος πρότερον, ἐν ᾧγε ὁ ἄνθρωπος,

πρὶν ἐν τῷδε τῷ σώματι, ὡς ἐν σήματος μοίρᾳ, καθείρχθη, πανόλβιόν τινα καὶ μακάριον βίον διῆγε, θεοῖς ἀθανάτοις παραπλήσιος ὤν, εἶτα δ' αὐτοῦ ἐστερήθη ὡς ἁμαρτήμασι περιπεπτωκὼς, δι' ὧν ἡ μὲν ἐξ ἀρχῆς τῶν ὄντων ἁπάντων ἁρμονία συνεχύθη, τοῦ δ' ἀνθρώπου βίος καὶ δίαιτα κατεψηφίσθη πολύμοχθος ἐν ταῖς κατωτάτω τῆς γῆς χώραις, ἔνθα ἔριδές τε καὶ ἔχθη καὶ ἀθλιότης ἐπικρατεῖ, πᾶν δὲ τὸ κακὸν δίκην τῆς πρῴην ἀδικίας τείνει, ἀεὶ πλάνην ἀλγεινὴν περιπλανώμενον, ἄλλα ἐξ ἄλλων θνητῶν ὄντων εἴδη μεταλλάσσον, νῦν μὲν ἀνθρώπου, νῦν δὲ θηρὸς ἀγρίου, ἄλλοτε δ' αὖ φυτοῦ καὶ τῶν τοιούτων· ἔτι δ' ὅτι καὶ ἐπ' αὐτῆς τῆς γῆς ἦν ὅτε εἰρήνη πανταχοῦ ἔλαμπέ τε καὶ ἐβασίλευεν ἀντὶ τῆς νῦν οὔσης διχονοίας τε καὶ ἀστοργίας· πάντα ταῦτα ἐμφανῶς μὲν τῇ λοιπῇ φιλοσοφίᾳ αὐτοῦ συνᾴδει, οὐ μέντοι ἐπιστημονικῶς τε καὶ κατ' ἀνάγκην ἀλλήλοις συνηρμοσμένα τυγχάνει· διὸ δὴ καὶ μᾶλλον τῇ ἱστορίᾳ τῆς θρησκείας ἢ τῇ τῆς φιλοσοφίας ἀνήκει.

ϛ'. *Μετάβασις ἐπὶ τὸν Ἀναξαγόραν.*

Χωλαίνει δὲ μάλιστα τῆς Ἐμπεδοκλέους φιλοσοφίας τὸ περὶ τῶν δυνάμεων δόγμα. Φιλία γὰρ καὶ νεῖκος οὐθὲν ἄλλο τυγχάνουσιν οὖσαι ἢ ἀφῃρημέναι καὶ μυθώδεις τινὲς δυνάμεις οὐδ' ὁπωστιοῦν οἷαίτε οὖσαι τῆς ἐν τῷ διακόσμῳ τῶν ὅλων εἴς τι τέλος τεινούσης Φρονήσεως λόγον τὸν προσήκοντα ἀποδοῦναι. Πρόοδον ἄρα οὐ τὴν τυχοῦσαν ἐν φιλοσοφίᾳ λογιστέον ὅτι Ἀναξαγόρας, πρεσβύτερος μὲν τῇ ἡλικίᾳ Ἐμπεδοκλέους γενόμενος, διὰ δὲ τὸ ἐμβριθὲς καὶ γενναῖον τῆς

φιλοσοφίας αὐτοῦ ὑπὸ τοῦ Ἀριστοτέλους ὕ σ τ ε ρ ο ς λεγόμενος, (*) ἀντ' ἀσαφῶν καὶ οἷον ζόφῳ ἐπηλυγαζομένων παρ' Ἐμπεδοκλεῖ τῶν κοσμοποιῶν δυνάμεων, αὐτὸ τοῦτο λαμπρῶς πάνυ ἐφθέγξατο, Νοῦν εἶναι τὸ Ξύμπαν τόδε διακοσμοῦντα, Νοῦν κατὰ βούλησιν καὶ λυσιτέλειαν δρῶντα, Νοῦν τὴν πρώτην τῶν ὄντων κινητικὴν αἰτίαν εἰπών.

§. ΙΑ'. ΑΝΑΞΑΓΟΡΑΣ.

ά. *βίος αὐτοῦ.*

Ἀναξαγόρας Ἡγησιβούλου ἢ Εὐβούλου Κλαζομένιος γεγονέναι λέγεται τῷ τρίτῳ ἔτει τῆς ξα' ὀλυμπιάδος, ὅ ἐστι φλδ' π. Χ. (α). πλουσίου δὲ καὶ περιφανοῦς οἴκου γενόμενος, τῆς τε πράξεως τῶν πολιτικῶν πραγμάτων καὶ τῆς τῶν ἰδίων διαχειρίσεως πολλῶν τε καὶ μεγάλων ὄντων ἀπέστη (β), ὅπως ὅλος τῇ φιλοσοφίᾳ ἀφουσιοῦσθαι δύναιτο, μάλα πεποιθὼς σκοπὸν ἀληθῆ τοῦ ἐνθάδε βίου μηδένα ἄλλον εἶναι ἢ τὸ θεωρεῖν τὸν οὐρανὸν καὶ τὴν περὶ τὸν ὅλον κόσμον τάξιν (γ). Ὀλίγῳ δ'

(*) « Τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις ὕστερος ». [ἐν τῷ Αῳ τῶν μετὰ τὰ φυσικὰ γ'. ιγ'.].

(α) Κατὰ Κ. Φρ. Ἕρμαννον de phil. jon. aetat. p. 18 ff. πρβλ. μέν τοι καὶ Σελλερίου Τ. α'. σελ. 663 κ.φ.ξ. ἔνθα τὸ φ'. ἔτος π. Χ. πιθανώτερον φαίνεται.

(β) Καὶ Πλάτων ἐν Ἱππίᾳ μείζονι (σελ. σπγ'. ά.) λέγει· « Ἀναξαγόραν, καταλειφθέντων αὐτῷ πολλῶν χρημάτων, φασὶ καταμελῆσαι καὶ ἀπολέσαι πάντα ». Δ. Λ. Β, ς, ζ'.

(γ) Δ. Λ. Β, ι'. ζ'. — Ἀριστ. ἠθικ. Εὐδημ. Α, ἑ. « Ἀναξαγόραν

ὕστερον τῶν περσικῶν ἀπὸ Κλαζομενῶν εἰς Ἀθήνας μεταναστεύσας, τὸν τῆς φιλοσοφίας σπινθῆρα εἰς ἱερὰς ἐκόμισεν Ἀθήνας καὶ αἱ Ἀθῆναι ἑστία ἐγένετο φιλοσοφίας, ἥπερ τοῦ λοιποῦ, ὡς ἀστὴρ τηλαυγὴς, πόῤῥω πάνυ τοῦ παλαιοῦ κόσμου διετέλεσε λάμπουσα. Ἀθήνησι δὲ ὁ Ἀναξαγόρας διατρίβων, πολλοῖς τῶν κατ' ἐκεῖνον τὸν χρόνον εἰς τὰ μάλιστα εὐδοκιμούντων ἀνδρῶν καὶ δὴ καὶ Περικλεῖ τῷ πάνυ, οὗ καὶ διδάσκαλόν φασιν γενέσθαι, (Διόδ. ιβ'. λθ'.) εἰς φιλίαν τε καὶ οἰκειότητα συνήρμοστο. Ἀλλὰ μὴν καὶ ὑπὸ Εὐριπίδου οὐκ' ὀλίγον λέγεται ὁ ἀνὴρ θαυμασθῆναι, ὡς ἄν τις καὶ ἐκ τῶν ἐκείνου δραμάτων ἱκανῶς εἰκάσειε (δ). Τὴν δὲ πρὸς Περικλέα φιλίαν πολλοὺς αὐτῷ ἐχθροὺς παρασκευάσαι φασὶ καί ποτε καὶ εἰς τοὺς δικαστὰς ἐγκληθέντα ἐν τῷ δεσμωτηρίῳ καθεῖρχθαι. Τὰ δὲ περὶ τὴν γραφὴν ἥν περ, ὡς

φασὶν ἀποκρίνασθαι πρός τινα διερωτῶντα, τίνος ἕνεκ' ἄν τις ἕλοιτο γενέσθαι μᾶλλον ἢ μὴ γενέσθαι, τοῦ φάναι θεωρῆσαι τὸν οὐρανὸν καὶ τὴν περὶ τὸν ὅλον κόσμον τάξιν. Οὗτος μὲν οὖν ἐπιστήμης τινὸς ἕνεκεν τὴν αἵρεσιν ᾤετο τιμίαν εἶναι τοῦ ζῆν. »

(δ) Valckenari Diatribe in Eurip. reliq. p. 27 ed. Lips. Εὐριπίδης ἀεὶ θαυμαστὴς ὢν Ἀναξαγόρου διετέλει. Διὸ καὶ ἐν οἷς φησίν, οἷόν γε δεῖν εἶναι τὸν φιλόσοφον, Ἀναξαγόραν ἴσως ὑπαινίσσεται, ὧδέ πως λέγων·

Ὄλβιος ὅστις
γῆς ἱστορίας ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνας
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν·
ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρω, πῇ τε συνέστη·
τοῖς γε τούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέτημα προςίζει.

Παρὰ Κλήμεντι τῷ Ἀλεξ. Στρώμ. Δ'. σελ. 634.

ἔοικεν οἱ τῷ Περικλεῖ ἀντιπολιτευόμενοι ἐγράψαντο, (ε) ποικίλως πως καὶ οὐκ ἔξω πάσης ἀμφιβολίας λεγόμενά ἐστι (ϛ), πλήν γε δὴ ὅτι ἀσεβείας ἕνεκεν ἐγένετο, ὥς που καὶ Διόδωρός φησιν (ιϐ'. λθ'.) « ὡς ἀσεβοῦντα εἰς τοὺς θεοὺς ἐσυκοφάντουν ». Κατηγορεῖτο δὲ μάλιστ' αὐτοῦ ὅτι τὸν μὲν ἥλιον λίθον εἶναι ἀπεφήνατο, τὴν δὲ σελήνην γῆν (ζ), τά τε ἐν ταῖς θυσίαις ἐπιφαινόμενα Διοσημεῖα εἰωθότα τῆς φύσεως φαινόμενα ἔφασκεν εἶναι (Πλούτ. ἐν β. Περικλ., ϛ'.) καὶ τοῖς Ὁμηρικοῖς μύθοις ἠθικὰς ἐννοίας ὑπεβάλλετο, τὰ τῶν θεῶν ὀνόματα ἀλληγορικῶς ἑρμηνεύων (Δ. Λ. Β. ιά.). Παρελθόντος δὲ τοῦ Περικλέους ἐπὶ τὸ βῆμα καὶ ὑπὲρ τῆς ἄλλης ἀρετῆς τἀνδρὸς κατὰ τὸν βίον πολλὰ συνηγορήσαντος, πεισθέντα φασὶ τὸν δῆμον ἀπολῦσαι τὸν Ἀναξαγόραν τοῦ δεσμωτηρίου· τὸν δὲ ἀναχωρήσαντα εἰς Λάμψακον κἀκεῖ ἐν μεγάλῃ ἀγόμενον τιμῇ τὸ ζῆν μεταλλάξαι, ἔτη δύο πρὸς τοῖς ἑβδομήκοντα βιώσαντα. Τὸ δὲ σύγγραμμα αὐτοῦ τὸ περὶ φύσεως, ἐξ οὗ Σιμπλίκιος πρὸ πάντων ἡμῖν λόγου πολλοῦ ἄξια ἀπασπάσματα διέ-

(ε—ϛ.) Δ. Λ. Β. ιϐ'.

(ζ) Πλάτ Ἀπ. σ. κϛ'. Δ. « Τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην γῆν. Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε. » Παρὰ δὲ Δ. Λ. Β, ή, ιϐ'. ιέ, τὸν μὲν ἥλιον « μύδρον διάπυρον εἶναι », « τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. » — Ὠριγ. φιλοσ. Α, ή. « Ἔφη γηΐνην εἶναι τὴν σελήνην, ἔχειν τε ἐν αὐτῇ πεδία καὶ φάραγγας. » αὐτόθι· « ἥλιόν τε καὶ σελήνην καὶ πάντα τὰ ἄσ ρα λίθους εἶναι ἐμπείρους συμπεριληφθέντας ὑπὸ τῆς αἰθέρος περιφορᾶς. Εἶναι τὴν σελήνην κατωτέρω τοῦ ἡλίου, πλησιώτερον ἡμῶν. Ὑπερέχειν δὲ τὸν ἥλιον μεγέθει τὴν Πελοπόννησον. » — Ὠριγ. αὐτόθι. « Τὸ δὲ φῶς τὴν σελήνην μὴ ἴδιον ἔχειν, ἀλλ' ἀπὸ τοῦ ἡλίου· ἐκλείπειν τὴν σελήνην γῆς ἀντιφραττούσης, τὸν δ' ἥλιον σελήνης ἀντιφραττούσης. »

σωσεν, ἣν ἐπὶ Πλάτωνος λίαν διαδεδομένον (η) καὶ μεγάλως ὑπὸ τῶν παλαιῶν ἐπῃνεῖτο. Τὰ δ' εἰς ἡμᾶς περιγενόμενα ἀποσπάσματα συνήθροισεν Σαϋβάχιος ᾳωκζ'. καὶ Σόρνιος ᾳωκθ'. (θ).

Ὅπως Ἀναξαγόρας περὶ τῆς τῶν ὄντων γενέσεως ἐδόξασεν.

Ἀναξαγόρας καθάπερ καὶ Ἐμπεδοκλῆς μηχανικῶς ἐνεχείρησε τὰ ἐν τῇ φύσει γιγνόμενα αἰτιολογῆσαι. Καὶ γὰρ καὶ οὗτος ὥςπερ Ἐμπεδοκλῆς γένεσιν οἱανδήτινα τῶν ὄντων ἄντικρυς ἀποφάσκει, οὑτωσὶ λέγων· «τὸ γίγνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα οὐδὲ γίγνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. Καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.» (ι). Ταὐτὸν δέ πως απο-

(η) Πλάτ. Ἀπολ. σ. κς', Δ. « Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε, καὶ οὕτω καταφρονεῖς τῶνδε καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι ὅτι τὰ Ἀναξαγόρου βιβλία γέμει τούτων τῶν λόγων; Καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας (*) πριαμένοις Σωκράτους καταγελᾶν.» (*) ἐκ τῆς ὀρχήστρας τοῦ Διονυσιακοῦ θεάτρου, ἥτις, ὅσον χρόνον δράματα οὐκ ἐδιδάσκετο, ἐν χρήσει βιβλιοπωλείου ἦν. Ἔπιθι Βοικχίου πολιτικὴν καὶ οἰκιακὴν οἰκονομίαν Α, 68. 153, καὶ προςθήκας σ. IV.

(θ) Anaxagorae fragmenta coll. Schaubach, Lips. 1827. — Anaxagorae et Diogenis Apolloniatae fragm. disposita et illustrata a G. Schorn, Bonnae 1829· — Ἔτι δὲ καὶ Βρεϊερίου « ἡ τοῦ Ἀναξαγόρου φιλοσοφία κατὰ τὸν Ἀριστοτέλη.» Ἐν Βερολίνῳ 1840.

(ι) Σιμπλ. εἰς τὰ φυσ. 34. (ἀπόσπ. κβ'. κατὰ Σαϋβ., ιζ', κατὰ Σόρνιον).

φαίνεται καὶ οὑτωσὶ λέγων· τὸ ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι καὶ ἐκ τοῦ ὄντος αὖ ἐς τὸ μηδὲν ἀφανίζεσθαι ἀμήχανόν ἐστιν ὅλως· τὸ γὰρ τῶν ὄντων ἄθροισμα, ἀεὶ ἴσον ἑαυτῷ παραμένει, οὔτε πληθυνόμενον οὔτ' αὖ μειούμενον· « Τουτέων δέ (φησιν) οὕτω διακεκριμένων, γιγνώσκειν χρὴ, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλέω· οὐ γὰρ ἀνυστὸν πάντων πλέω εἶναι, ἀλλὰ πάντα ἴσα ἀεί ». (ια).

Ἐκ ταύτης δὴ τῆς θεωρίας ὅτι πᾶσα μὲν τῶν ὄντων γένεσις σύγκρισίς τίς ἐστι, πᾶσα δ' αὖ ἀπώλεια απόκρισις τῶν πρώτων καὶ ἀναλλοιώτων τῆς ὕλης μορίων, ἐδέησε πάντως τὸν Ἀναξαγόραν ἄλλην παρὰ τὴν πρώτην ἐκείνην ὕλην ὑπολαβεῖν δύναμιν τὴν κινοῦσαν.

γ'. Οἷόν τινα ὑπέλαβε τὸν Νοῦν ὁ Ἀναξαγόρας.

Αὐτὴν δὲ τὴν κινοῦσαν αἰτίαν οὐχ ὁμοίως τῷ Ἐμπεδοκλεῖ ὁ Ἀναξαγόρας ὡρίσατο· τὸ γὰρ θεσπέσιον κάλλος καὶ τὸ εὔκοσμον καὶ λυσιτελὲς ἐν τῇ φύσει σκοπῶν, οὐχ οἷός τ' ἦν μὴ οὐκ ἀποδοῦναι τῇ αἰτίᾳ τῇ κινούσῃ τὸ κατά τι τέλος ἔσχατον μετὰ φρονήσεως δρᾶν (ιβ). Ὡρί-

(ια) Σιμπλ. εἰς τὰ φυσ. φύλλ. λγ'. (ἀπόσπ. ιδ'. κατὰ Σαΰβ. καὶ Σόρνιον).

(ιβ) Ἀριστοτ. ἐν τῷ πρώτῳ τῶν μετὰ τὰ φυσ. (κεφ. γ'.) φησὶν ὅτι μετὰ τοὺς παλαιτέρους φυσιολόγους καὶ ἃς ἐν ὕλης εἴδει πρώτας τῶν ὄντων ἀρχὰς ἔθεντο, ὡς οὐχ ἱκανῶν οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενοι τὴν ἑτέραν ἀρχὴν ἀνεβάλλοντο ζητεῖν, ὡς ἂν ἡμεῖς φαίημεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· « Τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ' ἄλλο τῶν τοιούτων οὐθὲν οὔτ' εἰκὸς αἴτιον εἶναι, οὔτ' ἐκείνους οἰηθῆναι· οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς εἶχεν. »

σατο τοίνυν τὴν αἰτίαν τὴν κινητικὴν ὥς τι ὂν φρόνησιν ἔχον καὶ πρός τι τέλος ἔσχατον ἐνεργοῦν, ὅπερ Νοῦν ἀπεκάλεσεν. Οὕτως ἄρα πρῶτος Ἀναξογόρας τὸν Νοῦν εἰς τὴν φιλοσοφίαν εἰσήγαγε (ιγ). Πάνθ' ὅσα δὲ προςόντα τῷ Νῷ ἀποδίδωσιν ἐξ αὐτῶν τῶν αἰτίων συνάγεται, ἐξ ὧν γε ὁρμηθεὶς ὄν τι τοιοῦτον ὑπάρχειν ἐπίστευσεν. Ἔστιν οὖν κατ' αὐτὸν ὁ Νοῦς κινήσεως ἀρχὴ, καίτοι αὐτὸς ἀκίνητος ὤν· μέμικται δ' οὐδενὶ, μόνος ὢν ἐφ' ἑωϋτοῦ, αὐτοκρατὴς, πάντων κρατῶν (ιδ).

« Τὰ μὲν ἄλλα (φησὶ) παντὸς μοῖραν μετέχει, νόος δέ ἐστι ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι, ἀλλὰ μοῦνον αὐτὸ ἐφ' ἑωϋτοῦ ἐστιν. Εἰ μὴ γὰρ ἐφ' ἑωϋτοῦ ἦν, ἀλλά τεῳ ἐμέμικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστιν, ὥςπερ ἐν τοῖσι πρόσθεν μοι λέλεκται· καὶ ἐκώλυεν ἄν αὐτὸν τὰ συμμεμιγμένα, ὥστε μηδενὸς χρήματος κρατέειν ὁμοίως, ὡς καὶ μοῦνον ἐόντα ἐφ' ἑωϋτοῦ (ιε). Ἔστι γὰρ λεπτότατόν τε πάντων χρημάτων καὶ καθαρώτατον (ις). καὶ γνώμην γε περὶ παντὸς πᾶσαν

(ιγ) Διογ. Λ. Β, ς'. « Πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν. » Ἀριστοτ. Μεταφ. Α, γ'. κγ'. (πρβλ. σημ. ιβ'.) « νοῦν δή τις εἰπὼν ἐνεῖναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τάξεως πάσης, οἷον νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς πρότερον. φανερῶς μὲν οὖν Ἀναξαγόραν ἴσμεν ἀψάμενον τούτων τῶν λόγων, αἰτίαν δ' ἔχει πρότερον Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν Οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες ἅμα τοῦ καλῶς τὴν αἰτίαν, ἀρχὴν εἶναι τῶν ὄντων ἔθεσαν καὶ τὴν τοιαύτην ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς οὖσιν. »

(ιδ) Ἔπιθι Βρανδισίου ἱστ. Τ. Αον, 246 κ. φ. ξ.

(ιε) Πρβλε. καὶ Σιμπλ. εἰς φυσ. φύλλ. λέ.

(ις) Πλούταρχος ἐν βίῳ Περικλέους δ'. « διακοσμήσεως ἀρχὴν νοῦν ἐπέστησεν καθαρὸν καὶ ἄκρατον. » Σιμπλ. εἰς φυσ. φύλλ. λγ'. φύλλ. σπέ. « Ἀναξαγόρας τὸν νοῦν ἀμιγῆ καὶ ἁπλοῦν ὑπέ-

ἴσχει καὶ ἰσχύει μέγιστον. Ὅσα τε ψυχὴν ἔχει καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, πάντων νόος κρατέει· καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νόος ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. Καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρῆσαι, ἔπειτε πλέον περιεχώρεε καὶ περιχωρήσει ἐπὶ πλέον. Καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα, πάντα ἔγνω νόος· καὶ ὁκοῖα ἔμελλεν ἔσεσθαι καὶ ὁκοῖα ἦν καὶ ἄσσα νῦν ἔστι καὶ ὁκοῖα ἔςαι, πάντα διεκόσμησε νόος, καὶ τὴν περιχώρησιν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ, οἱ ἀποκρινόμενοι. Ἡ δὲ περιχώρησις αὐτὴ ἐποίησεν ἀποκρίνεσθαι, καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμὸν καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρὸν καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. Μοῖραι δὲ πολλαὶ πολλῶν εἰσι· παντάπασι δὲ οὐδὲν ἀποκρίνεται, οὐδὲ διακρίνεται τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου, πλὴν νόου. Νόος δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μέζων καὶ ὁ ἐλάσσων· ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενὶ ἑτέρῳ ἀπείρων ἐόντων, ἀλλ' ὅτεῳ πλεῖςα ἔνι, ταῦτα ἐνδηλότατα, ἓν ἕκαστόν ἐστι καὶ ἦν ».

Εἴ τις οὖν ἐκ πάντων τῶν περὶ τοῦ Νοῦ ἄρτι ῥηθέντων τὰ μὲν ἄλλα ἀνεπαρκῆ, ὡς εἰκὸς, εὕροι πρὸς τὸ ἄϋλόν τι ὂν Αὐτὸν νοητὸν παντὸς τοῦ σωματοειδοῦς πάμπαν ἀπηλλαγμένον ἀποδεῖξαι, πεισθήσεται μέντοι πάντως τοιοῦτόν τι αὐτὸν ὑπολαβεῖν τὸν Ἀναξαγόραν ἑκάτερον

θετο. » Ἀριστοτέλης ἐν τῷ περὶ ψυχῆς Α, β'. « μόνον γοῦν φησιν αὐτὸν (τὸν νοῦν) τῶν ὄντων ἁ π λ ο ῦ ν εἶναι καὶ ἀ μ ι γ ῆ τ ε καὶ κ α θ α ρ ό ν. » Τοιούτοις δ' ἐπιθέτοις τὴν ἐσωτερικὴν οὐσίαν τοῦ Νοῦ ὁ Ἀναξαγόρας ἐκφαίνει.

τοῖν δυοῖν τούτοιν προσόντοιν ἀνασκεψάμενος, ἅπερ τῷ Νῷ ὁ Ἀναξαγόρας προςένειμεν, ὅτι γιγνώσκει τε (ιζ) καὶ ἑαυτῷ ὡς πρός τι τέλος δρῶντι ἤτοι τὰ ὄντα πάντα διακοσμοῦντι σύνοιδεν (ιη). « πάντα γὰρ διεκόσμησε νοῦς» εἰπών, ἀποδίδωσιν αὐτῷ ὅτι πρός τι τέλος καὶ ἁρμονίαν βλέπων, τὸ σύμπαν τόδε διέθετο. Ἐπεὶ οὖν Ἀναξαγόρας τὸν Νοῦν διϊθυντῆρα τῶν ὅλων εἶναι ὑπέλαβεν, εἰκότως ἄν τις νομίσειεν ὅτι καὶ τὴν εἴς τι τέλος τείνουσαν τοῦ Νοῦ ἐνέργειαν, ὡς ἐν τῇ τῶν ὅλων εὐκοσμίᾳ περιληπτὴν οὖσαν λόγῳ κατέδειξεν. Ἀλλὰ γὰρ τοῦτό γε οὐκ ἐποίησεν Ἀναξαγόρας, καὶ κατ' αὐτό γε τοῦτο ἐλλιπής ἐστιν ἡ φιλοσοφία αὐτοῦ. Ὁ γὰρ Νοῦς καίτοι ὡς μετὰ λόγου δρῶν ὑμνούμενος, ὡς ἄλλο μὲν οὐδὲν ὑπ' αὐτοῦ παρεισάγεται ἢ ὡς τὸ αἴτιον τὸ πρώτως κινοῦν· καὶ γὰρ αἴτιος μὲν κινήσεως τοῖς οὖσι πρώτης αὐτὸς γίγνεται, ἀλλὰ τῆς ἐσωτερικῆς αὐτῶν οὐσίας τε τε καὶ φυῆς καὶ τῆς τῶν ὅλων διακοσμήσεως πάμπαν ἀλλότριος ἐν λόγοις καθίσταται· ταύτην δὲ τὴν ἀντίφασιν, ᾗ περ Ἀναξαγόρας περιπέπτωκε, κατέδειξαν ἤδη καὶ οἱ πάλαι, μάλιστα δὲ Πλάτων καὶ Ἀριστοτέλης· καὶ περὶ τούτου Σωκράτης ἐν Φαίδωνι Πλάτωνος οὑτωσὶ

(ιζ) Ἀριστοτέλης ἐν τῷ περὶ ψυχῆς Α, β'. « Ἀποδίδωσι ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γιγνώσκειν καὶ τὸ κινεῖν. » Σιμπλ. εἰς φυσ. φύλλ. λγ'. « γνώμην περὶ παντὸς πᾶσαν ἴσχει. »

(ιη) « Πάντα διεκόσμησε Νοῦς. » Σιμπλ. εἰς φυσ. φύλλ. λέ. Πλάτων ἐν Φαίδωνι σελ. ϟζ'. « Ἀναξαγόρου λέγοντος, ὡς ἄρα νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος. » Καὶ ἐν Κρατύλῳ σελ. υ'. « Νοῦν τε καὶ ψυχὴν εἶναι τὴν διακοσμοῦσαν. » σελ. υιδ'. « αὐτοκράτορα ὄντα καὶ οὐδενὶ μεμιγμένον πάντα φησὶν αὐτὸν κοσμεῖν τὰ πράγματα διὰ πάντων ἰόντα. »

διαλέγεται (σελίδι ϟζ΄.)· « Ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινὸς, ὡς ἔφη, Ἀναξαγόρου ἀναγιγνώσκοντος καὶ λέγοντος, ὡς ἄρα νοῦς ἐστιν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ ἤδη τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ, ὅπῃ ἂν βέλτιστα ἔχῃ· εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ λόγου τούτου οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον· ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. Ταῦτα δὴ λογιζόμενος ἄσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν — ἀπὸ δὴ θαυμαστῆς, ὦ ἑταῖρε, ἐλπίδος ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν καὶ ἀναγινώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα. » Ἀναξαγόρας οὖν ἀντὶ τοῦ τὰς πρώτας τῶν ὄντων αἰτίας ἀναζητεῖν, πολὺς ἦν τὸν νοῦν προσέχων ταῖς μεσολαβούσαις. Ὥσπερ οὖν Πλάτων οὕτω καὶ Ἀριστοτέλης περὶ τοῦ φιλοσόφου κρίνει· φησὶ γοῦν ὅτι « μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν (ἀπὸ τῆς θεατρικῆς σκηνῆς τὴν εἰκόνα παραλαμβάνων), καὶ ὅταν ἀπορήσῃ, διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης

ἐστί, τότε παρέλκει αὐτὸν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν » (ιθ).

δ'. Ἡ παρ' Ἀναξαγόρᾳ κοσμοποιΐα.

Τούτῳ δὴ τῷ νῷ δημιουργῷ μὲν τοῦ κόσμου οὐδαμῶς ὄντι, διϊθυντῆρι δὲ μόνον καὶ κυβερνήτῃ, συνυποτίθεται κατ' Ἀναξαγόραν, ὡς ἀρχῆθεν ἐπίσης οὖσα ἡ ὕλη. Αὕτη δὲ ἡ ὕλη, πρὶν ἢ ὁ Νοῦς ἤρξατο διακρίνειν τε τὰ ὄντα καὶ διακοσμεῖν, φύρδην μίγδην ὥςπέρ τι χάος ἦν συμμεμιγμένη. Ἄρχεται οὖν Ἀναξαγόρας τῆς συγγραφῆς αὑτοῦ, τὴν κατάστασιν ἐκείνην τῆς ὕλης οὑτωσὶ περιγράφων· « Ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα. Καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν. Καὶ πάντων ὁμοῦ ἐόντων, οὐδὲν εὔδηλον ἦν ὑπὸ σμικρότητος. Πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει (κ). Ὄντων δὲ πάντων ὁμοῦ, νοῦς ἐπελθὼν διεκόσμησεν (κα).

Πάντων γὰρ οὕτως ἅμα πεφυρμένων, τὸν δ' ἄπειρον χρόνον ἠρεμούντων, ὁ νοῦς κίνησιν ἐνεποίησεν ἐγκύκλιον ἢ δῖνον· τούτων δ' ἀεὶ μᾶλλον κινουμένων, ἔκκρισις ἐγένετο τῶν ὁμοιομερῶν καὶ δὴ καὶ σύστασις τοῦ νῦν δὴ ὑπάρχοντος κόσμου (κβ). « Ἐπεὶ ἤρξατο (φησὶν)

(ιθ) Μεταφ. Α. δ, ζ'.

(κ) Παρὰ Διογένει τῷ Λαερτίῳ Β, ς'. καὶ Σιμπλικίῳ εἰς φυσ. φύλλ. λγ'. (ἀποσπ. ά. κατὰ Σαΰβ. καὶ Σόρν.). πολλαχοῦ τῶν Πλάτωνος διαλόγων, φέρ' εἰπεῖν ἐν Φαίδωνι σελ. οβ'· «Τὸ τοῦ Ἀναξαγόρου « ὁμοῦ πάντα χρήματα. » —

(κα) Παρ' Ὠριγένει φιλοσ. Α, ή.

(κβ) Ἀριστοτ. φυσ. βιβλ. η, α. « Φησὶν Ἀναξαγόρας, ὁμοῦ πάντων

ὁ νόος κινέειν, ἀπὸ τοῦ κινεομένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νόος, πᾶν τοῦτο διεκρίθη· κινεομένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις (περιδίνησις) πολλῷ μᾶλλον ἐποίεε διακρίνεσθαι.» Τὰ δὲ ὁμοιομερῆ ἀποκριθέντα ἀπὸ τοῦ πρωτογόνου ἐκείνου μίγματος, εἰς μείζονας καὶ ἐλάσσονας μάζας συνῆλθεν. Καὶ τὸ μὲν ἀραιὸν καὶ θερμὸν καὶ ξηρὸν καὶ λαμπρὸν εἰς τὸ πρόσω τοῦ αἰθέρος ἐξεχώρησεν· τὸ δ' αὖ πυκνὸν καὶ ζοφερὸν καὶ διερὸν εἰς ἀέρα συνεχώρησεν, ἐκ δὲ τοῦ ἀέρος διὰ τῆς κινήσεως τὸ ὕδωρ παρήχθη καὶ ἐκ τούτου πάλιν ἡ γῆ ἀπεκρίθη· ἐκ δὲ τῆς γῆς λίθος συμπήγνυται ὑπὸ τοῦ ψυχροῦ. Λίθοι δὲ ἰσχυρῶς περιδινούμενοι ὑπὸ τῆς μηδὲν ἐκλιπούσης κινήσεως πρὸς τὸν ἄνω χῶρον ὁρμήσαντες καὶ τὴν κίνησιν ἀεὶ τηροῦντες, εἰσὶν οἱ ἀστέρες οἵ γε ὑπὸ τοῦ φαεινοῦ αἰθέρος διακαέντες, τὴν ἐν τῷ μέσῳ τοῦ σύμπαντος ἱδρυμένην γῆν καταυγάζουσί τε καὶ θάλπουσιν. Ἡ δὲ γῆ τὰ ἐν τῷ ἀέρι τε καὶ αἰθέρι ἐξ ἀρχῆς ὑπάρχοντα σπέρματα πάντων χρημάτων δεξαμένη, φυτά τε καὶ τἆλλα ζῶα ἔφυσεν, ἀμφότερα κατ' Ἀναξαγόραν ψυχῆς κατὰ τὸ μᾶλλον καὶ ἧσσον μετέχοντα· φυτά τε δὴ καὶ ζῶα κατ' αὐτὸν ὑπάρχει ὄντα, ἐν οἷς πρὸς τῇ σωματοειδεῖ ὕλῃ καὶ νοῦς ἢ ψυχὴ ἔνεστιν, αἰτία αὐτοῖς οὖσα αἰσθήσεως καὶ κινήσεως καὶ πράξεως κατὰ βούλησιν, ἔτι δὲ ἀντιλήψεως τῶν ὄντων καὶ ἐπιγνώσεως· ἀλλ' ἔστιν οἷς μὲν τούτων μείζων νοῦς ἔνεστι, ἔστι δ' οἷς ἐλάσσων· πάντα δ' ὁμοίως ὄντα ἐστὶν, ἐν οἷς γε ὁ τὸ σύμπαν τόδε ἔχων νοῦς καὶ ὡς εἶδος ἅμα τοῖς

ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι.» ἠρέμει δὲ τὸ πᾶν ὅτι, οὐδεμιᾶς κατ' ἀρχὴν τῇ ὕλῃ δυνάμεως κινητικῆς ἐνούσης, νοῦς ἐλθὼν κίνησιν αὐτῇ τὸ πρῶτον προσένειμεν.

καθ' ἕκαστον οὖσιν ἐπιμερίζεται· δόξειε δ'ἂν ἴσως αὕτη ἡ περὶ κόσμου ποίησιν θεωρία τοῦ 'Αναξαγόρου τὸ πρῶτον μὲν αὐτὴν ἀκούοντι παραπλησία που εἶναι τῇ 'Εμπεδοκλέους, ἀκριβέςερον μέντοι σκοπήσαντι μείζονα τὴν διαφορὰν αὐτῶν εἶναι ἢ τὴν ὁμοιότητα τὴν πρὸς ἀλλήλας. 'Εμπεδοκλῆς μὲν γὰρ ὡς τὸ πρῶτον, ἐξοῦ γε τὰ ἄλλα, ἁπλοῦν τι ἤτοι τὰ τέσσαρα στοιχεῖα τίθεται· εἶτα δὲ τῇ μίξει τούτων τῶν στοιχείων τὰ καθ' ἕκαστον αἰσθητὰ γίγνεσθαί φησιν, οἷον σάρκα καὶ ὀστᾶ καὶ τὰ παραπλήσια. Ὁ δ' οὖν 'Αναξαγόρας οἷον δὴ ἀκριβέστερον τὰ περὶ τὴν φύσιν θεωρήσας καὶ ἤδη πεπεισμένος τὰ τέσσαρα καλούμενα στοιχεῖα ἁπλᾶ μὲν μηδαμῶς, σύνθετα δὲ καὶ ταῦτα εἶναι ἐξ ἄλλων, τἀναντία τῷ 'Εμπεδοκλεῖ ἔφη, μῖξιν μὲν μηδαμῶς εἶναι τὸ πρῶτον (prius), ἔκκρισιν δὲ τῶν παντοδαπῶν ἐκείνων ὑλῶν, ἔν τε δευτέρῳ χρόνῳ σύγκρισιν τῶν ὁμοιομερῶν εἰς μείζονας καὶ ἐλάσσονας μάζας ἐπισυμβῆναι· ἑτεροῖον μὲν γὰρ ἑτεροίῳ οἷον ἀντίξουν ἦν τὸ πρῶτον, ὅμοιον δ' ὁμοίῳ οἷον φίλιον ὕστερον πελάζον, (κγ)· τῷ δ' ὄντως ὑπάρχοντι κόσμῳ καὶ τῷ ἐπ' ἄπειρον τῆς ὕλης πολυειδεῖ τὸν νοῦν ἐπιστήσας, οὐκ ἂν ἄλλως ἔχειν τἀληθὲς περὶ αὐτῶν εἰπεῖν ᾠήθη ἢ τὰ ἐπ' ἄπειρον τείνοντα εἴδη ἐξ ἀρχῆς γεγονέναι, ἤτοι τὰ οἱονπερεὶ στοιχεῖα, ἐξ ὧν γε ὁ κόσμος ὅδε, τὸ ἀνέκαθεν ἤδη οἷά γε καὶ τανῦν εἶναι ὑπολαβών. Ὅ,τι γὰρ ἀπὸ τῆς διαλύσεως τοῦ πρωτογόνου ἐκείνου μίγματος εἰς χρυσὸν συνεκρίθη, τοῦτο

(κγ) Πλούταρχος ἐν βίῳ Περικλέους δ'. ('Αναξαγόρας, φησί,) « διακοσμήσεως ἀρχὴν ἐπέστησε νοῦν ἀποκρίνοντα τὰς ὁμοιομερείας. « Σιμπλίκιος εἰς φυσ. φύλλ. ξζ'. (ἀποσπασ. ιή. παρὰ Σαϋβ., ζ'. παρὰ Σορνίῳ)· « Ὅσον ἐκίνησεν ὁ νόος, πᾶν τοῦτο διεκρίθη. »

χρυσὸν ἤδη καὶ ἐν ἐκείνῳ τῷ πρώτῳ μίγματι γεγονέναι. Ἐκ δὲ δὴ τῆς ἀποσυνθέσεως τῶν ποτὲ ἀλλήλοις συνεσχημένων τῆς ὕλης μορίων ἐπισυμβῆναι κατ' ἀνάγκην καὶ τόδε· τὰ γὰρ ὁμοιομερῆ ἔτι ἀμιγέστερα τῶν ἀνομοίων νῦν καταστάντα ἢ τὸ πρὶν, ἀλλήλοις οὕτω συνεληλυθέναι ὥστε μηκέτι τὸν κόσμον χάος τι συγκεχυμένον εἶναι, ἀλλὰ τὸ πᾶν ἐξ αὐτοῦ ἤδη προελθὸν, εὖ μάλα διατετάχθαι, ἐκ παντοίων μὲν γενῶν, παντοίων δὲ εἰδῶν οὐσίας (αἰθέρος, ἀέρος, ὕδατος, γῆς, ὀργανικῶν ὄντων) συγκείμενον. Ταύτῃ οὖν « Ἀναξαγόρας Ἐμπεδοκλεῖ ἐναντίως λέγει περὶ τῶν στοιχείων. Ὁ μὲν γὰρ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις στοιχεῖά φησιν εἶναι τῶν σωμάτων καὶ συγκεῖσθαι πάντ' ἐκ τούτων, Ἀναξαγόρας δὲ τοὐναντίον· τὰ γὰρ ὁμοιομερῆ (ἐκλαμβάνει ὡς) στοιχεῖα, λέγω δ' οἷον σάρκα καὶ ὀστοῦν καὶ τῶν τοιούτων ἕκαστον· ἀέρα δὲ καὶ πῦρ μῖγμα τούτων καὶ τῶν ἄλλων σπερμάτων πάντων. εἶναι γὰρ ἑκάτερον αὐτῶν ἐξ ἀοράτων ὁμοιομερῶν πάντων ἠθροισμένων (κδ)· » Ἐκεῖνα δὲ τὰ πρεσβύτατα τῶν σωμάτων στοιχεῖα, ἅπερ ἐν ἀρχῇ συμπεφυρμένα ἀλλήλοις ὑπῆρχεν, ἐκάλεσεν ὁ Ἀναξαγόρας πάντων χρημάτων σπέρματα. Οἱ δὲ ὅροι ὁμοιομέρειαι καὶ ὁ-

(κδ) Ἀριστοτέλης ἐν τῷ περὶ Οὐρανοῦ Γ, γ'. ὁ Αὐτὸς ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς, Α, ά. « Ἐναντίως φαίνονται λέγοντες οἱ περὶ Ἀναξαγόραν τοῖς περὶ Ἐμπεδοκλέα· ὁ μὲν γάρ φησι πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν στοιχεῖα τέσσαρα εἶναι καὶ ἁπλᾶ μᾶλλον, ἢ σάρκα καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα τῶν ὁμοιομερῶν, οἱ δὲ ταῦτα μὲν ἁπλᾶ καὶ στοιχεῖα, γῆν δὲ καὶ πῦρ καὶ ὕδωρ καὶ ἀέρα σύνθετα. » Ἀλέξ. Σχολ. εἰς Ἀριστ. Μεταφ. (τῆς μικρᾶς ἐκδόσεως τῶν σχολίων ὑπὸ Βρανδισίου σελίδι ιή.) Ἀναξαγόρας « τὸ ὕδωρ καὶ τὸ πῦρ καὶ τὴν γῆν οὐκ ἔλεγε στοιχεῖα, ἀλλὰ συγκρίματα. »

μοιομερῆ, οἷς χρώμενοι οἱ ὕστερον συγγραφεῖς τὰ παρ' Ἀναξαγόρᾳ στοιχεῖα ἐδήλουν (Διογ. Λαέρ. Β, ή.), ἀπὸ τοῦ Ἀριστοτέλους ἀρχὴν τὸ πρῶτον ἔλαβον· Ἀναξαγόρας δ' αὐτὸς οὐδαμοῦ φαίνεται τοῖς τοιούτοις κεχρημένος (κε). Ταῦτα δὲ τὰ πρῶτα στοιχεῖα ἢ σπέρματα ἀπείρως σμικρὰ εἶναι ἔφασκεν, ὥστε ταῖς αἰσθήσεσιν ἄληπτα καθίστασθαι· καὶ κατὰ τοῦτο παρεμφερῆ πως ἔοικεν εἶναι πρὸς τὰ τοῦ Δημοκρίτου ἄτομα· διαφέρει δ' αὖ ἀλλήλων ὅτι τὰ παρ' Ἀναξαγόρᾳ οὐχ ἁπλᾶ ἐστιν, ἀλλὰ συγκεκριμένα, οὐδ' ἀλλήλοις ὁμοιοειδῆ ἀλλ' «ἰδέας (μορφὰς) παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς. Πρὶν δὲ ἀποκριθῆναι ταῦτα, πάντων ὁμοῦ ἐόντων, οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμίη· ἀπεκώλυε γὰρ ἡ σύμμιξις ἁπάντων χρημάτων τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων πλῆθος, οὐδὲν ἐοικότων ἀλλήλοισιν· οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν ἔοικε τῷ ἑτέρῳ τὸ ἕτερον. Τουτέων δὲ οὕτως ἐχόντων ἐν τῷ σύμπαντι χρὴ δοκέειν ἓν εἶναι πάντα χρήματα.»

Ἀλλὰ καὶ ἐν τοῖς ἐπὶ μέρος σώμασιν ἐκκρίσει ἀπὸ τοῦ ἐξ ἀρχῆς ἐκείνου μίγματος ἀεὶ ἔτι ὁμοιομερῆ ἀνομοιομερέσι συνηρμοσμένα διατελεῖ· ἀνεφύη μὲν δὴ σώματα τὰ παντοῖα, ἐπεὶ ὅμοιον ὁμοίῳ φίλιον συνίζησε, ψῆγμα, φέρ' εἰπεῖν, χρυσοῦ ψήγματι χρυσοῦ· ἀλλὰ καὶ τὸ ἀνομοιοειδές, ὅπερ ἀρχῆθεν μεμιγμένον ὑπῆρχεν, οὐχ ὁλοσχερῶς αὐτοῦ ἀποκέκρουσται. Πολλῷ δὲ μᾶλλον τἀναντία ὁ Ἀναξαγόρας «μηδ' ἐνδέχεται, φησί, πάντα δια-

(κε) Ἔπιθι Βρεϊερίου, ἔν. ἀν. σ. 1—5ι. Καὶ Σελλερίου ἱστ. Α, σ. 671, κ.φ.ξ. —

κριθῆναι» ἀλλ' «ἐν παντὶ πάντα, οὐδὲ χωρὶς ἔστιν εἶναι· πάντα παντὸς μοῖραν μετέχει—ὅκως περὶ ἀρχὴν καὶ νῦν πάντα ὁμοῦ». «Οὐ (γὰρ) κεχώρισται τὰ ἐν τῷ ἑνὶ κόσμῳ, οὐδὲ ἀποκέκοπται πελέκεϊ, οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ, οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ.» (*) Ἀναξαγόρας οὖν ταῦτα εἰπεῖν ἀφορμὴν μάλιστα ἔλαβεν ἐκ τοῦ ὁρᾶν ἐν τῇ φύσει «ὁτιοῦν ἐξ ὁτουοῦν γιγνόμενον», ἕτερόν τε εἰς ἕτερον καὶ τὸ ἐναντιώτατον μεταβάλλεσθαι δυνάμενον (Ἀριστ. Φυσ. γ', δ'.), ὃ δὴ οὐχ' οἷον τ' ἂν ἦν γίγνεσθαι, εἰ μή γε ὁτιοῦν ἄλλο ὁτιοῦν καὶ τό γε ἐναντίον ἐν ἑαυτῷ λανθάνον περιελάμβανεν· ἐντεῦθεν δὴ καὶ παράδοξον τὸ θρυλλούμενον Ἀναξαγόρου, ὡς ἡ χιὼν μέλαινα εἴη, οἷον δὴ ὕδωρ πεπηγὸς οὖσα· τὸ γὰρ ὕδωρ ζοφερόν ἐστι (Cic. Lucull. 31, 100).

Πάντα τοίνυν τὰ σπέρματα τῶν ἐν τῇ φύσει ὄντων, τοῦτο μὲν μεριστά ἐστιν ἐπ' ἄπειρον καὶ μερικά, τὴν τοῦ ἰδίου εἴδους ἕκαστον φύσιν τηροῦν ἀμιγῆ, οἷον σπέρμα μὲν χρυσοῦ τὴν τοῦ χρυσοῦ φύσιν ἀμιγῆ, ὡς ἀπέφθου, ἀργύρου δὲ τὴν ἀργύρου, ἀδάμαντός τ' αὖ τὴν ἀδάμαντος καὶ σαρκὸς τὴν σαρκὸς καὶ περὶ τῶν ἄλλων ὡσαύτως, τοῦτο δ' αὖ πάντα ἀλλήλοις συμμεμιγμένα ὑπάρχει, οἷον σπέρμα μὲν χρυσοῦ σπέρματι ἀργύρου, ἀλλήλων μόνῃ τῇ ἐνδελεχῶς γιγνομένῃ ἐκκρίσει χωριζόμενα. Αὕτη οὖν ἡ Ἀναξαγόρου θεωρία ἀνάλογόν τι ἔχειν ἡμῖν δοκεῖ τῇ περὶ τῶν μονάδων τοῦ Λεϊβνιτίου· καὶ γὰρ οὗτος ἐν ἑκάστῃ μονάδι τὸ σύνολον τῶν ἄλλων μονάδων, ἤτοι πᾶσαν τὴν ἐλαστικὴν καὶ ἀεὶ ἀντιδρῶσαν οὐσίαν ἀνταυγάζεσθαι καὶ μηδεμίαν γε μηδεμιᾷ ἐντελῶς ὁμοίαν

(*) Ἐπιθ: ἀποσπάσματα ζ', ιβ', ιά, παρὰ Σαῦβαχίῳ.

εἶναι ἔλεγεν. — Ἔτι δὲ διάφορόν ἐστι τῶν Ἐμπεδοκλέους καὶ τόδε, ὅτι πᾶσα αἴσθησις καὶ πᾶσα κίνησις ἐνέργειά ἐστιν οὐ τῆς ὕλης, ἀλλὰ τοῦ ἐν τοῖς καθ' ἕκαστον ἐνόντος Νοῦ. καὶ ἐν τούτοις ἄρα ἡ Ἀναξαγόρου πραγματεία τὰ κατὰ ποιὸν διάφορα ἐναργῶς ἀλλήλων διακρίνειν προτίθεται, ὅπερ καὶ Ἐμπεδοκλῆς μὲν πρώην ἐνεχείρησεν, ἀλλ' οὐχ' οἷός τ' ἐγένετο ἐς τέλος ἀγαγεῖν.

Πρὸς δὲ τοῦτον τὸν αὐτοκρατῆ τὸν ἐν τῷ σύμπαντι ἐνόντα καὶ κατὰ βούλησιν δρῶντα Νοῦν ἀνάλογά ἐστι καὶ ὅσα περ ὀλίγα εἰς τὸν πρακτικὸν βίον χρήσιμα Ἀναξαγόρου παραγγέλματα μνημονεύεται. Τύχην γὰρ τὴν ἔξωθέν ποθεν ἡμῖν ἐν τῷ βίῳ συμβαίνουσαν τῶν ἀδιαφόρων τι εἶναι φέρεται λέγων, ὃ καὶ συνᾷδον ἐστὶ πρὸς τὸν λόγον αὐτοῦ τὸν πρόσθεν ῥηθέντα ὅτι τὸ θεωρεῖν τὸν οὐρανὸν καὶ τὴν περὶ τὸν ὅλον κόσμον τάξιν τιμαλφὲς τὸ ζῆν ποιεῖ καὶ λόγου ἄξιον. Ἐπιστημονικῶς μέντοι οὐδ' Ἀναξαγόρας τῇ πρακτικῇ φιλοσοφίᾳ, ἐς δέον ὡδοποίησεν.

έ. *Μετάβασις εἰς τὴν ἀτομολογίαν.*

Ἀναξαγόρας ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἤδη δεδήλωται τὴν τῶν ὄντων γένεσιν φυσιολογῶν, ἀντιφάσει περιπέπτωκε· νοῦν γὰρ φάμενος πρώτην αἰτίαν εἶναι τῆς γενέσεως τῶν πάντων, ὡς μηχανῇ τινι αὐτῷ κατὰ τὴν χρείαν ἐκέχρητο. Ἔτι δὲ μόνον ἐν ἀρχῇ τῆς κοσμοποιίας ὁ νοῦς ὑπ' αὐτοῦ ὡς τὸ αἴτιον τὸ κινοῦν εἰςάγεται. Ἔστι γὰρ ἄλλο μὲν οὐδὲν ἢ τὸ τὴν πρώτην κίνησιν παρέχον, ὡς ἀρχὴ κινήσεως μόνον ἐνεργοῦν. Προϊούσης δ' αὐτῷ τῆς κοσμοποιίας, ὁ νοῦς οὐδ' ὁπως-

τιοῦν ἐνεργῶν φαίνεται, ἀλλ' ἡ φύσις ἐφ' ἑαυτῆς φυσικοῖς τισιν ἑπομένη νόμοις διαμορφοῦται. Ὥςτ' εἰκότως ἄν τις τοὺς μηχανικῶς τὸν κόσμον φυσιολογοῦντας λόγον ἔχειν εἴποι, εἰ λυσιτελῆ τε καὶ ἑαυτῇ συνᾴδουσαν ἄλλην τινὰ φιλοσοφίαν εἶναι ὑπέλαβον, τὴν ἀτομολογίαν. Αὕτη γὰρ τὰς ἀτόμους οὐσίας ὡς τὸ πρῶτον ὑποτιθεμένη, πᾶν μὲν κινήσεως αἴτιον ὑπὲρ φύσιν ὄν, νοῦν μὲν ἐπίκλην ὄντα, κατὰ δὲ Ἀναξαγόραν μηχανικῶς μόνον δρῶντα, τοιούτου τινὸς παντάπασιν ἀφισταμένη, πολλῷ δὲ μᾶλλον τὰ ἐν τῇ φύσει μηχανικῶς γιγνόμενα, ὅπως ἂν ἑαυτῇ καλῶς τε καὶ οἰκείως ἔχοι, διεξερχομένη, τὴν τῶν ὄντων γένεσιν καὶ κίνησιν ἐξ αὐτῆς τῆς φύσεως τοῦ σωματοειδοῦς παραγαγεῖν πειρᾶται καὶ ὡς ἑνί γε λόγῳ εἰπεῖν, τὰ ἐν τῇ φύσει γιγνόμενα δι' αὐτῆς ταύτης τῆς φύσεως διασαφῆσαι προβάλλεται· εἴη ἂν ἄρα ἡ ἀτομολογία τρόπον τινὰ ἡ τελείωσις τῆς πρὸ Σωκράτους θετικῆς φυσιολογίας.

§. ΙΒ'. ΑΤΟΜΟΛΟΓΙΑ.

α'. Τίνες ἀρχηγοὶ τῆς ἀτομολογίας ἐγένοντο.

Τὴν περὶ τῶν ἀτόμων θεωρίαν ἐς μέσον ἐνεγκόντες φέρονται πρῶτοι Λεύκιππός τε καὶ Δημόκριτος. Καὶ δὴ καὶ οἱ παλαιοί, μάλιστα δὲ Ἀριστοτέλης ὥςγ' ἐπὶ τὸ πολὺ ὁμοῦ ἀμφοτέρους μνημονεύουσι τοὺς ἄνδρας, τὸν μὲν ὡς ἐπινοήσαντα, τὸν δὲ ὡς ἐπιστημονέστερον ἀσκήσαντα τὴν περὶ τὰς ἀτόμους οὐσίας θεωρίαν. Πλέον δ' οὐδέν ἐστιν ἡμῖν περὶ Λευκίππου γνωστόν· τὰ γὰρ περὶ αὐτόν τε τὸν Λεύκιππον καὶ τὰ δόγματα αὐτοῦ βαθεῖ σκότῳ ἀμφικεκαλυμμένα ὑπάρχει. φέρεται μὲν καὶ συγγράμματά τιν' αὐτοῦ, ἀλλ' ἤδη καὶ παρὰ τοῖς

πάλαι τὸ γνήσιον αὐτῶν σχολῇ γε βεβαιοῦται (α). Οὐδὲν δὲ λείψανον τὸ ἐπίπαν ἐς ἡμᾶς αὐτῶν περιγέγονεν. Ἐπεὶ οὖν ἴδιον Λευκίππῳ δόγμα ἀποδοῦναι οὐθὲν ἔχομεν, δίκαιοί ἐσμεν τὴν φιλοσοφίαν αὐτοῦ ὡς μίαν γε καὶ τὴν αὐτὴν τῇ τοῦ Δημοκρίτου οὖσαν λογίζεσθαι.

Δημόκριτος Ἡγησιστράτου, οἱ δ' Ἀθηνοκρίτου, τινὲς Δαμασίππου Ἀβδηρίτης, πόλεως ἐν Θράκῃ, Ἰώνων ἀποικίας, Λευκίππου ἑταῖρος ὑπ' Ἀριστοτέλους λεγόμενος (ἐν αφ τ μ. τ. Φυσ. δ'. ιϐ'.). « Γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ μικρῷ διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα » (Δ. Λ. Θ, μά.). Φασὶ δὲ τὸν πατέρα αὐτοῦ οὕτω πλούσιον γεγονέναι ὥστε καὶ Ξέρξην εἰς Ἀσίαν ἐπανιόντα ἐν Ἀβδήροις ξενίσαι (Δ Λ, Θ, λδ'.). Δημόκριτος δὲ πάντα τὸν ἑαυτοῦ κλῆρον ἐκ τῆς πατρῴας οὐσίας ἐν ἀποδημίαις κατηναλώκει (ϐ), ἐφ' αἷς καὶ ἔν τινι τῶν ἐς ἡμᾶς διασωθέντων ἀποσπασμάτων σεμνυνόμενος τάδε λέγει· « Ἐγὼ δὲ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην, ἱστορέων τὰ

(α) Ἀριστ. περὶ Ξενοφάνους Γοργίου καὶ Μελίσσου ς'· « Καθάπερ ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις γέγραπται. » Δ. Λ. Θ. μς'· «Μέγας διάκοσμος, ὃν οἱ περὶ Θεόφραστον Λευκίππου φασὶν εἶναι.» Τοὐναντίον δὲ οἱ ἄλλοι ὡς φέρ' εἰπεῖν Διογένης ὁ Λαέρτιος (Θ, λθ', καὶ μς'.) καὶ Σουΐδας (ἐν λ. Δημόκριτος) τὸν Μέγαν διάκοσμον τῷ Δημοκρίτῳ ἀποδιδόασιν.

(ϐ) Δ. Λ. Θ, λέ, λθ'. — Διόδωρος δὲ ὁ Σικελιώτης πενταετῆ τοῦ Δημοκρίτου διατριβὴν ἐν Αἰγύπτῳ μνημονεύει, Α, ϟή. — Αἰλιανὸς ποικίλης ἱστορίας Δ, κ'. « ἧκεν, φησὶ, καὶ πρὸς τοὺς Χαλδαίους καὶ εἰς Βαβυλῶνα καὶ πρὸς τοὺς Μάγους καὶ πρὸς τοὺς σοφιστὰς τῶν Ἰνδῶν » κρείτονα ἀγερμὸν ἀγείρων Μενελάου καὶ Ὀδυσσέως, ὥσπερ οἱ περὶ Θεόφραστον ἔλεγον. — Καὶ Στράϐων ΙΕ, Α. λή. σ. 703, « πολλὴν τῆς Ἀσίας πεπλανημένον ἱστορεῖ».

μήκιστα· καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον· καὶ λογίων ἀνθρώπων πλείστων ἐςήκουσα· καὶ γραμμέων συνθέσεως μετὰ ἀποδείξιος οὐδείς κώ με παρήλλαξεν, οὐδ' οἱ Αἰγυπτίων καλεόμενοι Ἁρπεδονάπται (ἁρπεδόνος ἅπται, γεωμέτραι ἢ γεωργοί· ἢ κατ' ἄλλην παραγωγὴν καὶ ἀστρονόμοι)· σὺν τοῖς δ' ἐπὶ πᾶσιν ἐπ' ἔτε' ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην.» (Democriti abderitae operum fragmenta collegit, Frid. Guil. Aug. Mullachius). Κατὰ μὲν οὖν σοφίας ζήτησιν πλεῖςον χρόνον περιπλανώμενος, σὺν δ'ἀκαμάτῳ ζήλῳ ἀεὶ αὐτῇ τὸν νοῦν προςέχων, τηλικοῦτον γνώσεων θησαυρὸν ἐκτήσατο, οἷόν περ οὔτε τις τῶν προτοῦ φιλοσόφων, οὔτε τῶν μεταγενεστέρων, εἴγε μόνον τὸν Ἀριστοτέλη ἐξέλοις. Τεκμήριον δὲ μάλιστα τούτου τῶν παμπληθῶν αὐτοῦ συγγραμμάτων ὁ κατάλογος, ἐν ᾧ οὐ μόνον πολλὰ ἠθικῆς ἐν γένει καὶ φυσικῆς θεωρίας ἐχόμενα μνημονεύεται, ἀλλὰ καὶ ἄλλα περὶ μερικὰ ζητήματα πραγματευόμενα τῆς φυσικῆς ἐπιστήμης καὶ μαθηματικῆς καὶ ἀστρονομίας καὶ γεωγραφίας, ἔτι δὲ μουσικῆς τε καὶ ποιήσεως καὶ ἰατρικῆς καὶ γραμματικῆς καὶ ζωγραφίας, ἔνια δὲ καὶ περὶ πολεμικῆς· ὥστε εἰκότως ἄν τις εἴποι ταῦτα τὰ συγγράμματα τὸ σύνολον τῶν τηνικαῦτα ἐπιστημῶν περιειληφέναι· ἀλλὰ κακῇ τύχῃ ὀλίγα τινὰ μόνον λείψανα αὐτῶν ἐς ἡμᾶς περιγέγονεν, ἅπερ Μουλλάχιος συναθροίσας, εἰς φῶς ἐξέδωκεν (ἐν Βερολίνῳ ᾳωμγ'.). ἔτι δὲ καὶ ἡ λέξις ἡ Δημοκρίτου ὡς ἔῤῥυθμος, ἀνθηρά τε καὶ λαμπρὰ ὑπὸ πάντων κοινῇ τῶν πάλαι μεγάλως ἐπαινεῖται (Cic. orat. 20. de orat. I, 11). Θαυμαστόν γε μὴν, ὥσπερ ἤδη καὶ τοῖς πάλαι ἐφάνη, (δ) ὅτι Πλάτων εἰ καὶ πάντων σχεδὸν

(δ) Δ. Λ. Θ. μ'. —

τῶν πρότερον πεφιλοσοφηκότων, ὅπου τῶν διαλόγων ἐγχωροίη μνείαν πεποίηται, Δημοκρίτου οὐδὲ τὸ ὄνομα οὐδαμοῦ μνημονεύει. Οὐδεὶς δ' ὅστις οὐκ ἂν εἴποι τὴν ὀλιγωρίαν ταύτην ἀπὸ γνώμης πεποιημένην· καί μοι δοκεῖ Πλάτων ἐν σιγῇ τὴν Δημοκρίτου φιλοσοφίαν παρελθεῖν, οἷον δὴ εὖ εἰδὼς πάντῃ ἀσυμβίβαστον αὐτὴν τῇ ἑαυτοῦ θεωρίᾳ οὖσαν (ε)· ἐν Θεαιτήτῳ δὲ καὶ σοφιστῇ ἐνδίκως ἄν τις ὑποτοπάσειε Πλάτωνα Δημόκριτον ἐμμέσως ἐθέλειν ὑπαινίσσεσθαι, ἔνθα πρὸς σωματολόγους τινὰς λόγος βάλλεται οὑτωσὶ ἔχων· «Οἱ μὲν εἰς γῆν ἐξ οὐρανοῦ καὶ τοῦ ἀοράτου πάντα ἕλκουσι—, διϊσχυρίζονται τοῦτο εἶναι μόνον, ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα, ταὐτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι, τῶν δὲ ἄλλων εἴ τίς φησι, μὴ σῶμα ἔχον, εἶναι καταφρονοῦντες τὸ παράπαν» (ϛ). Ἔμελλε δὲ ὁ Δημόκριτος διὰ τὸν αὐτὸν λόγον, ὡς τῆς φιλοσοφίας αὐτοῦ πάνθ' ὁμοίως σωματολογούσης, καὶ παρὰ νεωτέρων ἱστοριογράφων χαλεπῆς πάνυ τυχεῖν ἐπιμέμψεως, πάντων δὲ μάλιστα παρὰ Ῥιττερίου, ὅς περ τοῖς σοφισταῖς αὐτὸν συγκαταλέγων, μεγαλαυχίην τε αὐτοῦ καταγιγνώσκει καὶ ὑπεροψίην ἀλεγεινήν, πουλυμαθηίην τε

(ε) Πρβλ. Διογένην τὸν Λαέρτιον ἔνθα ἀνωτέρω, ὅπου καὶ ὁ ἑξῆς φληναφώδης ὕθλος ὡς ἀλήθεια μνημονεύεται· «Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησι Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου συγγράμματα, ὁπόσα ἠδυνήθη συναγαγεῖν· Ἀμύκλαν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλῦσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος· παρὰ πολλοῖς γὰρ εἶναι ἤδη τὰ βιβλία· καὶ δῆλον δέ . . . »

(ϛ) Σοφιστ. σελ. σμϛ, ά. — Καὶ ἐν Θεαιτήτῳ σελ. ρνε, έ. αὖθις λέγει ὅτι εἰσί τινες φιλόσοφοι «οὐδὲν ἄλλο οἰόμενοι εἶναι, ἢ οὗ ἂν δύνωνται ἀπρὶξ τοῖν χεροῖν λαβέσθαι, πᾶν δὲ τὸ ἀόρατον οὐκ ἀποδεχόμενοι ὡς ἐν οὐσίας μέρει.»

ἄσοφον καὶ κακοβουλίην τῆς ἐν φιλοσοφίῃ ἀληθηίης ἀνατρεπτικήν, μηδ' ἐς τὸ πᾶν συνειρμοῦ ἐν φιλοσοφίῃ ἐπαίοντα ἐλέγχει, ὡς δὲ ταπεινὸν τὸ φρόνημα καὶ χαμαίζηλον κάρτα κερτομέει, τοιαῦτ' ἄττα πικρὰ καὶ ἀνεπιεικῆ τἀνδρὸς κατηγορῶν, ἅπερ ὁ Σελλέριος (τ. α. σελ. χμζ'...) σοφῶς τε ἅμα καὶ καλῶς ἰᾶται. Καὶ μὴν καὶ πάντα ὅσα εἴτε ἄλλοθέν ποθεν Δημοκρίτου πέρι ἴσμεν, εἴτε ἐκ τῶν συγγραμμάτων αὐτοῦ αὐτολεξεὶ ἡμῖν παραδέδοται, ἐπιστημονικὸν βρῖθος καὶ σεμνότητα οὐ τὴν τυχοῦσαν ἐμφαίνει. Ἡ δὲ φιλοσοφία αὐτοῦ [illegible] τὰς ἐλλείψεις, ἀλλὰ καὶ πάσας ἔχει τὰς ἀρετάς, ὅσων περ ὑλοσοφία συστηματικὴ πέφυκε μετέχειν.

β'. *Δημοκρίτου ἡ περὶ τῶν ἀτόμων θεωρία.*

Ἡ περὶ τῶν ἀτόμων τοῦ Δημοκρίτου θεωρία ἐκ τῆς αὐτῆς ὑποθέσεως προῆλθεν, ἐξ ἧς γε Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας πρὸ αὐτοῦ ὡρμήθησαν· καὶ οὗτος δὴ γένεσίν τινα τῶν ὄντων ἀληθῆ (ζ) ἤτοι γένεσιν ἐκ τοῦ μηδενὸς ὡς τῇ διανοίᾳ πάμπαν ἄληπτον οὖσαν διαψεύδει· διϊσχυρίζεται δὲ ὡσαύτως (η) μηδὲν τῶν πρώτων οἱονπερεὶ στοιχείων οἷόν τ' εἶναι εἰς ἕτερόν τι τὴν οἰκείαν φύσιν μεταβάλλειν, μηδ' αὖ ὅλως ἀπόλλυσθαι· εἶναι δὲ γένεσιν μηδὲν ἄλλο ἢ ἀεὶ μεταβαλλομένην σύνθεσιν

(ζ) Δ. Λ. Θ, μδ'. — Ἀριστ. π. οὐρ. Γ. ζ'. « Οἱ περὶ Ἐμπεδοκλέα καὶ Δημόκριτον λανθάνουσιν αὐτοὶ αὑτοὺς οὐ γένεσιν ἐξ ἀλλήλων ποιοῦντες, ἀλλὰ φαινομένην γένεσιν. »

(η) Ἀριστ. Φυσ. Γ, δ'. « Δημόκριτος οὐδὲν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι τῶν ὄντων φησίν. »

τῶν πρώτων καὶ ἀναλλοιώτων τῆς ὕλης μορίων (θ). Ἀλλὰ καὶ κατὰ τοῦτο τῷ Ἀναξαγόρᾳ ὁμολογεῖ· ἄπειρα γὰρ καὶ οὗτος τὸν ἀριθμὸν δέχεται καὶ ἀναλλοίωτα τὰ ἀρχέγονα τῆς ὕλης μόρια· καὶ ταῦτα ὡς ἄτμητα ὄντα σωμάτια, ἄτομα ἀποκαλεῖ (ι), καί τοι δὲ ἐκταδὸν ὄντα τόπον τε κατέχοντα, ἀλλὰ διὰ τὴν σμικρότητα ἄληπτα εἶναι ταῖς αἰσθήσεσιν καὶ δὴ καὶ ἀόρατα (ια). Ἀλλ' εἰ μὲν μέχρι τούτων ὁ Δημόκριτος τῷ Ἀναξαγόρᾳ κατὰ πόδα παρομαρτεῖ, ἀφίσταται μέντοι αὐτοῦ καθ' ὅσον περ οὐδεμίαν ποιότητα ταῖς ἀτόμοις οὐσίαις προστίθησιν, ἀποίους αὐτὰς καὶ ἀπαθεῖς ἀποκαλῶν. Καὶ αὐτό γε τοῦτό ἐστι τὸ κυριώτατον τῆς ἀτομολογίας γνώρισμα. Τὰ παρὰ Δημοκρίτῳ ἄρα ἄτομα κατὰ ποιὸν μὲν ἀλλή-

(θ) Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς Α, β'. « Δημόκριτος καὶ Λεύκιππος, ποιήσαντες τὰ σχήματα (ἴδε κατ.) τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ποιοῦσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν καὶ φθοράν, τάξει δὲ καὶ θέσει ἀλλοίωσιν. » Α, ή. « συνιστάμενα μὲν γένεσιν ποιεῖ (τὰ ἄτομα), διαλυόμενα δὲ φθοράν. » — ἐν τῷ περὶ οὐρανοῦ Γ, δ'. « Τῇ τῶν πρώτων μεγεθῶν (τῶν ἀτόμων) συμπλοκῇ καὶ περιπλέξει πάντα γεννᾶσθαι. »

(ι) Cic. de fin. 1, 6. « Democritus atomos quas appellat, id est corpora individua. » Σιμπλίκιος εἰς Φυσ. φύλλ. ή. « τὰ ἐλάχιστα πρῶτα σώματα ἄτομα καλοῦντες. Ἀριστ. Μετ. Ζ, ιγ', ιζ'. Δημόκριτος « τὰ μεγέθη τὰ ἄτομα οὐσίας ποιεῖ. » Πλούτ. κατὰ Κολώτ. σελ. ωρέ. « οὐσίας ἀτόμους· » ἔτι δὲ καὶ ἀλλαχοῦ ἀπαντᾶται « αἱ ἄτομοι » ὡς φέρ' εἰπεῖν παρὰ Διογένει τῷ Λαερτίῳ Θ, μδ'. « τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ πλῆθος. »

(ια) Πλούτ. κατὰ Κολώτου σελ. ϙρι'. « Τί γὰρ λέγει Δημόκριτος ; οὐσίας ἀπείρους τὸ πλῆθος, ἀτόμους τε καὶ διαφόρους, ἔτι δὲ ἀποίους καὶ ἀπαθεῖς. » καὶ Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς Α, η'. « ἄπειρα τὸ πλῆθος, καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. » Καὶ ἐν τῷ περὶ οὐρανοῦ Γ, δ'. « τὰ πρῶτα μεγέθη πλήθει μὲν ἄπειρα, μεγέθει δὲ ἀδιαίρετα. »

λων οὐ διαφέρει, κατὰ μέγεθος δὲ καὶ σχῆμα μόνον (ιϐ). Κατὰ γὰρ τὸ ποιὸν τῆς ὕλης, ἐξ ἧς, πάντα ὅμοια ἀλλήλοις ὑπάρχει· ἐκ μιᾶς γὰρ καὶ τῆς αὐτῆς οὐσίας πάντα πέφυκε. τῆς τῶν ὄντων ἄρα διαφορᾶς τῆς ἀπ' ἀλλήλων, τῆς τε ποικιλίας τῶν ἐν τῇ φύσει ὁρωμένων, τὴν διαφορὰν τὴν κατὰ σχῆμα καὶ τάξιν καὶ θέσιν τῶν εἰς ἀθροίσματα συνενησμένων ἀτόμων ὁ Δημόκριτος αἰτιᾶται, τὴν δὲ κατὰ ποιὸν διαφορὰν παρ' οὐδὲν τίθεται (ιγ). πάσας οὖν τὰς κατὰ ποιὸν διαφορὰς τῶν ὄντων ὁ Δημόκριτος εἰς μόνην τὴν κατὰ ποσὸν περιέστειλεν· τὸ ποσὸν ἄρα τῶν ὄντων ἐστὶν αὐτῷ τὸ πρῶτον, τὸ δὲ ποιὸν τὸ ἐξ ἐκείνου προερχόμενον.

Γ'. Ἥτις ἐστὶν ἡ αἰτία τῆς κινήσεως.

Γένεσιν δὲ ὄντων καὶ φθοράν φησι Δημόκριτος εἶναι τὸ τὰ ἄτομα ὁτὲ μὲν ἀλλήλοις ἐπιπλέκεσθαι, ὁτὲ δ' αὖ ἀλλήλων λύεσθαι (ιδ). Ἀλλὰ τί πότ' ἐστι τὸ αἴτιον, ὅπερ τὰ ἄτομα οὕτω μετακινεῖ καὶ εἰς καινὰ ἀθροίσματα ἀλλήλοις ἐπιπλέκει; ὁ δ' οὖν Δημόκριτος ὡς τοιοῦτον αἴτιον οὐχ ὥςπερ Ἀναξαγόρας ἀσώματόν τι ἔξωθεν

(ιϐ) Σιμπλίκ. εἰς φυσ. φύλλ. ρς'. « τὴν διαφορὰν αὐτῶν (τῶν ἀτόμων) κατὰ μέγεθος καὶ σχῆμα τιθείς. » Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς Α, ϐ'. » τὰ σχήματα ἄπειρα ἐποίησαν. »

(ιγ) Ἀριστ. Μετ. Α, δ', ιδ', κ. φ. ξ. « τὰς διαφορὰς λέγουσιν εἶναι τρεῖς, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον· τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει. »

(ιδ) Ἀριστ. ἐν τῷ περὶ γενέσ. κ. φθορ. Α, η'. « συνιστάμενα μὲν (τὰ ἄτομα) γένεσιν ποιεῖ, διαλυόμενα δὲ φθοράν. »

ἐπεισάγει, ἀλλ' αὐτὴν τὴν φύσιν τῶν ἀτόμων οἵαν τε οὖσαν τὰ πάντα κινεῖν ἀποφαίνεται. Εἶναι γὰρ δὴ τὰ ἄτομα ἄπειρα τὸ πλῆθος· ἄπειρα δ' εἶναι λέγει διὰ τὸ ὑπάρχειν ἄλλο τι ὅπερ, μεσολαβοῦν, χωρίζει τε αὐτὰ ἀλλήλων καὶ ἐν ἀμοιβαίᾳ τηρεῖ κραυρότητι. Τοῦτο δὴ τὸ τὰς ἀτόμους ἀλλήλων διέχον τὸ κενὸν εἶναί φησι Δημόκριτος, ὅπερ συνεχεῖ τοῦ παντὸς πληρώσει ἐμποδὼν γιγνόμενον, μηδὲν ἧσσον ὂν εἶναι ἢ αὐτά γε τὰ ἄτομα. τὸ δὲ κενὸν ὑπάρχειν, κεφαλαιῶδες δόγμα τῆς ἀτομολογίας καθέστηκεν, περὶ οὗ Δημόκριτος πρὸς τὸ τῶν Ἐλεατῶν δόγμα ἀντιλέγων, οὑτωσὶ ἀποφαίνεται· « μὴ μᾶλλον τὸ δὲν, ἢ τὸ μηδὲν εἶναι· » δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κενὸν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος (ιε)· τό τε πλῆρες, τὰ ἄτομα λέγων, μηδὲν ἧσσον εἶναί φησιν, ἢ τὸ κενόν. Ἵνα δὲ τὴν θετικὴν ὑπόστασιν τοῦ κενοῦ ἐμφανεστέραν ἐνδείξῃ, ὀνομάζει αὐτό ἐνίοτε, μανὸν κατ' ἀντίθεσιν πρὸς τὴν τῶν ἀτόμων πυκνότητα (ις). Τοῦτο δὴ τὸ κενὸν αἰτία ἐστὶ καὶ ὅρος τῆς κινήσεως κατὰ Δημόκριτον ἀπαραίτητος. Ἐπεὶ οὖν τὰ ἄτομα τοῦ ἐπιψαύειν ἀλλήλων κωλύεται, μονάδας εἶναί φησι χωριστὰς, ἀδιεξιτήτους καὶ ἀλλήλων ἀποκρουστικὰς, αἵ περ δι' ἣν ἀλλήλαις προξενοῦσιν ἀντίδρασιν, οἷον δὴ ἀδιέκδυτοι οὖσαι, τελευτῶσαι περιδινοῦνται (ιζ) ἐν τῷ ὅλῳ

(ιε) Εἴπερ οὕτως ἀβέλτερος περὶ τὴν ἑλληνίδα φωνὴν ὁ Δημόκριτος ἦν· παρὰ Πλουτάρχῳ κατὰ Κολώτου σελίδι αρθ'. καὶ Ἀριστ. Μετ. Α, δ, ιβ'.

(ις) Ἀριστ. Μετ. Α, δ', ιβ'.

(ιζ) Δ. Λ. Θ, μδ'. « Φέρεσθαι ἐν τῷ ὅλῳ δινουμένας τὰς ἀτόμους. » Θ, με'. « Τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων· » Σέξτος

κραδαινόμεναι· εἶτα δὲ, τοῦ ὁμοίου ἀεὶ τὸ ὅμοιον συνεφέλκοντος (ιη), περιπλεκόμενα ἀλλήλοις τὰ ἄτομα, ἀθροίσματά τινα, τὰ ἰδίᾳ πράγματα ἀποτελεῖν, ἃ δὴ σώματα κέκληται (ιθ). Ἐκ δὲ δὴ τούτων δῆλον γίγνεται ὅτι Δημόκριτος περὶ τῆς ἀϊδίου κινήσεως, ὡς ἀληθῶς μὲν ὑπαρχούσης, ἀπεφαίνετο, σαφὲς δ' ἄλλο περὶ αὐτῆς οὐθὲν εἶχε λέγειν (κ). Ἀλλ' εἴτις τὴν ἀλληλοτυπίαν ἢ ἀντιτυπίαν καὶ τὴν ἐκ ταύτης προερχο-

Ἐμπ. Θ, ριγ'. « ὡς ἔλεγον οἱ περὶ Δημόκριτον, κατ' ἀνάγκην καὶ ὑπὸ δίνης κινεῖται ὁ κόσμος. » Στοβ. ἐκλογ. Α, σελ. 348. « κινεῖσθαι τὰ πρῶτα σώματα κατ' ἀλληλοτυπίαν ἐν τῷ ἀπείρῳ. »

(ιη) Τὴν δὲ τῶν ἀτόμων εἰς ὄγκους περιείλησιν διασαφεῖ Δημόκριτος παρὰ τῷ Ἐμπειρικῷ [πρὸς τοὺς λογικοὺς Βιβ Αον, σ. 116.] οὑτωςὶ λέγοντι. « Παλαιὰ γάρ τις, ὡς προεῖπον (92), ἄνωθεν παρὰ τοῖς φυσικοῖς κυλίεται δόξα περὶ τοῦ τὰ ὅμοια τῶν ὁμοίων εἶναι γνωριστικά. Καὶ ταύτης ἔδοξε μὲν καὶ Δημόκριτος κεκομικέναι τὰς παραμυθίας· ἔδοξε δὲ καὶ Πλάτων αὐτῆς ἐν τῷ Τιμαίῳ παρεψαυκέναι. ἀλλ' ὁ μὲν Δημόκριτος ἐπί τε τῶν ἐμψύχων καὶ ἀψύχων ἵστησι τὸν λόγον· καὶ γὰρ ζῶα, φησὶν, ὁμογενέσι ζώοις συναγελάζεται, ὡς περιστεραὶ περιστεραῖς καὶ γέρανοι γεράνοις καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων· καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων· ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν· ὅπου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν, αἱ μὲν ἐπιμήκεις ψηφίδες εἰς τὸν αὐτὸν τόπον ταῖς ἐπιμήκεσιν ὠθοῦνται, αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν, ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος. »

(ιθ) Ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ Γ, δ'. « τῇ τούτων (τῶν πρώτων μεγεθῶν ἢ ἀτόμων) συμπλοκῇ καὶ περιπλέξει πάντα γεννᾶσθαι. »

(κ) Ἀριστ. μετ. Α, δ, ις'. « περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως ἀφεῖσαν. » Σιμπλ. εἰς φυσ. οδ'. « οἱ περὶ δημόκριτον ἀπὸ ταὐτομάτου φασὶ τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς τήνδε τὴν τάξιν τὸ πᾶν.,,

μένην δίνην τῶν ἀτόμων ὡς μόνην αἰτίαν τίθοιτο τῆς κινήσεως, πῶς ἂν ἔχοι τὸ ἔλλογον καὶ τελεουργικὸν τῆς ἐν τῇ φύσει διακοσμήσεως ἀποδεῖξαι; Καὶ αὕτη ἡ ἀπορία οὐδ' αὐτὸν τὸν Δημόκριτον ἔλαθεν· διὸ καὶ γνώμην ἐπεποίητο τὸ οὗ γε ἕνεκα καὶ τὸν λόγον τὸν ἔσχατον τῶν ἐν τῇ φύσει ὄντων μηδὲ τὴν ἀρχὴν ἀναζητῆσαι (κα). Ἐπεὶ γὰρ ἀναγκαίῳ νόμῳ τοῦ αἰτίου καὶ αἰτιατοῦ τὰ πάντα ἔφη γίγνεσθαι, ἔργον ἐπιστήμης δέον εἶναι μόνον τὸ τὰς αἰτίας τὰς κινούσας ἀναζητεῖν. Ὡςαύτως δὲ διαῤῥήδην ὁ Δημόκριτος καὶ Ἀναξαγόρᾳ ἀντιλέγει, ἀρχὴν κινήσεως Νοῦν θεμένῳ, κατὰ λόγον τε καὶ γνώμην πάντ' ἐπιτελοῦντα. Ἀντὶ δὲ τῆς τὸν κόσμον διεπούσης νοήσεως ἡ κατ' ἀνάγκην ἀλληλουχία αἰτίας τε καὶ ἐνεργείας τῷ Δημοκρίτῳ εἰςῆκται· τοῦτον δὲ τὸν νόμον τὸν ἐν παντὶ τῷ γιγνομένῳ ἰσχύοντα εἱμαρμένην ἀποκαλεῖ καὶ ἀνάγκην (κβ), ἔτι δὲ καὶ τύχην προςαγορεύει τῇ τελεολογικῇ τοῦ Ἀναξαγόρου θεωρίᾳ ἐμφανῶς ἀντιλέγων (κγ). τὸ δ' ἀνέκαθεν τοὺς ἀνθρώπους θεοὺς εἶναι νομίζειν, ὅπερ ὡς εἰκὸς κατὰ τὴν τῶν ἀτόμων θεωρίαν πάντη περισσὸν καὶ ἄτοπον φαίνεται,

(κα) Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως ζώων Ε, η'. « Δημόκριτος τὸ οὗ ἕνεκα ἀφεὶς λέγειν, πάντα ἀνάγει εἰς ἀνάγκην. »

(κβ) Δ. Λ. Θ, με'. Πλούτ. ἀρέσκ. Α, κς'. « Δημόκριτος τὴν ἀντιτυπίαν καὶ τὴν φορὰν καὶ πληγὴν τῆς ὕλης ἀνάγκην λέγει. Σέξτ. ὁ ἐμπειρ. πρὸς μαθ. Θ, ριγ'. « ὡς ἔλεγον οἱ περὶ Δημόκριτον, κατ' ἀνάγκην καὶ ὑπὸ δίνης κινεῖται ὁ κόσμος. » Στοβ. ἐκλ. Α, σ. ρξ'. « Λεύκιππος πάντα κατ' ἀνάγκην, τὴν δ' αὐτὴν ὑπάρχειν εἱμαρμένην. » ὁ αὐτὸς αὐτόθι σελ. υμβ'. Λεύκιππος καὶ Δημόκριτος καὶ Ἐπίκουρος φασὶ, « φύσει ἀλόγῳ (ἤγουν κατὰ ψιλὸν συνειρμὸν φυσικοῦ αἰτίου καὶ αἰτιατοῦ) συνεστάναι τὸν κόσμον. »

(κγ) Σιμπλ. εἰς φυσ. φύλ. οδ'.

εἰς ψυχολογικήν τιν' ἀπάτην ἢ φόβου ἐπήρειαν ὁ Δημόκριτος ἀνάγει (κδ). Ἡ δὲ περὶ τὰ θεῖα ἀμφισβήτησις, ἧγε πάντως ἔδει ἐπισυμβῆναι καὶ τὸ ὁμοίως περὶ πάντων ἀναφανδὸν ἐπέχειν ἢ φυσικοῖς τισι νόμοις τὰ πάνθ' ὑπάγειν ἐθέλειν καὶ παρὰ τοῖς ὕστερον ἀτομολόγοις ἐν ἔθει μάλιστα καθέστηκεν, ὃ δὴ τῇ τε Πύῤῥωνος σκέψει καὶ τῇ Ἐπικούρου φιλοσοφίᾳ προωδοποίησεν.

§ ΙΓ'. ΠΕΡΙ ΤΗΣ ΠΥΘΑΓΟΡΙΚΗΣ ΑΓΩΓΗΣ.

ά. *Περὶ Πυθαγόρου.*

Ὁ πολὺς λόγος, ὁ ἐκ παλαιοῦ ἤδη διαθρυλλούμενος, Πυθαγόραν, ὡς ἱερόν τινα ἄνδρα καὶ θαυματουργὸν καὶ θεοῖς προσφιλέστατον περιῇδεν, ἀτεχνῶς θειότερον ἢ κατ' ἀνθρωπικὴν μοῖραν γεγονότα· ἐκόσμει δὲ καὶ τὸν βίον αὐτοῦ μύθοις τε πολλοῖς καὶ πλάσμασι παντοδαποῖς. Πορφύριος δὲ (ὁ περὶ τὸ τέ. ἔτος μετὰ Χριστὸν τελευτήσας) καὶ Ἰάμβλιχος (περὶ τὸ τ'.) ἀμφότεροι τῆς νέας Πλατωνικῆς αἱρέσεως ὀπαδοὶ τὰς ἐνεσπαρμένας ταύτας παραδόσεις πάντοθεν συλλέξαντες, βίον ἑκάτερος Πυθαγόρου συνέγραψεν· ἀμφότεροι δὲ καὶ ἐς ἡμᾶς περιγεγόνασιν (α). Ἀλλ' οὕτω δή τοι τὸ μυθῶδες καὶ

(κδ) Σέξτος ὁ ἐμπειρικὸς πρὸς μαθ. Θ, κδ'. « ὁρῶντες γάρ, φησὶν ὁ Δημόκριτος, τὰ ἐν τοῖς μετεώροις παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων, καθάπερ βροντὰς καὶ ἀστραπάς, κεραυνούς τε καὶ ἄστρων συνόδους, ἡλίου τε καὶ σελήνης ἐκλείψεις, ἐδειμάτουντο, θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι. »

(α) Jambl. de vit. Pyth. Accedit Porph. de vit. Pyth. ed. Kiessling, 1815, ἔτι δὲ καὶ ὑπὸ Οὐεστερμάννου ἐν τῇ ὑπὸ Κοβετίου ἐκδόσει Διογένους τοῦ Λαερτίου.

τεράστιον ἐν αὐτοῖς συνυφασμένον ἐστὶν, ὥστε μᾶλλον ἄν τις ἐκ τούτου ὑποπτεύσειεν μηδὲ τὸ παράπαν γενέσθαι ποτέ τινα Πυθαγόραν κεκλημένον. Εἰσὶ μέντοι μάρτυρες ἀξιόχρεῳ οἱ τὴν Πυθαγόρου γένεσιν διαβεβαιούμενοι, Ξενοφάνης τε (β) ἤδη καὶ Ἡράκλειτος (γ), ὑςέρῳ δὲ χρόνῳ καὶ Ἡρόδοτος (δ) μνείαν αὐτοῦ ποιούμενοι, ἔτι δὲ καὶ Ῥωμαῖοι ἐπὶ τοῦ Σαμνητικοῦ πολέμου (περὶ τὸ τκ΄. ἔτος π. Χ.) ἀνδριάντα αὐτῷ ἀναστήσαντες (ε). Ἐκ πάντων δὲ τῶν περὶ αὐτοῦ διαδεδομένων, ὅ,τι καὶ ἀληθείας τινὸς ἐχόμενον, ἐστὶ τὸ ἑξῆς· γεννηθῆναι μὲν ἐν Σάμῳ τῇ νήσῳ, χρόνῳ δ' ὕστερον τῆς Πολυκράτους τυραννίδος ὁσημέραι συντονωτέρας γιγνομένης, εἰς Κρότωνα ἐλθεῖν τῆς Ἰταλίας, ἡ δὴ Καλαβρία μὲν ἐφ' ἡμῶν ἀκούει, τὸ δὲ πάλαι μεγάλη Ἑλλὰς ἐκαλεῖτο· ἠθικὴν δὲ καὶ κοινωνικὴν βελτίωσιν τῶν κατὰ ταύτην τὴν χώραν οἰκούντων προθέμενον, πρῶτον μὲν ἐν Κρότωνι, ὕστερον δὲ καὶ ἐν ἄλλαις ἑλληνικαῖς πόλεσι σύλλογον ἀνδρῶν ὁμοφρονούντων, τὸ πυθαγορικὸν καλούμενον σ υ ν έ δ ρ ι ο ν ἢ ὁ μ α κ ό ϊ ο ν συστῆσαι· ἀκμάσαι δὲ λέγεται ἐν τῷ μεταξὺ χρόνῳ τῆς ἑξηκοστῆς καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος (ἤτοι μεταξὺ τοῦ φμ΄. καὶ τοῦ φ΄. ἔτους π. Χ.). τὰ δὲ περὶ τὸν λοιπὸν βίον αὐτοῦ, οἷα δὴ συμμιγέσι

(β) Παρὰ Διογ. τῷ Λαερτίῳ Η, λς΄.

(γ) αὐτόθι Η, ς΄. Θ, α΄.

(δ) Ἡρόδοτος ἐν Μελπομένῃ §. ϟε΄. « Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ. »

(ε) Plin. H. N. XXXIV, 12, 26. invenio, et Pythagorae et Alcibiadi in Cornibus comitii positas esse statuas, cum bello Samniti Apollo Pythius jussisset fortissimo Graiae gentis, et alteri sapientissimo simulacra celebri loco dicari. ea stetere, donec Sulla dictator ibi curiam faceret.

μύθοις ἐμπεπλεγμένα, ὡς ἐν ζόφῳ βαθεῖ λανθάνοντα, ἀδιάγνωστα ὅλως καὶ ἀξύμβλητα φαίνεται. ὅσα μὲν γὰρ περὶ μακρῶν ἀποδημιῶν, ἅςπερ ἐκεῖνος ἀνεβάλετο ἐπὶ τῷ ἀπανθίσασθαι (ς) τὰς παρ' ἑκάστοις ἔθνεσι κατ' ἐκεῖνον τὸν χρόνον ἀκμαζούσας ἐπιστήμας, τὰ πλεῖστα αὐτῶν ἀμφίβολά τέ ἐστι καὶ ὅλως ἀδέσποτα· οὐ μέντοι γε ὁμοίως ἀπίθανα ἐλέγχεται καὶ ὅσα περὶ τῶν εὑρέσεων αὐτοῦ ἔν τε γεωμετρίᾳ καὶ ἀκουστικῇ καὶ ἀστρονομίᾳ παραδέδοται· εἰκότως γὰρ ἄν τις αὐτὸν ὑπολάβοι παμπόλλων μαθήσεων εἰδήμονα γεγονέναι, καθάπερ καὶ Ἡράκλειτος μαρτυρεῖ πουλυμαθηίην αὐτῷ ἐπιμεμφόμενος. ὅσα δὲ τέλος περὶ τῆς ἐν Κρότωνι πολιτείας τἀνδρὸς λέγεται, μέγαν μὲν θαυμασμὸν τοῖς πολίταις ἅμ' ἐλθόντα ἐμποιῆσαι, περί τε τὸ εὖ λέγειν δεινὸν ὄντα καὶ τὸ εἶδος σεμνὸν, θειοτέρας δέ τινος τιμῆς ἀπολελαυκέναι καὶ τὰ ἤθη τὰ μαλακὰ τῶν ἁβροδιαίτων Κροτωνιατῶν ἐπὶ τὸ σεμνοπρεπέστερον καὶ ἐρρωμενέστερον μεθαρμόσαι, πάντα ταῦτα ῥητορικώτερόν πως ἠσκημένα φαίνεται (ζ). Ἀλλὰ τὰ φιλοσοφικὰ αὐτοῦ δόγματα ἐν ἔτι βαθυτέρῳ σκότῳ διαλανθάνει. Διαῤῥήδην γὰρ ὑπό τινων λέγεται μηδὲν σύγγραμμα αὐτὸν καταλιπεῖν (η), ὅπερ ἄν τις καὶ εὐλόγως εἰκάσειεν ἔκτε τῶν Ἀριστοτέλους καὶ

(ς) Ἀλλ' ἡ εἰς Αἴγυπτον τοῦ φιλοσόφου ἀποδημία οὐ πάνυ ἀπίθανος ἔοικεν εἶναι· καὶ γὰρ ἕλληνες μάλιστα δὲ οἱ Σάμιοι κατ' ἐκεῖνον τὸν χρόνον (ἐπὶ Πολυκράτους καὶ Ἀμάσιδος) συχνῇ ἐχρῶντο ἐπιμιξίᾳ πρὸς Αἰγυπτίους· ἔτι δὲ καὶ μνημονεύοντες αὐτὴν ἁμηγέπῃ ἀξιόχρεῳ εἰσι μάρτυρες· (Ἀντιφ. παρὰ Πορφυρίῳ ἐν βίῳ Πυθαγόρου ζ'. καὶ Ἰσοκράτης ἐν Βουσιρ. κεφ. ια'. καὶ Cic. de Fin. v, 29. Πρβλ. δὲ καὶ Ἡρόδ. ἐν Εὐτέρπῃ §. πα'. καὶ ρκγ'.)

(ζ) Πορφ. Κ. ιη'.—Ἰαμβλ. λζ', κ.φ.ξ. Justin XX, 4.

(η) Πορφ. Κ. νζ'.

τῶν ἀριστοτελικῶν, οὐδαμοῦ τι περὶ συγγραμμάτων αὐτοῦ λεγόντων. οὐδὲ γὰρ δόγμα οὐδὲ ἓν φιλοσοφικὸν αὐτῷ σαφῶς ἀποδίδοται· ὅ,τ' Ἀριστοτέλης, ὁσάκις ἂν λόγον περὶ φιλοσοφίας πυθαγορικῆς ποιῆται, οὐδέποτε ὡς περὶ αὐτοῦ τοῦ Πυθαγόρου λέγει, ἀεὶ δὲ περὶ πυθαγορείων μόνον (θ). Διὸ δὴ καὶ πάνυ ἀμφισβητήσιμόν ἐστιν, εἴπερ τὸ ἐπίπαν καὶ ἀρχηγέτης ἐγένετο αἱρέσεως φιλοσοφικῆς· ἀλλὰ δὴ καὶ Πλάτων ἐν πολιτείᾳ συγκαταλέγει Πυθαγόραν τοῖς ἀνδράσιν ἐκείνοις, οἵτινες εἰ μὴ δημοσίᾳ, ἰδίᾳ τισὶν ἡγεμόνες παιδείας λέγονται γενέσθαι καὶ ὁδόν τινα ἢ τρόπον ἄλλον βίου εἰςηγήσασθαι (σελίδι χ'.). ὅτι δὲ οὐκ ἀρχηγὸς ἐγένετο τῆς ὁμωνύμου αὐτῷ φιλοσοφίας ὁ Πυθαγόρας δηλοῖ καὶ Ἀριστοτέλης (;), ἐνιαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων τοὺς τῆς ἀριθμολογίας ὀπαδοὺς τοὺς καλουμένους πυθαγορείους (ι) λέγων (!). Ἴσως οὖν πιθανώτερον ἄν τις εἴποι ἀνδρῶν συλλόγου ἀρχηγὸν αὐτὸν γεγονέναι περί τε τὴν τῶν ἠθῶν διακόσμησιν καὶ τὰ θρησκευτικὰ ἐσπουδακότων, χρόνῳ δ' ὕστερον ἐκ τούτων καὶ τὴν οὕτω καλουμένην Πυθαγορικὴν φιλοσοφίαν προελθεῖν, ἤγουν τήν τε ἀριθμολογίαν καὶ τὰς ἐχομένας αὐτῆς θεωρίας τὰς κοσμολογικάς.

Ὁ τῶν Πυθαγορείων σύλλογος.

Ἡγητέον οὖν ὡς ἐν ὅλῳ εἰπεῖν, τοὺς Πυθαγορείους αἵρεσιν μὲν φιλοσοφικὴν μηδεμίαν ἀποτελέσαι, ἀλλὰ μᾶλ-

(θ) Ἐκτὸς τῶν μεγάλων ἠθικῶν Α, α'. ἀλλὰ τὸ σύγγραμμα οὐκ Ἀριστοτέλους γνήσιον εἶναι λέγεται.

(ι) Ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ Β, ιγ'. « οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι· »

λον κοινόβιον ἀνδρῶν ὁμοφρονούντων· μηδὲ δόγμα τι εἶναι φιλοσοφικὸν, ὃ αὐτοὺς ἀλλήλοις συνήρμοζεν, ἀλλ' ὄφελός τι πρακτικὸν, ἤτοι τὸ περὶ τὰ ἤθη τε καὶ τὴν πολιτείαν βελτίωσίν τιν' ἐπιζητεῖν.

ά.) Περὶ ὃ ἄρα ἡ τῶν πυθαγορείων ὁμήγυρις ἐξ ἀρχῆς ἀνεβάλετο σπουδάζειν, τοῦτο ἀγωγή τε καὶ παιδεία ἦν ἤτοι διανοητικὴ καὶ ἠθικὴ ἐπίδοσις τῶν εἰς αὐτὴν τελούντων· καὶ πάντες δὲ οἱ θεσμοὶ αὐτῶν εἰς τοῦτο μάλιστα ἔτεινον, τῶν ἑταίρων τὰ μὲν φρονήματα γενναῖά τε καὶ ἀκραιφνῆ, τὸν δ' ἄλλον βίον κοσμιώτερον ἀπεργάζεσθαι. Ἦν δὲ καὶ ὁ τῆς ἡμέρας χρόνος κατ' ἀκρίβειαν μεμερισμένος· ἐν ὥρᾳ γὰρ τεταγμένῃ ἕκαστον τῶν περὶ τὸν βίον παρ' αὐτοῖς ἐγίγνετο καὶ ἄριστον καὶ δεῖπνον καὶ λουτρὸν καὶ περίπατος καὶ σωμασκία καὶ μουσουργία· πρὸς δὲ τούτοις λέγεται τὸν Πυθαγόραν καὶ περὶ σιτίων παραγγέλματα τοῖς περὶ αὐτὸν καταλιπεῖν, εἰ καὶ αἱ περὶ τούτου μαρτυρίαι καὶ μάλιςα ὅσα περὶ ἀποχῆς κρεῶν καὶ ἰχθύων καὶ κυάμων ᾄδεται, ἀδέσποτα ὅλως καὶ ἀντιφατικὰ ἀλλήλοις ἐστίν. (ια). Συνήρμοττε δὲ πρὸς ἄλληλα τὰ τοῦ

(ια) Ἔνιοι μὲν τῶν συγγραφέων τοὺς περὶ τὸν Πυθαγόραν μηδὲ τὴν ἀρχὴν κρεῶν ψαύειν παραδιδόασιν. Διογ. Λ. η, λζ', μδ'. οἱ δέ φασιν Αὐτὸν κατὰ τὰς θυσίας ἀλέκτορσι μόνοις κεχρῆσθαι καὶ ἐρίφοις γαλαθηνοῖς τοῖς λεγομένοις ἁπαλίαις, ἥκιστα δ' ἀρνάσιν· ὅγε μὴν Ἀριστόξενος πάντα μὲν τἄλλα συγχωρεῖν αὐτὸν ἐσθίειν ἔμψυχα, μόνων δ' ἀπέχεσθαι ἀροτῆρος βοὸς καὶ κριοῦ. Δ. Λ. Η, κ'. — Ἀθήν. ί, σελίδι υιη'. Ἀριστοτέλης δέ φησιν μέρη τινὰ τῶν ζῴων οὐχ ὅσιον ἐποιεῖτο προςφέρεσθαι, Δ. Λ. Η, ιθ'. — Gell. IV, 11, § 1. Opinio vetus falsa occupavit et convaluit, Pythagoram philosophum non esitavisse ex animalibus, item abstinuisse fabulo, quem κύαμον Graeci appellant. § 11. Aristoteles scripsit de pythagoricis, quod non abstinuerunt edundis animalibus, nisi pauca carne quadam ἤγουν τῆς μήτρας, τῆς καρδίας καὶ τῶν παραπλησίων· (ἔπιθι ἐν τούτοις καὶ τὰς

συλλόγου μέλη φιλία καὶ οἰκειότης ἀκραιφνὴς, εἰς ἣν μέγα μὲν προέκοπτε τὸ κοινῇ πάντας ἀσκεῖν τότε σῶμα καὶ τὸν νοῦν, μάλιστα δὲ πάντων τὰ λεγόμενα συσσίτια. Λέγεται δὲ παρ' αὐτοῖς καὶ κοινότητα οὐσιῶν νενομίσθαι (ιϐ)· τοῦτο μέντοι εὐλόγως ἄν τις ὡς ὑπερϐολὴν ὑπολάϐοι ἐκ πυθαγορικοῦ τινος φθέγματος ἴσως πορισθεῖσαν « κοινὰ τὰ φίλων εἶναι » λέγοντος ἴδιόν τε μηδὲν προςήκειν ἡγεῖσθαι (ιδ). Ἀλλὰ καὶ πάντα τὰ περὶ τὴν προσέλευσιν εἰς τὸν σύλλογον θρυλλούμενα ὡς λόγον ἀδέσποτον ὑποληπτέον ἐστί· λέγεται γὰρ περὶ τῶν εἰςαγομένων αὐστηραῖς τισι δοκιμασίαις ὑποϐεϐλῆσθαι, πρῶτον μὲν φυσιογνωμικῶς ἐξεταζομένων (ιε) ὕστερον δὲ ἠθικῶς, διετοῦς ἢ καὶ πενταετοῦς ἐχεμυθίας αὐτοῖς ἐπιϐαλλομένης (ιϛ). Ὅτι μὲν οὖν τῶν πυθαγορικῶν ἑ-

Γοίτλιγγος ἱστορικὰς διατριϐὰς, σελ. 313.) τὸ δὲ κυάμων ἅπτεσθαι τινὲς μέν φασι τὸν Πυθαγόραν ὥς τι τῶν καλῶν συστῆσαι, ἄλλοι δέ τινες ἀπειπεῖν. Gell. IV, 11, 4. Λ. Λ. Η, κδ', λδ'. Κρίσχιος δὲ (de societ. Pythag. scopo politico p. 33) τὴν ὡς ἀπὸ Πυθαγόρου διαϐεϐοημένην ἀπόῤῥησιν τοῦ κρεωφαγεῖν, ὥς τι πλάσμα ἄντικρυς διαψεύδει· παραπλησίως δὲ καὶ τὴν περὶ κυάμων ὡς παρανόησιν τοῦ κυάμων ἀπέχεσθαι ἐκλαμϐάνει, Πυθαγορικοῦ παραγγέλματος, μηθὲν ἄλλο ἐθέλοντος λέγειν ἢ ψηφοφορίας δημοκρατικῆς ἀπέχεσθαι.

(ιϐ) Ἴδε Πορφ. ἐν βίῳ Πυθαγ. κ'. — καὶ Δ. Λ. Η, ι. — Gell. 1, 9.

(ιδ) Πρϐλ. Κρίσχιον ἀντιλέγοντα, σελ. 27, κ.φ.ξ. παρὰ Δ. τῷ Λ. Η, ι'. καὶ κγ'. —

(ιε) Gell. 1, 9, 2. Pythagoras a principio adolescentes, qui sese ad discendum obtulerant, ἐφυσιογνωμόνει, id verbum significat, mores naturasque hominum conjectatione quadam de oris et vultus ingenio deque totius corporis habitu sciscitari. Ἰαμϐλ. οα'. Πρϐλ. καὶ Apul. de mag. p. 48 Bip. non ex omni ligno, ut Pythagoras dicebat, debet Mercurius exculpi.

(ιϛ) Ἰαμϐλ. ϞϚ'. Gell. 1, 9, 3 f. Διογ. Λαερτ. Η, ι'.

ταίρων πολλαὶ ἦσαν τάξεις, ᾗ γε ἕκαστοι μυήσεως ἔχοντες ἐτύγχανον, ἐξωτερικοὺς δὲ καὶ ἐσωτερικοὺς ἑαυτοὺς ἀποκαλοῦντες ἀλλήλων εἰώθεσαν διαστέλλειν (ιζ), οὔτ' αὐτὸ καθ' αὑτὸ ἀπίθανόν ἐστιν ὅλως, οἶμαι, οὔτε τοιούτων ἀποῤῥήτων συλλόγων πρᾶγμα ἀλλότριον. Οὐδεὶς μέντοι λόγος ἀποχρῶν τούτου γε ἕνεκα ὑπάρχει ὡς οἱ περὶ τὸν Πυθαγόραν ἀπόῤῥητόν τινα ἐπιστήμην διαδοχικῶς ἤσκησαν, μόνοις τοῖς ἐσωτερικοῖς γνωστὴν γεγενημένην. Ἀλλ' οἱ ἀπόῤῥητοι παρ' αὐτοῖς λόγοι ἄλλο μὲν ἦσαν οὐθὲν ἢ τοῦτο μὲν ὄργιά τινα ἤτοι μυστηριώδεις ἱερουργίαι, τοῦτο δὲ ἀποφθέγματα συμβολικά, δόγματά τε καὶ παραγγέλματα θρησκευτικά τε καὶ ἀσκητικὰ (ιη). Ἔοικε δὲ κἀκεῖνο τὸ πάνυ διαβεβοημένον ῥῆμα «αὐτὸς ἔφα» εἰς ἀναλλοιώτως παραδιδόμενα θεσπίσματα καὶ τοιαῦτ' ἄττα φθέγματα ἀναφορὰν ἔχειν μᾶλλον ἢ εἰς λόγων ἀναζητήσεις μετ' ἐπιστήμης γιγνομένας. Καὶ τὸ ἀξιοπίστως δ' ὑπό τινων μαρτυρούμενον ὡς καὶ γυναῖκας τῶν τοῦ συλλόγου μυστηρίων μετειληχέναι, (ιθ) ὑπεμφαίνει μοι ὡσαύτως ὅτι ταῦτα τὰ μυστήρια ἥκιστα φιλοσοφίας μετεῖχε, λόγοι δέ τινες περὶ τὰ θεῖα ἦσαν καὶ ἔθιμα καὶ μυσταγωγίαι.

Β. Ἔτι δὲ οἱ πυθαγόρειοι οὐ μόνον περὶ τὴν ἠθικὴν καὶ κοινωνικὴν τῶν πολιτῶν βελτίωσιν πᾶσαν σπουδὴν καὶ ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ περὶ τὴν πολιτικὴν

(ιζ) Ὠριγ. φιλοσ. Α, β'.

(ιη) Ἓν τῶν παραγγελμάτων τούτων ἦν καὶ τὸ παρ' Ἡροδότῳ [Β, πά.] φερόμενον μὴ ὅσιον ποιεῖσθαι νεκρὸν ἐρεοῖς περιστέλλειν ὑφάσμασιν, ὅπερ τὰ Αἰγυπτίων εἰς μνήμην ἀνακαλεῖ, παρ' ὧν οἱ περὶ τῶν Πυθαγόραν ὡς ὁ αὐτὸς Ἡρόδοτος αὐτόθι φησὶ [ρκγ'.], καὶ τὸ περὶ μετεμψυχώσεως δόγμα παρειλήφεσαν.

(ιθ) Διογ. Λαερ. Η, μα'. καὶ Ἰαμβλ. σνδ'. σξ'.

ὁμοίως. Διατεθρύλλητο γοῦν περὶ αὐτοῦ ἤδη τοῦ Πυθαγόρου πλεῖστον μὲν ὅσον ἐν τοῖς πολιτικοῖς ἰσχύσαντα πράγμασι, τριακοσίοις δ' ὁμιληταῖς ἐν Κρότωνι περιπολούμενον καὶ παρὰ πάντων θαυμαζόμενον, τῆς τε πόλεως προεστάναι (κ) καὶ νόμους τούτοις τε τοῖς Κροτωνιάταις καὶ πολλαῖς ἄλλαις πόλεσι κατὰ τὴν μεγάλην Ἑλλάδα τεθεικέναι. Ἀλλὰ πᾶσι τούτοις τοῖς λόγοις ἀντιφάσκει ἡ Πλάτωνος μαρτυρία πάντων τῶν λοιπῶν μαρτύρων πρεσβυτάτου τε δὴ καὶ σοφωτάτου, ὃς ἐν πολιτείᾳ (ι'. σ. χ'.) τὸν Πυθαγόραν καθηγεμόνα φησὶ παιδείας τε καὶ βίου τινὸς ἰδίου τοῖς περὶ ἑαυτὸν γεγονέναι, Σόλωνός τε καὶ Χαρώνδα πολιτικῶν καὶ νομοθετικῶν ἀνδρῶν γενομένων διαῤῥήδην ἐκεῖνον διαστέλλων. Ὅτι γε μὴν οἱ τὸν Πυθαγόρειον βίον ζηλοῦντες ὁσημέραι ἀεὶ μᾶλλον ἐν τοῖς πολιτικοῖς ἐλλογιμώτεροι ἐγίγνοντο, τελευτῶντες δὲ καὶ ἐπὶ πολὺ τῶν κατὰ τὴν μεγάλην Ἑλλάδα ᾠκημένων κατίσχυσαν, τοῦτο ὡς ἱστορικῆς ἀληθείας ἐχόμενον δέδεικται. Οἱ γὰρ πλεῖστοι τῶν πολιτικῶν ἀνδρῶν, ὅσοι παρ' ἑκάσταις ταῖς ἑλληνικαῖς ἀποικίαις ταῖς κατ' ἐκείνους τοὺς τόπους ὀνομαστοὶ κατέστησαν, ἐξ αὐτοῦ τοῦ πυθαγορικοῦ συλλόγου προεληλύθεσαν, (Πολυβ. Β, λθ'.). Φανεροὶ δ' ἦσαν οἱ ἄνδρες ἐπὶ ἀριστοκρατείαν σπεύδοντες, ὀλβίαν πόλιν ἡγούμενοι, ἐν ᾗ ἂν οἱ ἄριστοι ἄρχωσιν· καὶ ὁπουδήποτε εἰςχωροῖεν, πᾶσαν ἐπιμέλειαν ἐποιοῦντο, τὰς μὲν δωρικὰς ἀριστοκρατείας ὑποθάλπειν τε καὶ πρὸς πάντα νεωτερισμὸν ἐκ τῶν ἐνόντων κρατύνειν, ὅπου δ' αὖ δημοκρατίαι καθειστήκεσαν, ταύτας εἰς ἀριστοκρατείας μεθαρμόζειν.

(κ) Διογ. Λαερ. Η, γ'. Just. XX. 4. Ἰαμβλ. σνδ'. σξ'.

γ'. Ὅθεν ἡ *Πυθαγόρειος ἀγωγὴ προῆλθεν.*

Παντὶ ἀνδρὶ σκοπῆσαι βουλομένῳ ὅσην μὲν ἡ Πυθαγόρειος ἀγωγὴ ἀνὰ πᾶσαν τὴν μεγάλην Ἑλλάδα ἐπίδοσιν ἔλαβεν, ὅσην δὲ ῥοπὴν ἐπὶ τῶν δημοσίων πραγμάτων ἔσχε, δόξειεν ἂν ἐνδίκως μήτε τὴν αὐτὴν ταῖς ἄλλαις φιλοσοφικαῖς αἱρέσεσιν ἀρχὴν καὶ γένεσιν εἰληφέναι, μήτε τὴν οὐσίαν καὶ φύσιν παραπλησίαν ἐκείναις γεγονέναι. Ἦν γὰρ αὐτῇ οἷον βάσις ὑποκειμένη ἦθος τὸ ἀκραιφνὲς τοῦ τῶν Δωριέων γένους. Διὸ καὶ πρεπόντως ἄν τις αὐτὴν γέννημα καὶ οἷον ἄωτον τῆς Δωριέων διανοίας προςείποι. Καὶ οἱ νῦν δὲ σοφοὶ λόγῳ τῷ εἰκότι χρώμενοι, τὴν πυθαγορικὴν φιλοσοφίαν ὡς κατ' ἐξοχὴν δωρικὴν οὖσαν ἔναγχος ἤρξαντο ἐκλαμβάνειν (κα). Καὶ μὴν ἀπόῤῥοιά τις τοῦ δωρικοῦ νοῦ φαίνεται, πρῶτον μὲν ὡς περὶ τὰ ἠθικὰ μάλιστ' ἐσπουδακυῖα· κύριον γὰρ καὶ ἰδιαίτατον γνώρισμα τοῦ τῶν Δωριέων γένους αὐτὴ αὕτη ἡ ἐπιμέλειά ἐστι καὶ σπουδὴ, ἣν περὶ τὴν ἠθικὴν ἀγωγὴν καὶ παιδείαν ἑνὸς ἑκάστου τῶν πολιτῶν ἐποιοῦντο. Ἔνθεν δὴ οἵτε θεσμοὶ αὐτῶν καὶ ἡ πειθαρχία καὶ τὰ ἀνὰ πᾶσαν ἡμέραν διατεταγμένα, οἷον τὰ συσσίτια (κϐ) πολλάκις ἡμῖν εἰς μνήμην παραπλησίας Σπαρτιατῶν διακοσμήσεις ἀνακαλεῖ. Ἔτι δὲ ταύτην τὴν συγγένειαν ὑπεμφαίνει ἡμῖν

(κα) Ὀ. Μύλλερος, ἐν Δωριεῦσιν Α, σ. 368, κ.φ.ξ.—καὶ ὁ Βοίκχιος ἐν Φιλολάῳ σ. 39 εἶναί φησι τὸν Πυθαγορισμὸν τὸ γνησίως δωρικὸν τῆς φιλοσοφίας εἶδος.

(κϐ) Συσσίτια, παρὰ Σράϐωνι ς', α, ιϐ'. σ. 263.—Ἰαμϐλίχῳ, ϡη'= φιδίτια τῶν Σπαρτιατῶν παρὰ Πλουτ. ἐν ϐ. Λυκ. ιϐ'. — Πρϐλ. Κρίσχιον σ. 32.

καὶ ὁ λόγος ὁ τούτων πέρι κατέχων, ὡς Πυθαγόρας χρόνον τινὰ ἐν Κρήτῃ τε καὶ Σπάρτῃ ἐπεδήμησεν ἐπὶ τῷ τοὺς ἐκεῖ καθεστῶτας νόμους (ἔπιθι Ἰάμβλιχον κε΄.) ἀκριβέστερον μαθεῖν. Δωρίαν δὲ γνώμην καὶ ἦθος ἐλέγχει ὁ Πυθαγόρειος τρόπος καὶ ἐν τοῖς πολιτικοῖς πράγμασιν, ὥςπερ καὶ πρότερόν μοι εἴρηται· ἐκ γὰρ τοῦ ἐμφανοῦς τὸ ἀριστοκρατικὸν τῆς πολιτείας εἶδος, ὡς πάντων ἄριστον καὶ τελεώτατον οὐθὲν ἔληγον μακαρίζοντες, πανταχῇ τε σώζειν αὐτὸ ἢ παλινορθοῦν ὡς οἷόν τε μάλιστ' ἀπεπειρῶντο. Ἀλλὰ Δωρίαν ἀρχὴν ταύτης τῆς φιλοσοφίας πάντων μάλιστα μαρτυρεῖ τόδε· ἐν μεγίστῃ γὰρ τιμῇ ἡ Ἀπόλλωνος λατρεία παρ' αὐτοῖς καθεστηκέναι λέγεται, ἥ γε δὴ τῷ δωρικῷ γένει μάλιστα ἰδία ἦν. Οὐχ ἧσσον δὲ ἀξιομνημόνευτόν ἐστι καὶ ὅπως οἱ Πυθαγορικοὶ αὐτόν τε τὸν αἱρεσιάρχην καὶ πάντα τὰ ἐν τῷ συλλόγῳ ἰσχύοντα νόμιμα εἰς Ἀπόλλωνα ἀεὶ ἐφιλοτιμοῦντο ἀναφέρειν. Πυθαγόραν γὰρ ἀλλήλοις ὡς ἐξ Ἀπόλλωνος γεγονότα παρεδίδοσαν· τούς τε θεσμούς, οὓς τῷ περὶ ἑαυτὸν συλλόγῳ ἔθετο, παρὰ Θεμιστοκλείας παρειληφέναι τῆς ἐν Δελφοῖς ἱερείας τοῦ Ἀπόλλωνος (ἔπιθι Διογ. τὸν Λαέρτ. Η, η΄, κα΄. καὶ Πορφύρ. κεφ. μα΄.). Παραπλήσιος δέ τις λόγος ἐθρυλλεῖτο καὶ περὶ Λυκούργου τοῦ νομοθέτου· τὴν Πυθίαν γὰρ καὶ τούτῳ φράσαι τὸν παρὰ τοῖς Σπαρτιάταις καθεστεῶτα νόμον (παρ' Ἡροδότῳ, Κλειοῖ, ξε΄.). Ὡςαύτως δὲ νοητέον ἐστὶ καὶ τοῦτο Πυθαγόρου πέρι φημιζόμενον, ὡς χρυσοῦν ἔσχε τὸν μηρὸν καὶ τἄλλα ὅσα περὶ Πυθαγόραν τε ἔχει καὶ Ἄβαριν τὸν Ἀπόλλωνος ἱεροφάντην (κγ). Ἀπέβλεπε δὲ μάλιστα ἡ τοῦ Ἀπόλ-

(κγ) Ἔπιθι Αἰλιανοῦ ποικίλ. ἱστορ. Β, κϛ΄. « Ἀριστοτέλης λέγει

λωνος λατρεία τήν τε κάθαρσιν τοῦ ἤθους καὶ τὴν τῶν παθῶν ἡμέρωσιν. Διὰ τοῦτο δὴ καὶ ἡ μουσικὴ, ὡς τὴν τοιαύτην κάθαρσιν καὶ ἁρμονίαν τῆς ψυχῆς ἀπεργαζομένη, τῶν οὐσιωδεστάτων συστατικῶν τῆς Ἀπόλλωνος λατρείας ὑπῆρχεν. Καὶ κατὰ τοῦτο ἄρα ὁ Πυθαγόρειος τρόπος πρὸς τὴν Ἀπόλλωνος θεραπείαν σχέσιν ἔχων φαίνεται· περὶ πλείστου γὰρ καὶ οἱ Πυθαγόρειοι τὴν μουσικὴν ἐποιοῦντο καὶ ἐν πολλῇ χρήσει εἶχον, ὡς τῆς ψυχῆς ἁγνευτικήν τε οὖσαν καὶ ῥωστικὴν καὶ πραϋντικὴν (κδ). Ἔτι δὲ Δώριον ἦθος τῶν Πυθαγορείων ἐμφαί-

ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα ὑπερβόρειον προσαγορεύεσθαι. ἔτι δὲ Διογ. τὸν Λαέρτ. « καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι καὶ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ, ὡς εἴη Ἀπόλλων ἐξ ὑπερβορείων ἀφιγμένος, » — Γοίτλιγγος δὲ (ἱστ. διατριβ. σ. σοθ΄.) συμβολικῶς νοητέον, φησὶ, καὶ τὸ λεγόμενον, ὅτι Πυθαγόρας βουληθείς ποτε ὑποδεῖξαι εἰς Ἀπόλλωνα τὸν ὑπερβόρειον τὴν κατὰ πνεῦμα ἀρχὴν ἀνάγειν, ἰδεῖν παρέσχεν τὸν ἑαυτοῦ μηρὸν, χρυσοῦν ὄντα· σύμβολον γὰρ ἦν ὁ μὲν χρυσὸς τῆς τῶν Ὑπερβορείων χώρας, ἐξ ἧς γε λόγος εἶχε καὶ τὸν Ἀπόλλωνα προελθεῖν· ὁ δὲ μηρὸς ἰσχύος σύμβολον γεννητικῆς ἤτοι τῆς γονίμου αὐτοῦ διανοίας. Καὶ αὖθις παρὰ Διογ. τῷ Λαερ. Η, κα΄. Ἀρίστιππός φησι « Πυθαγόραν αὐτὸν ὀνομασθῆναι, ὅτι τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου. — Καὶ Ὀ. Μυλλέριος ἐν Δωριεῦσι (Α, σ. 221.) φησὶν, Πάνθους ἦν Ἀπόλλωνος ἱεροφάντης (Virg. Aen. 11, 318 κεφξ. 430). Τοῦτο δ' ἀμωσγέπως καὶ τὴν αἰνιγματώδη τερατολογίαν ἑρμηνεῦσαι ἐπικουρεῖ, ὅπως ποτὲ ὁ Πυθαγόρας τὴν ἐν Ἡραίῳ τῷ ἐν Ἄργει ἀνηρτημένην ἀσπίδα Εὐφόρβου τοῦ Πανθοΐδου ὡς ἰδίαν ἀνεγνώρισε καὶ ἑαυτὸν ὡς Εὔφορβον ἐν τῷ πρόσθεν βίῳ γεγεννημένον παρέδωκε. Δοκεῖ γάρ μοι κατ' οὐδένα ἄλλον λόγον πρὸ παντὸς ἄλλου τὸν Εὔφορβον ἑλέσθαι ἢ ὅτι κἀκεῖνος Ἀπόλλωνος ἱεροφάντης ἐγεγόνει, καθάπερ καὶ Πυθαγόρας ἑαυτὸν ἡγεῖτο. — Πρβλ. περὶ τούτων καὶ Κρίσχιον, σ, 68. — Ἄβαρις δὲ ὁ ἱεροφάντης ἐν τῇ Ὑπερβορείᾳ ἐγεννήθη, ἣν κατὰ τὴν μυθολογίαν ὁ Ἀπόλλων εἶχεν· Ἰαμβλ. ϡκ΄. ρμα΄.

(κδ) Quintilian IX, 4, 14. Pythagoreis certe moris fuit, et cum evigilassent, animos ad lyram excitare, quo essent ad agen-

νει καὶ τάδε· ὅτι τάς τε γυναῖκας ἐν μεγάλῃ ἦγον τιμῇ καὶ ἀποφθέγμασί τε καὶ γνωμικοῖς ἐς τὰ μάλιστα ἔχαιρον (κε).

Ἀλλ' οὐ μόνον τὰ ἤθη αὐτῶν καὶ ὁ τρόπος τοῦ βίου καὶ ἡ ἠθικὴ καὶ πολιτικὴ πορεία οἷον ἀπόῤῥοιά τίς ἐστι καὶ ἔκμαγμα τοῦ φρονήματος τῶν Δωριέων· ἀλλὰ καὶ αὐτὴ ἡ φιλοσοφία ἐξ ἐκείνου τρόπον τινὰ ἐκπηγάζει. καὶ γὰρ ἐκ τοιαύτης τινὸς θεωρίας οἱ πυθαγορικοὶ ὁρμώμενοι, ἐφιλοσόφουν, τὴν τῶν ὄντων οὐσίαν κυρίως ἐν μηδενὶ ἄλλῳ εἶναι λέγοντες ἢ ἐν μέτρῳ καὶ ἀναλογίᾳ καὶ σχήματι εὐρύθμῳ· οὐ γὰρ τὴν ὕλην, ἀλλὰ τὸ εἶδος ἀληθῆ τῶν ὄντων οὐσίαν εἶναι ἔλεγον· πάντα τε ἐξ ἁρμονίας μόνον καὶ συμμετρίας συνεστηκέναι· καὶ δὴ καὶ τὸ σύμπαν τόδε μηδὲν ἄλλο εἶναι ἢ σύνολόν τι ἁρμονικῶς διατεταγμένον, ὅπερ κόσμον προςηγόρευον. καὶ ὡς συνελόντι εἰπεῖν, ἡ ἰδέα τῆς ἁρμονίας καὶ τοῦ μέτρου, οἷον βάσις καὶ θεμέλιον τῇ πυθαγορικῇ φιλοσοφίᾳ ὑπόκειται. Ἡ τοιαύτη δ' ἀντίληψις τῶν ὄντων ἐν γένει ἐξ αὐτοῦ τοῦ τῶν Δωριέων χαρακτῆρος ἀποῤῥέουσα, προδήλως ἐμφαίνει ὡς αὐτοῖς κατ' ἐξοχὴν ἡ φύσις συμμετρίας τε καὶ ἁρμονίας ἔρωτα ἐνεποίησεν, οἷος καὶ πᾶσι τοῖς ἄλλοις Ἕλλησιν κοινὸς ὑπῆρχεν.

dum erectiores; et cum somnum peterent, ad eandem prius lenire mentes, ut si quid fuisset turbidiorum cogitationum, componerent. Ἔπιθι δὲ πλείω περὶ τούτου παρὰ Κριτζίῳ σ. 39.

(κε) Πλάτ. ἐν Πρωταγόρᾳ σ. τμγ'. « Οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις λακωνική. » — Περὶ δὲ τῶν Πυθαγόρου συμβόλων ἔπιθι Γοιτλιγγίου ἀναλέκτους διατριβὰς αωνα'. σ. 278—316. Ἦν δὲ τὰ σύμβολα περὶ τὸν πρακτικὸν καὶ ἠθικὸν μάλιστα βίον εἰς τὴν ἄσκησιν τῶν πρώτων τε καὶ μεγίστων ἀρετῶν ἀναφερόμενα.

Ταύταις δὲ ταῖς εἰκασίαις περὶ τῆς σχέσεως τῆς περὶ Πυθαγόραν ἀγωγῆς πρὸς τὸ γένος τὸ δωρικὸν ἐπιμαρτυρήσειεν ἂν καὶ πάνθ' ὅσα ἡμῖν περὶ Κρότωνος ἱστορικῶς παραδέδοται, ἐν ᾗ γε τὸ πρῶτον ἡ πυθαγορικὴ φιλοσοφία ἀνεφύη τε καὶ ἐγκατέστη. Ἦν γὰρ ἡ Κρότων Ἀχαιῶν καὶ Λακεδαιμονίων ἀποικία, ἐν ᾗ, πλειόνων περ ὄντων τῶν Ἀχαιῶν, δωρία δίαιτα, δωρία παιδεία καὶ ἡ Ἀπόλλωνος λατρεία (κϛ) ἐπὶ τέλους κατίσχυσεν.

δ'. Ἱστορία τῶν Πυθαγορείων.

Ἡ δὲ πολιτικὴ τῶν Πυθαγορικῶν ἐνέργεια, τὰ μὲν ἀριστοκρατικὰ πολιτεύματα πανταχοῦ ἀποκαθιστάναι προθυμουμένων, τὴν δὲ τοῦ δήμου ἰσχὺν ὅσον οἷόν θ' ἑκάστοτε περιστέλλειν, πολλάς τε καὶ φονικὰς στάσεις

(κϛ) Φαίνεται δὲ ὅτι οἱ πλεῖστοι τῶν Κρότωνα οἰκισάντων Ἀχαιοὶ τὸ γένος ἦσαν, καθ' ἃ καὶ Ἡρόδοτος (ἐν Η, 47.) ἐπιμαρτυρεῖ λέγων « Κροτωνιῆται γένος εἰσὶν Ἀχαιοί. » Ἡγήσατο μέντοι τῆς ἀποικίας Ἡρακλέους ἀπόγονος ἐκ Σπάρτης ἀποσταλείς, ὥσπερ καὶ Κρίσχιός φησιν σ. 13. ταὐτό δέ φησι καὶ Παυσανίας (ἐν βιβλίῳ γ'. κεφ. αω) τελευτήσαντος Ἀλκαμένους, Πολύδωρος τὴν βασιλείαν παρέλαβεν ὁ Ἀλκαμένους, καὶ ἀποικίαν ἐς Ἰταλίαν Λακεδαιμόνιοι τὴν ἐς Κρότωνα ἔστειλαν. Ἔνθεντοι καὶ ἡ ὕστερον γενομένη ἔρις τε καὶ στάσις Δωριέων τε καὶ Ἀχαιῶν πρὸς ἀλλήλους προῆλθεν. Ἐκ ταύτης δὴ τῆς διχοφροσύνης καὶ συμπλοκῆς καὶ πᾶσαι αἱ τοῦ Πυθαγορικοῦ συλλόγου περιπέτειαι προῦκυψαν. Ἔτι δὲ ἥ τε Ἀπόλλωνος καὶ Ἡρακλέους λατρεία, παρὰ τοῖς Σπαρτιάταις μάλιστα καθεστηκυῖαι, ἐτελοῦντο καὶ ἐν Κρότωνι, ὅπερ καὶ τὴν δωρικὴν ἀρχὴν τῆς πόλεως ταύτης ἱκανῶς τεκμηριοῖ. ἔπιθι καὶ Κρίσχιον σ. 14. Ἀπόλλωνός τε καὶ Ἡρακλέους τὸ εἴδωλον πάντα τὰ ἐν Κρότωνι νομίσματα φέρει· πρὸς δὲ τούτοις οἱ Κροτωνιᾶται τὸν Ἡρακλέα καὶ ὡς οἰκιστὴν τῆς ἑαυτῶν πόλεως ἐτίμων. Κρίσχ. σ. 15, ἔπιθι καὶ Ὀ. Μυλλερίου ἐν Δωριεῦσι Β, 173.

τῷ χρόνῳ ἐπήνεγκε· τοιαύτην δέ τινα στάσιν γενέσθαι φασὶν ἐν Κρότωνι, ζῶντος ἔτι τοῦ Πυθαγόρου. Λέγεται γὰρ τὸν δῆμον, Κύλωνος ἡγουμένου, περιστησάμενον τὴν Μίλωνος οἰκίαν, ἐν ᾗ κατά γε τὸ εἰωθὸς, οἱ Πυθαγόρειοι ἐτύγχανον συνεδρεύοντες, ἐμπρῆσαί τε αὐτὴν καὶ τοὺς Πυθαγορικοὺς ἀπὸ τῆς πόλεως ἐξελάσαι. [ἔπιθι περὶ τούτων Ἰάμβλ. κεφ. λε΄. καὶ Πορφ. §. νδ΄. καὶ ἐφξ. — καὶ Διογ. τὸν Λαέρ. Η, λθ΄.] ὑστέρῳ δὲ χρόνῳ συχνὰς ἄλλας τοιαύτας ταραχάς ἐπισυμβῆναι. Πολύβιος γοῦν (καίτοι μὴ ἀκριβῶς τὸν χρόνον ὁρίζων) δεινῶν μνημονεύει καταδρομῶν, αἷς οἱ Πυθαγόρειοι κατὰ τὴν Μεγάλην Ἑλλάδα ἐκτεθειμένοι ἦσαν, ὁπότε καὶ τὰ συνέδρια αὐτῶν ἐπυρπολήθησαν (κζ). Οὗτοι δὴ οἱ καταδιωγμοὶ ἀνὰ πᾶσαν τὴν κάτω Ἰταλίαν διαδοθέντες, ἠνάγκασαν τοὺς Πυθαγορικοὺς εἰς τὴν κυρίως Ἑλλάδα μεταναστεῦσαι. Λέγεται δὲ τοῦτο μάλιστα περὶ Λύσιδος καὶ Φιλολάου (κη.)

(κζ) Πολυβίου Β, λθ΄. « καθ' οὓς καιροὺς ἐν τοῖς κατὰ τὴν Ἰταλίαν τόποις, κατὰ τὴν Μεγάλην Ἑλλάδα τότε προςαγορευομένην, ἐνέπρησαν τὰ συνέδρια τῶν Πυθαγορείων· μετὰ ταῦτα γενομένου κινήματος ὁλοσχεροῦς περὶ τὰς πολιτείας, ὅπερ εἰκὸς, ὡςὰν τῶν πρώτων ἀνδρῶν ἐξ ἑκάστης πόλεως οὕτω παραλόγως διαφθαρέντων, συνέβη τὰς κατ' ἐκείνους τοὺς τόπους ἑλληνικὰς πόλεις ἀναπλησθῆναι φόνου καὶ στάσεως καὶ παντοδαπῆς ταραχῆς. » — Ὅλως ἀλλόκοτος φαίνεται ἡ κρίσις Ἀππιανοῦ (ἐν τῇ Μιθριδ. ἱστορ. κη΄.) περὶ τῆς πολιτικῆς πράξεως τῶν Πυθαγορείων, ὧδέ πως λέγοντος· « Καὶ ἐν Ἰταλίᾳ τῶν Πυθαγορισάντων ὅσοι πραγμάτων ἐλάβοντο, ἐδυνάστευσάν τε καὶ ἐτυράννευσαν ὠμότερον τῶν ἰδιωτικῶν τυράννων. »

(κη) Διογένης ὁ Λαέρτιος (Η, λθ΄.) κατὰ τὴν ἐν Κρότωνι γενομένην στάσιν φησὶ Πυθαγόραν τε αὐτὸν πρὸς τῶν διωκόντων ἀποσφαγῆναι καὶ τοὺς πλείους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς τετταράκοντα· διαφυγεῖν δ' ὀλίγους, ὧν ἦν καὶ Ἄρχιππος ὁ Ταραντῖνος καὶ

τῶν Πυθαγορείων, ἀμφοτέρων ἐν Θήβαις τότε ἐγκαταστάντων. Ἤκμαζε δὲ ὁ Φιλόλαος κατὰ τοὺς χρόνους τοῦ Σωκράτους. Οἵτε παραγενόμενοι ἐν τῷ δεσμωτηρίῳ τῷ Σωκράτει ἀποθνήσκοντι Σιμμίας τε καὶ Κέβης ἐτύγχανον ἤδη προακηκοότες τοῦ Φιλολάου ἐν Θήβαις (κθ.). Οὗτος δὴ ὁ Φιλόλαος ἀξιοπίστως μαρτυρεῖται πρῶτος γενέσθαι τῶν Πυθαγορείων ὁ περὶ πυθαγορικῆς φιλοσοφίας σύγγραμμά τι τοῖς ὕστερον καταλιπὼν (λ.), οὗ ἀποσπάσματά τινα καὶ ἐς ἡμᾶς διασέσωσται (λά). Ταῦτα δέ ἐστιν ἡ μόνη ἀξιόπιστος πηγὴ, ἐξ ἧς ἂν ἔχοιμεν τὰ περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας ἀρυσθῆναι. Ὀλίγῳ δ' ὕϛερον Φιλολάου, ἐφιλοσόφει ἐν Θήβαις Λύσις ὁ Πυθαγορικὸς, οὗ καὶ Ἐπαμινώνδας διήκουσεν (λϐ'.). Ἀλλὰ

Λύσις ὁ ἄνω εἰρημένος. καὶ Πλούταρχος ἐν τῷ περὶ δαιμονίου τοῦ Σωκράτους ιγ' « ἐπεὶ ἐξέπεσον (φησὶν) αἱ κατὰ πόλεις ἑταιρίαι τῶν Πυθαγορικῶν, στάσει κρατηθέντων, τοῖς ἔτι συνεστῶσιν ἐν Μεταποντίῳ, συνεδρεύουσιν ἐν οἰκίᾳ, πῦρ οἱ Κυλώνειοι περιέθηκαν καὶ διέφθειραν ἐν τούτῳ πάντας πλὴν Φιλολάου καὶ Λύσιδος, νέων ὄντων ἔτι, ῥώμῃ καὶ κουφότητι διωσαμένων τὸ πῦρ. » — Ἔοικε δὲ πολλοὺς τῶν Πυθαγορείων Ἀθήνησι διατρίβειν, καθ' οὓς καιροὺς ἡ μέση λεγομένη κωμῳδία ἤκμαζε διὰ τὸ ἐνίους αὐτῶν τηνικαῦτα διακεκωμῳδῆσθαι. Διογ. Λ. Η, λζ'. λη'.

(κθ) Πλάτων ἐν Φαίδωνι σ. ξα'. δ'. « ἤρετο οὖν αὐτὸν ὁ Κέβης· πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι, ἑαυτὸν βιάζεσθαι; τί δαὶ, ὦ Κέβης, οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων, Φιλολάῳ συγγεγονότες; ἤδη ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου καὶ Φιλολάου, ἤκουσα, ὅτε παρ' ἡμῖν διῃτᾶτο ὡς οὐ δέοι τοῦτο ποιεῖν».

(λ) Διογ. Λαερ. Η, ιε'.

(λα) Ὅρα « Φιλολάου τοῦ Πυθαγορικοῦ δόγματα σὺν τοῖς ἀποσπάσμασι τοῦ συγγράμματος αὐτοῦ » ὑπὸ Βοιχχίου, ἐν ἔτει αωιθ'.

(λϐ) Ὅρα Διογ. τὸν Λαέρ. Η, ζ'. — Corn. Nep. Epam. 2: philosophiae praeceptorem habuit Lysim Tarentinum, Pythagoreum; cui quidem sic fuit deditus, ut adolescens tristem ac severum senem omnibus aequalibus suis in familiaritate ante-

καὶ ἐπὶ Πλάτωνος ἤκμασε πάλιν ἡ πυθαγορικὴ φιλοσοφία κατὰ τὴν Μεγάλην Ἑλλάδα· πολλῶν γὰρ πόλεων προΐσταντο ἤδη ἄνδρες Πυθαγόρειοι, ἐξ οὗ δὴ καὶ Πλάτωνα ἡγοῦμαι ἀφορμὴν λαβόντα εἰπεῖν ὡς οὐδεμία ἐλπὶς εὐδαιμονίας ταῖς πόλεσι λείπεται ἄλλη, πλὴν ἐὰν ἄνδρες φιλόσοφοι αὐτῶν ἐπιμεληθῶσιν ἢ «τῶν νῦν ἐν δυναστείαις ἢ βασιλείαις ὄντων υἱέσιν ἢ αὐτοῖς ἔκ τινος θείας ἐπιπνοίας ἀληθινῆς φιλοσοφίας ἀληθινὸς ἔρως ἐμπέσῃ.» (λγ.).

Τῶν λογιμωτάτων δὲ Πυθαγορείων κατὰ τοῦτον τὸν χρόνον ἦν καὶ Ἀρχύτας ὁ Ταραντῖνος, ὃς δὴ λέγεται τὸ πᾶν παρὰ τοῖς ἑαυτοῦ πολίταις γεγονέναι, πάσῃ τιμῇ τιμώμενος, ἑξάκις τε ἢ ἑπτάκις στρατηγὸς ὑπ' αὐτῶν αἱρεθεὶς καὶ οὐδέποτε νικηθείς. Πολλὰ δὲ καὶ περὶ τῆς σωφροσύνης αὐτοῦ καὶ πρᾳότητος καὶ ἐπιεικείας μνημονεύεται (λδ.). φασὶ δ' αὐτὸν ἰδίαν φιλοσοφικὴν σχολὴν συστησάμενον, πολλούς τε ἄλλους μηθητὰς λαβεῖν ἐν δ' αὐτοῖς καὶ Πλάτωνα (λε.). Περὶ δὲ τῆς φιλοσοφίας

posuerit, neque prius a se dimisit, quam in doctrinis tanto antecessit condiscipulos, ut facile intelligi posset, pari modo superaturum omnes in ceteris artibus. Κατὰ δὲ τὸν Πλούταρχον (ἐν τῷ περὶ τοῦ δαιμονίου τοῦ Σωκρ, η'. ιγ'.) ὁ Λύσις μέχρι τελευτῆς παρὰ τῷ Ἐπαμινώνδᾳ διέμεινε καὶ ἐν Θήβαις ἐτάφη.

(λγ) Δίων ὁ Χρυσόστομος ἐν λόγ. μθ'. « οἱ Ἰταλιῶται, φησι, μετὰ πλείστης ὁμονοίας καὶ εἰρήνης ἐπολιτεύσαντο, ὅσον ἐκεῖνοι (οἱ Πυθαγόρειοι) χρόνον τὰς πόλεις διεῖπον. »

(λδ) Cic. Tusc. IV, 36 : ex quo illud laudatur Archytae, qui quum villico factus esset iratior, «quo te modo, inquit, accepissem, nisi iratus essem.» — Αἰλ. ποικ. ἱστ. ΙΒ, ιε'. «πολλοὺς ἔχων οἰκέτας τοῖς αὐτῶν παιδίοις, πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων.»

(λε) Cic. de fin. V, 29, 87. — Διογένης δ' ὁ Λαέρτιός φησιν ὅτι καὶ ἀντεπιστέλλοντες ἀλλήλοις Ἀρχύτας τε καὶ Πλάτων διετέλεσαν Η, π'. πα'.

αὐτοῦ συνέταξεν Ἀριστοτέλης ἴδιον σύγγραμμα «περὶ τῆς Ἀρχύτου φιλοσοφίας» ἐν τρισὶ βιβλίοις, ὥς φησιν Διογένης ὁ Λαέρτιος (λϛ.), ἐξ οὗ δῆλον γίγνεται ὅτι πολλὰ μὲν κἀκεῖνος φιλοσοφικὰ συγγράμματα κατέλιπεν, ἀλλὰ τὰ ὑπὸ τὸ ὄνομα αὐτοῦ εἰς ἡμᾶς διασωθέντα λείψανα, εἴ περ ἐλάχιστα ἐξέλοις, πάντα, ὡς ἀληθῶς εἰπεῖν, ὑποβολιμαῖά τέ ἐστι καὶ νόθα (λζ.). Ἐν δὲ τῷ αὐτῷ χρόνῳ διέλαμπε καὶ Τίμαιος ὁ Λοκρός· καὶ οὗτος ἐν τοῖς μάλιστα ἐλλόγιμος τῶν Πυθαγορείων, ᾧ γε καὶ Πλάτων τὸν ὁμώνυμον διάλογον ἀναγέγραφεν, ἐν ᾧ οὑτωσὶ αὐτὸν ἐγκωμιάζει· «Τίμαιος ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς τῶν ἐν τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ' αὖ κατ' ἐμὴν δόξαν ἐπ' ἄκρον ἁπάσης ἐλήλυθεν» (λη.).

Τούτοις οὖν τοῖς νεωτέροις τῶν Πυθαγορικῶν φιλοσόφων, συγγραφεῦσιν ἅμα γενομένοις, οἳ ἐπὶ Σωκράτους τε καὶ Πλάτωνος ἤκμασαν, πάντων δὲ μάλιστα τῷ Φιλολάῳ ἀποδοτέα ἐστὶν ἡ τελείωσις τοῦ Πυθαγορικοῦ συστήματος, ὡς ὅλου τε καὶ κατὰ μέρος τῆς περὶ ἀριθμὸν θεωρίας ἤτοι ἀριθμολογίας.

ε'. *Περὶ τῆς τῶν Πυθαγορείων κοσμολογίας.*

Πρώτη ἀρχή, οἷον βάσις τῇ Πυθαγορικῇ φιλοσοφίᾳ

(λϛ) Δ. Λ. Ε, κε'.

(λζ) Ἀρτενστεϊνίου, de Archytae Tarentini framgentis philosophicis, 1833, καὶ Γρουππίου,, περὶ τῶν ἀποσπασμάτων Ἀρχύτου καὶ Πυθαγορείων τῶν πρεσβυτέρων, ᾳωμ'.

(λη) Πλάτων ἐν Τιμαίῳ σ. κ, α'.

ὑποκειμένη, ἣν ἡ ἔννοια τοῦ μέτρου καὶ τῆς ἁρμονίας· συμμετρίᾳ γὰρ καὶ εὐαρμοστίᾳ οἱ Πυθαγόρειοι οὐ μόνον τὸ πᾶν κῦρος κατά τε τὸν ἰδίᾳ καὶ τὸν δημοσίᾳ βίον προςένεμον, ἀλλὰ καὶ ὡς νόμον τὸν μάλιστα καθόλου τοῦ σύμπαντος ἐξύμνουν. Καὶ γὰρ τὸ τοῦ παντὸς σύστημα ὡς ἐναρμόνιόν τι καὶ συμμέτρως συντεταγμένον ὅλον ὑπέλαβον, καθ' ἃ καὶ Ἀριστοτέλης φησὶ « τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι ὑπέλαβον καὶ ἀριθμὸν» (λθ), καὶ ἑνὶ λόγῳ κόσμον (μ) προςηγόρευον, ᾧγε ὀνόματι πρῶτος ὁ Πυθαγόρας παρὰ πάντων ὁμολογεῖται τὸ τῶν ὅλων σύστημα δεδηλωκέναι (μα). Ἀλλὰ καὶ Φιλόλαος, τοῦ ἑαυτοῦ συγγράμματος ἀρχόμενος, τοῦτο μάλιστα πειρᾶται διασαφῆσαι ὅτι τὸ σύμπαν τόδε εἴη ἂν ἄλλο οὐθὲν πλὴν συναρμογή τις καί, ὡς ἔπος εἰπεῖν, ἐναντιοτήτων συνδιάλλαξις ἤτοι ὅλον τι ἐναρμόνιον ὧδέ πως λέγων· (ἀποσπασμ. γ'. σ. ξα'.). « Ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ διχᾶ φρονεόντων σύμφρασις. » Ἐκ μαχομένων ἄρα καὶ ἐναντίων ἀλλήλοις συνέστη τὰ ὄντα καὶ εἰκότως ἁρμονίαν ὑπεδέξατο· ἁρμονία γὰρ πάντως ἐξ ἐναντίων γίγνεται. Πρὸς δὲ τού-

(λθ) Ἀριστ. Μεταφ. Α, ε'. γ'. — Διογ. τὸν Λαέρ. Η, λγ'. « καθ' ἁρμονίαν συνεστάναι τὰ ὅλα· Η, πε'. « Δοκεῖ δ' αὐτῷ (τῷ Φιλολάῳ) πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γίνεσθαι. »

(μ) πρβλ. καὶ Πλάτωνος Γοργ. σελ. φη'. α. « φασὶν οἱ σοφοί, καὶ οὐρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. » — Καὶ Ξενοφῶντος ἀπομνημονευμάτων Α, α', ιε'. « ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος· » δῆλον ἄρα τοῦτον τὸν ὅρον μήπω ἐν χρήσει κοινῇ ἐπὶ Σωκράτους γεγονέναι·

(μα) Ὅρα καὶ Διογ. τὸν Λαέρτιον Η, μη'.

τοις βούλεται καὶ τόδε καταδεῖξαι ὅτι ἁρμονία ἐστὶν ἐνδεχομένων ἡ μόνη μορφή, καθ' ἥν περ ὁ κόσμος οἷός τ' ἐγένετο συστῆναι· φησὶ γάρ· « Περὶ δὲ φύσιος καὶ ἁρμονίας ὧδε ἔχει· ἁ μὲν εστὼ τῶν πραγμάτων ἀίδιος ἔσσα καὶ αὐτὰ μὲν ἁ φύσις θείαν τε καὶ οὐκ ἀνθρωπίναν ἐνδέχεται γνῶσιν πλέον γα, ἢ ὅτι οὐχ οἷόν τ' ἦς οὐθενὶ τῶν ἐόντων καὶ γιγνωσκομένων ὑφ' ἁμῶν γνωσθῆμεν, μὴ ὑπαρχούσας αὐτᾶς ἐντὸς τῶν πραγμάτων, ἐξ ὧν ξυνέστα ὁ κόσμος τῶν τε περαινόντων καὶ τῶν ἀπείρων· ἐπεὶ δέ τε ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁμόφυλοι ἔσσαι, ἤδη ἀδύνατον ἦς ἂν καὶ αὐταῖς κοσμηθῆμεν, εἰ μὴ ἁρμονία ἐπεγένετο, ᾧ τινι ἂν τρόπῳ ἐγένετο· τὰ μὲν ὧν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐθὲν ἐπεδέοντο· τὰ δὲ ἀνομοῖα μηδὲ ὁμόφυλα μηδὲ ἰσοτελῆ, ἀνάγκα τὰ τοιαῦτα ἁρμονίᾳ συγκεκλεῖσθαι, εἰ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι. » Ταύτῃ οὖν τῇ ἰδέᾳ τῆς τε συμμετρίας καὶ ἁρμονίας οἱ Πυθαγόρειοι ἑπόμενοι, τὸ τοῦ παντὸς σύστημα κατεσκεύαζον, μηδεμιᾷ, ὡς ἔοικε, πείρας πραγμάτων ἐχομένῃ μεθόδῳ πρὸς τὴν κατασκευὴν χρώμενοι, ἀλλὰ λόγοις τισὶ μεταρσίοις καὶ πάνυ αὐθαιρέτοις, ὥς που καὶ Ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ (μϐ), ἔνθα περὶ τῆς τῶν Πυθαγορείων ἀντίχθονος

(μϐ) Β, ιγ'. — Καὶ Μεταφ. Α, Ε, δ'—ς'. Ἰσχυρίζοντο δὲ οἱ Πυθαγόρειοι « τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον· κἂν εἴ τί που διέλειπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν· λέγω δ' οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν, διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. »

λόγος γίγνεται, « οὐ πρὸς τὰ φαινόμενα (φησὶ) τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας λόγους καὶ δόξας αὐτῶν τὰ φαινόμενα προςέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν. » Ἐδόκει δ' οὖν αὐτοῖς τὸ τοῦ κόσμου σύστημα ὧδέ πως ἔχειν. Ἐν μέσῳ μὲν τοῦ σύμπαντος, σφαιροειδοῦς τὸ σχῆμα ὄντος, πῦρ ἱδρῦσθαι τὸ κεντρικὸν λεγόμενον. τοῦ γὰρ πυρὸς τιμιωτάτου πάντων τῶν ἄλλων στοιχείων ὄντος, ὡς κυρίου αἰτίου τῆς ζωῆς τῆς ἐν τῷ κόσμῳ, χρῆναι πάντως καὶ τὸν τιμιώτατον τόπον ἐν τῷ παντὶ κατέχειν (Διογ. Λ. Η, κζ'.)· εἶναι δὲ τὸν τόπον τοῦτον τὸ κέντρον τοῦ κόσμου· ἐν τούτῳ ἄρα ἱδρῦσθαι τὸ πῦρ (μγ). Φιλόλαος δὲ τοῦτο τὸ κεντρικὸν πῦρ ἑστίαν τοῦ παντὸς ἀπεκάλει, (μδ) τὸν τῆς Ἑστίας βωμὸν τὸν ἐν μέσῳ πάσης πόλεως, ἐν τῷ πρυτανείῳ ἱδρυμένον ὑπαινισσόμενος, ἐφ' ᾧ τὸ ἄσβεστον ἔλαμπε πῦρ, σύμβολον τῆς ἐν τῇ πόλει ζωτικῆς δυνάμεως ὄν. Συμβαίνειν δ' ἡμῖν ἔφασκον τοῦτο τὸ κεντρικὸν πῦρ μηδέποθ' ὁρᾷν διὰ τὸ οἰ-

(μγ) Ἀριστ. ἐν τῷ περὶ οὐρανοῦ Β, ιγ'. Οἱ Πυθαγόρειοι « ἐπὶ τοῦ μέσου πῦρ εἶναί φασιν, τὴν δὲ γῆν, ἓν τῶν ἄστρων οὖσαν, κύκλῳ φέρεσθαι περὶ τὸ μέσον. — Τῷ γὰρ τιμιωτάτῳ οἴονται προςήκειν τὴν τιμιωτάτην ὑπάρχειν χώραν, εἶναι δὲ πῦρ μὲν γῆς τιμιώτερον, τὸ δὲ πέρας τῶν μεταξὺ, τὸ δὲ ἔσχατον καὶ τὸ μέσον πέρας. »

(μδ) Στοβ. Ἐκλογ. Α, κγ'. σελ. υπη'· ἔτι δὲ καὶ Βοικχίου Φιλόλαον σ. 94. « Φιλόλαος πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον, ὅπερ Ἑστίαν τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον καὶ μητέρα θεῶν, βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως· καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω τὸ περιέχον· πρῶτον δ' εἶναι φύσει τὸ μέσον· » — καὶ Ἀριστοτ. ἐν τῷ περὶ οὐρ. Β, ιγ'. οἱ Πυθαγόρειοι ὑπέθεντο τὸ πῦρ ἐν τῷ μέσῳ ἕδραν λαβεῖν καὶ διὰ τὸ « μάλιστα προςήκειν φυλάττεσθαι τὸ κυριώτατον τοῦ παντός· τὸ δὲ μέσον εἶναι τοιοῦτον· ὃ Διὸς φυλακὴν ὀνομάζουσιν, τὸ ταύτην ἔχον τὴν χώραν πῦρ. »

κεῖν ἡμᾶς τὸ ἀπ' αὐτοῦ ἀπεστραμμένον μέρος τῆς γῆς· τἀναντία δὲ τὴν ἀντίχθονα ὡς προςεστραμμένην καταυγάζεσθαι πρὸς τοῦ πυρὸς τοῦ κεντρικοῦ. περὶ δὲ τοῦτο τὸ πῦρ τὸ καὶ μητέρα θεῶν καλούμενον φέρεσθαι τὰ οὐράνια σώματα ἐν κύκλῳ πάντῃ· εἶναι γὰρ τὴν κίνησιν τὴν κυκλικὴν πασῶν τελειοτάτην, ὡς ἐν ἑαυτῇ ἀλήκτως γιγνομένην. Δέκα δὲ τὸν ἀριθμὸν τὰ οὐράνια σώματα ἔλεγον παρὰ τὸ τὴν δεκάδα τῶν ἀριθμῶν ἁπάντων τελειοτάτην εἶναι. Ἐπεὶ οὖν ἐννέα μόνον ὁρᾶται τὰ κατὰ τὸν οὐρανὸν φερόμενα, γῆ, πλανῆται πέντε, ἥλιός τε καὶ σελήνη καὶ ἡ σφαῖρα ἡ τῶν ἀπλανῶν, ἐπενόησαν οἱ Πυθαγόρειοι δεκάτην τὴν ἀντίχθονα, μὴ ὁρατὴν ἡμῖν οὖσαν, οἷον δὴ ἐν τῷ ἀπεστραμμένῳ τῆς γῆς ᾠκημένοις (σχόλ. μϐ'.). Ἐντεῦθεν ἄρα δῆλον ὅτι οὗτοι οἱ Πυθαγόρειοι ἴδιόν τι σῶμα τῶν ἐν οὐρανῷ ἀντίχθονα προςηγόρευον, οὐχ ὥς περ οἱ ὕστερον τὸ τῆς γηΐνης σφαίρας ἀντίθετον ἡμισφαίριον. Ἐκεῖνα δὲ τὰ δέκα σώματα τὰ κοσμικὰ περὶ τὸ ἐν τῷ μέσῳ πῦρ ὂν κατὰ τάξιν τὴν ἐφεξῆς κινεῖσθαι ἔφασαν· πρῶτον μὲν, ὡς πορρωτάτω ἀπὸ τοῦ πυρὸς τοῦ κεντρικοῦ τὴν τῶν ἀπλανῶν σφαῖραν, εἶτα τοὺς πέντε πλανήτας, μετὰ δὲ τούτους τὸν ἥλιον, ὑφ' ᾧ τὴν σελήνην, ὕστερον τὴν γῆν καὶ τελευταίαν τὴν ἀντίχθονα, ὡς ἐγγυτάτω οὖσαν τοῦ πυρὸς τοῦ κεντρικοῦ (με). Πέραν δὲ καὶ τῶν ἀπλανῶν ἀστέρων ἄλλο πῦρ τὸ περιέχον καλούμενον, ἀνάλογον δὲ πρὸς τὸ

(με) Στοϐ. ἐκλογ. Α, σελ. υπη'. « περὶ δὲ τοῦτο (τὸ κεντρικὸν πῦρ) δέκα σώματα θεῖα χορεύειν, οὐρανὸν, πλανήτας, μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ ἑστίας ἐπὶ τὰ κέντρα τάξιν ἐπέχον. »

κεντρικὸν ὑπάρχον, ὡς λευκὴ αἴγλη περιδέδρομε τὸν πάντα κόσμον καταυγάζον καὶ ἀπο τοῦ πέριξ ἐν ὑψίστοις χώρου τοῦ κενοῦ ἤτοι τοῦ ἀπείρου χωρίζον. Εἶναι δ' ἔφασαν τὰ ἀπ' ἀλλήλων διαστήματα τῶν κοσμικῶν σωμάτων κατὰ λόγον τὸν τῆς ἁρμονίας· ἀντιστοιχεῖν γὰρ ἀκριβῶς τοῖς διαστήμασι τῆς μουσικῆς ὀκταφωνίας. Ἐπεὶ οὖν πᾶν σῶμα ἐμμελῶς κραδαινόμενον ἠχήν τινα ποιεῖ, συνακόλουθον δὴ καὶ τὴν ὁλικὴν κίνησιν πάντων ἅμα τῶν οὐρανίων σωμάτων συνήχησίν τιν' ἀποτελεῖν, παραπλησίαν οὖσαν τῇ ἁρμονίᾳ τῇ μουσικῇ. Αὕτη δὴ ἡ παρὰ τοῖς πυθαγορικοῖς ἐναρμόνιος φωνὴ τῶν κύκλῳ φερομένων ἄστρων. « Ἐπεὶ δ' ἄλογον ἐδόκει τὸ μὴ συνακούειν ἡμᾶς τῆς φωνῆς ταύτης, αἴτιον τούτου φασὶν εἶναι τὸ γιγνομένοις εὐθὺς ὑπάρχειν τὸ ψόφον, ὥστε μὴ διάδηλον εἶναι πρὸς τὴν ἐναντίαν σιγήν· πρὸς ἄλληλα γὰρ φωνῆς καὶ σιγῆς εἶναι τὴν διάγνωσιν, ὥστε καθάπερ τοῖς χαλκοτύποις διὰ συνήθειαν οὐθὲν δοκεῖ διαφέρειν, καὶ τοῖς ἀνθρώποις ταὐτὸ συμβαίνειν (μϛ). » Ἐπιτελεῖν δ' ἔφασαν τὴν κύκλῳ περιφορὰν περὶ τὸ κεντρικὸν πῦρ τὸν μὲν ἥλιον ἐν ἐνιαυτῷ, τὴν δὲ σελήνην ἐν μηνὶ καὶ τὴν γῆν ἐν νυχθημέρῳ (ἔπιθι καὶ Βοικχίου ἐν Φιλολάῳ σελ. ρις'.)· καὶ ὑπαντᾷ ἄρα ἡμῖν κατὰ πρῶτον ἐνταῦθα ἡ δόξα, ὅτι ἡ γῆ κινεῖται· ἀλλ' οὐ μέντοι τούτου γε ἕνεκεν Φιλόλαον ὑποληπτέον τὴν γῆν δοξάσαι καὶ περὶ τὸν ἑαυτῆς ἄξονα ἅμα περιδινεῖσθαι· οὔτε γὰρ περὶ ἑαυτὴν κυκλοφορεῖσθαι ἔδοξεν αὐτῷ οὔτε περὶ τὸν ἥλιον, ἀλλὰ περὶ τὸ πῦρ τὸ κεντρικόν. Ἀλλ' ὅτι μὲν ἡ γῆ περὶ τὸν ἑαυτῆς ἄξονα στρέφεται πρῶτοι δεδιδαχέναι ὁμολο-

(μϛ) Ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ Β, θ'.

γοῦνται Ἰκέτας τε ὁ Συρακούσιος καὶ Ἔκφαντος ὁ Πυθαγορικός· Ἀρίσταρχος δ' ὁ Σάμιος ἀμφότερα ὅτι περί τε τὸν ἑαυτῆς ἄξονα φέρεται κύκλῳ καὶ περὶ τὸν ἥλιον ἅμα· μετὰ δὲ τοῦτον ἐπιστημονικώτερον τὸν λόγον διασαφήσας Σέλευκος ὁ Ἐρυθραῖος ἦν ὁ ὡς ἀληθῶς πρόδρομος τοῦ Κοπερνίκου γενόμενος (μζ).

ϛ'. Περὶ τῆς Πυθαγορικῆς ἀριθμολογίας.

Ἡ τῶν Πυθαγορείων περὶ τὴν τῶν ἀριθμῶν φύσιν θεωρία ἤτοι ἀριθμολογία ἐξ ἐκείνου τοῦ ἀρχῆθεν δόγματος προεληλύθει ὅτι ὁ κόσμος σύστημά ἐστι συμμετρίᾳ τε καὶ λόγῳ ἡρμοσμένον. Φαίνονται δ' οἱ Πυθαγόρειοι, καθ' ἅπερ Ἀριστοτέλης φησὶ, τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις. Ὅπως δὲ τῇ διανοίᾳ εἰς τοῦτο τὸ δόγμα ἐγένοντο, διεξέρχεται ἡμῖν Ἀριστοτέλης ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ (βιβλ. Αψ. κεφ. ε'.) οὑτωσὶ λέγων· « οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς, τῶν ὄντων ἀρχὰς ᾠήθησαν εἶναι πάντων. Ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις μᾶλλον ἢ ἐν πυρὶ καὶ

(μζ) Ὅρα Βοιχχίου Φιλόλαον σελ. ρκϐ', — περὶ Ἱκέτου δὲ καὶ Ἐκφάντου καὶ Ἡρακλείδου τοῦ Ποντικοῦ καὶ Ἀριστάρχου τοῦ Σαμίου πραγματεύεται ὁ Βοίκχιος ἐν τῷ « περὶ συστήματος τοῦ κοσμικοῦ κατὰ τὸν Πλάτωνα » σ. ρκϐ'. καὶ Ἰδελέριος ἐν τῷ « περὶ τῆς σχέσεως Κοπερνίκου πρὸς τοὺς παλαιού. » ἐν τῷ Μουσείῳ τῆς ἀρχαιολογικῆς ἐπιστήμης Β, ϐ'. σελ. υϛ'. κ.φ.ξ.

γῇ καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς, ἕτερον δὲ καιρὸς καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως· ἔτι δὲ τῶν ἁρμονικῶν ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη καὶ τοὺς λόγους, ἐπειδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν, οἱ δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν.» Ταῦτα μὲν οὖν, καίτοι πάνυ ὀρθῶς εἰρημένα, ἀόριστά πως δοκεῖ εἶναι. Προσθετέον ἄρα αὐτοῖς καὶ τόδε· ὡς ἡ τοῦ μέτρου καὶ ἀριθμοῦ σχέσις ἡ πρὸς ἄλληλα ἐκίνησε μάλιστα τοὺς Πυθαγορικοὺς «τὰ τῶν ἀριθμῶν στοιχεῖα, τῶν ὄντων στοιχεῖα πάντων εἶναι» ὑπολαβεῖν. Καὶ γὰρ πᾶς λόγος κατὰ ποσὸν ἐν ἀριθμοῖς μόνοις δηλωτὸς ὑπάρχει. Εἰκότως ἄρα οἱ πυθαγορικοὶ τὴν δόξαν, ἣν εἶχον περὶ τοῦ παντὸς, σύστημά τι εἶναι ἐξ ἀναλόγων διαστημάτων συγκείμενον, οὑτωςὶ ἀπεφήναντο, ὅτι τὸ πᾶν κατὰ λόγους ἀριθμητικοὺς ἐσχημάτισται καὶ κεκόσμηται καὶ ἑνὶ λόγῳ ἀριθμὸς ἐστὶ τὸ πᾶν καὶ ἐν ἀριθμῷ ἡ οὐσία πάντων χρημάτων. Εἰς τὴν αὐτὴν δὲ ἀρχὴν τῆς ἀριθμολογίας ἀναφέρουσι καὶ πάντες οἱ λόγοι, οὓς αὐτοὶ οἱ Πυθαγόρειοι ἀποδιδόασιν· μόνῳ γὰρ ἀριθμῷ οἷόν τ' εἶναι φασὶν ἀρχὴν βεβαίαν τε καὶ ἐναργῆ λαβεῖν τοῦ τε διανοεῖσθαι καὶ γιγνώσκειν. Φιλόλαος γάρ φησι (ἀπόσπ. β'. σελ. νη'. καὶ ἀπόσπ. ιη, σελ. ρμα'. ρμε'.) «Καὶ πάντα γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι· οὐ γὰρ ὁτιῶν οἷόν τε οὐθὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτω.—νομικὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἁγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω παντὸς καὶ

ἀγνοουμένῳ παντί. Οὐ γὰρ ἧς δῆλον οὐθενὶ οὐθὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὐτὰ οὔτε ἄλλω ποτ' ἄλλο, εἰ μὴ ἧς ἀριθμὸς καὶ ἁ τούτω ἐσσία· νῦν δὲ οὗτος καττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται, σωματῶν καὶ σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων.» Εἰ μὴ γὰρ ἦν ἀριθμὸς, οὐχ οἷόν τ' ἂν ἦν οὔτε τὸν τόπον οὔτε τὴν ὕλην νοεῖν τε καὶ γιγνώσκειν· ἄμφω γὰρ ἂν ἀσαφῆ τε καὶ ἀδιάγνωστα ἦν, εἰμή γε οἷόν τ' ἦν εἰς ἐπιφανείας καὶ σώματα ὡρισμένα τε καὶ εὐδιάκριτα χωρίζεσθαι. Διακριθῆναι δ' ἂν δύναιντο αἵ τε ἐπιφάνειαι καὶ τὰ σώματα τότε μόνον, ὅταν τά τε μεγέθη αὐτῶν καὶ τῶν πλευρῶν τὸ πλῆθος ἐν ἀριθμοῖς δηλωθῇ, ὡς ὅταν, φέρ' εἰπεῖν, λέγωμεν τρίγωνον, τετράγωνον· καὶ πυραμίδα, κῦβον καὶ τὰ ἑξῆς. Τοιγαροῦν πᾶν τὸ ἐν τόπῳ, ἀριθμῷ μόνῳ ὁριστόν ἐστι καὶ γνωριστὸν ἢ, ἐν ἄλλαις λέξεσιν, ἀριθμός ἐστι τὸ δι' οὗ τὰ ὄντα γιγνώσκεται. Ἀλλὰ μὴν ὁ ἀριθμὸς οὐ μόνον γνωριστικὴ ἐστι τῶν ὄντων ἀρχὴ, ἀλλὰ καὶ οὐσιολογική. Φιλόλαος γάρ φησιν· «Ἴδοις δὲ καὶ οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις πᾶσι παντᾶ, καὶ κατὰ τὰς δαμιουργίας τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν.» Τοῦτο δ' οὐδὲν ἄλλο, οἶμαι, βούλεται εἰπεῖν, πλὴν ὅτι οὐδὲν ὅπως δήποτ' ὀνήσιμόν τε καὶ χρήσιμον γένοιτ' ἄν ποτε ἄνευ μέτρου ἀκριβοῦς καὶ ἀριθμοῦ. Οὐδὲ γὰρ ψόφος οὐδεὶς ἄν ποτε γένοιτο, ὃς ἂν μὴ ἐκ κραδάνσεων ἀποτελεσθείη, ἀριθμῷ δηλωτῶν, τοῦ ψοφοῦντος σώματος.

Ἴσον τ' αὖ καὶ ἄνισον χρόνου μόριον, ῥυθμός τε καὶ μέτρον οὐδὲν ἄνευ ἀριθμοῦ γένοιτ' ἄν. καὶ ἐνὶ λόγῳ πᾶσα οὐσία οὐδὲν ἄλλο, ὡς εἰπεῖν, τυγχάνει ὂν ἢ ποσὸν ἀριθμῷ δηλωτόν· καὶ δὴ καὶ πάσας μὲν διαφορὰς, πάσας δὲ ἀναλογίας τῶν ὄντων πρὸς ἄλληλα συνελὼν τις, εἰκότως ἂν μηθὲν ἄλλο εἶναι εἴποι ἢ ποσὰ παντοδαπὰ ἴσα ἢ ἄνισα, ἀντιστοιχοῦντα ἢ ἐναντιούμεν' ἀλλήλοις ἑκάστοτε. αὐτὸ δὴ τοῦτο, ὅπερ καὶ πρότερον ἐλέχθη, τὸν ἀριθμὸν οἱ Πυθαγόρειοι οὐ μόνον γνωριστικὴν εἶναι τῶν ὄντων ἀρχὴν ὑπέλαβον, ἀλλὰ καὶ οὐσιολογικήν· αἴτιον δὲ τέλος τοῦ ἀριθμὸν ὑπειληφέναι τοὺς Πυθαγορείους ἀρχὴν εἶναι τῶν ὄντων οὐθὲν ἧσσον καὶ τόδε δοκεῖ μοι· δύο γὰρ εἶναι ἐδόξασαν τὰ στοιχεῖα, ἐξ ὧν ὁ κόσμος συνέστη, τὰ ἄπειρα ἢ τὴν ἀπειρίαν (τὰ μηδενὶ μέτρῳ ὑποκείμενα) καὶ τὰ περαίνοντα ἢ τὸ πέρας (τὸ μέτρον παρέχον). Καὶ Φιλόλαος τῆς ἑαυτοῦ συγγραφῆς ἀρχόμενος, « Ἀναγκαῖον, φησὶ, τὰ ἐόντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαίνοντα ἅμα καὶ ἄπειρα. » Εἶτα δὲ τοῦ μεσολαβοῦντος χωρίου τῷ χρόνῳ ἀφανισθέντος, ἕπεται ἡ κρίσις ἥδε· τῶν ἄρτι εἰρημένων δοξῶν τὴν τρίτην μᾶλλον ἀσπαστέαν εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνεστάναι τὸν κόσμον· ἄμφω δὲ τούτω οἷον στοιχείω παντὶ τῷ ὑπάρχοντι ὑποκειμένω καὶ τῇ τοῦ ἀριθμοῦ φύσει ὡςαύτως ἐνεῖναι ἔλεγον, στοιχεῖα καὶ αὐτοῦ ὄντα, καθ' ὅσονπερ τοὺς ἀριθμοὺς εἰς ἀρτίους τε καὶ περιττοὺς διῃρῆσθαι καὶ τῇ τούτων συνθέσει, τοῦ ἀρτίου καὶ περιττοῦ, ἐκείνους αὖ συνίστασθαι, περιττὸν μὲν φάσκοντες τὸ περαῖνον, ἄρτιον δὲ τὸ ἄπειρον (Ἀριστ. ἐν αφ τῶν μετὰ τὰ φυσ. ε', η.)· « διὰ τὸ πᾶν μὲν ἄρτιον, ὥς φασιν οἱ

ἐξήγηται, εἰς ἴσα διαιρεῖσθαι, τὸ δὲ εἰς ἴσα διαιρούμενον, ἄπειρον κατὰ τὴν διχοτομίαν· ἡ γὰρ εἰς ἴσα καὶ ἡ μέση διαίρεσις ἐπ' ἄπειρον· τὸ δὲ περιττὸν προςτεθὲν περαίνει αὐτό· κωλύει γὰρ αὐτοῦ τὴν εἰς τὰ ἴσα διαίρεσιν » (μη)· ὥστε κατὰ τἀναντία τῷ ἀρτίῳ, ἔφασκον εἶναι τὸ περιττὸν, τὸ χωρὶς καὶ ἐπὶ μέρους, τὸ μέγεθος τὸ διωρισμένον καὶ οὐ κατὰ τὸ συνεχὲς ὄν· ἐπικρατεῖν δὲ τοῦ ἀρτίου· συντιθέμενον γὰρ αὐτῷ περιττὸν ἀποτελεῖν· μόνῳ δὲ τῷ περιττῷ ἐν τῷ ἀριθμητικῷ συστήματι ἀριθμοὺς συνίστασθαι σταθεροὺς, ἀκριβῶς ἀλλήλων διωρισμένους καὶ κατ' οὐδένα τρόπον ἀλλήλοις ὑπαγομένους, οἷον τὸν τρία, τὸν πέντε, τὸν ἑπτά· τούς γε μὴν ἀρτίους καὶ τοὺς ἑαυτῶν παράγοντας ἀρτίους ὡςαύτως ἔχοντας μηδὲν ἄλλο εἶναι πλὴν διχοτομίας ἢ διπλασιασμοὺς, μήδ' εὐσταθῶς ἀλλήλων διακεκριμένους· εἶναι ἄρα τὸ ἄρτιον, ὡς ἐν συνόψει εἰπεῖν, ὃ μεταβολήν τε πάσχει καὶ διηνεκῶς οἴχεται ἀποῤῥέον· τὸ δὲ περιττὸν, ὃ μονήν τε ἔχει καὶ τὰ ὄντα ἀλλήλων ἀφορίζει, ἀρχὴ τῶν κατὰ μέρος καὶ ἐμμόνων διαφορῶν γιγνόμενον· καὶ ἑνὶ λόγῳ τὰ ἀλλήλοις ἐναντία, οἷά περ καὶ ὁ κόσμος ἐν παντὶ προφαίνει, τοῦτο μὲν, ὄν τι καθ' ἑαυτὸ ἄπειρον οἱονεὶ ῥέον καὶ μεταβλητὸν, οἷον ἐστὶ τόπος, χρόνος, ὕλη, κίνησις, τὸ δ' αὖ, ὅπερ ἐν ἐκείνῳ τῷ μεταβλητῷ εἶδός τε καὶ πέρας προξενεῖ ἤτοι τόπον τε καὶ χρόνον περαίνει, τοῖς δὲ σώμασι σχῆμα παρέχει, μέτρον δὲ τῷ χρόνῳ. Ἕτεροι δὲ, ἴσως

(μη) Σιμπλίκιος εἰς Ἀριστοτ. φυσ. Γ, δ΄. φύλλ. ρε΄. — Καὶ Πλούτ. « γόνιμος γάρ ἐστιν (ὁ περιττὸς) καὶ κρατεῖ τοῦ ἀρτίου συντιθέμενος. καὶ διαιρουμένων εἰς τὰς μονάδας ὁ μὲν ἄρτιος, καθάπερ τὸ θῆλυ, χώραν μεταξὺ κενὴν ἐνδίδωσι, τοῦ δὲ περιττοῦ μόριον ἀεί τι πλῆρες ὑπολείπεται. »

τῶν νεωτέρων Πυθαγορικῶν, κατὰ συστοιχίας ἠρίθμουν, ἀλλὰ (διὰ τὸ βούλεσθαι κἀνταῦθα τὴν ἱερὰν δεκάδα σώζειν) πάνυ ἀτελῶς, ταύτας τὰς διὰ παντὸς τοῦ ὑπάρχοντος ἠκούσας ἐναντιότητας δέκα· πέρας καὶ ἄπειρον· περιττὸν καὶ ἄρτιον· ἓν καὶ πλῆθος· δεξιὸν καὶ ἀριστερὸν (ὅπερ καὶ ἄλλως παρὰ τοῖς παλαιοῖς ὡς ἀτελέστερον ἐλογίζετο)· ἄῤῥεν (ὡς τὸ ἡγεμονικὸν καὶ ὁριστικὸν) καὶ θῆλυ· ἠρεμοῦν καὶ κινούμενον (εἰς ἀόριστον τεῖνον)· εὐθὺ καὶ καμπύλον (τὸ τῆς φορᾶς ἀόριστον σημαῖνον)· φῶς καὶ σκότος (οἷον ἔκλειψιν καὶ τοῦ ὡρισμένου ἄρσιν)· ἀγαθὸν καὶ κακὸν (τῆς τε εὐκοσμίας καὶ συμμετρίας οἱονεὶ ἐκκλῖνον, τὸ κακόν)· τετράγωνον καὶ ἑτερόμηκες (μθ)· αὗται δὲ αἱ συστοιχίαι ἀνάγονται πᾶσαι εἰς τὴν πρώτην τὴν τοῦ πέρατος καὶ ἀπείρου ἤτοι τοῦ διωρισμένου καὶ ἀδιορίστου (ν)· ταύτῃ ἄρα τῇ μιᾷ συζυγίᾳ τῶν ἀλλήλοις ἐναντίων πᾶν ὑπόκειται τὸ ὑπάρχον, κἂν ταύτῃ δὴ τὰ πάντα ὁμοίως περιείληπται. ἐπεὶ δὲ ὁ ἀριθμὸς ὡς μονὰς ὑποκειμένη τῷ περιττῷ

(μθ) « Ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ᾽ ἐκείνων ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν λόγον τοῦτον· καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ ὥςπερ οὗτοι διωρισμένας ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν μέλαν, γλυκὺ πικρὸν, ἀγαθὸν κακὸν, μικρὸν μέγα. οὗτος μὲν οὖν ἀδιορίστως ἐπέῤῥιψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ᾽ ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσιν. » Ἀριστοτ. Μετ. Α. ε΄.

(ν) Πρβλ. Ἀριστ. ἠθ. Νικ. Β, ε΄. « τὸ κακὸν τοῦ ἀπείρου, ὡς οἱ Πυθαγόρειοι εἴκαζον, τὸ δ᾽ ἀγαθὸν τοῦ πεπερασμένου »

καὶ ἀρτίῳ, ὡς μονὰς ὑπόκειται καὶ τῷ πεπερασμένῳ καὶ ἀπείρῳ, ὑπειλήφασιν οἱ Πυθαγόρειοι καὶ τὸ πᾶν ἄρα μηδὲν ἄλλο εἶναι ἢ ἀριθμόν. καὶ γὰρ ἔδοξεν αὐτοῖς τὰς τοῦ πεπερασμένου καὶ ἀπείρου ἐννοίας τότε πρῶτον εὐκρινεῖς τε καὶ σαφεῖς γίγνεσθαι, ἐπειδὰν ἐν εἴδει ἀριθμοῦ ἑκατέρα, ὡς περιττὸν καὶ ἄρτιον, ἐκδηλῶνται· ἀριθμῷ γὰρ μόνῳ ὡς τὸ ἐπίπαν τὰ πάντα νοητά τε καὶ σαφῆ γίγνεσθαι· διὸ δὴ καὶ ἄμφω τούτω τὼ ἀρχὰ παντὸς τοῦ ὑπάρχοντος, τό τε πέρας καὶ ἄπειρον, εἰς ἀριθμὸν ἀναγαγεῖν δέον εἶναι ἔγνωσαν.

Τῷ δὲ δὴ ἀριθμῷ ἐπειρῶντο τοῦ λοιποῦ οἱ Πυθαγόρειοι τὸν πάντα κόσμον κατ' οὐσίαν τε καὶ εἶδος συστῆσαι· κἀν τούτῳ αὖθις ἡ τοῦ πέρατος καὶ ἀπείρου συστοιχία, ὡς ἔπος εἰπεῖν, τὸ πᾶν αὐτοῖς ἐν τῇ σκέψει ἦν. τὸ γὰρ σῶμα τοῦ κόσμου ἀριθμὸν εἶναι ἔφασκον· καὶ γὰρ πᾶν τὸ σωματοειδὲς μηθὲν ἄλλο εἶναι ἢ πολλαπλασιασμὸν τοῦ ἑνός· εἶναι γὰρ τὴν μὲν μονάδα σημεῖον (μαθηματικὸν, οὗ γε μέρος οὐδὲν), τὴν δὲ δυάδα ἤτοι τὴν διπλασίασιν τοῦ σημείου, γραμμὴν εὐθεῖαν· (εὐθὺ γὰρ οἱ πάλαι ὁριζόμενοι ἔλεγον· «οὗ ἂν τὸ μέσον ἀμφοῖν τοῖν ἐσχάτοιν ἐπίπροσθεν ᾖ·») ἐκ δὲ τῆς τριάδος ἤτοι τῆς τριπλασιάσεως γραμμῆς τῆς εὐθείας καὶ τῆς τῶν τριῶν γραμμῶν συναρμογῆς εἰς σχῆμα πεπερατωμένον, τρίπλευρον συνεστάναι ἐπίπεδον· ἐκ δὲ τῆς τετρακτύος ἤτοι ἐκ τοῦ ἐπιπέδου, τετράκις ληφθέντος, σῶμα συνεστάναι τὸ τετράπλευρον. Ἀλλὰ καὶ τὰς ἧσσον ἁπλᾶς γραμμάς τε καὶ σχήματα καὶ σώματα μόνῳ τῷ τῆς μονάδος πολλαπλασιασμῷ συνίστασθαι ἔφασαν· ὥστε καθόλου εἰπεῖν τὰ σώματα, ᾗ γ' ἂν πεφυκότα τύχῃ, πάντα εἰς

ἀριθμὸν ἀνοιστὰ εἶναι (να). Ἀλλὰ γὰρ τό, τε σημεῖον καὶ ἡ γραμμὴ καὶ ἐπιφάνεια καθ' αὑτὰ τὸ περίγραμμα μόνον καὶ σχῆμα ἤτοι τὸ πέρας τοῦ σώματος ἀποτελοῦσιν, τὸ δὲ τριχῇ διαστατὸν ἤτοι τὸν ὄγκον αὐτοῦ οὐδαμῶς· τὸν γὰρ τῶν σωμάτων ὄγκον οἱ Πυθαγόρειοι ἐκ τοῦ ἀπείρου παρῆγον. Εἶναι γὰρ ἔφασαν τὸ ἐξ ἀρχῆς μὴ μόνον πέρας ἀλλὰ καὶ ἄπειρον ἤτοι ἔκτασίν τιν' ἀόριστον· ἐφελκύειν τε πρὸς ἑαυτὸ ἀρχῆθεν τὸ πέρας τὸ ἄπειρον καὶ ἐπικρατοῦν αὐτοῦ περαίνειν τε αὐτὸ καὶ σχηματίζειν (νβ)· τὸ δ' αὖ ἄπειρον ἐκ τῆς ἑαυτοῦ φύσεως τὴν ἔκτασιν παρέχειν· ἐκ γὰρ τοῦ ἀπείρου ὑπεισδύειν τῷ πεπερασμένῳ τὸ κενὸν ἤτοι τὸν χῶρον, τὴν τῶν ἀριθμῶν φύσιν διορίζοντα, ὥσπερ Ἀριστοτέλης ἐν τετάρτῳ τῶν φυσικῶν διέξεισιν· « εἶναι δ' ἔφασαν καὶ οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι αὐτῷ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος, ὡς ἀναπνέοντι, καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ τῆς διορίσεως, καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν (νγ). » Καὶ ὡς ἐν ἄλλοις λόγοις δηλῶσαι· τὸ κενὸν διαλαμβάνει ἓν καὶ ἕν, ὥστε

(να) Ἀριστοτ. Μεταφ. Ζ, ια'. ς. ζ'. ἔπιθι καὶ Σελλερίου τ. Α, σ. 296.

(νβ) Πρβλ. Ἀριστ. τ. μ. τ. φυσ. Ν, γ'. οἱ Πυθαγόρειοι φανερῶς λέγουσι, « ὡς τοῦ ἑνὸς συσταθέντος εἴτ' ἐξ ἐπιπέδων εἴτ' ἐκ χροιᾶς εἴτ' ἐκ σπέρματος, εἴτ' ἐξ ὧν ἀποροῦσιν εἰπεῖν, εὐθὺς τὸ ἔγγιστα τοῦ ἀπείρου ὅτι εἵλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ πέρατος. »

(νγ) « Πρβλε. αὐτόθι καὶ βιβλ. γ', κεφ. δ'. « πάντες — οἱ δοκοῦντες ἀξιολόγως ἧφθαι τῆς τοιαύτης φιλοσοφίας — τῆς ἐπιστήμης τῆς φυσικῆς — πεποίηνται λόγον περὶ τοῦ ἀπείρου, καὶ πάντες ὡς ἀρχήν τινα τιθέασι τῶν ὄντων, οἱ μέν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων, καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ, ἀλλ' οὐσίαν αὐτὸ ὂν τὸ ἄπειρον. Πλὴν

δύο κατὰ τόπον ἀλλήλων χωρίζεται σημεῖα, χωρισθέντα δὲ γραμμὴν ἀποτελεῖ· διέχει δὲ ὡςαύτως τὸ ἄπειρον τάςτε γραμμὰς, ἐξ ὧν αἱ ἐπιφάνειαι, καὶ τὰς ἐπιφανείας, ἐξ ὧν τὰ σώματα, κατὰ τόπον ἀλλήλων ὥστε ἐπιφανείας καὶ σώματα ἤτοι κατὰ τόπον ἔκτασιν ἔργῳ γίγνεσθαι· πέρας οὖν καὶ ἄπειρον ἄμφω ἀρχὰ τοῦ κόσμου κατ' οὐσίαν τε καὶ εἶδος. Καὶ τὰ στοιχεῖα δὲ (*), ἐξ ὧν ἡ ὁρατὴ συνέστηκε φύσις ἀνῆγον οἱ Πυθαγόρειοι ἐξ ἴσου εἰς σχήματα στερεὰ πέντε τὸν ἀριθμὸν, « ἅπερ καλεῖται καὶ μαθηματικὰ, ἐκ μὲν τοῦ κύβου—φάσκοντες — γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν (νδ). Ταῦτα δὲ τὰ σχήματα ἀνέφερον αὖθις εἰς ἀριθμούς. Διαγνοίη δ' ἄν τις ἐν τούτοις τὸ αὐθαίρετον αὐτίκα ὅπερ ὕστερον, ὡς εἰκὸς, ταύτας τὰς μαθηματικῶς ζητουμένας τῶν ὄντων ἀρχὰς ἀμφιβόλους τε ἔμελλε καὶ πολυσήμους καὶ ἀσαφεῖς καταστῆσαι. Ἐχρῶντο δ' ὡς ἐπὶ τὸ πολὺ οἱ Πυθαγόρειοι πρὸς διασάφησιν τῶν τε ὁρωμένων καὶ τῶν ἀοράτων ἀναλογίαις ἀριθμῶν ταῖς πρὸς ἀλλήλους, αἷς καὶ μουσικὴν δύναμιν ἀπεδίδοσαν. πάντων δὲ τῶν ἀριθμῶν ἁπλούστατοι, ἀλλὰ κατὰ τὴν ἀποδιδομένην αὐτοῖς σημασίαν καθο-

οἱ μὲν Πυθαγόρειοι ἐν τοῖς αἰσθητοῖς (οὐ γὰρ χωριστὸν ποιοῦσι τὸν ἀριθμὸν), καὶ εἶναι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον· Πλάτων δὲ ἔξω μὲν οὐδὲν εἶναι σῶμα κ. φ. ξ.

(*) « Καὶ τὰ ἐν τᾷ σφαίρᾳ σώματα πέντε ἐντί· τὰ ἐν τᾷ σφαίρᾳ, πῦρ, ὕδωρ, καὶ γᾶ καὶ ἀὴρ καὶ ἁ τᾶς σφαίρας ὁλκὰς πέμπτον. » Βοιχ. Φιλολ. 160.

(νδ) Ἔπιθι Πλουτ. ἀρέσκ. τ. φιλοσ. Β, ς', ε'.

λικωτάτην δύναμιν ἔχοντες εἰσὶν οἵ δε· μονὰς, δυὰς, τριὰς, τετρακτὺς, ὡς ἐξ αὐτῶν ἀρχομένης πάσης ὑποστάσεως· [ἴδε ἀριθμ. θεολογ.] τούτων δὲ ἐπίσημος ἀριθμός ἐστιν ἡ τριὰς· πρώτη γὰρ αὕτη ἀρχὴν καὶ μέσον καὶ τελευτὴν ἔχει καὶ ἀριθμός ἐστι ὅλου τινὸς διωρισμένου, οἷον σχήματος (νε)· μᾶλλον δ' ἐπισημότερος ἡ τετράς· ἐν γὰρ τοῖς τέσσαρσι πρώτοις ἀριθμοῖς (1+2+3+4) ἀλλήλοις προςτεθειμένοις ὁ τέλειος ἤδη ἀριθμὸς ἤτοι ἡ δεκὰς περιλαμβάνεται. Πεντὰς δέ ἐστιν ὁ πρῶτος ἀριθμὸς, ὅς προςθέσει τοῦ πρώτου ἀρτίου ἀριθμοῦ ἤτοι τῆς δυάδος τῷ πρώτῳ περιττῷ ἤτοι τῇ τριάδι συνέστηκεν· ὥςπερ ἑξὰς αὖ ὁ πολλαπλασιασμῷ γιγνόμενος ἑκατέρου τούτοιν ἐφ' ἑκάτερον (2×3)· ἄμφω ἄρα τούτω τὼ ἀριθμὼ, ἥτε πεντὰς καὶ ἑξὰς, πρῶτοί εἰσιν, ἐν οἷς τό, τε ἄρτιον ἤτουν τὸ ἄπειρον, ἢ ἀδιόριστον ἢ τὸ ἐξ οὗ γε, ὕλης δίκην, καὶ τὸ περιττὸν, ἤτουν τὸ περαῖνον ἢ διορίζον ἀχώριστ' ἀλλήλων συνελήλυθεν. Τούτοιν δὲ συγγενὴς μέν ἐστιν ἡ ἑβδομὰς, διάφορος δὲ τῆς μὲν πεντάδος τῷ μηδενὸς τῶν ἐντὸς τῆς δεκάδος ἀριθμῶν παράγων εἶναι, ὥςπερ κἀκείνη· τῆς δ' αὖ ἑξάδος, τῷ μηδένα ἔχειν παράγοντα, παρ' ὃ καὶ ἀμήτωρ κέκληται, ἀμφοῖν δ' ἅμα τῷ τὴν δύναμιν τῆς τε τριάδος καὶ τετράδος ἅμα ἐν ἑαυτῇ περιλαμβάνειν. Ἡ δὲ ὀγδοὰς ἀντιστοιχεῖ τῷ ῥιζώματι τοῦ ὄντως ὑπάρχοντος ἤτοι τῇ τετράδι καὶ ἔστιν ἀριθμὸς τῆς ἐναρμονίου συμφωνίας, παρ' ὃ καὶ παναρμόνιος ἐκέ-

(νε) Ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ Α, α'. φησὶ « τὸ πᾶν καὶ τὰ πάντα τοῖς τρισὶν ὥρισται· τελευτὴ γὰρ καὶ μέσον καὶ ἀρχὴ τὸν ἀριθμὸν ἔχει τὸν τοῦ παντὸς, ταῦτα δὲ τὸν τῆς τριάδος. »

κλῆτο καὶ μυθολογικώτερον Καδμεία· ἡ δὲ ἐννεάς, ὁμοίως τῇ τετράδι, τοὺς ἐξ ὧν ἐγένετο παράγοντας ἴσους ἀλλήλοιν ἔχει ἑκάτερον ἑκατέρῳ (νϛ). Ἡ δὲ δεκάς ἐστιν ἡ τὴν τῶν ἀριθμῶν πρόοδον κωλύουσα καὶ κατὰ παλινοδίαν καὶ ἀνακύκλησιν ἕκαστον τῶν προσωτέρω ἐπὶ τὴν μονάδα καὶ τοὺς ἑαυτῆς ἐλάσσονας ἐπανάγουσα· πᾶσα γὰρ πέραν τῆς δεκάδος ἀρίθμησις ἐπανάληψίς ἐστι τῶν δέκα πρώτων ἀριθμῶν· διὸ « τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν· » ὥς που καὶ Φιλόλαός φησι « Θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὰν ἐσσίαν τῶ ἀριθμῶ καττὰν δύναμιν, ἅτις ἐντὶ ἐν τᾷ δεκάδι· μεγάλα γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἁγεμὼν » (νζ). Ὅθεν θεολογοῦντες ἐπωνόμαζον τὴν δεκάδα οἱ Πυθαγόρειοι ποτὲ μὲν κόσμον· συνεστάναι γὰρ καὶ ταύτην παρεμφερεῖ τρόπῳ τῷ τοῦ παντὸς διακόσμῳ· ποτὲ δ' οὐρανόν, οἷον δὴ καὶ ταύτην ὅρον οὖσαν τῶν ἀριθμῶν τελειότατον· ποτὲ δὲ πᾶν· διὰ τὸ πάντας ἐν ἑαυτῇ τοὺς ἀριθμοὺς συγκλείειν· ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε καὶ πίστιν· « εἰδὲ καὶ τὴν Ἀνάγκην οἱ θεολόγοι τῇ τοῦ παντὸς οὐρανοῦ ἐξωτάτῃ ἄντυγι ἐπηχοῦσι, διηνεκῶς ἐλαύνουσαν καὶ κατεπείγουσαν ἀδαμαντίνῳ καὶ ἀτρύτῳ μάστιγι τὴν σύμπασαν περιδίνησιν, εἴη ἂν καὶ οὕτως ἡ δεκὰς Ἀνάγκη, πάντα περιορίζουσα καὶ

(νϛ) Εὕροις δ' ἂν τὰ περὶ τὴν τετράδα κ.τ.λ. παρά τε τοῖς ἐξηγηταῖς τῶν μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους Α, ε'. καὶ ἐν τοῖς θεολογουμένοις τῆς ἀριθμητικῆς (Ἰαμβλίχου;) Πρβλ. δὲ καὶ Σελλέριον Α, σ. 285 κ.φ.ξ.

(νζ) Ἀριστοτ. ἐν Αω τῶν μετὰ τὰ φυσ. κεφ. ε'. § ϛ'. — Φιλολάου ἀποσπ. ιη'. (Βοιχχίού σ. ρλθ'. κ. φ. ξ.)

ἀλλήλοις καταμιγνύουσα καὶ πάλιν διϊστάνουσα καὶ κίνησιν καὶ ἀλληλουχίαν ἐμποιοῦσα τοῖς οὖσιν· αἱ κατ' αὐτὴν σφαῖραι τοῦ παντὸς αἱ δέκα.» ποτὲ δὲ προςηγόρευον αὐτὴν Ἀ τ λ α ν τ ά τε καὶ ἀ κ ά μ α ν τ α καὶ θ ε ὸ ν ψιλῶς καὶ Φ ά ν η τ α καὶ ἥ λ ι ο ν. ταύταις οὖν ταῖς τῶν ἀριθμῶν ἀναλογίαις πρὸς ἀλλήλας, ὅσον γ' ἔνεστιν ἐκ τῶν ἐλλιπῶν παραδόσεων συνεικάσαι, ἀντιστοιχεῖ καὶ ἡ κοσμογονικὴ αὐτῶν σημασία. Καθάπερ γὰρ ἐκ τῶν τεσσάρων πρώτων ἀριθμῶν τὴν σωματικὴν οὐσίαν συνεστάναι ἐδόξαζον, οὕτω καὶ τὴν πεντάδα (νη) ποιότητα εἶναι τῶν ὄντων καὶ εἶδος καὶ σχῆμα, τὴν δ' ἑξάδα ψύχωσιν ἤτοι συνοχήν τε καὶ διακόσμησιν καὶ ζωοποίησιν τῆς καθ' ἑαυτὴν ἀορίστου καὶ ἀτάκτου οὔσης οὐσίας τῆς ἐνύλου (νθ)· τὴν δὲ ἑβδομάδα φῶς τε καὶ ὑγίειαν καὶ νοῦν· τὴν δὲ ὀγδοάδα ἔρωτα καὶ φιλίαν (ἤγουν συναφὴν τῶν ὄντων εἰς ἄλληλ' ἐναρμόνιον) φρόνησίν τε ἅμα καὶ ἐπίνοιαν· τὴν τ' αὖ τετράδα ἢ ἐννεάδα, ὡς ἀριθμὸν ἰσάκις ἴσον ὄντα, δικαιοσύνην ἀπεφαίνοντο εἶναι· δίκαιον δὲ ᾤοντο εἶναι, « ἅ τις ἐποίησε, ταῦτ' ἀντιπαθεῖν » (ξ), τὴν δὲ δεκάκα, τοῦ σύμπαντος κόσμου οἷον συνάρθρωσιν εἶναι, τὸν τῶν οὐρανίων σωμάτων ὁρίζουσαν ἀριθμόν, καθάπερ τὴν τριάδα διαιρεῖν αὐτὸν

(νη) Θεολογούμενα ἀριθμητικῆς· σ. νς'. « Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν ἐν τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδειξαμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγίειαν καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐν ὀγδοάδι συμβῆναι τοῖς οὖσιν. »

(νθ) Πρβλ. Ἀσκληπιάδην εἰς τὰ Ἀριστοτέλους μεταφ. Α, ε'. — καὶ Σελλέριον τ. Α, 296.

(ξ) Ἀριστ. ἠθικ. μεγ. Α, α'. λδ'. καὶ Νικομ. Ε, η'.

ἔφασαν εἰς Ὄλυμπον, ἤτοι τὸ τῆς περιφερείας πῦρ, εἰς κόσμον, ἐν ᾧ οἱ πλανῆται κινοῦνται χώρῳ καὶ οὐρανὸν τὴν ὑπὸ τῇ σελήνῃ χώραν (ξα). Ἀλλὰ γὰρ ταῦτα, ὥς περ εἰκὸς, οὐκ ἦν ἀκριβῶς διορίσασθαι· ὅσῳ γὰρ μᾶλλον τά τε καθ' ἕκαστον διεξιέναι προῃροῦντο καὶ τὰς τῶν ἀριθμῶν ἀναλογίας τοῖς νοητοῖς ἐφαρμόττειν, τόσῳ μᾶλλον κατεφαίνοντο εἰκαίας τινὰς κεναγορίας λέγοντες· ἔνθεν τοι καὶ τοῖς ὕστερον Πυθαγορικοῖς συνέβη τὴν τῶν ἀριθμῶν δύναμίν τε καὶ φύσιν ἐξηγουμένοις, εἰς ψυχράς τινας καὶ ὅλως ἀορίστους λόγων τερθρείας ἐξοκεῖλαι, ἄλλων ἄλλως ἄλλον τῶν καθ' ἕκαστον ἀριθμῶν πρὸς τὸ αἰσθήσει ληπτὸν ὂν ἑκάστοτε προσελκόντων (ξϐ).

Δεδημιουργῆσθαι δὲ τὸν κόσμον ᾤοντο οἱ Πυθαγόρειοι τόνδε τὸν τρόπον· πρῶτον μὲν ἐν τῷ μέσῳ τοῦ παντὸς τὸ κεντρικὸν συνεστάναι πῦρ, ἐνεργείᾳ πάντως τοῦ πέρατος (ἤτοι τοῦ ἑνὸς καὶ τῶν ὡρισμένων ἀριθμῶν καθόλου), ὅπερ τὸ ἄπειρον ἐπέρανέ τε καὶ διεμόρφωσε. παραπλησίως δ' ἀποτελεσθῆναι καὶ τὰ λοιπὰ τοῦ τῶν ὅλων συστήματος μέρη, τῆς εἰδοποιοῦ ἀρχῆς κατὰ σμικρὸν ἀεὶ ἐπινεμομένης τὸ ἀσχημάτιστον καὶ ἀειδὲς ἄπειρον (ξγ). Μὴ εἶναι δὲ τὸν κόσμον ἄπειρον, ἀλλὰ σῶμα πεπερασμένον πάντοθέν τε συνεσφαιρωμένον·

(ξα) Πρϐλ. καὶ σχόλιον νε'.

(ξϐ) Πολλὰ δ' ἂν εὕροι τις περὶ τῶν τοιούτων παρὰ Θέωνί τε τῷ Σμυρναίῳ καὶ Νικομάχῳ τῷ Γερασηνῷ καὶ ἐν τοῖς θεολογουμένοις τῆς ἀριθμητικῆς καὶ παρὰ Μακροβίῳ καὶ ἄλλοις.

(ξγ) Ἀριστοτ. τ. μ. τ. φυσ. Ν γ, κϐ'. «Λέγουσιν, ὡς τοῦ ἑνὸς συσταθέντος — εὐθὺς τὸ ἔγγιστα τοῦ ἀπείρου εἵλκετο καὶ ἐπαιρένετο ὑπὸ τοῦ πέρατος.»

περιέχειν δὲ τὰς ἐσχατιὰς αὐτοῦ, κύκλῳ θέον, τὸ τῆς περιφερείας λεγόμενον πῦρ· εἶναι δὲ καὶ τούτου πέραν ἀμφὶς τὸ ἀδιάμορφον ἢ μηκέτι μεμορφωμένον ἄπειρον ἐξ οὗ γε, ὥςφασιν οἱ τὰ τοιαῦτα ἡμῖν παραδόντες (ξδ), ἐπειςάγεσθαι εἰς τὸν κόσμον χρόνον τε καὶ πνοὴν καὶ τὸ κενὸν, εἰς ὃ πάλιν τὸν κόσμον ἀναπνεῖν· ὡς δ' ἐν ἄλλῳ λόγῳ δηλῶσαι, τοῦτο τοιόνδε τι βούλεται εἰπεῖν· ὡς ὁ ἐκτὸς τοῦ κόσμου χῶρος περιλαμβάνει ἐν ἑαυτῷ τὸ ἀνείδεον ὂν ἤτοι τὸ μηκέτι μορφήν τινα καὶ σχῆμα λαβόν· ἐντεῦθεν δ' οἷον λυόμενον, ἐπειςρεῖ ἀεὶ εἰς τὸν κόσμον, ὅπως εἴδους μετάσχῃ καὶ, ἀεννάως καινῆς οὐσίας ἐπειςιούσης, εἰδοποιίας προςγλιχομένης, σώζῃ τοῦ κόσμου τὴν μὲν εἰδοποιὸν δύναμιν ἐν ἐνεργείᾳ διηνεκεῖ, τὴν δὲ διάστασιν ἀεὶ ἀμείωτον καὶ δὴ καὶ σύμπασαν τὴν ἐν χρόνῳ τοῦ κόσμου ζωὴν ἐνδελεχῶς τε καὶ ἀπαραποδίστως ἐς αἰῶνα ἰοῦσαν τηρῇ. Τὸ δὲ τῆς τοῦ παντὸς ἑστίας πῦρ, ὡς ἀρχή τε καὶ μέσον τοῦ πολλαχῇ μεμελισμένου κόσμου, λαμβάνει καὶ τὴν τῆς μονάδος ἐπωνυμίαν, τὰ σύμπαντα συνεχούσης, καταυγαζούσης, θερμαινούσης καὶ ζωοποιούσης, εἰ καὶ μὴ ἱκανῶς ἐξηκρίβωται, εἴπερ καὶ οἱ κατ' ἀρχὴν καὶ πρῶτοι τῷ χρόνῳ Πυθαγόρειοι τὸ ἓν ἢ τὴν μονάδα ψυχὴν ἅμα εἶναι τοῦ κόσμου ὑπέθεντο, καθάπερ τοῦτο περὶ τῶν ὕστερον πυθαγορισάντων ὁμολογεῖται (ξε).

(ξδ) Πλὴν Ἀριστοτέλους ἐν φυσ. Δ, ς'. Γ, δ'. (ἴδ. ἀν. σχόλ. νγ'.) ἔπιθι καὶ Στοβ. ἐκλογ. Α, σ. τη'. « τὸν οὐρανὸν (ὅς ἐστιν ἐνταῦθα κόσμος) εἶναι ἕνα, ἐπειςάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενὸν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί. » — Πλούτ. ἀρέσκ. Β, θ, α'. « ἐκτὸς τοῦ κόσμου τὸ κενὸν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ. » — Πρβλ. καὶ Βοιχχίου Φιλόλαον σ. ρθ'.

(ξε) Πρβλ. καὶ Βοιχχίου Φιλόλαον σελ. ρξγ'. — ρος'. ἄλλην μέντοι γνώμην ὁ Σελλέριος περὶ τούτου ἀποφαίνεται ἐν Α῾ τόμῳ σελ. ρξθ. τδ', κ.φ.ξ.

ζ'. *Οἷα τίς ἐστιν ἡ τῶν Πυθαγορείων ψυχολογία καὶ ἠθική.*

Καὶ τὴν ψυχολογικὴν καὶ ἠθικὴν αὐτῶν πραγματείαν οἱ Πυθαγόρειοι εἰς ἣν εἶχον περὶ τῆς ἁρμονίας ἔννοιαν ἀνέφερον· ὥςπερ γὰρ διὰ παντὸς τοῦ κόσμου ἁρμονίαν τινὰ ᾤοντο διήκειν, ὁμοίως καὶ τὴν ἰδίᾳ ἀνθρώπου ψυχὴν ἁρμονίαν εἶναι ἔφασκον (ξϛ)· ὥςπερ οὖν καὶ Πλάτων ἐν Φαίδωνι (σελ. πϛ'.) Σιμμίαν τὸν Θηβαῖον εἰςάγει θεωρίαν τινὰ περὶ ψυχῆς εἰς μέσον προβαλλόμενον ἐπὶ τὸ πυθαγορικώτερον εἰρημένην, καθ' ἥν περ ἡ ψυχὴ τὸν αὐτὸν δήπου πρὸς τὸ σῶμα λόγον ἔχει, οἷόν γε καὶ ἁρμονία πρὸς λύραν τε καὶ χορδάς. Ὑπέλαβον δ' οἱ Πυθαγόρειοι τὸ σῶμα ἀρχῆθεν διάφορον εἶναι τῆς ψυχῆς, ὡς σῆμα αὐτὸ καὶ οἷον φρουρὰν τῇ ψυχῇ οὖσαν ἀποφαινόμενοι (ξζ)· αὕτη δὴ ἡ θεωρία τοῦ τὴν ψυχὴν τίσιν τινὰ τῶν πρότερόν ποτ' αὐτῇ ἠδικημένων διδοῦσαν ἐνδεδῆσθαί τε καὶ ἐμπεπάρθαι τῷ σώματι, ἀποῤῥήτων τινῶν λόγων ἐμφανῶς ἐστιν ἐχομένη λεγόντων ὅτι ἡ

(ξϛ) Macrob. Somn. Scip. 1, 14. Plato dixit animam essentiam se moventem, Philolaus et Pythagoras harmoniam. — ὅρα καὶ Βοικχίου Φιλόλαον, ἀπόσμ. κγ'. σ. ροζ'.

(ξζ) Φαίδ. σ. ξϐ'. B. « ὁ μὲν οὖν ἐν ἀποῤῥήτοις λεγόμενος λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι, καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν. » Βοίκχιον σελ. ροη'. δηλοῖ δὲ φρουρὰ ἐνταῦθα τὸ δεδεσμεῦθαι καὶ οὐ τὸ φυλάσσειν, praesidium et statio vitae ὥςπερ Cic. Cat. maj. 20. μεθηρμήνευσεν. — καὶ παρ' Ἀθηναίῳ Δ, σ. ρνζ', Γ. « Εὐξίθεος ὁ Πυθαγορικὸς = ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν καὶ διείπασθαι τὸν θεὸν ὡς, εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις ἕως ἂν ἑκὼν αὐτοὺς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις. »

τῆς ψυχῆς γένεσις καὶ ὡς ἔπος εἰπεῖν πατρὶς ἡ πρώτη ἱερωτέρα τε καὶ σεμνοτέρα καί που ἐν οὐρανῷ ἦν ἱδρυμένη· παραπλήσιον δὲ τούτοις καὶ τὸ περὶ τῆς μετεμψυχώσεως δόγμα τῇ περὶ τὰ θεῖα τῶν Πυθαγορείων θεωρίᾳ μάλιστα προςιδιάζον κάθαρσίν τιν' αὐτὴν νομιζόντων, δι' ἧς πᾶσαν ψυχὴν ὁπωςδήποτε μιανθεῖσαν χρεὼν εἶναι καθαίρεσθαι (ξη).

Ἔοικε δὲ καὶ ἠθικὴ τῶν Πυθαγορείων ἐπὶ τὸ θρησκευτικώτερον ἠσκημένη· ἔφασκον γὰρ «θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους, καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι» (ξθ), ἀνώτατον δὲ νόμον καὶ ἀγαθῶν τὸ κράτιστον τὸ ἕπεσθαι τῷ θείῳ εἶναι ἔλεγον, τὰς τῶν θεῶν βουλὰς σεβομένους, πάσης τε μιάνσεως, ἐπιθυμίᾳ τε καὶ ὁρμῇ ἐνεργαζομένης, ὅσον οἷόν τ' ἀπέχεσθαι, σεμνῶν τ' ἀρετῶν ἀσκήσει θεῷ ὡς ὁμοιοτάτους σπεύδειν γίγνεσθαι (ο)· ταύτην μέντοι τὴν περὶ τὰ ἤθη τῶν Πυθαγορείων πραγματείαν ἢ ἠθοποιίαν εἰκότως ἄν τις βρίθους ἐπιστημονικοῦ ἔτι προςδεομένην ὑπολάβοι. καὶ γὰρ ἐπειράθησαν μέν τινας ἰδίᾳ ἀρετὰς θεωρητικώτερον ὁρίσασθαι (οα), τὴν μὲν ἀρετήν, φέρ' εἰπεῖν, ἁρμονίαν τινὰ ἀποφηνάμενοι, τὴν

(ξη) Ὅρα Διογ. τ. Λαέρ. Η, ιδ'. «πρῶτόν φασιν τοῦτον (τὸν Πυθαγόραν) ἀποφῆναι τὴν ψυχὴν κύκλον ἀνάγκης ἀμείβουσαν ἄλλοτ' ἄλλοις ἐνδεῖσθαι ζῴοις.» — καὶ Ξενοφάνη παρὰ Δ. τῷ Λ. Η, λς'.

(ξθ) Ἐν τῷ Φαίδωνι σελ. ξβ'. β'. — καὶ παρὰ Δ. τ. Λ. Η, κζ'. «προνοεῖσθαι τὸν Θεὸν ἡμῶν».

(ο) Δ. Λ. Η, κβ' — κδ'. λγ'. — Στοβ. ἐκλογ. ἠθικ. σ. ξδ'.

(οα) Ἀριστοτέλης ἐν αφ τῶν μετὰ τὰ φυσικὰ κεφ. ε'. κθ'. «Περὶ τοῦ τί ἐστιν ἤρξαντο λέγειν καὶ ὁρίζεσθαι, λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν.» Μ, δ, ς'. «περί τινων ὀλίγων, ὧν τοὺς λόγους εἰς τοὺς ἀριθμοὺς ἀνῆπτον, οἷον τί ἐστι καιρὸς ἢ τὸ δίκαιον ἢ γάμος.»

δὲ φιλίαν ἐναρμόνιον ἰσότητα, τὴν δὲ δικαιοσύνην ἀντιπεπονθός, ἄλλως ὅμως ἀποχρῶν αὐτοῖς ἔδοξεν εἶναι τὰς ἠθικὰς ἰδέας εἰς ἀριθμοὺς ἀναγαγεῖν· καὶ αὕτη ἐστὶ μέθοδος, ἐν ᾗ τὸ ἐπιστήμης ἄμοιρον καὶ ἄγονον τῆς τῶν ἀριθμῶν ἀρχῆς ἀριδήλως προφαίνεται· ἀλλὰ γὰρ εἴτις ὡς ὅλον τὴν τῶν Πυθαγορείων πραγματείαν ἐν νῷ λαβεῖν ἐθελήσειεν, ὁμολογήσειεν ἄν, οἶμαι, καὶ μάλα ἐνδίκως ὡς οὐ σμικρόν τι συνεβάλετο εἰς ἐπίδοσίν τε καὶ προαγωγὴν τῆς καθόλου ἑλληνικῆς φιλοσοφίας· πρῶτον μὲν γάρ, ὡς εἰκός, πολλὴν δύναμιν φυσικήν τε καὶ κοσμογονικὴν τοῖς τοῦ ποσοῦ καὶ μεγέθους λόγοις προςένειμεν· ἑλληνικῇ δ' ὡς ἀληθῶς διανοίᾳ καὶ εὐφυίᾳ πᾶν τὸ ἀνθυφεστὸς σκοπουμένη, τὸ εἰδοποιοῦν καὶ διακοσμοῦν ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων κυρίαν ἀπεφήνατο καὶ τὴν ἐναντιότητα τῆς εἰδοποιοῦ ἀρχῆς πρὸς τὸ ἀειδὲς ἤτοι εἴδους ἐπιδεόμενον ἄπειρον θεμένη, τῇ Πλάτωνος φιλοσοφίᾳ ὡδοποίησεν, ὅς περ, εἰ καὶ ἄλλως πως, αὐτὸν τοῦτον τὸν φιλοσοφικὸν δυασμὸν (dualismus), τοῦτο μὲν ὄν τι νῷ περιληπτόν, τῶν δ' εἰδῶν τοῖς αἰσθητοῖς αἴτιον, τοῦτο δ' αὖ ὑποστασίν τιν' ἔνυλον τὰ εἴδη δεχομένην, ἄμφω ἀρχὴν ἔθετο τῆς περὶ τῶν πάντων θεωρίας.

Περὶ Ἐλεατῶν.

Τὸ μαθηματικὸν εἶδος ἤτοι ὁ λόγος ὁ περὶ τοὺς ἀριθμοὺς μέσον τί ἐστι μεταξὺ τῶν αἰσθήσει ληπτῶν ὄντων καὶ τοῦ καθαρῷ λογισμῷ νοητοῦ. Τῶν μὲν οὖν Ἰώνων τὴν τῶν ὄντων φύσιν ἐν τῇ ὕλῃ ἐζητηκότων, τῶν δὲ Πυθαγορείων ἐν ἀριθμοῖς, συνακόλουθον ἄρα ἦν ὅτι

ἄλλη τις φιλοσοφία ὕστερον (;) ἐπιγενομένη τὴν πρώτην τῶν ὄντων ἁπάντων ἀρχὴν νοήσει εἰλικρινεῖ ἤλπισεν ἀνευρεῖν.

Οἱ μὲν οὖν Πυθαγόρειοι, τῇ τῶν ἀριθμῶν ἀρχῇ χρώμενοι, τὰ καθ' ἕκαστον τοῦ ἐνεργείᾳ ὑπάρχοντος ἐπί τι ἀμιγὲς ὕλης αἴτιον παντὸς τοῦ ὄντος ἀναγαγεῖν προέθεντο, ἀμήχανον ὂν τὸ παράπαν προϋπολαμβάνοντες οὐσίαν ἔνυλον ἀρχὴν εἶναι εἰδοποιὸν, διακοσμήσεώς τε καὶ ἁρμονίας τῶν ὅλων παραγωγὸν, ἣν δὴ καὶ ἀρχῆθεν τῷ λόγῳ ἤρξαντο θηρᾶν· οὐ μέντοι ἐντελῶς τοῦ σκοπουμένου ηὐστόχησαν· ὁ γὰρ ἀριθμὸς οὐχ οἱαςοῦν ὕλης πάμπαν ἀπηλλαγμένος ἐστὶν, ἀλλ' ἡμιτελῶς, καθ' ὅσον περ οὐθὲν αὐτῆς γε τῆς τῶν ὄντων οὐσίας ἅπτεται, ᾗ γε πρώτως ὄντα ἐστὶν, ἀλλὰ περίληψίς τις τῶν ἐν τοῖς οὖσιν κατά τε πλῆθος καὶ μέγεθος σκοπουμένων σχέσεων ὑπάρχει· δῆλον δὴ ὅτι ἐν τῷ μετρεῖν ἐστὶ τὰ ὄντα καὶ ἀριθμεῖν, ἥκιστα δὲ ἐν τῷ τὴν οὐσίαν αὐτὴν αὐτῶν νοεῖν. πολλῷ δὲ μᾶλλον ἔχοι τις ἂν εἰπεῖν κατὰ ταύτης τῆς πραγματείας πάντα τὰ ἐν τῷ κόσμῳ ἐπὶ τὴν τῶν ἀριθμῶν φύσιν ἀναγούσης καὶ αὐτῆς τῆς τῶν Ἰώνων φυσιολογίας ἁμωςγέπως ἀπολελεῖφθαι ᾗ δὴ, καίτοι τῶν ἐνύλων ἀπρὶξ ἐχομένη, ἑνοειδῆ γοῦν τὴν τῶν πάντων ἀρχὴν εὕρατο. Οἱ δὲ Πυθαγόρειοι οὐχ ἁπλῆν τινα καὶ πρώτην ἀρχὴν τῶν ὄντων ἁπάντων προεστάναι ᾤοντο, ἀλλὰ πολλὰ ἅμα ἐν ἀριθμοῖς ὡρισμένα ποσὰ πρώτους ἁρμονικοὺς λόγους εἶναι ἔφασαν οὕςπερ, διὰ τῶν πολλῶν εἴδους προςγλιχομένων ἰόντας, εἰδοποιεῖν τε αὐτὰ καὶ διακοσμεῖν. Ἀπεδέξαντο δ' ἅμα τόν τε ὡρισμένον ἀριθμὸν, καὶ τὸν ἀόριστον, τὸ περαῖνον ἅμα καὶ αὐτὸ τὸ ἄπειρον· δόξαν γὰρ αὐτοῖς ἄμφω

τούτῳ ἐν τῷ ἀριθμῷ περιέχεσθαι ἢ εἴδη αὐτοῦ εἶναι, οὐδὲ τὴν ἀρχὴν ἐπεχείρησαν εἰς ἓν συνάψαι, οἷον δὴ πάμπαν ἐναντίω τὴν φύσιν ἀλλήλοιν ὄντε. Οὐχ οὕτω μέντοι οἱ Ἐλεᾶται· καὶ γὰρ τούτοις νοήσει τε ἤδη εἰλικρινεῖ καὶ λόγῳ χρωμένοις, μηκέτι τοῦ λοιποῦ μετιτέον ἔδοξε περὶ τοῦ κόσμου εἶναι, ὡς γενέσεως πέρι ἁπλῆς ἢ οὐσίας τινὸς αἰσθητῆς, πρώτης, κατὰ τὸ συνεχὲς ἀεὶ εἰς εἴδη τὰ παντοῖα ἑαυτὴν μεταβαλλούσης, οὐδ' ὡς περὶ ἁπλοῦ ἀθροίσματος ἢ συνθέσεως στοιχείων τε παντοφυῶν καὶ δυνάμεων· ἀλλ' αὐτὸ τοῦτο ἑνιαῖον αὐτὸν εἶναι ἀπεφήναντο, ἤτοι ὂν ἀεὶ ταὐτὸν ἑαυτῷ παραμένον, καίτοι πολλῶν ἐν αὐτῷ μεταβολῶν ὁρωμένων, ἤτοι ὄν τι, ὅπερ καίτοι τῶν ἐξ ὧν γε σύγκειται στοιχείων διαφόρων τῇ φύσει ἀλλήλων ὄντων, καθ' ὑπόστασιν ἓν καὶ ταὐτὸν ἑαυτῷ ἁπάντῃ εἶναι, καὶ τέλος, ὡς ἑνί γε λόγῳ δηλῶσαι, ὄν τι ὅπερ ὡς ἀληθῶς ἔστι μέν, γίγνεται δ' οὔ, ἓν ὂν καὶ οὐ πολλά· καὶ πρὸς τοιαύτην θεωρίαν δῆλον ὅτι οὐ ταῖς αἰσθήσεσιν ὁ φιλοσοφῶν οἷός τέ ἐστιν ἐξικνεῖσθαι, ἀλλὰ αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ εὐεπηβόλως αὐτῆς ἅπτεται. Αὕτη τοίνυν ἡ περιωπή, ἐξ ἧς ἡ Ἐλεατικὴ φιλοσοφία ὁρμηθεῖσα, ἐπὶ τρεῖς γενεὰς κατόπιν ἀλλήλων τρεῖς φάσεις προϊοῦσα ἔλαβεν. Τὴν μὲν οὖν κρηπῖδα τῆς θεωρίας ἐκείνης Ξενοφάνης ἦν ὁ καταθέμενος, τὴν δὲ συστηματικὴν διασάφησίν τῆς ἐλεατικῆς ἀρχῆς Παρμενίδης παραδέδωκε, Ζήνων δὲ τέλος διαλεκτικῇ τέχνῃ πρὸς τοὺς ἀντιπάλους ἀντιλέγων, κῦρος αὐτῇ περιάψαι ἀνεβάλετο. Κέκληται δὲ ἡ αἵρεσις ἐλεατικὴ παρωνύμως τῇ πόλει Ἐλέᾳ ἢ Ὑέλῃ, ἀποικίᾳ ἑλληνικῇ οὔσῃ ἐν Λευκανοῖς τῆς κάτω Ἰταλίας, ἔνθα Ξενοφάνης μὲν ἐκ Κο-

λοφῶνος ὁρμηθεὶς ἐπιδεδήμηκε, Παρμενίδης μέντοι καὶ Ζήνων ὡς ἰθαγενεῖς πολιτείαν ἔχοντες, τὸν βίον διῆγον. Οἰκισταὶ δὲ ταύτης τῆς πόλεως Ἐλέας οἱ φωκαεῖς ἐγένοντο, οἵτινες ἄνδρες ἀγαθοὶ πρὸς τοὺς πέρσας γενόμενοι, τῆς δὲ ἑαυτῶν ἐλευθερίας κράτιστα ἀντεχόμενοι, κατέλιπον τὴν πατρίδα, δουλοσύνην ἀπαναινόμενοι, καθάπερ ὁ μελίγηρυς Ἡρόδοτος ἐν Κλειοῖ ἡμῖν ἀφηγεῖται (§. ρξδ', κ.φ.ξ.). Τὰ λαμπρὰ ταῦτα τῶν φωκαέων φρονήματα δηλώσειεν ἄν, οἶμαι, καὶ ὅπως ἡ Ἐλέα, πόλις ἄλλως οὐ τῶν πάνυ ἐπισήμων, ἑστία ἐγένετο εὐμούσου τε καὶ ἐμβριθοῦς παιδείας, ἐξ ἧς καὶ ἡ τηλαυγὴς φιλοσοφικὴ αἵρεσις ἀνέλαμψεν. Καὶ γὰρ καὶ Μασσαλία, Φωκαέων καὶ αὕτη ἀποικία, ὀνομαστοτάτη ἐπ' ἄλλῃ τε φιλοκαλίᾳ καὶ ἐπιστήμαις ἐγεγόνει.

§. ΙΕ'. ΞΕΝΟΦΑΝΗΣ.

α'. *Βίος αὐτοῦ.*

Ξενοφάνης Δεξίου ἢ, ὡς Ἀπολλόδωρος, Ὀρθομένους Κολοφώνιος, πόλεως Ἰωνικῆς ἐν μικρᾷ Ἀσίᾳ, ἀρχηγέτης ἐγένετο τῆς ἐλεατικῆς αἱρέσεως. Ἐκπεσὼν δὲ τῆς πατρίδος, νέος ἔτι ὢν, τὸν λοιπὸν βίον ἐν ταῖς κατὰ τὴν Σικελίαν καὶ τὴν μεγάλην Ἑλλάδα ἑλληνικαῖς πόλεσι καὶ δὴ καὶ ἐν Ἐλέᾳ διέτριψε (α). Φησὶ γοῦν καὶ αὐτὸς περὶ ἑαυτοῦ ἔν τινι ἐς ἡμᾶς περιγενομένῳ ποιήματι ἑπτὰ καὶ ἑξήκοντα ὅλα ἔτη εἴη, ἐξ οὗ γε ἔμφροντις κατὰ τὴν Ἑλλάδα γῆν περιπλανῷτο· ἤρξατο

(α) Διογ. Λ. Θ, ιη'.

δὲ τοῦ τοιούτου βίου ἅμα πέντε καὶ εἴκοσιν ἔτη γεγονὼς (6).

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶν δ' οἶδα λέγειν ἐτύμως.

Ἦγεν ἄρα τὸ ἐννενηκοστὸν τρίτον ἔτος τῆς ἡλικίας ὅτε τὸ ποίημα τοῦτο ἔγραφεν. Εἴη δ' ἂν ἴσως αἰτία τῆς Ξενοφάνους φυγῆς ἀπὸ Κολοφῶνος, ἡ ἐφεξῆς· « Κολοφώνιοι γάρ, ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησὶν » τῆς τρυφῆς οὑτωσὶ καθαπτόμενος.

Ἁβροφροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ἤεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν,
ἀσκηταῖς ὀδμὴν χρίμασι δευόμενοι.
[παρ' Ἀθην. ΙΒ', σ. 526. Α. ἐκ τῆς συλλογῆς τῶν Λυρικῶν τοῦ Βεργκίου σ. 378.]

Ἔτι δὲ λέγεται ὅτι κατὰ τὰς περιπλανήσεις εἰώθει παραπλησίως τοῖς πάλαι ῥαψῳδοῖς τὰ ἑαυτοῦ ποιήματα ἀπαγγέλλειν. τὰ δὲ περὶ τὸν χρόνον, καθ' ὃν ἔζη πάνυ διαφόρως φέρεται· εἴποι δ' ἄν τις αὐτὸν, εἰκότι λόγῳ χρησάμενος, ὑπερμεσοῦντος ἤδη τοῦ ἕκτου πρὸ Χρι-

(6) Διογ. Λ. θ'. ιθ'.

στοῦ αἰῶνος ἀκμάσαι· τὰ δὲ δόξαντα αὐτῷ ἐν φιλοσοφίᾳ κατέλιπεν ἔν τινι ποιήματι, ὅπερ παρὰ τοῖς ὕστερον, ἐπιγραφὴν « περὶ φύσεως » φέρον, μνημονεύεται. τὰ δ' ἐς ἡμᾶς διασωθέντα ἀποσπάσματα ἐκ πάντων τῶν ποιημάτων αὐτοῦ, ὀλίγα τε ὄντα καὶ διεσπαρμένα Κάρστην ὁ Ὁλλανδὸς συλλέξας εἰς φῶς ἐξήνεγκεν (ᾳωλ'.) Ἐπεὶ δ' ὁ φιλόσοφος οὐ μόνον κυριώτατος φημίζεται εὑρέτης γενέσθαι τοῦ ἐν φιλοσοφίᾳ διδακτικοῦ ἔπους [ἴδ. Βοδίου ἱστ. τῆς ἑλλ. ποιήσ. μέρ. α'. σ. 485. 3.], ἀλλὰ καὶ ἄλλως χαρίεις ἦν ἐλεγειῶν ποιητής· ποίησις δ' εὐτράπελος Ἰώνων ἦθος κάλλιστ' ἐλέγχει, ἡ δὲ Ξενοφάνους, Ἴωνος γενναιότατα φιλοσοφοῦντος· καλὸν ἡμῖν ἔδοξε περίλειμμά τι διασωθὲν ἐνταῦθα παραθέσθαι, εἰς ἠθογραφίαν τἀνδρὸς συντελεστικώτατον ὑπάρχον· προὔργου γὰρ ἂν εἴη ἡμῖν, οἶμαι, εἰς κατάληψίν τε καὶ κρίσιν ἀσφαλεστέραν περὶ τῶν πάλαι φιλοσοφημάτων, ὡς δυνατὸν πλείονα ἑνός γ' ἑκάστου πέρι τῶν φιλοσοφησάντων εἰδέναι. Τούτου δ' ἡμῖν τοῦ χρόνου φθονήσαντος, προθύμως ἀποδεκτέον πάντοθεν ἡγοῦμαι, εἴ τινος ἔργου ἐφείσατο γνωριστικοῦ τινος ἁμηγέπῃ ὄντος τῶν ἄλλως ἡμῖν μόγις καὶ μετὰ μόχθου γνωριζομένων. Ἄδει δὲ ἐν θυμηδίᾳ συμποσιακῇ ὁ φιλόσοφος, ὡς ἐφεξῆς·

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
 καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
 κρατὴρ δ' ἕστηκεν μεστὸς εὐφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὅς οὔποτε φησὶ προδώσειν,
 μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν,
 ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·

πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν ἀν' τὸ μέσον πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις.
Σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν, ταῦτα γὰρ ὦν ἐστιν προχειρότερον,
οὐχ ὕβρις, πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὥς οἱ μνημόσυν' ᾖ, καὶ τὸν, ὅς ἀμφ' ἀρετῆς,
οὔτι μάχας διέπει Τιτήνων οὐδὲ Γιγάντων,
οὐδὲ τὰ κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν·
θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

Πρὸς δὲ τούτοις καθάπερ πρῶτος ὁ Ξενοφάνης ἐν Ἕλλησιν ἁγνότερα πάντων τῶν πρὸ αὐτοῦ καὶ σεμνότερα περὶ τοῦ θείου, ὡς ἑνός γε ὄντος, εἶπεν ἐν τῷ διδακτικῷ αὐτοῦ ἔπει, περὶ ὧν προσωτέρω λόγος γενήσεται· πρῶτος δ' αὖ Ἑλλήνων ἐν Ἕλλησι τῆς τε μαντοσύνης (Κικέρων) καὶ τῆς τερατείας τῆς μυθικῆς ἐτόλμησεν καταφρονῆσαι· τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς κάλλος ὡς τοῦ σωματικοῦ κομιδῇ προφέρον ἐπῄνει, ἤτοι σοφίαν καὶ σύνεσιν καὶ ἠθικὰς ἀρετὰς, ὡς πολλῷ λυσιτελεστέρας ταῖς πόλεσιν οὔσας ἀποφαίνεται ἢ ῥώμην καὶ ἄσκησιν σώματος ἐν δημοτελέσιν ἀγῶσιν καὶ πανηγύρεσι κατ' ἐκεῖνον τὸν χρόνον ἐς τὰ μάλιστα ὑμνουμένας· φησὶ δὲ ταῦτα ὡς ἐφεξῆς·

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο

ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ' Πίσαο ῥοῆς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προςορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταῦτά χ' ἅπαντα λάχοι,
οὐκ ἐὼν ἄξιος, ὥςπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη·
ἀλλ' εἰκῆ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
Οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τὸ πέρ ἐστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,
εἴτις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

β'. *Τὰ Ξενοφάνει ἀρέσκοντα.*

Τὰ δ' ἐν φιλοσοφίᾳ τῷ Ξενοφάνει δόξαντα ἅπερ ἐκ λειψάνων τῶν ποιημάτων αὐτοῦ οὐδεὶς ἔτι τῶν νῦν οἷός τ' ἂν εἴη, οἶμαι, σαφῶς πορισθῆναι, συλλαμβάνοντες οἱ παλαιοὶ εἰς τὸ ἑξῆς φθέγμα εἰώθεσαν συντέμνειν· «ἓν εἶναι τὸ πᾶν, καὶ τοῦτο ὑπάρχειν θεὸν» (γ). Καὶ

(γ) Σέξτος Ἐμπ. ὑποτ. Α, σκε'. ἐδογμάτιζε δ' ὁ Ξενοφάνης ἓν εἶναι τὸ πᾶν καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσι. Γαλ. ἱστ. κ. γ'. Ξενοφάνης περὶ πάντων ὑπενδοιάζων τοῦτο μόνον ἐδίδαξε, εἶναι πάντα ἕν, καὶ τοῦτο

Πλάτων δὲ ὁ πρεσβύτατος τῶν μαρτύρων «τὸ Ἐλεατικὸν (φησὶν) ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων, οὕτω διεξέρχεται τοῖς μύθοις» (δ). Ἀριστοτέλης δὲ ἀκριβέστερόν πως διαλαμβάνει λέγων Ξενοφάνης πρῶτος ἑνίσας, ἤτοι μίαν ἀρχὴν θέμενος, οὐθὲν διεσαφήνισεν, εἴτε «ἓν κατὰ τὸν λόγον» ἤγουν νοήσει περιληπτὸν ἐδόξασεν εἴτε «ἓν κατὰ τὴν ὕλην,» ἤγουν ἓν αἰσθητόν· οὐδὲ γὰρ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν Θεὸν (ε). Ἐν τούτῳ τῷ Ἀριστοτελικῷ χωρίῳ χαρακτηρίζεται ἀκριβῶς ἡ Ξενοφάνους φιλοσοφία· συνάγεται γὰρ αὐτόθεν ὅτι ὁ Ξενοφάνης πρῶτον μὲν ἀρχὴν εἶναι πρώτην τὸ «ἓν καὶ πᾶν» ἀπεφήνατο, δεύτερον δὲ τοῦτο τὸ ἓν καὶ πᾶν αὐτὸν τὸν Θεὸν εἶναι καὶ τρίτον ὅτι ἀδιόριστον κατέλιπεν πότερον ἄρα τὸ ἑνοειδὲς ἢ ἑνιαῖον τοῦτο ὂν ὡς ἄθροισμα πάντων τῶν ἐπὶ μέρους ὄντων εἶναι ὑπείληφεν, ἓν κατὰ τὴν ὕλην, ἢ ὡς ἰδεολογικὸν ἢ ἰδανικὸν ὄν, ἓν κατὰ τὸν λόγον; τὰ δ' ἔτι ὑπάρχοντα λείψανα τῶν ποιημάτων αὐτοῦ ἀναφορὰν μάλιστα εἰς τὴν τοῦ Θεοῦ οὐσίαν ἔχει, ἧς γε τὸ ἑνιαῖον καὶ ἀμετάβολον ἐκ παντὸς λόγου ἀποδεῖξαι προθυμεῖται, πρὸς τὴν πολυθεΐαν καὶ τὰς τῶν πολλῶν δόξας ἀντιλέγων, τοὺς θεοὺς οὐ μόνον ἀνθρωπομόρφους ἀλλὰ

ὑπάρχειν Θεόν. — Σιμπ. Ἀριστ. φυσ. φύλ. ε'. «μίαν τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν Ξενοφάνην ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος.» Cic. Acad. IV, 37: Xenophanes unum esse omnia dixit, neque id esse mutabile, et id esse Deum.

(δ) Πλάτ. Σοφιστ. σ. σμβ'.

(ε) Ἀριστ. τ. μ. τ. φυσ. Α, ε'. —

καὶ ἀνθρωποπαθεῖς ὑποτιθεμένων· ἃ δὲ περὶ τῆς τοῦ Θεοῦ φύσεως αὐτὸς ἐφρόνει οὑτωσὶ ποιήσας ἐδήλωσεν·

Α΄.

Εἷς Θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίϊος οὔτε νόημα,

Β΄.

Οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δὲ τ' ἀκούει.

Γ΄.

Ἀλλ' ἀπάνευθε πόνοιο, νόου φρενὶ πάντα κραδαίνει.

Δ΄.

Αἰεὶ δ' ἐν ταὐτῷ τε μένειν κινούμενον οὐδὲν,
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ.

Φησὶ δὲ καὶ Ἀριστοτέλης ἐν δευτέρῳ τοῦ περὶ ῥητορικῆς· «Ξενοφάνης ἔλεγεν, ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει, μὴ εἶναί ποτε τοὺς θεούς.» Εἰκαίαν δὲ τὴν τῶν πολλῶν δόξαν ἐλέγχων, ὡς ἑξῆς λέγει.

Ε΄.

Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεννᾶσθαι
τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν φωνήν τε δέμας τε,

Εἶτα σαφέστερον ταύτην τὴν ἐξαπάτην διακωμῳδῶν, ἀπὸ τοῦ χρώματος τῶν εἰκόνων διελέγχει τὸ ψεῦδος· τοὺς μὲν γὰρ Αἰθίοπας μέλανας καὶ σιμοὺς γράφειν ἔφησε τοὺς οἰκείους θεούς· ὁποῖοι δὴ καὶ αὐτοὶ πεφύκασι· τοὺς δέ γε θρᾷκας γλαυκούς τε καὶ ἐρυθρούς, καὶ μέντοι καὶ Μήδους καὶ Πέρσας σφίσιν αὐτοῖς ἐοικότας, καὶ Αἰγυ-

πτίους ὡςαύτως αὐτοὺς διαμορφοῦν πρὸς τὴν οἰκείαν μορφήν· καὶ πάλιν φησίν·

ΣΤ΄.

Ἀλλ' εἴτοι χεῖράς γ' εἶχον βόες ἠὲ λέοντες,
ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν, ἅπερ ἄνδρες,
ἵπποι μὲν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα,
καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
τοιαῦθ', οἷόν περ καὶ αὐτοὶ δέμας εἶχον ὁμοῖον.

Ὁμήρου δὲ καὶ Ἡσιόδου ἀσέβειαν δεινὴν περὶ τοὺς θεοὺς κατέγνω, οὑτωςὶ αὐτῶν καθαπτόμενος·

Ζ΄.

Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστὶ,
κλέπτειν, μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

Εἶπε δὲ ταῦτα ἀποφατικῶς, μηθὲν ἄλλο προθυμούμενος ἐν τούτοις ἢ δημώδη τινὰ προςόντα ἀπὸ τοῦ θείου γνώμῃ εἰλικρινεῖ ἀποκλῖναι, ὡς ἀνάρσια καὶ πάμπαν ἀλλότρια τῆς ἁγνῆς αὐτοῦ καὶ ἀπεράντου φύσεως ὄντα· εἰδέ τις τοιόνδε τι βούλοιτο πυθέσθαι, ὅπως ποτὲ Ξενοφάνης θεόν τε καὶ κόσμον ἓν καὶ ταὐτὸν ἄμφω ἀποφηνάμενος εἶναι, τὸ τοῦ θεοῦ ἑνιαῖον καὶ ἀμετάβολον τῇ μεριστῇ καὶ μεταβλητῇ τοῦ κόσμου φύσει ἐπειράθη συνάψαι, εἴσεται αὐτὸν οὐθὲν τούτου γε πέρι πεφιλοσοφηκότα. Ὅλως γὰρ ἀδιόριστον τὴν τοῦ ἀϊδίου ἐκείνου καὶ ἀτρέπτου ὄντος σχέσιν πρὸς τὴν πεπερασμένην καὶ μεριστὴν τῶν ὁρατῶν φύσιν κατέλιπεν. Ἐθεώρει δὲ τὸ σύμπαν κατ' ἀφαίρεσιν τῆς μεταβλητῆς καὶ μεριστῆς

φύσεως, αὐτὸ καθ' αὐτὸ ἀμέσως ὡς ἀμετάβλητον θεὸν καὶ ἑνοειδῆ. τοῦτο δὴ τὸ δόγμα, ὅπερ Ξενοφάνης ἥκιστά γε ἐσαφήνισε, παραλαβὼν Παρμενίδης, Ξενοφάνους πολλῷ ἐπιστημονικώτερον ἑαυτῷ τὸν νοῦν προσέχων, πᾶν δ' εἶδος θεολογικὸν περιελόμενος, οἷόν περ τῇ φιλοσοφίᾳ ὁ Ξενοφάνης εἰώθει περιάπτειν, τὸ πυκνὸν ἐκεῖνο καὶ βαθὺ ἐφθέγξατο ῥῆμα· ὡς ἀληθῶς μὲν ὂν εἶναι, ὅπερ ὕλης οἱασοῦν πάμπαν ἀπηλλαγμένον, πανταχοῦ κατὰ ταὐτὰ ἑαυτῷ ὡσαύτως ἔχον παραμένει, πᾶν δὲ τὸ μεριστὸν καὶ μεταβλητὸν, οὐδέποτε κατὰ ταὐτὰ ἑαυτῷ ὂν, φαινόμενόν ἐστι μόνον, ὂν δὲ μηδέποτε μηδαμῶς.

§ ΙΣΤ'. ΠΑΡΜΕΝΙΔΗΣ.

α'. Περὶ τοῦ βίου αὐτοῦ.

Παρμενίδης Πύρητος Ἐλεάτης, γένους ὢν λαμπροῦ καὶ πλούσιος. Τὰ δὲ περὶ τὸν χρόνον, καθ' ὃν ἤκμασε ποικίλως τε καὶ διαφόρως λέγεται· πλεῖστον δὲ πάντων κἂν τούτῳ ἀξιόπιστός ἐστιν ἡ ἐν ἄλλοις τε διαλόγοις καὶ τῷ ὁμωνύμῳ Παρμενίδῃ τοῦ Πλάτωνος φερομένη μαρτυρία «ὅτι ἀφίκοιντό ποτε εἰς παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης· τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα ἤδη πρεσβύτην εἶναι, σφόδρα πολιὸν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι· καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῷ Πυθοδώρῳ ἐκτὸς τείχους ἐν κεραμεικῷ· οὗ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη καὶ ἄλλους τινὰς μετ'

αὐτοῦ πολλούς· Σωκράτη δ' εἶναι τότε σφόδρα νέον»(α). Ἐπεὶ οὖν Σωκράτης μὲν περὶ τὸ τετρακοσιοστὸν ἑβδομηκοστὸν ἔτος π. Χ. ὁμολογεῖται γεννηθῆναι, καὶ δὴ καὶ ἡ συνέντευξις ἐκείνη περὶ τὸ τετρακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος π. Χ. ἴσως ἐγένετο, στήσειεν ἄν τις οὐκ ἀπιθάνως, ὡς ἐγῷμαι, τὴν Παρμενίδου γένεσιν κατὰ τὸ πεντακοσιοστὸν εἰκοστὸν ἔτος πρὶν Χριστοῦ γεννήσεως. Ἐκ δὲ δὴ τούτων καὶ ὁ λόγος ὁ φερόμενος ὅτι καὶ Ξενοφάνους μαθητὴς ἐγεγόνει, χρονολογικῶς γε οὐκ ἂν ἄτοπος ἐλεγχθείη (β). Εἰ δ' ἄλλο μὲν σχεδόν τι μηθὲν περὶ τοῦ κατ' ἰδίαν βίου τοῦ Παρμενίδου ἡμῖν παραδέδοται, πάντες ὅμως ὅσοι τῶν πάλαι μνείαν αὐτοῦ ποιοῦνται, μιᾷ φωνῇ διαφερόντως τὴν τοῦ ἀνδρὸς μνήμην γεραίρουσιν· ὥς περ δὴ καὶ Σωκράτης ἐν Πλάτωνος Θεαιτήτῳ «Παρμενίδης μοι φαίνεται (φησί), τὸ τοῦ Ὁμήρου, αἰδοῖός τε εἶναι ἅμα δεινός τε, συμπροσέμιξα γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτῃ, καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον (γ).» τό,τε κόσμιον καὶ σεμνὸν τῶν τρόπων καὶ τοῦ βίου αὐτοῦ παροιμιακῶς ἐνεκωμιάζετο, ὡς δηλοῖ τὸ «Πυθαγόρειός τις καὶ Παρμενίδειος βίος,» ἐν δὲ τῷ Σοφιστῇ ὁ Πλάτων ἀποκαλεῖ αὐτὸν, Παρμενίδην τὸν μέγαν (σελ. σλζ'. α.).

(α) Παρμ. σελ. ρκζ'. — καὶ ἐν Σοφιστῇ σ. σιζ'. «Παρμενίδῃ — παρεγενόμην ἐγὼ νέος ὢν, ἐκείνου μάλα δὴ τότε ὄντος πρεσβύτου.» καὶ ἐν Θεαιτ. ρπγ'. ε'. «συμπροσέμιξα τῷ ἀνδρὶ, πάνυ νέος, πάνυ πρεσβύτῃ.

(β) Ἀριστ. Μετ. Α, ε'. κα'. «Παρμενίδης τούτου λέγεται μαθητής.»

(γ) σ. ρπγ'. ε. — καὶ Κέβητος πίνακι κεφ. β'. «ἀνὴρ ἔμφρων καὶ δεινὸς περὶ σοφίαν, λόγῳ δὲ καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον.»

B. Κατέθετο δὲ καὶ Παρμενίδης τὰ ἐν φιλοσοφίᾳ αὐτῷ δεδογμένα ἐν ἔπει διδακτικῷ, ὅπερ ὥς γ' ἐπὶ τὸ πλῆθος «περὶ φύσεως» ἐπιγραφὴν φέρον μνημονεύεται· τούτου καὶ ἐς ἡμᾶς λόγου πολλοῦ ἄξια ἀποσπάσματα στίχων ρνη' κατὰ τὴν συλλογὴν Κάρστενος τοῦ Ὀλλανδοῦ (δ) καταλέλειπται. Δίχα δὲ τοῦ ποιήματος διῃρημένου τὸ μὲν πρῶτον βιβλίον « τὰ πρὸς ἀλήθειαν ἤτοι περὶ τοῦ νοητοῦ» διαλαμβάνει, τὸ δὲ δεύτερον «τὰ πρὸς δόξαν ἤτοι περὶ τοῦ αἰσθητοῦ.» πρβλε δὲ καὶ στίχ. κη—λϐ.

γ'. *Περὶ τῆς Παρμενίδου φιλοσοφίας.*

Τὸ μὲν οὖν πρῶτον μέρος τοῦ διδακτικοῦ ποιήματος τήνδε τὴν δόξαν βούλεται διασαφῆσαι, ὅτι ἀληθῶς ἐστιν ὅπερ ἑαυτῷ ὡςαύτως καὶ κατὰ τὰ αὐτὰ ἀεὶ ὂν φαίνεται· πᾶν δ' ὃ μεταϐλητόν τέ ἐστιν καὶ μεριστὸν, οὐδὲν ὂν εἰλικρινές ἐστιν, ἀλλὰ οὐκ ὂν καὶ δὴ καὶ ἀδύνατόν τε ὅλως καὶ ἀνθρώπου φρενὶ ἄληπτον, ὧδέ πως λέγων·

Εἰ δ' ἄγ', ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
αἵπερ ὁδοὶ μοῦναι διζήσιός εἰσι νοῆσαι·
ἡ μὲν, ὅπωςἔςι τε καὶ οὐκἔςι (ἤτοι οὐκ ἐνδέχεται) μὴ εἶναι,
πειθοῦς ἐστι κέλευθος, ἀληθείη γὰρ ὀπηδεῖ·
ἡδ', ὡς οὐκ ἔστι τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι,
τὴν δή τοι φράζω παναπειθέα ἔμμεν ἀταρπόν·
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐὸν, — οὐ γὰρ ἀνυστόν, —
οὔτε φράσαις· τὸ γὰρ αὐτὸ νοεῖν ἐστί τε καὶ εἶναι·
(idem est enim cogitare et esse).

δ) Parmenidis reliquiae ed. Karsten, 1835.

Τοῦτον δὲ τὸν λόγον ὁ Παρμενίδης βουλόμενος ἐξακριβῶσαι, διεξέρχεται περὶ ἐκείνου τοῦ εἰλικρινεῖ νοήσει ληπτοῦ ὄντος, τὰ γνωρίσματα ἀποδιδοὺς ἢ ὑποστατικὰ σήμαντρα, ἅπερ αὐτὸς σήματα ἀποκαλεῖ, οὕτω πως λέγων·

Μόνος δ' ἔτι μῦθος ὁδοῖο
λείπεται, ὡς ἔστι. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ', ὡς ἀγέννητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν·

ἀγένητον μὲν οὖν εἶναί φησι πάντως· εἰ γὰρ ἦν γενητὸν, δέον γενέσθαι ποτὲ χρόνον τινὰ πρότερον, ὅτε οὐκ ἦν, ὅπερ ἂν ἀδύνατον· μηδόλως γὰρ ἂν εἶναι νοητὸν ὅπως ποτὲ οἷόν τ' ἂν εἴη ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μεταβῆναι· ὑποληπτέον ἄρα ἔφη τὸ ὂν ἤτοι ἐξ ἀρχῆς εἶναι ἢ μὴ εἶναι τὸ παράπαν· καὶ γὰρ εἴ τινι ἂν δόξειεν ἀπό τινος πρότερον ὄντος παρῆχθαι τὸ ὄν, καὶ τοῦτο ἀμήχανον ἂν ἐλεγχθῆναι· μηδὲν γὰρ ἂν διαφέρειν τοῦτο δὴ τὸ ὑστερογενὲς ὂν τοῦ ἀρχεγόνου. ὁμοίως δὲ καὶ ἀνώλεθρον εἶναι ἂν τὸ ὄν, εἰ γάρ ποθ' οἷόν τε ἦν μὴ εἶναι, μηδ' ἂν εἶναι ὄν. διασαφηνίζει δὲ ταῦτα οὑτωσὶ λέγων·

Τίνα γὰρ γέννην διζήσεαι αὐτοῦ; (τοῦ ὄντος)
πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ἐόντος ἐάσω
φάσθαι σ' οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητόν
ἐστιν ὅπως οὐκ ἔστι· τί δ' ἄν μιν καὶ χρέος ὦρσεν
ὕστερον ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον φῦναι;
οὕτως ἢ πάμπαν πελέμεν χρεών ἐστιν ἢ οὐκί.
Οὐδέ ποτ' ἐκ τοῦ ἐόντος ἐφήσει πίστιος ἰσχὺς
γίγνεσθαί τι παρ' αὐτό· τοὔνεκεν οὔτε γενέσθαι
οὔτ' ὄλλυσθαι ἀνῆκε δίκη, χαλάσασα πέδῃσιν,
ἀλλ' ἔχει. ἡ δὲ κρίσις περὶ τούτων ἐν τῷδ' ἐστίν·

ἔστιν ἢ οὐκ ἔστιν. κέκριται δ' οὖν, ὥςπερ ἀνάγκη,
τὴν μὲν ἐᾶν ἀνόητον, ἀνώνυμον, — οὐ γὰρ ἀληθής
ἐστιν ὁδὸς — τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.
πῶς δ' ἂν ἔπειτα πέλοι τὸ ἐόν; πῶς δ' ἄν κε γένοιτο;
οε'. Εἴγε γένοιτ', οὐκ ἔστ', οὐδ' εἴποτε μέλλει ἔσεσθαι·
τῶς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπιστος ὄλεθρος.

Ὥςπερ οὖν φησι τὸ ὂν ἀναπεφάνθαι μήτε ἀρχὴν ἔχον μήτε τέλος, οὕτω μήτε τὸ πρότερον μήτε τὸ ὕστερον εἰκότως ἂν αὐτῷ ἀποδοθῆναι· μήτε γὰρ γεγονέναι μήτε ἔσεσθαι, ἀλλ' ἀεὶ ὑπάρχειν καὶ εἶναι ὂν ἀεὶ παρόν, τὸ νυνὶ μόνον ἔχον·

Οὔποτ' ἔην οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν·

χρόνου γὰρ ἰδέαν μηδεμίαν μηδαμῶς ἂν ἐξεῖναι αὐτῷ προςθέσθαι· ἔτι δὲ ἔμπεδον ἀεὶ μένειν, ἀκίνητον, ἀτρεμὲς καὶ οἷον ἀκύμαντον ὄν,

τωὐτὸν δ' ἐν τωὐτῷ τε μένον, καθ' ἑωυτό τε κεῖται.

Ταῦτα μὲν οὖν ἀποφαίνεται ὁ Παρμενίδης περὶ τῶν κατ' οὐσίαν ἤτοι οὐσιωδῶν γνωρισμάτων τοῦ ὄντος· κατὰ τὸν αὐτὸν δὲ τρόπον ἀποδίδωσι καὶ τὸν ἐπουσιώδη ὁρισμὸν αὐτοῦ· φησὶ γοῦν τὸ ὂν μηδαμοῦ μηδαμῶς εἶναι διαιρετόν, ἀλλ' αὐτὸ ἑαυτῷ πελάζον καὶ συναρμόττον, ἓν ὅλον εἶναι· ἀπάτῃ γὰρ τῇ ἀπὸ τῶν αἰσθήσεων δοκεῖν ὁρᾶν ἔφη τοὺς θνητοὺς ἐγγὺς καὶ πόῤῥω ὡς ἂν ἐν τόπῳ κεχωρισμένου τοῦ ὄντος, ἀληθῶς μέντοι τὸ ὂν μήτε διαιρετόν, μήτε σκεδαστὸν μηδεμιᾷ μηχανῇ εἶναι, ἀλλ' ὅπερ εἴρηται, ὅλον ἓν πανταχῇ συνεχές, ὡς δηλοῖ ἐν τοῖς ἑξῆς·

Οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὅμοιον,

οὐδέ τι τῇ μᾶλλον τό κεν εἴργοι μιν ξυνέχεσθαι,
οὐδέ τι χειρότερον· πᾶν δὲ πλέον ἐστὶν ἐόντος·
π'· τῷ ξυνεχὲς πᾶν ἐςιν, ἐὸν γὰρ ἐόντι
[πελάζει.

καὶ αὖθις, ὅτε εἰςάγει τὴν θεὰν κελεύουσαν ἑαυτῷ τάδε·

Λεῦσσε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως·
ϟ'. οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι,
οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον
οὔτε συνιστάμενον.

εἶναι δέ φησι τὸ ὄν καὶ μουνογενὲς (ὅ ἐστι κατ' αὐτὸν μονοειδὲς) ἄνευ οἱαςοῦν κατὰ ποιὸν διαφορᾶς, αὐτὸ ἑαυτῷ πάντῃ πάντως ὅμοιόν τε καὶ ἴσον· μηδαμοῦ γὰρ μᾶλλον ἢ ἧσσον ἑαυτοῦ ἔχεσθαι, μηδαμοῦ τε μᾶλλον ἢ ἧσσον ὄν εἶναι· μηδαμῶς γὰρ ἐνδέχεσθαι κατὰ τὸ μᾶλλον καὶ ἧσσον ὑπόστασιν ἔχειν· ἀλλ' εἶναί τι ἀδιαίρετον ὁλοτελὲς, μονοειδὲς, αὐτὸ ἑαυτῷ πάντῃ ὁμοιότατόν τι καὶ συνεχές. (ταῦτα δὲ συνάγεται ἐκ τῶν ἄνω στίχων). πληροῦν δ' αὐτὸ τὰ πάντα ἐξ ἑαυτοῦ· ἀδύνατον γὰρ ὅλως ἄλλο τι παρ' αὐτῷ ἐγχωρεῖν· ὂν γὰρ ὄντι πανταχοῦ πελάζον, μηδὲν χάσμα ἢ κενὸν μηδαμοῦ ἐνδιδόναι. τέλος δέ φησι τὸ ὂν μηδὲ ἄπειρον εἶναι εἰς ἀχανὲς ἐκπεπετασμένον· εἰ γὰρ ἦν τοιοῦτο, καταδεὲς ἂν εἶναι τελειότητος· ἐοικέναι ἄρα μᾶλλον πεπερασμένον αὐτὸ εἶναι, πάντοθεν συνεσχημένον τέλειόν τε καὶ αὔταρκες. δηλοῖ δὲ ταῦτα ὧδέ πως λέγων·

πε'. κρατερὴ γὰρ ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει τέ μιν ἀμφὶς ἐέργει.
οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι·
ἐστὶ γὰρ οὐκ ἐπιδευὲς, μὴ ἐὸν δέ κε παντὸς ἐδεῖτο.

Εἰ μὲν οὖν Παρμενίδης τὸ ὂν παρεμφερές φησι ὄγκῳ σφαίρας εὐκύκλου, ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, οὐδὲν ἄλλο, οἶμαι, βούλεται εἰπεῖν ἢ ὅπως τοιοῦτος ὄγκος κυκλοτερὴς ὅμοιόν τι ἑαυτῷ πάντῃ καὶ ἰσόῤῥοπον καὶ πάντοθεν ἐπίσης αὐτοτελὲς ἐμφαίνει, οὕτω καὶ τὸ ὂν ἐκεῖνο πανομοιότατόν τε ἑαυτῷ ἐστὶ καὶ τελειότατον, ᾧγε οὐδενὸς πρὸς τελειότητα ἐνδεῖ οὐδ' αὐτῆς τῆς αὐταρκείας· ἔχοις ἂν καὶ ταῦτα ἐν τοῖς ἑξῆς.

Αὐτὰρ ἐ π ε ὶ πεῖρας πύματον τετελεσμένον ἐστὶ
πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ·
μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον
οὔτε τι βαιότερον πέλεναι χρεών ἐστι τῇ ἢ τῇ·
οὔτε γὰρ οὐκ ἐόν ἐστι τό κεν παύῃ μιν ἱκνεῖσθαι
εἰς ὁμὸν, οὔτ᾽ ἐόν ἐστιν ὅπως εἴη κενεὸν ἐόντος
τῇ μᾶλλον, τῇ δ' ἧσσον, ἐπεὶ πᾶν ἐστιν ἄσυλον.
ἣ γὰρ παντόθεν ἶσον ὁμῶς ἐν πείρασι κυρεῖ.

Ἀλλὰ πρὸς τοῖς εἰρημένοις γνωρίσμασιν ἀποδίδωσιν ὁ Παρμενίδης τῷ ὄντι καὶ ἄλλο τι προςιδιάζον· φησὶ γοῦν τὸ νοεῖν ἓν καὶ ταὐτὸν εἶναι τῷ εἶναι (οἷόν που κἀν τοῖς ἔμπροσθεν ἤδη ἁπλῶς ἐλέχθη)· τὸ γὰρ οὗ ἕνεκα νόημά ἐστιν ἤτοι τὸ ν ο η τ ὸ ν ταὐτὸν εἶναι τῷ εἶναι· μηδ' ἂν εἶναι ὅλως τὸ νοεῖν ἄνευ τοῦ εἶναι· ἐν τούτῳ γὰρ ἐμπεριειλῆφθαι κἀκεῖνο· μηδὲ γὰρ ἂν εἶναί τι τὸ παράπαν ἐκτὸς τοῦ ὄντος· ὑπάρχειν ἄρα καὶ νοεῖν ἄμφω ἀχώριστα εἶναι ἐν τῷ εἶναι· ᾗγ' ἂν εἶναι ᾖ, ἐκεῖ καὶ νοεῖν. καθάπερ οὖν καὶ αὐτὸς φησί·

Τωὐτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκεν ἔστι νόημα·
οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον ἐστὶν,
εὑρήσεις τὸ νοεῖν· οὐδὲν γὰρ ἔστιν ἢ ἔσται

ἄλλο πάρεξ τοῦ ἐόντος· ἐπεὶ τό γε μοῖρ' ἐπέδησεν
οἷον ἀκίνητον τελέθειν τῷ παντὶ ὄνομ' εἶναι,
ὅσα βροτοὶ κατέθεντο, πεποιθότες εἶναι ἀληθῆ,
γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐκὶ,
καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν.

Ταῦτα μὲν οὖν ἐστι τὰ γνωρίσματα ἢ σήματα, ἅπερ Παρμενίδης τῷ ὄντι ἀποδέδωκε· καὶ ἐν τούτῳ τῷ λογικῷ ὁρισμῷ τοῦ ἁπλοῦ, ὕλης οἱασοῦν ἀπηλλαγμένου ὄντος κεῖται πᾶσα ἡ θετικὴ φιλοσοφία αὐτοῦ. Ἐκ δὲ δὴ τούτων πορίζεται ἀρνητικῶς ὅτι πᾶν τὸ ὁπωσδήποτ' ἐναντίως ἔχον πρὸς τὸν ἀποδοθέντα λόγον τοῦ ἀΰλου, μονοειδοῦς καὶ αὐτοτελοῦς ὄντος ἢ ὡς ἐν ἑτέρῳ λόγῳ δηλῶσαι, πᾶν εἴ τί περ ἐν ἑαυτῷ ἀναφορὰν οἱανδήποτε πρὸς τὸ μὴ ὄν, εἴτε γένεσίν τε καὶ φθορὰν, εἴτε μείωσίν τε καὶ αὔξησιν ἢ διαίρεσίν τιν' εἰς μέρη ἢ ἀνομοιότητα ἢ ἔλλειψιν, ἀτέλειαν, περιστολὴν τοῦ ὄντος αὐτοῦ προφήνειε, τοῦτό γε, εἴ τις ἀληθὲς ὂν εἴποι, πᾶν ἄλλο εἴποι ἂν ἢ τἀληθὲς, μὴ ὂν δὲ καλέσας, ὀρθῶς ἂν καλέσειεν. Ἐπεὶ οὖν οὗτος ὁ ὁρώμενος κόσμος ὁ ταῖς αἰσθήσεσι ληπτὸς τῆς φύσεώς ἐστι τοῦ μὴ ὄντος, διὰ τοῦτο καὶ ὁ Παρμενίδης πάντα τὰ ἐν τούτῳ τῷ κόσμῳ αἰσθητὰ ὄντα μηδὲ εἶναι τὸ παράπαν ἀπεφήνατο. Ἐνεργάζονται μὲν οὖν ἐν ἡμῖν διὰ τῶν ἡμετέρων αἰσθήσεων, τοῦ ἀσκόπου ὄμματος καὶ τῆς ἠχηέσσης ἀκουῆς, οἷον φάσματά τινα καὶ σκιαὶ παντοδαπαὶ τοῦ μὴ ὄντος, ἤτοι τὰ πολλὰ καὶ ἐπὶ μέρους, γένεσίς τε τῶν ὄντων καὶ φθορὰ, ἀλλὰ τὸ πᾶν ἐν τούτοις λῆρος ἄντικρύς ἐστι καὶ ψευδοδοξία. Διὸ λόγῳ χρὴ τὰ ὄντα κρίνειν, τῆς τῶν αἰσθήσεων πλάνης πάμπαν ἀπηλλαγμένῳ· ἕν τι

ἄρα τἀληθές, ὡς ἔστι τὸ ὄν· καὶ μόνον τὸ ὂν ἔστι, τὸ δὲ μὴ ὂν δι' αὐτό γε τοῦτο ὅτι οὐκ ὄν ἐστι, μηδ' εἶναι ὅλως ἐνδέχεται· ἔτι δὲ τὸ ὄν, ὡς ἓν ἐν ἑαυτῷ ἁπάντῃ ὄν, αὐτὸ ἔστι μόνον, ὅπερ τὸ εἶναι ἔχει.

Καὶ τοσαῦτα μὲν τὸ πρῶτον μέρος τοῦ ποιήματος διδάσκει. Πᾶς τις οὖν ἡγήσαιτ' ἄν, ὡς εἰκός, τὴν Παρμενίδου πραγματείαν ἐν τούτῳ τέλος εἰληφέναι· καὶ μὴν περὶ τίνος ἂν ἄλλου ὑπόλοιπον αὐτῷ εἴη φιλοσοφῆσαι; τήν τε γὰρ ἔννοιαν τοῦ φθέγματος ἐκείνου, ὅτι μόνον τὸ ὂν ἔστιν λέγοντος ἀποχρώντως ἤδη διεσαφήνισεν καὶ πάνθ' ὅσα τις ἂν ἀρνητικῶς ἐξ αὐτοῦ δύναιτο πορισθῆναι, ταῦτα ἓν πρὸς ἓν διεξελήλυθεν. Αὐτὸς γὰρ οὗτος ἔφθη εἰπὼν ὅτι τὸ μὴ ὄν, ἤτοι τὸ διαιρετὸν καὶ ἐν χρόνῳ ὄν, ὅλως ἄληπτον εἴη, διαῤῥήδην εἰπὼν ὅτι πᾶν πλάνη καὶ τερθρεία τις εἴη, ὅπερ ἄκριτα φῦλα, κωφοὶ τυφλοί τε καὶ τεθηπότες θνητοί, ὡς ἀληθῶς ὂν νενομίκασιν, οἷον τὸ

> γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐκί,
> καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν.

κατὰ τοῦτον ἄρα τὸν λόγον πάντα τὰ ἐν τῇ φύσει φαινόμενα, ὡς τὸ διαιρετὸν καὶ μεταβλητὸν ὄν, εἴη ἂν ἡ σφαῖρα, οὕτως εἰπεῖν, τοῦ μὴ ὄντος· καὶ δὴ καὶ οὔτε γνῶσιν οὔτε ἐπιστήμην οὐδεμίαν αὐτῶν ἔνεστι λαβεῖν. Ἀλλ' οὐδὲν ἧσσον ὁ Παρμενίδης τὸν πιστὸν λόγον περὶ τῆς ἀληθείας ἤδη ἀποδεδωκώς, οὐκ ἀλυσιτελὲς ἔκρινεν, ἀπὸ τῆς τῶν θνητῶν ἀπατηλῆς γνώμης ἐν τῷ δευτέρῳ μέρει τοῦ ποιήματος ὁρμώμενος, καὶ περὶ τῶν ἐν τῇ φύσει γιγνομένων ὀλίγα τινὰ ὡς ἐν ὑποθέσεως μέρει διαλαβεῖν. Ἤλπισε γάρ, εἰ μή τι γε ἄλλο τὸν γοῦν

εἰκότα λόγον τούτων πέρι ὡς ἔνεστι τῇ ἀληθείᾳ συμβιβάσας, ὑποδείξειν ὅτι εἰσί τινες ἀρχαὶ ἁπλαῖ, ἐν διηνεκεῖ μεταβολῇ τῶν ἐπὶ μέρους καὶ αἰσθητῶν ἀμετάβλητοι καὶ ἐς ἀεὶ ἔμπεδοι παραμένουσαι. Τὸν αἰσθητὸν ἄρα κόσμον, ὃν ἐν τῷ πρώτῳ βιβλίῳ ὡς ἐξαπάτην καὶ πλάνην ἐξήλεγξεν, ὑπὸ τῆς διὰ τῶν αἰσθήσεων ἀντιλήψεως νῦν ἀναγκαζόμενος ὡς ὑπάρχοντα ἀποδέχεται, εἰ καὶ ἀεὶ μήτε τοῦ εἶναί πως αὐτῷ μετεῖναι φησὶ μήτε τοῦ Ἀληθοῦς τὸ παράπαν. Διὸ καὶ τὴν μετάβασιν ἐπὶ τὴν θεωρίαν τῶν πρὸς δόξαν, οὑτωσὶ λέγων, ποιεῖται·

Ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ νόημα
ἀμφὶς ἀληθείης· δόξας δ' ἀπὸ τοῦδε βροτείας
μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.

προθυμούμενος οὖν ὁ Παρμενίδης τὰ τῆς φύσεως, ὅσον ἔνεστι, διασαφῆσαι δύο μορφὰς ἤτοι στοιχεῖα τῶν ὄντων κατέθετο, ἐναντίω ἀλλήλοιν ὄντε τὸ μὲν φλογὸς αἰθέριον πῦρ,

ἤπιον ἐόν, μέγ' ἀραιόν, ἑωυτῷ πάντοσε τωυτόν,

τὸ δ' ἕτερον οὐ ταὐτὸν ἑαυτῷ διαμένον, ἀλλὰ κατὰ τἀναντία πρὸς τὸ πρῶτον, νύκτα σκοτεινὴν (ἀδαῆ, ἄφαντον), πυκινὸν δέμας, ἐμβριθές τε ὄν· τούτοιν δὲ τὸ πρῶτον μόνον αὐτὸς ὡς ἀληθῶς ὂν ἡγεῖται καὶ κατ' οὐσίαν ταὐτὸν τῷ ἑνὶ ὄντι· τὸ δ' ἕτερον δόξαν φησὶ πεπλανημένην καὶ ὡς ἀληθῶς εἶναι μηδὲ ὂν τὸ παράπαν (ε)·

(ε) Ὥςπεροῦν καὶ Ἀριστοτέλης ἐν αφ τῶν μετὰ τὰ φυσικὰ (ε, κδ'. κεφ.).

ἀμφοτέρων δὲ τούτων, τοῦ τε λαμπροῦ καὶ σκοτεινοῦ ὡς στοιχείων ἀλλήλοις ἐναντίων ἅπαξ παραδεδεγμένων, προςήκειν ἔφη τὸν κόσμον μὴ μόνον ἐκ τοῦ πρώτου, ἀλλ' ἐξ ἀμφοῖν ἅμα κατασκευάζειν. ἄμφω δ' ἤδη τεθειμένω, ἡγητέον αὐτὰ ὡς μοναδικὴν καὶ ἀεὶ παραμένουσαν ὑπόστασιν πάντων τῶν ἐν τῇ φύσει γιγνομένων. Ἄμφω τ' εἶναι ἐξ ἴσου πάντῃ διατεταμένω καὶ τῇ μίξει αὐτῶν ἅπαντα τὰ ἐν τῇ φύσει γίγνεσθαι. μετέχειν δ' ἔφασκεν τὰ ἐπὶ μέρους αἰσθητὰ μείζονος ἢ ἐλάσσονος μοίρας τοῦ ὄντος, ζωῆς τε καὶ συνειδήσεως, ὅσῳ γ' ἂν πλέον ἢ ἔλασσον πυρὸς καὶ φωτὸς εἰς τὸ μῖγμα αὐτῶν ἐπειςδύνοι· τὸ δὲ ψυχρὸν καὶ στεῤῥὸν τἀναντία ἐκείνοις ἀπεργάζεσθαι ἔφη (ς). Εἶναι δὲ τὴν τελειότητα ἑκάστου τῶν φυσικῶν ὄντων κατὰ λόγον τοῦ ἐν τῷ μίγματι θερμοῦ τε καὶ ψυχροῦ· καὶ δὴ καὶ ἐπὶ τοῦ ἀνθρώπου ὡςαύτως· τὴν γὰρ τῶν μελῶν τοῦ ἀνθρωπίνου σώματος φύσιν ταὐτὸν εἶναι ἔφη τῷ ἐν αὐτῷ φρονοῦντι, ὥςπερ καὶ ἐν τῷ παντὶ εἶναί τε καὶ νοεῖν ἀχώριστα ἀλλήλων πεφυκέναι. Οἵαν τ' ἄρα εἶναι τὴν μῖξιν ἀμφοτέρων τῶν στοιχείων ἐν τῷ ἀνθρωπικῷ σώματι, καθ' ὅν τε αὖ λόγον τὸ θερμὸν ἐν αὐτῷ ὑπερισχύειν τοῦ ψυχροῦ, κατὰ ταὐτά γε καὶ τὸν ἄνθρωπον πλέον ἢ ἔλασσον νοῦ μετέχειν. Φησὶ γοῦν ὧδέ πως:

ρμέ. Ὡς γὰρ ἑκάστῳ ἔχει κρᾶσις μελέων πολυπλάγκτων,
τὼς νόος ἀνθρώποισι παρέστηκεν· τὸ γὰρ αὐτό
ἐστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισι
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα (ζ).

(ς) Πρβλ. Ἀριστοτέλους Μεταφ. Α, Γ, ιθ'. — Διογ. Λ, θ', κα'. — Θεόφραστον ἐν τῷ περὶ αἰσθήσεως, γ'. — Κάρστενος συλλ. σ. 221 . . .

(ζ) Καὶ Θεόφραστον ἔνθα ἄν.

Ταύτην δὲ τὴν περὶ φύσεως θεωρίαν, εἴ τις ἀκριβῶς ἀνασκοπήσειεν, παραπλησίαν τῇ Ἡρακλειτείῳ εὕροι ἂν εἰκότως, παρ' ὅσον περ καὶ Παρμενίδης πᾶσαν μὲν τὴν φύσιν, ὡς ὅλον τι ὄν, δι' ἐναντιότητός τινος τῶν πρώτων ἀρχῶν βούλεται σώζειν, πάσης δ' ἐν αὐτῇ ζωῆς τε καὶ δραστοσύνης φῶς τε καὶ θερμότητα ὡς αἴτια ἀποδιδόναι. ὅτι δὲ τῇ Ἡρακλείτου συγγραφῇ ὁ Παρμενίδης ἐνέτυχεν, δῆλόν που γένοιτ' ἂν ἐκ πολλῶν τόπων τοῦ ποιήματος αὐτοῦ, ἐν οἷς σαφῶς πρὸς τὰ ἐκείνῳ δόξαντα ἀντιλέγει. Εἰς μέσον γὰρ μετὰ πολλοῦ ψόγου τὸ πασίγνωστον ἐκεῖνο φθέγμα φέρων ὡς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν (η), δῆλος ἐστὶ τὸν Ἡράκλειτον πρὸ ὀφθαλμῶν παρίστασθαι, ὃς ἐκεῖνο τὸ δόγμα ἐφθέγξατο (θ). Τούτῳ δὲ πάνυ ὁμολογεῖ καὶ τόδε· ὅτι κατὰ ψιλὴν ὑπόθεσιν τὰ πρῶτα οἱονπερεὶ στοιχεῖα τῶν ἐν τῇ φύσει γιγνομένων ἐκτιθέμενος, τῆς Ἡρα-

(η) Βερναΰσιος [ἐν Ῥην. Μουσ. Τ. Ζ'. αωλ'. σ. 114] φησὶ τὴν συνέπειαν, ἥν περ ἴσως αὐτὸς ὁ Ἡράκλειτος ἐπορίσθη ἤγουν, « εἶναι καὶ μὴ εἶναι ταὐτὸν καὶ οὐ ταὐτὸν, μέμφεται ἤδη ὁ Παρμενίδης [ἐν στίχ. με', κ.φ.ξ.] «ἄκριτα φῦλα, λέγων, οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται κ' οὐ ταὐτὸν, πάντων τε παλίντροπός ἐστι κέλευθος. » Ὀνομάζονται δὲ οἱ περὶ Ἡράκλειτον παρ' αὐτῷ καὶ δ ί κ ρ α ν ο ι διὰ τὸ ἀντιφατικῶς πως εἰρηκέναι τὰ ἑαυτοῖς δεδογμένα, οἷον τὸ « εἰμέν τε καὶ οὐκ εἰμὲν (ἀπόσπ. οβ'. παρὰ Σχειλερμάχειρι). Ἔτι δὲ καὶ [ἐν στίχ. μη'.] τὸ ῥῆμα « φορεῦνται » πρὸς τοὺς ἀμφὶ Ἡράκλειτον πικρῶς βάλλεται ὡς « πάντα φέρεσθαι εἰπόντας, » καθαπεροῦν καὶ Πλάτων ἐν Θεαιτήτῳ ταὐτὸν ὑπαινίσσεται (σ. ροθ, ε'.)· ἐκ δὲ τοῦ ἐμφανοῦς καὶ διαῤῥήδην καθάπτεται ὁ Παρμενίδης τῶν περὶ Ἡράκλειτον, ὅταν λέγῃ « πάντων παλίντροπός ἐστι κέλευθος, » καὶ γὰρ καὶ παρ' Ἡρακλείτῳ (ἀπόσπ. λδ'.) αὐτολεξεὶ « παλίντροπος ἁρμονία κόσμου εὕρηται. »

(θ) Ἀπόσπ. οβ'. « ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, ἐσμέν τε καὶ οὐκ ἐσμέν. »

κλείτου φυσικῆς πραγματείας λόγον μάλιστα φαίνεται πεποιημένος.

§. ΙΖ'. ΖΗΝΩΝ.

α'. Τὰ περὶ τὸν βίον αὐτοῦ.

ΖΗΝΩΝ Ἐλεάτης Παρμενίδου διακήκοεν, οὗ καὶ παιδικὰ διὰ τὴν αὐτήν που, οἶμαι, αἰτίαν τὴν ψυχολογικὴν λέγεται γενέσθαι, δι' ἣν καὶ ὁ μυθικὸς Πάτροκλος τοῦ μυθικοῦ Ἀχιλλέως ἢ τἀνάπαλιν (πλάτ. συμπόσ.). ἦν δὲ κατὰ Πλάτωνα ἐν Παρμενίδῃ πέντε καὶ εἴκοσιν ἔτεσι νεώτερος ἐκείνου ὁ Ζήνων· ἐγεννήθη ἄρα περὶ τὸ υϟε' ἔτος πρὸ Χριστοῦ. Πλάτων δὲ διηγεῖται ἐλθεῖν ποτ' αὐτὸν Παρμενίδῃ ἑπόμενον Ἀθήναζε Παναθηναίων τῶν μεγάλων τελουμένων· καὶ εἶναι τότε ἐγγὺς τῶν τετταράκοντα ἐτῶν, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν. Ἔνθα ἐς ἐπήκοον Σωκράτους τε καὶ ἄλλων τὸ ἑαυτοῦ σύγγραμμα (διάλογόν τινα ἴσως) (α) ἀναγνῶναι ὅπερ καὶ Πλάτων ἔοικεν ἐν Παρμενίδῃ μιμηθῆναι (β)· εἰκάζεται δὲ καὶ τὸ πλεῖστον ἐν Ἐλέᾳ καταβιῶναι, καθ' ἃ φησὶ Διογένης ὁ Λαέρτιος, σφόδρα τὴν ἑαυτοῦ πατρίδα στέργων. Γέγονε δ' ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ. καθελεῖν δέ ποτε θελήσας Νέαρχον τὸν τύραννον ἢ ὡς ἄλλοι φασὶ Διομέδοντα, συνελήφθη καὶ ἐν βασάνοις ἐτελεύτησε. τά γε μὴν περὶ τὸν θάνατον αὐτοῦ σύμμικτά πως παραδέδοται, τὰ μὲν ψυχῆς ἀνδρείας μὲν πάντως οὐ μέντοι καὶ ἤθους φιλοσόφου, τεράστιά τινα ἔργα καὶ σχέτλια, τὰ δὲ γενναῖα τῷ ὄντι καὶ Ζήνωνι τῷ φι-

(α) Διογ. Λαέρ. Γ'. μη'.
(β) Πλάτ. Παρμ. σ. ρκζ'.

λοσόφῳ μάλα ἐμπρέποντα, ἐν οἷς καὶ ὅπερ πρὸς τοὺς παρεστῶτας ἔφη « Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν, ὧν νῦν ἐγὼ ὑπομένω, δουλεύετε τῷ τυράννῳ. » Παρὰ πάντων δ' ὁμολογεῖται καρτερικώτατα τὸν θάνατον ὑπομεῖναι (γ).

β'. Περὶ τῆς φιλοσοφίας αὐτοῦ.

Διετέλεσε δὲ ὁ Ζήνων τὰ ἐν φιλοσοφίᾳ τῷ Παρμενίδῃ δεδογμένα μετὰ ζήλου πολλοῦ ἀγάμενος, καὶ δὴ καὶ κατ' οὐδὲν ἄλλο ἐν τῷ φιλοσοφεῖν ἐκείνου ἀπέκλινεν, εἰ μή γε ὅτι, τὸ τῶν Ἐλεατῶν δόγμα ἐκ παντὸς λόγου προθυμούμενος κυρῶσαι, λεγόντων ὅτι τὰ πολλὰ τὰ ἐν τῇ φύσει εἰς ἄλληλ' ἐναλλάσσοντα οὐχ ὑπάρχοι τὸ παράπαν, ἓν δὲ καὶ μόνον εἴη τὸ ὄν, ἔδοξεν αὐτῷ λυσιτελῶς ἂν ἔχειν, εἴπερ ἄλλῃ τινὶ διαλεκτικῇ ἀποδείξει πρὸς τοῦτο χρήσαιτο. Πρὸς πᾶσαν γὰρ ὑπόθεσιν ψευδομένην διssῶς ἔχοι τις ἂν ἀντειπεῖν, ἤτοι τὸν ἐναντίον αὐτῇ λόγον ἀληθῆ ἀποδεικνύων ἢ αὐτὸν τὸν ψευδῆ ὡς ἑαυτῷ ἀντιμαχόμενον ἐλέγχων ἤ, ὡς ἂν ἄλλως εἰπεῖν, ὅταν τις τὴν ὑπόθεσιν ἐκείνην ἀντιφάσεσιν λογικαῖς πρὸς ἑαυτὴν ἀντιπεριπίπτουσαν προφαίνῃ. Τῇ μὲν οὖν προτέρᾳ τῶν μεθόδων Παρμενίδης ἐχρήσατο, τῇ δ' αὖ ἑτέρᾳ Ζήνων ὁ διϊσχυρισάμενος ὅτι πλῆθος καὶ

(γ) Ὅρα Διογ. τὸν Λ. Θ, κς'. κζ'. — Cic. Tusc. 11, 22, 52. Zeno proponatur Eleates, qui perpessus est omnia potius, quam conscios delendac tyrannidis indicaret. — Cic. N. D. III, 33, 82: Zenomem Elcae accepimus in tormentis necatum. — Καὶ Πλούταρχον κατὰ Κολώτου, λϐ'. « Ζήνων — τὴν γλῶτταν αὐτοῦ διατρώγων τῷ τυράννῳ προσέπτυσεν. »

κίνησις, ἑκάτερον πρὸς ἑαυτὸ ἀντιφατικῶς ἔχον φαίνεται· διὸ ἄμφω ἀδύνατά ἐστι καὶ λογισμῷ ὅλως ἄληπτα. Συνέγραψε δὲ τὸ σύγγραμμα ἐκεῖνο, ὥςπερ Πλάτων ἐν Παρμενίδῃ φησι, τό γε ἀληθὲς, ἵνα βοήθειά τις εἴη τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς κωμῳδεῖν αὐτὸν ἐπιχειροῦντας, ὡς, εἰ ἕν ἐστι, πολλὰ καὶ γελοῖα ξυμβαίνει πάσχειν τῷ λόγῳ καὶ ἐναντία αὐτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδίδωσι ταῦτα καὶ πλείω, τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ὅτι πολλά ἐστιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. Πάντας ἄρα τοὺς λόγους ὁ Ζήνων προβάλλεται πρὸς τὸ ἀποδεῖξαι ὅτι τὸ πλῆθος καὶ τὸ μεριστὸν καὶ ὅσα ἄλλα τοιαῦτα τοῦ ὄντος κατηγορεῖται, αὐτὰ ἑαυτοῖς ἀντιμαχόμενα ἐλέγχεται· πάντων δὲ μάλιστα διατεθρύληνται οἱ λόγοι, οἷς Ζήνων χρῆται ἀντιλέγων πρὸς τὴν κίνησιν· εἰσὶ δὲ οἵδε·

Α^ος μὲν ὅτι ἡ κίνησις ἄληπτός ἐστι λογισμῷ ἀνθρωπίνῳ· πᾶν γὰρ φερόμενον τὸ ἥμισυ τοῦ τόπου ἀνάγκη πρότερον διανῦσαι, πρὶν εἰς τέλος ἀφικέσθαι· τοῦ δ' αὖ ἡμίσους τὸ ἥμισυ καὶ τούτου τὸ ἥμισυ καὶ οὕτως ἐπ' ἄπειρον· κατὰ τοῦτον δὴ τὸν λόγον πᾶσα κίνησις οὐδ' ἀρχήν τινα τὸ παράπαν δύναιτ' ἂν λαβεῖν· μόριον γὰρ τόπου ἕκαστον, ὃ χρεὼν ἐστι τὸ φερόμενον διαδραμεῖν, ὅσον δή τι σμικρὸν ὑπολειφθὲν, νέαν αὖθις διαίρεσιν καὶ ἐπ' ἄπειρον ἐνδίδωσιν· ὥστε εἴπερ ἔστι κίνησις, « ἀνάγκη τὸ κινούμενον ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεξιέναι· τοῦτο δὲ ἀδύνατον » (δ). Ἀλλὰ ταῦτα συλλογι-

(δ) Ἀριστ. Φυσ. Ζ, θ΄. « τετταρές εἰσι λόγοι περὶ κινήσεως οἱ παρέχοντες τὰς δυςκολίας τοῖς λύουσι· πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν ἐν τοῖς πρότερον λόγοις. » — Σιμπλ. φύλλ. σλς΄, Β. —

ζόμενον τὸν Ζήνωνα διαπέφευγεν ὅλως τὸ τοῦ χρόνου ἐπίσης ἐπ' ἄπειρον διαιρετὸν ὄν· καὶ γὰρ τὸ ἀπείρως διαιρετὸν τοῦ τόπου μόριον διαθεῖται ὑπὸ τοῦ ἐν αὐτῷ φερομένου σώματος, ἐπεὶ καὶ ὁ χρόνος, ἐν ᾧ γε ὁ τόπος οὗτος διανύεται, ἐξ ἴσου ἐς τὸ ἀτελεύτητον διαιρετός ἐστιν, ὥστε καὶ τῷ ὡς ἐλαχίστῳ μορίῳ τοῦ τόπου, ὃ νῦν δὴ διανύεται, ἐλάχιστον ἐπίσης μόριον χρόνου συνέρχεται.

« Δεύτερος δὲ ὁ καλούμενος Ἀχιλλεύς· ἔστι δ' οὗτος, ὅτι τὸ βραδύτερον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον, ὅθεν ὥρμησε τὸ φεῦγον, ὥστ' ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον. » Ὁ ποδώκης ἄρα Ἥρως οὐδέποτ' ἂν οἷός τε γένοιτο οὐδὲ τὴν βραδύτατα ἑρπύζουσαν χελώνην καταλαβεῖν· ἵνα γὰρ αὐτὴν καταλάβῃ ὀφείλει ἐξ οὗ γε καὶ ἡ χελώνη ὁρμηθεὶς, ἓν ἕκαστον τῶν τοῦ διαστήματος μορίων διελθεῖν, εἰς ἃ ἐκείνη διανύουσα αὐτὸ τοῖς ἑαυτῆς βήμασι διεῖλεν· ὥστε συμβήσεται τὸν Ἀχιλλέα κατ' ἴχνη τῇ χελώνῃ παροπηδεῖν, ἥγε ἀεὶ προέξει τῷ τόπῳ, ὃν τῷ ἑαυτῆς σώματι καθέξει. Ἔστι δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῷ προτέρῳ, διαφέρει δ' ἐν τῷ διαιρεῖν μὴ δίχα, ἀλλ' εἰκῇ, τὸ προςλαμβανόμενον μέγεθος (ε).

Τρίτος δὲ ὅτι ἡ ὀϊστὸς φερομένη, κατὰ μὲν τὸ φαινόμενον κινεῖται, κατὰ τἀληθὲς μέντοι ἕστηκε· πᾶν γὰρ λέγεται ἠρεμεῖν, ὅταν ᾖ κατὰ τὸ ἴσον ἑαυτοῦ διάστημα ἤτοι, ὅταν ἴσον τῷ ἑαυτοῦ ὄγκῳ τόπον καταλαμβάνῃ καθ' ἕκαστον τῶν Νῦν· ἀλλὰ τὸ φερόμενον βέλος ἐν

(ε) Ἀριστ. Φυσ. Ζ, θ'.

ἑκάστῳ Νῦν κατὰ τὸ ἴσον ἑαυτοῦ διάστημά ἐστιν, ἀνάγκη ἄρα ἀκίνητον εἶναι τὸ βέλος τὸ φερόμενον· « συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν· μὴ διδομένου γὰρ τούτου οὐκ ἔσται ὁ συλλογισμός. » (ς).

Καὶ οἱ τρεῖς δ' οὗτοι οἱ λόγοι, ἐκ τοῦ ἐπ' ἄπειρον διαιρετοῦ τοῦ τε τόπου καὶ χρόνου ὁρμώμενοι, πρὸς οἱανδή τινα τόπου ἄμειψιν ἤτοι κίνησιν ἀντιμάχονται. ὥστε ἐριστικῶς πως τὴν τοῦ Παρμενίδου ὑπόθεσιν κυροῦσιν.

Τούτοις δὲ παραπλήσιοί εἰσι καὶ οἱ πρὸς τὰ πολλὰ εἶναι ἀντιφερόμενοι λόγοι· πρῶτον μὲν γὰρ, εἴπερ τὰ πολλὰ ἔστι, δῆλον τῷ λόγῳ ἐξ ἴσου γενήσεται ὅτι μεγέθους τε ἄνευ ἐστὶ καὶ ταὐτὰ ἅμα ἄπειρα τὸ μέγεθος, ὅπερ ἀντίφασίς ἐστι τὴν ὑπόθεσιν λαμπρῶς ψευδομένην ἐλέγχουσα. δῆλον ἄρα ὅτι τὰ πολλὰ οὐχ ὑπάρχει, ἓν δὲ μόνον τὸ ὂν ἔστι καὶ τοῦτο ἀμερές τε καὶ ἀδιαίρετον. Εἰ γὰρ εἴη, φησὶ, διαιρετὸν, τετμήσθω δίχα, κἄπειτα τῶν μερῶν ἑκάτερον δίχα, καὶ τούτου ἀεὶ γινομένου, δῆλόν φησιν ὡς ἤτοι ὑπομένει τινὰ ἔσχατα μεγέθη, ἐλάχιστα καὶ ἄτομα, πλήθει δὲ ἄπειρα, καὶ τὸ ὅλον ἐξ ἐλαχίστων, πλήθει δὲ ἀπείρων συστήσεται, ἢ φροῦδον ἔσται καὶ εἰς οὐδὲν ἔτι διαλυθήσεται καὶ ἐκ τοῦ μηδενὸς συστήσεται· ἅπερ ἄτοπα. οὐκ ἄρα διαιρεθήσεται ἀλλὰ μενεῖ ἕν. καὶ γὰρ δὴ ἐπεὶ πάντῃ ὅμοιόν ἐστιν, εἴπερ διαιρετὸν ὑπάρχει, πάντῃ ὁμοίως ἔσται διαιρετὸν, ἀλλ' οὐ τῇ μὲν, τῇ δ' οὔ. διηρήσθω δὴ πάντῃ· δῆλον οὖν πάλιν ὡς οὐδὲν ὑπομενεῖ ἀλλ' ἔσται φροῦδον. καὶ εἰ-

(ς) Ἀριστοτ. Φυσ. Ζ, θ'.

περ συστήσεται, πάλιν ἐκ τοῦ μηδενὸς συστήσεται· εἰ γὰρ ὑπομενεῖ τι, οὐδέ πω γενήσεται πάντῃ διῃρημένον· ὥστε καὶ ἐκ τούτων φανερόν φησιν, ὡς ἀδιαίρετόν τε καὶ ἀμερὲς καὶ ἓν ἔσται τὸ ὄν. Περὶ τοῦ αὐτοῦ δὲ καὶ ἄλλος φέρεται λόγος Ζήνωνος· προδείξας γὰρ ὡς εἰ μὴ μέγεθος ἔχοι τὸ ὄν, οὐδ' ἂν εἴη τὸ ἐπίπαν, εἶτ' ἐπάγει· « εἰ δ' ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος, καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προὔχοντος ὁ αὐτὸς λόγος· καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι· ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχαστον ἔσται, οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι.» —Δεύτερον δὲ, εἴπερ τὸ ὂν πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα· γράφει ταῦτα κατὰ λέξιν ὁ Ζήνων· « εἰ πολλά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι, ὅσα ἐστὶ, καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα· εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστὶ, πεπερασμένα ἂν εἴη. » καὶ πάλιν « εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστὶ, καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ· καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί. (ζ).

Βουλόμενος δὲ ὁ Ζήνων πρὸς ἄμεσον καὶ ἀκραιφνῆ ἀλήθειαν τῆς διὰ τῶν αἰσθήσεων ἐγγιγνομένης ἡμῖν ἀντιλήψεως τῶν φυσικῶν ἤτοι ὁρατῶν ὄντων ἀντειπεῖν, τὸν ἑξῆς λόγον ὑποτείνει, ὃν Πρωταγόραν ἤρετο τὸν σοφιστήν· « εἰπὲ γάρ μοι, ἔφη, ὦ Πρωταγόρα, ἆρα ὁ

(ζ) Σιμπλ. εἰς Ἀριστοτέλους φυσ. λ'.

εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ, ἢ τὸ μυριοστὸν τοῦ κέγχρου; τοῦ δὲ εἰπόντος μὴ ποιεῖν· ὁ δὲ μέδιμνος, ἔφη, τῶν κέγχρων καταπεσὼν, ποιεῖ ψόφον ἢ οὔ; τοῦ δὲ ψοφεῖν εἰπόντος τὸν μέδιμνον, τί οὖν, ἔφη ὁ Ζήνων, οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων πρὸς τὸν ἕνα καὶ τὸ μυριοστὸν τοῦ ἑνός; τοῦ δὲ φήσαντος εἶναι· τί οὖν, ἔφη ὁ Ζήνων, οὐ καὶ τῶν ψόφων ἔσονται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί; ὡς γὰρ τὰ ψοφοῦντα, καὶ οἱ ψόφοι· τούτου δὲ οὕτως ἔχοντος, εἰ ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου» (η).

Τούτοις δὲ τοῖς λόγοις τοῖς περὶ τὸ ἄπειρον μέγεθος τῶν πολλῶν παραπλήσιός ἐστι καὶ ὁ συλλογισμὸς, δι οὗ Ζήνων τὴν ἔννοιαν τοῦ τόπου βούλεται διαψεῦσαι, ἐρωτᾷ γὰρ οὕτως· «εἰ ἔστιν ὁ τόπος, ἐν τίνι ἔσται; πᾶν γὰρ ὄν ἔν τινι, τὸ δὲ ἔν τινι καὶ ἐν τόπῳ· ἔσται ἄρα καὶ ὁ τόπος ἐν τόπῳ, καὶ τοῦτο ἐπ' ἄπειρον.» ἀλλὰ γὰρ τοῦτό γε ἀδύνατόν φησιν, εἴτε ὅτι ἐκ ταύτης τῆς συνεχοῦς προόδου ἀπὸ τόπου εἰς ἕτερον τόπον ἀντίφασίς τις γεννᾶται, διὰ τὸ ἄπειρον ἤδη τὸ μέγεθος τόπον ὑπ' ἄλλου ἔτι μείζονος ἐμπεριλαμβάνεσθαι συμβαίνειν· εἴτε διὰ τὸ μηκέτι δυνατὸν εἶναι περὶ τόπου, ὃν ἄν τις τῇ πρόσθεν προόδῳ ἄπειρον κατασκευάσειεν, εἰπεῖν ὅτι εἴη τι ἐν αὐτῷ, ἀπείρῳ γε ὄντι, ἢ αὐτὸς ἄπειρος ὢν, πεπερασμένον τι ἐμπεριλαμβάνοι· ταύτῃ τοι ἄρα ὁ τόπος οὐκ ἔστι τὸ παράπαν. Ὡς δ' ἐν συνόλῳ εἰπεῖν οὐθὲν ἄλλο κἀνταῦθα ὁ Ζήνων βούλεται ἢ τοιόνδε τι διατρανῶσαι ὅτι πᾶσα δήποτε διὰ τῶν αἰσθήσεων προς-

(η) Ἀριστοτ. Φυσ. Η, ε΄. καὶ Σιμπλίκιον ἐν τῷ αὐτῷ τόπῳ.

γιγνομένη ἡμῖν πρόςληψις τῶν ὁρατῶν ὄντων τοῦ παντός γε δεῖ ἀκλόνητόν τι καὶ μονὴν ἔχον ἡμῖν παρέχειν· πολλῷ δὲ μᾶλλον ἔν γε τῷ ἀπείρῳ οὐδὲ τὴν ἀρχὴν ὑπάρχει τι, ὃ ἄν τις ἀκραιφνές τε καὶ εἰλικρινὲς τῇ διανοίᾳ λαβεῖν ἔχοι, ἀλλὰ τὸ ἐξ ἐπιλογισμοῦ ὁρίζεσθαι τὰ καθ' ἕκαστον διὰ τὴν ἐν τῷ ἀπείρῳ ὑπερισχύουσαν ἀλληλουχίαν τε καὶ συναναφορὰν τῶν ὄντων πρὸς ἄλληλα, μάταιον ὅλως καὶ φροῦδον οἴχεται· εἰκῇ γὰρ καὶ τηνάλλως ὡς ἐν τοῖς αἰσθητοῖς γιγνόμενον, πάντη ἀλυσιτελὲς ἐκβαίνει (θ).

Ἐκληπτέον ἄρα τὸν Ζήνωνα εἰς ἐπίδοσιν μὲν τῆς ἐλεατικῆς φιλοσοφίας ἀποφατικῶς μᾶλλον ἢ θετικῶς τὸ ἑαυτοῦ μέρος συντελέσαι· καὶ γὰρ ἀντιλογικῶς μόνον καὶ ἐπὶ τὸ ἐριστικώτερον ἀνεβάλετο αὐτὴν διασαφῆσαι· πρὸς δὲ τὴν τῆς καθόλου φιλοσοφίας πρόοδον οὐ τὴν τυχοῦσαν ῥοπὴν ἐσχηκέναι, διὰ τὸ πρῶτον αὐτὸν εὑρετὴν γενέσθαι τῆς κυρίως διαλεκτικῆς οἷα δὴ τὸν ἀληθῆ λόγον τῶν φυσικῶν ὄντων ἐπιστημονικῶς ἑκάστοτ' ἀναξιφῶντα. Διὸ δὴ καὶ εἰκότως ἄν τις εἴποι ὡς ἐν Ζήνωνι κυρίως ἔληξεν ὁ δογματικὸς χαρακτὴρ, ὃν ἡ παρ' Ἕλλησι φιλοσοφία ἐπὶ τῆς πρώτης περιόδου εἶχεν. ὅπως δὲ οἱ Ζήνωνος λόγοι τοῖς μὲν σοφισταῖς ὅπλα κατέστησαν πρὸς τὴν κατὰ παράδοσιν ἀντίληψιν τῶν ὄντων ἀντιμαχομένοις, αὐτῷ δὲ τῷ Πλάτωνι πρὸς διαλεκτικὰς συζητήσεις οὐχ ἡ τυχοῦσα παρόρμησις ἐγένετο, οὕτω φαίη τις ἂν καὶ τῇ Καντίου τοῦ φιλοσόφου κριτικῇ μεθόδῳ καὶ ταῖς ἀντινομίαις προὔργου ἐγένοντο, δι' ἧς καὶ οὗτος τὸ σφαλερὸν καὶ ἀνεπαρκὲς τῆς

(θ) Ἀριστοτ. Φ. Δ, γ'. καὶ Σιμπλίκιον εἰς τὸν αὐτὸν τόπον·

διὰ τῶν αἰσθήσεων κατ' ἀνθυπόστασιν λαμβανομένης πείρας προέθετο ὑποδεῖξαι.

Ζήνωνι δὲ οὐχ ἐπίσης περιφανὴς ἐν φιλοσοφίᾳ ἐγένετο Μέλισσος ὁ Ἰθαγένους, Σάμιος, ὃς πολιτικὸς ἀνὴρ ἐγεγόνει καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξίωτο· ὅθεν καὶ ναύαρχος αἱρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη διὰ τὴν οἰκείαν ἀρετήν· Σαμίοις γάρ ποτε ἐπιπλεύσαντος Περικλέους τοῦ πάνυ, ὁ Μέλισσος στρατηγῶν τῆς Σάμου, καὶ τῆς ὀλιγότητος τῶν νεῶν καταφρονήσας ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν, ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις, οὓς καὶ κατεναυμάχησεν. ἤκμασε δὲ περὶ τὸ υμδ' ἔτος πρὸ Χριστοῦ. Ἐκ δὲ τῆς καταλογάδην συγγραφῆς αὐτοῦ « περὶ τοῦ ὄντος » διέσωσεν ἡμῖν ὁ Σιμπλίκιος ἐν τῷ ἑαυτοῦ ὑπομνήματι εἰς τὰ Ἀριστοτέλους φυσικὰ οὐκ ὀλίγα περιλείμματα, ὧν περ συλλογὴν ἤδη πεποίηνται Βρανδίσιός τε ὁ σοφὸς καὶ Μυλλάχιος. Πλάτων μὲν οὖν ἐν Θεαιτήτῳ (σ. ρπγ') Μέλισσόν φησι σοφίᾳ πολλῷ τοῦ Παρμενίδου ἀπολείπεσθαι, Ἀριστοτέλης δὲ ἀποκαλεῖ αὐτὸν, καθάπερ δὴ καὶ Ξενοφάνην, ἄγροικον ἤτοι διαλεκτικῆς τέχνης ἄμοιρον καὶ φορτικὸν, ὅ ἐστιν λογικῆς εὐφυίας καὶ ὀξύτητος ἄμοιρον (μετ. Α, ε. κϐ' — φυσ. Α, ϐ'.). Ἀλλὰ γὰρ οὐχ ἧσσον καὶ οὗτος συλλογισμοῖς ἰδίοις μεῖζον κῦρος ἀνεδέξατο τῷ Ἐλεατικῷ δόγματι περιάψαι καὶ ὅσον γε αὐτῷ ἐνῆν καὶ ἐπὶ πλέον δασαφῆσαι. καὶ πρὸς τὸ πρῶτον μὲν οἱ ἐριστικοὶ αὐτοῦ ἔλεγχοι μάλιστα τείνουσιν, οὕς περ πρὸς τὴν τότε, ὡς ἔοικεν, ἰσχύουσαν δόξαν περί τε τοῦ γίγνεσθαι καὶ τοῦ πολλὰ ὑπάρχειν βάλλει.

παραπλησίως δὲ τῷ Παρμενίδῃ ζητεῖ καὶ οὗτος ἀποδεῖξαι ὅτι τὸ ὄν οὔτε γίγνεται οὔτ' ἀπόλλυται, οὔτ' αὔξεται οὔτε ἐλασσοῦται, οὔτε κατὰ ποιὸν οὔτε κατὰ τόπον ἑτεροιοῦται, ἀλλ' οὐδὲ σῶμα ἔχει τὸ ἐπίπαν· « εἰ μὲν γὰρ ἐὸν εἴη, δεῖ αὐτὸ ἓν εἶναι· ἓν δὲ ἐὸν, δεῖ αὐτὸ σῶμα μὴ ἔχειν· εἰ δὲ ἔχει πάχος, ἔχοι ἂν μόρια, καὶ οὐκέτι ἄν εἴη ἓν » (ις'. ἀπόσπ.). τάς τε ἡμετέρας αἰσθήσεις, ὡς πολλὰ καὶ παντοειδῆ τὸ Ὄν, ἕν περ ὄν, ἐν ἡμῖν εἰδωλοποιούσας, φανερῶς ἡμᾶς ἐξαπατᾷν ἔλεγε· τεκμήριον δὲ τάδε· « εἰ γὰρ ἦν πολλὰ τοιαῦτα, χρὴ αὐτὰ εἶναι οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. Εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ σίδηρος καὶ χρυσὸς καὶ πῦρ, καὶ τὸ μὲν ζῷον, τὸ δὲ τεθνηκὸς, καὶ μέλαν καὶ λευκὸν, καὶ τὰ ἄλλα πάντα, ἅσσα οἱ ἄνθρωποί φασι εἶναι ἀληθῆ, — εἰ δὴ ταῦτα ἔστι καὶ ἡμεῖς ὀρθῶς ὁρέομεν καὶ ἀκούομεν, εἶναι ἐχρῆν ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν καὶ μὴ μεταπίπτειν μηδὲ γίγνεσθαι ἑτεροῖον, ἀλλ' ἀεὶ εἶναι ἕκαστον, οἷόν πέρ ἐστι· νῦν δέ φαμεν ὀρθῶς ὁρᾷν καὶ ἀκούειν καὶ συνιέναι· δοκέει δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίγνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν, καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρὸν, καὶ τὸ ζῷον ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γίγνεσθαι, καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ,τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὅμοιον εἶναι· ἀλλ' ὅ,τε σίδηρος σκληρὸς ἐὼν, τῷ δακτύλῳ κατατρίβεσθαι ὁμοῦ ῥέων, καὶ χρυσὸς καὶ λίθος, καὶ ἄλλο ὅ,τι ἰσχυρὸν δοκέει εἶναι πᾶν· ὥστε συμβαίνει μήτε ὁρᾷν μήτε τὰ ὄντα γιγνώσκειν, ἐξ ὕδατός τε γῆ καὶ λίθος γίνεσθαι. Οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογέει· φαμένοις γὰρ εἶναι πολλὰ ἀίδια καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα πάντα ἑτεροι-

οῦσθαι ἡμῖν δοκέει καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. δῆλον τοίνυν ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν, οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκέει εἶναι· οὐ γαρ ἂν μετέπιπτεν, εἰ ἀληθῆ ἦν, ἀλλ' ἦν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτον· τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρέσσον οὐδέν· ἢν δὲ μεταπέσῃ τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν. Οὕτως οὖν εἰ πολλὰ εἴη, τοιαῦτα χρὴ εἶναι, οἷόν περ τὸ ἓν » (ἀπόσπ. ιζ'.). Ἔοικε τοίνυν ἐγκεχειρηκέναι ὁ Μέλισσος, καθ' ἅπερ καὶ ἐκ τῶν ἤδη λεχθέντων συνάγεται, τὰ τῶν ἐλεατῶν δόγματα ὅσον οἷόν τε μᾶλλον διευκρινῆσαι, πρὸς τὴν τῶν Ἰώνων φυσιολογίαν ἀντιλέγων. Καὶ γὰρ ἐν Ἴωσι τὸν βίον διάγων, οὐκ ὀλίγην δοκεῖ ἀφορμὴν λαβεῖν ἐξ αὐτῶν τοῦ ἔργον κύριον ποιήσασθαι τῆς ἐλεατικῆς ἀρχῆς ἐκ τῶν ἐνόντων διακριβῶσαι τὸ μέρος, ὅπερ ἔδει μάλιστα τελεσφόρως κατισχῦσαι τῆς τηνικαῦτα ἔτι ἐν ἀκμῇ οὔσης φυσιολογίας τῶν Ἰώνων. Ἀλλ' ὡς ἔοικε δι' αὐτήν γε ταύτην τὴν ἐν λόγοις ἐπιμιξίαν, ᾗ περ πρὸς τοὺς κατὰ τὴν Ἰωνίαν φυσικοὺς ὁ Μέλισσος ἐχρῆτο, παρέλαβεν ἐν τῇ ἑαυτοῦ θεωρίᾳ δόγμα τι, ὅπερ κατ' ἐξοχὴν ἐκείνοις ἦν οἰκεῖον. Ἀριστοτέλης γὰρ ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ ὡς προςιδιάζον τῇ θεωρίᾳ αὐτοῦ παραδίδωσι τὸ δόγμα ὅτι τὸ ἓν ἄπειρόν ἐστιν, ὅ περ δὴ καὶ τὰ λείψανα τῆς συγγραφῆς αὐτοῦ ἐπιμαρτυρεῖ· συλλογίζεται γὰρ ἐν αὐτοῖς ὡς ἑξῆς. « Ἀλλ' ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει· τὸ δὲ ἐὸν εἰ οὐ γέγονεν, οὐκ ἂν ἔχοι ἀρχήν· ἔτι δὲ τὸ φθειρόμενον τελευτὴν ἔχει· εἰ δέ τί ἐστιν ἄφθαρτον, τελευτὴν οὐκ ἔχει. Τὸ ἐὸν ἄρα ἄφθαρτον ἐόν, τελευτὴν οὐκ ἔχει· τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε τελευτὴν ἄπειρον τυγχάνει ἐόν· ἄπειρον ἄρα τὸ

ἐὸν (ἀπόσ. β΄.)» εἶτα δ' ἐπάγει « εἰ δὲ ἄπειρον, ἕν. Εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πέρατα πρὸς ἄλληλα. ἄπειρον δὲ τὸ ἐόν, οὐκ ἄρα πλέω τὰ ἐόντα. Ἓν ἄρα τὸ ἐόν.» (ἀπόσπ. γ΄.). Ἔτι δὲ τὸ ἄπειρον τοῦ ὄντος ἐκλαμβάνει ἅμα ὁ Μέλισσος, ὅπως καὶ ὁ Ξενοφάνης, ὡς ἐς τὸ ἀτελεύτητον ἔκτασιν τοῦ σωματοειδοῦς, τὸ Ἀριστοτελικὸν ἓν κατὰ τὴν ὕλην· καὶ κατὰ τοῦτον τὸν λόγον τὸ κενόν, ὅπερ τιθέμενον ὕπαρξιν τοῦ οὐκ ὄντος ὑποτίθησιν, ὅλως ἄληπτον τῇ διανοίᾳ ὑπάρχει· ἔνθεν δὴ τὸ ἄπειρον, ὥςπερ καὶ Παρμενίδης, ἀδιαίρετον ἁπάντῃ εἶναι ἔφη. τοῦ δ' αὖ κενοῦ ἀδυνάτου ὄντος, ἀδύνατόν φησιν εἶναι καὶ τὸ κινεῖσθαί πῃ τὸ ὄν, ὡς ἐφεξῆς συλλογιζόμενος· « τὸ γὰρ ἠντιναοῦν κίνησιν κινεόμενον, ἔκ τινος καὶ ἐς ἕτερόν τι μεταβάλλει· οὐδὲν δὲ ἦν ἕτερον παρὰ τὸ ἐόν· οὐκ ἄρα τοῦτο κινήσεται. καὶ κατ' ἄλλον δὲ τρόπον οὐδὲν κενεόν ἐστι τοῦ ἐόντος· τὸ γὰρ κενεὸν οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τό γε μηδέν· οὐ κινέεται οὖν τὸ ἐόν· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆ, κενεοῦ μὴ ἐόντος. ἀλλ' οὐδὲ ἐς ἑωϋτὸ συσταλῆναι δυνατόν· εἴη γὰρ ἂν οὕτως ἀραιότερον ἑωϋτοῦ καὶ πυκνότερον. τοῦτο δὲ ἀδύνατον· τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως πλῆρες εἶναι τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ· τὸ δὲ κενεὸν οὐκ ἔστιν. Εἰ δὲ πλῆρές ἐστι τὸ ἐὸν ἢ μή, κρίνειν χρὴ τῷ εἰςδέχεσθαί τι αὐτὸ ἄλλο ἢ μή· εἰ γὰρ μὴ εἰςδέχεται, πλῆρες, εἰ δὲ εἰςδέχοιτό τι, οὐ πλῆρες. Εἰ οὖν μή ἐστι κενεόν, ἀνάγκη πλῆρες εἶναι· εἰ δὲ τοῦτο μὴ κινέεσθαι, οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρεος κινέεσθαι, ὡς ἐπὶ τῶν σωμάτων λέγομεν, ἀλλ' ὅτι πᾶν τὸ ἐὸν οὔτε ἐς ἐὸν δύναται κινηθῆναι (οὐ γάρ ἐστι τι παρ'

αὐτὸ), οὔτε ἐς τὸ μὴ ἐόν· οὐ γὰρ ἔστι τὸ μὴ ἐόν» (ἀπόσ. ε΄.). Ἅπαντες δ' οὗτοι οἱ λόγοι τείνουσι μάλιστα εἰς τὸ εὔκρινῆ τε καὶ ἐναργῆ καταστῆσαι τὴν παρὰ τοῖς Ἐλεάταις ἔννοιαν τοῦ ὄντος ὡς ὑποστατικῆς οὐσίας εἰλικρινοῦς τῶν ἐν τῷ κόσμῳ φαινομένων, ἐξ ἧς γε ἡ ἐπὶ ταῦτα μετάβασις δῆλον ὅτι οὐ τῶν ἐνδεχομένων ὑπάρχει.

§. ΙΗ΄. ΠΕΡΙ ΤΗΣ ΣΟΦΙΣΤΙΚΗΣ.

καὶ

Αον Ἥτις ἐστὶν αὐτῆς ἡ οὐσία.

Ἡ Σοφιστικὴ πραγματεία πάσης τῆς ἄχρι τοῦδε φιλοσοφίας οὐσιωδῶς διαφέρει· ἀρχὴν γάρ τιν' ὅλως καινὴν ἀντεισάγεται τῆς φιλοσοφικῆς θεωρίας, κριτήριον τῆς τῶν ὄντων ἀληθείας τὴν ἰδίαν γνώμην ἑνὸς ἑκάστου ἐπιφημίζουσα· καὶ γὰρ οἱ μέχρι τοῦδε πεφιλοσοφηκότες ἐκ τοιαύτης τινὸς ἐοίκασιν ὑποθέσεως ὁρμηθῆναι, ὅτι τὸ ἐν ἡμῖν αὐτοῖς γνωστικὸν πρὸς τὸ κατ' ἀνθυπόστασιν ὑπάρχον ῥυθμίζεται καὶ τρόπον τινὰ ὑπ' αὐτοῦ κυριεύεται· καὶ εἴη ἂν ἄρα τῶν ἐν ἑκάστῳ ἡμῶν ὁπωσδήποτ' ἐγγιγνομένων ἐννοιῶν κριτήριον ἑκάστοτε ὁ ἔξω κόσμος· οὗ γε ἕνεκα καὶ τὰς πρώτας τῶν ὄντων ἀρχὰς ἐν τῷ ἐκτὸς ἡμῶν κόσμῳ ἐζήτησαν ἀνευρεῖν. Οἱ δ' οὖν σοφισταί, ὡς εἴρηταί μοι ἤδη, ἐκ διαμέτρου ἀντίθετον τῇ ὑποθέσει ἐκείνῃ ἀρχὴν τῶν ὄντων προεστήσαντο, τὴν ἰδίαν γνώμην ἑνὸς ἑκάστου ὡς τὸ πᾶν κῦρος ἔχουσαν καὶ τρόπον τινὰ δημιουργὸν τοῦ ἐν τοῖς οὖσι δοκοῦντος ἀληθοῦς ἀποφηνάμενοι. Ταύτῃ τοι ἄρα ἀληθές ἐστιν ἑκάστῳ τὸ ἑκάστοτε ἑαυτῷ ἀληθὲς εἶναι δοκοῦν· ἀληθὲς γάρ τι ἀνθυφεστῶς, αὐτὸ καθ' αὐτὸ καὶ τοῖς πᾶσι κοινόν, μηδαμῶς εἶναι ἔφασκον. Εἰρήσθω

μέντοι ὅτι τὸν τρόπον τοῦτον τοῦ τὰ ὄντα σκοπεῖν κατά γε τὴν ἑαυτοῦ οἴησιν ἕκαστον οὐκ ὀλίγον οἱ μέχρι τοῦ δεῦρο φιλοσοφήσαντες παρεσκεύασαν· τό τε γὰρ δόγμα τὸ Ἡρακλείτου, τὰ πάντα ποταμοῦ δίκην ἀποῤῥεῖν, μηδέν τε ἔμπεδον εἶναι καὶ τὸ ἀνασκευαστικὸν εἶδος τῆς διαλεκτικῆς, ὃ μάλιστα Ζήνων ἤσκησεν, πρὸς τὰ φαινόμενα ἀντιλέγων, οὐ τὴν τυχοῦσαν ἀφορμὴν τοῖς ὕστερον ἐνέδωκεν πρὸς τὸ κλονίσαι τε καὶ διασεῖσαι πᾶσαν ἁπλῶς ἀλήθειαν τοῦ καθ' ἑτερότητα ὄντος· ἔνθεν τοι Πρωταγόρας μὲν τῷ Ἡρακλείτῳ, Γοργίας δὲ τοῖς Ἐλεάταις κατηκολούθησεν. Οὐδεὶς μέντοι τῶν ἄχρι τοῦδε φιλοσόφων εἰς τοῦτο τόλμης ἀφίκετο, ὥστε παντὶ σθένει διατεινάμενος, πᾶσαν ἀλήθειαν πᾶσάν τε γνῶσιν τοῦ ἀνθυφεστῶτος ὡς μηδ' ἐνδεχομένην τὸ ἐπίπαν ἀποβαλεῖν· ἀλλὰ τοὐναντίον, πάντες φαίνονται ἐνζήλως προῃρῆσθαι τοῦ ἐνεργείᾳ ὑπάρχοντος ἀρχήν τινα ἀνθυπόστατον, πάσης ἰδίᾳ δοκήσεως ἔξω, ἀνευρόντες, οἷον βάσιν καταβαλέσθαι τῆς φιλοσοφικῆς αὐτῶν θεωρίας· ἐς δὲ τὸ ἔσχατον ἐκεῖνο πρῶτοι ἐλάσαντες φέρονται οἱ σοφισταί.

Πρωταγόρας μὲν οὖν πρῶτος πρὸς πάντων ὁμολογεῖται εἰπὼν κριτήριον ἀληθείας πέρι πάντων πραγμάτων τὴν ἑκάστοτε δόξαν καὶ αἴσθησιν εἶναι ἑκάστου τῶν ἀνθρώπων· οὑτωσὶ τοῦτο εἰπών· « πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων, ὡς ἔστι, τῶν δὲ μὴ ὄντων, ὡς οὐκ ἔστιν. (ὅρα Διογ. Λ. Θ, να'. καὶ Πλάτ. Θεαίτ. σ. ρνϐ', α. ρξ', δ'. — καὶ Κρατύλ. σ. τπε', ε, καὶ ἀλλαχοῦ.) ὅπερ βούλεται εἰπεῖν, « ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί, ἄνθρωπος δὲ σύ τε κἀγώ· » (ἔνθ. ἄν.) πάσης οὖν

ἡμῶν ἑκάστῳ ἐγγιγνομένης ἐννοίας μηδὲν ἄλλ' αἴτιον εἶναι ἔφασκεν ἢ τὰς ἀπὸ τῶν ἐκτὸς ὄντων ἐφ' ἕκαστον ἡμῶν γιγνομένας προσβολάς· ταύτας δὲ οὕτω παντοφυεῖς καὶ εὐμεταβόλους πεφυκέναι ἔφη, ὥςπερ καὶ τὰ ἐν διηνεκεῖ μεταβολῇ τε καὶ κινήσει πράγματα καὶ πρόσωπα εἶναι· μηδὲν εἶναι ἄρα βέβαιόν τε καὶ παραμόνιμον, μηδὲ ἀληθῆ καὶ παρὰ πᾶσι ταὐτὸ κῦρος ἔχουσαν γνῶσιν οἱανδήτιν' αὐτὴν καθ' αὑτήν· φαντάσματα δὲ μόνον εἶναι, ἐπιστήμην δὲ μηδεμίαν μηδαμῶς. ἐκ δὲ δὴ τούτων ἀμέσως συνάγεται τὸ περὶ παντὸς πράγματος τοὺς ἐναντιωτάτους ἀλλήλων λόγους ἐξεῖναι λέγειν, ἐπαινεῖν τε ἅμα καὶ ψέγειν ταὐτὰ κατ' ἴσον λόγον· καὶ ταῦτα δὲ Πρωταγόρας ὡςαύτως λέγεται πρῶτος εἰςαγαγεῖν, ἃ δὴ καὶ πάντες σχεδὸν οἱ λοιποὶ σοφισταὶ ἀγάμενοι διετέλεσαν, μηδὲν φάσκοντες καθ' αὑτὸ ὂν εἶναι, πάντα τε ἔργον ἀνεμιαῖον τῆς ἁπλῇ συγκυρίᾳ ἐγγιγνομένης ἡμῖν αἰσθήσεώς τε καὶ φαντασίας, καὶ πρός τε τὸν ἄλλον βίον κομισάμενοι ἥρμοσαν καὶ πρὸς τοὺς λόγους τοὺς δικαιοσύνης τε πέρι καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης, ὧδέ πως λέγοντες· « Τὸ δίκαιον οὐ φύσει, ἀλλὰ νόμῳ· ἀκολασία τε καὶ ἀδικία δόξῃ μόνον καὶ νόμῳ αἰσχρόν. » (α) τὸ δὲ τὰς παρὰ πάντων ἐν πάσῃ τιμῇ ἀγομένας ἀρετὰς, τάς τε περὶ τῶν ὄντων κρίσεις τὰς πᾶσιν ὡμολογημένας ἰταμῶς τε καὶ ἀναισχύντως ἐθέλειν διαψεύδειν, τοῦτ' ἦν τὸ παράπασι τοῖς σοφισταῖς κοινὸν ἐν λόγοις ἀγώνισμα, ὃ δὴ καὶ γνωριστικώτατον τῆς σοφιστικῆς τερθρείας κατέστη. τὸ αὐτὸ δὲ γνωμάτευμα,

(α) Πλάτ. Γοργ. σ. υπϐ'. ε. — Πολιτ. Β, τξδ'. α, — Νόμ. ι', ωπθ', ε. —

πλήν γε δὴ ὅτι ἐν ἄλλαις λέξεσιν, ἐστὶ καὶ τὸ ὑπὲρ οὗ γε Πλάτων ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τῆς ἑαυτοῦ πολιτείας Θρασύμαχον εἰςάγει ἀνταγωνιζόμενον, ἐν δὲ τῷ Γοργίᾳ Καλλικλῆ τὸν πολιτικόν. Θρασέως γὰρ ὑπὲρ τῆς ἀδικίας μαχόμενος ὁ Θρασύμαχος λέγει· « φημὶ γὰρ ἐγὼ εἶναι τὸ δίκαιον οὐκ ἄλλο τι ἢ τὸ τοῦ κρείττονος ξυμφέρον. — Τίθεται δέ γε τοὺς νόμους ἑκάστη ἡ ἀρχὴ πρὸς τὸ αὐτῇ ξυμφέρον, δημοκρατία μὲν δημοκρατικούς, τυραννὶς δὲ τυραννικούς, καὶ αἱ ἄλλαι οὕτω· θέμεναι δὲ ἀπέφηναν τοῦτο δίκαιον τοῖς ἀρχομένοις εἶναι, τὸ σφίσι ξυμφέρον, καὶ τὸν τούτου ἐκβαίνοντα κολάζουσιν ὡς παρανομοῦντά τε καὶ ἀδικοῦντα. Τοῦτ' οὖν ἐστὶν, ὦ βέλτιστε (Σώκρατες), ὃ λέγω ἐν ἁπάσαις ταῖς πόλεσι ταὐτὸν εἶναι δίκαιον, τὸ τῆς καθεστηκυίας ἀρχῆς ξυμφέρον· αὕτη δέ που κρατεῖ, ὥστε ξυμβαίνει τῷ ὀρθῶς λογιζομένῳ πανταχοῦ εἶναι τὸ αὐτὸ δίκαιον, τὸ τοῦ κρείττονος ξυμφέρον. » Τὰ αὐτὰ δὲ γνωμίδια λαλαγεῖ καὶ ἡ γλῶσσα τοῦ Καλλικλέους· λέγει δὲ « φύσει μὲν γὰρ πᾶν αἴσχιόν ἐστιν, ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν· οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα τὸ ἀδικεῖσθαι, ἀλλ' ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν, ὅστις ἀδικούμενος καὶ προπηλακιζόμενος μὴ οἷός τ' ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. Ἀλλ', οἶμαι, οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὑτοὺς οὖν καὶ τὸ αὑτοῖς ξυμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν, ἐκφοβοῦντές τε τοὺς ἐρρωμενεστέρους τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν ὡς αἰσχρὸν καὶ ἄδικον

τὸ πλεονεκτεῖν, καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γὰρ, οἶμαι, αὐτοὶ, ἂν τὸ ἴσον ἔχωσι, φαυλότεροι ὄντες. Διὰ ταῦτα δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνει αὖ, ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου· δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν» (β).

Ἐπεὶ οὖν οἱ Σοφισταὶ τοιαύτην εἶχον δόξαν περί τε δικαιοσύνης καὶ νόμων, προὐργιαίτατον Γοργίᾳ τε τῷ Λεοντίνῳ καὶ τοῖς πλείστοις τῶν ἄλλων ἔδοξεν εἶναι πρὸς τὸν βίον, τὴν ῥητορικὴν μάλιστα τέχνην ἐκ παντὸς τρόπου ἀσκῆσαι. εἰ μὲν γὰρ ἀγαθά τε καὶ κακὰ, δίκαιά τε καὶ ἄδικα αὐθαιρέτῳ τινὶ νόμῳ ἀνθρώπων τοιαῦτά ἐστι, παντὶ ἐξεῖναι ἔλεγον λόγοις τισὶ πιθανοῖς χρωμένῳ ἐκεῖνον τὸν νόμον κατά γε τὸ δοκοῦν ἑκάστοτε μετατιθέναι. Διὰ τοῦτο ἄρα οἱ σοφισταὶ ἐσπούδαζον μάλιστα τὴν ῥητορικὴν, ὡς ἀντιλογικὴν εἶναι τέχνην (γ) κατασκευάσαι, οἵαν τε οὖσαν δισσοὺς λόγους περὶ τῶν αὐτῶν ἐξ ἴσου διεξιέναι, τόν τε ἥσσονα λόγον κρείσσονα ποιεῖν (δ).

(β) Πλάτ. Γοργ. σ. υπβ΄. . . υπχ΄, υπδ΄. — καὶ Πολιτ. Α, σ. τλή. τμγ΄.

(γ) Ὅρα Πλάτ. ἐν Σοφιστ. σ. σλβ΄. Πολιτ. Ε, σ. υνδ΄.

(δ) Ἴδε Ἀριστ. ῥητ. Β, κδ΄. σ. αυβ΄. α, κδ΄. — καὶ Ἀριστοφ. Νεφέλ.

«ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται (ὁ Φειδιππίδης;)
τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα,

Ἐκ δὲ δὴ τούτων λεχθέντων δῆλόν που γίγνεται ὅτι τῶν σοφιστῶν οἱ πλεῖστοι οὐ περὶ τὴν ζήτησιν καὶ ἐπίγνωσιν τοῦ ἐν τοῖς οὖσιν ἀληθοῦς τὰς ἐν λόγοις διατριβὰς εἰώθεσαν ποιεῖσθαι, ἀλλὰ περὶ τὸ μὴ ἀπορεῖν ἑκάστοτε λόγων τῶν ἀληθῶν εἶναι δοκούντων. Οὗ γε ἕνεκα Πλάτων τε καὶ Ἀριστοτέλης τὴν σοφιστικὴν ὁριζόμενοι, τέχνην ἔφασαν εἶναι φανταστικὴν (ε) καὶ σοφίαν φαινομένην (ϛ). Καὶ ὡς ἀληθῶς πλήν γε ὀλίγων οἱ σοφισταὶ οὐ περὶ τὸ μετὰ λόγου τε καὶ ἐπιστήμης εἰδέναι τὰ ὄντα δεινοὶ ἐγένοντο, ἀλλὰ περὶ τὸ ἔχειν ἑκάστοτε ἐξ ὑπογυίου τε καὶ κομψῶς πάντων πέρι ὁμοίως λέγειν· πᾶσα γὰρ αὐτῶν ἡ πραγματεία ἦν τὸ περὶ πάσης ὑποθέσεως λόγους εὑρίσκειν τοὺς γλαφυρωτάτους. Οὕτως οὖν, φέρ' εἰπεῖν Ἱππίας μὲν παρὰ Ξενοφῶντι (ζ) μέγα σεμνύνεται ἐπὶ τῷ ἑκάστοτε περὶ ἑκάστου προκειμένου πράγματος λόγους ἔχειν καινοὺς εἰςφέρειν, ῥήματα δὴ σεμνὰ κομψευριπικῶς ἐπάλληλ' ἀναπυργῶν· Γοργίας δ' αὖ παρὰ Πλάτωνι πολύς ἐστιν ἑαυτὸν παρεχόμενος ὡς οἷόν τε ὄντα ἐξ αὐτοσχεδίου πρὸς πᾶν ἀποκρίνεσθαι, ὅπερ ἄν τις αὐτὸν καὶ ἔροιτο (η).

[ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείτονα·]
ἐὰν δὲ μὴ, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ. —
Σωκ. Αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν. —
Στρεψ. Ἐγὼ δ' ἀπέσομαι· τοῦτό νυν μέμνησ', ὅπως
πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται. »

(ε) Ἔπιθι Πλάτ. Σοφιστ. σ. σλϛ'. γ'.

(ϛ) Ἀριστοτ. Μεταφ. Δ, 6, κδ'. καὶ σοφιστ. ἐλέγχων Α.

(ζ) Ξενοφ. Ἀπομνημ. Δ, δ', ϛ'. « πειρῶμαι καινόν τι λέγειν ἀεί. »

(η) Qint. XII, 11, 21, Gorgias quoque summae senectutis quaerere auditores, de quo quisque vellet, jubebat.

Ἐπεὶ οὖν παρὰ τοῖς λογοδαιδάλοις σοφισταῖς τὸ ὡς ἀληθῶς γ' ἐπιστημονικὸν μονονουχὶ οὐδὲν ἦν πρὸς τὰς τῶν λόγων ἀνεμώνας, οὐδὲν ἄρα καὶ χαλεπὸν αὐτοῖς ἐδόκει ἔργον εἶναι πάσῃ δήτινι ἐπιστήμῃ καὶ παντὶ ἐπαγγέλματι ὁμοίως ἐπιθέσθαι, ἕκαστον τό γ' ἑαυτῷ οἰκεῖον καὶ, ὡς ἔπος εἰπεῖν, συμφυὲς ὂν προελόμενον. Γοργίας μὲν οὖν περὶ τὸ ῥητορικὸν μάλιστα εἶδος ἐσπουδακέναι ἔλεγεν, καὶ ἄλλους ῥήτορας οἷός τ' εἶναι ποιεῖν ἐπαγγελλόμενος· (Μένωνι σ. ϡε'. Γοργ. σ. υμθ'.) Πρωταγόρας δ' αὖ τῷ ὀνόματι διδασκάλου σοφίας τινὸς πρακτικῆς ἤτοι ἀρετῆς προείλετο καλλωπίζεσθαι· (Πρωταγ. τιζ'. τιή.) ἄλλοι τε αὖ καὶ οὐκ ὀλίγοι παιδαγωγεῖν καὶ παιδεύειν ἀνθρώπους ἔργον ἀνεβάλοντο, εἰ καὶ αὕτη ἡ καινὴ τοῦ βίου τέχνη τοῖς τῶν πάλαι ἠθῶν ἀντεχομένοις δι' οὐκ ὀλίγης ἀπεχθείας, ὡς εἰκὸς, ἐγίγνετο· μάλιστα δὲ τῷ Ἀριστοφάνει, ὃς ἐν νεφέλαις μάλα πικρῶς τῶν σοφιστῶν καθάπτεται ὡς τὴν ναιολαίαν παραγόντων καὶ εἰς τὸ ψεῦδος προςεθιζόντων. Πρόδικος δὲ περὶ τὸ γραμματικὸν εἶδος καὶ τοὺς περὶ συνωνύμων λόγους τὰ πολλὰ ἦν διατρίβων. Ἱππίας δὲ ἔργον ἐποιήσατο τά τε περὶ φύσεως καὶ τὰ μαθήματα καὶ ἱστορίαν διδάσκειν· ἄλλοι δὲ πρὸς τῇ τῶν πάλαι ποιητῶν ἑρμηνείᾳ μάλιστα ἦσαν· ὡς δὲ συνελόντι εἰπεῖν, σχεδόν τι οὐθὲν μάθημα οὐδεμία τε ἦν ἐπιστήμη, περὶ ἣν ἄν τις εἴποι τοὺς σοφιστὰς πεῖραν ἑαυτῶν λαβεῖν ὀκνῆσαι. Ἀλλ' ἐν φιλοσοφίᾳ οὐθὲν ὅ,τι καὶ λόγου ἄξιον ἤνυσαν· οἱ πλεῖστοι γὰρ αὐτῶν οὐδὲ τὴν ἀρχὴν τῶν τῇ φιλοσοφίᾳ οἰκείων προβλημάτων ἥψαντο. εἰ δέ τινές τι καὶ ἐπεχείρησαν εἰπεῖν, ἐφ' ἑαυτοῖς τοῦτο ἔπραξαν, τῷ γε ἑαυτῷ δοκοῦντι ἑκα-

στος ἀκολουθῶν. Πάντες δ' ὡς ἐν συνόλῳ σκεπτικήν τινα μέθοδον ἠσπάσαντο τῶν πάντων ἀναιρετικὴν, ἥν γε δὴ τῇ εἰκαίᾳ καὶ ἄνευ τινὸς ἀρχῆς ἢ λόγου πραγματείᾳ αὐτῶν ἐν τῷ βίῳ καὶ οἷς περ ἐν τῷ φιλοσοφεῖν ὕθλοις καὶ λόγων τερθρείαις ἐχρῶντο ὑπερφυῶς ὡς συνᾴδουσαν ἑώρων. Σκεπτικῶς δὲ μάλιστα εἶχον πρὸς τὴν θρησκείαν τὴν παρὰ τῷ δήμῳ· οἱ μὲν γὰρ πλείονες αὐτῶν ἀναφανδὸν περὶ θεῶν εἰ εἶεν ὅλως ἠμφισβήτουν, ἔνιοι δὲ καὶ οὐκ ὀλίγοι μηδ' εἶναι τὸ παράπαν διετείνοντο· καὶ Κριτίας δὲ εἷς τῶν ἐν Ἀθήναις τριάκοντα τυράννων τοῦ τάγματος ἦν ὡςαύτως τῶν ἀθέων σοφιστῶν, « φάμενος ὅτι οἱ παλαιοὶ νομοθέται ἐπίσκοπόν τινα τῶν ἀνθρωπίνων κατορθωμάτων καὶ ἁμαρτημάτων ἔπλασαν τὸν θεὸν ὑπὲρ τοῦ μηδένα λάθρα τὸν πλησίον ἀδικεῖν, εὐλαβούμενον τὴν ὑπὸ τῶν θεῶν τιμωρίαν (θ). » Εἰ δέ τις τούτοις τὸν νοῦν δεόντως ἐπιστήσειεν, τάχ' ἂν που δόξειαν αὐτῷ οἱ σοφισταὶ κατὰ πᾶσαν τὴν στάσιν καὶ πολιτείαν αὐτῶν οὐ τὴν τυχοῦσαν ὁμοιότητα ἔχειν πρὸς τοὺς ἐπὶ τοῦ παρελθόντος αἰῶνος ἐν Γαλλίᾳ ἀκμάσαντας ἐγκυκλοπαιδικοὺς, ὅπως καθόλου εἰπεῖν, καὶ ὁ αἰὼν ἐκεῖνος τῶν Ἀθηναίων πρὸς τὸν παρὰ τοῖς Γάλλοις τοῦ φωτισμοῦ καὶ τῆς ἐκπαιδεύσεως ἐπιφημιζόμενον ἀναλογεῖ. Καὶ γὰρ καὶ οἱ ἐγκυκλοπαιδικοὶ παραπλησίως τοῖς Ἕλλησι σοφισταῖς, ἔργον κύριον ἀνεβάλοντο τούς τε πολίτας καὶ σύμπαν τὸ ἀνθρώπειον ἐν θρησκευτικοῖς τε καὶ πολιτικοῖς πράγμασιν ἐκ τῶν ἐνόντων ἐκπαιδεῦσαι, εἶδός τι σκέψεως αὐτοί τε ἀσκήσαντες καὶ τοῖς ἄλλοις παραδόντες· καὶ δὴ καὶ πᾶν εἶδος μα-

(θ) Σεξτ. Ἐμπερ. πρὸς τοὺς Μαθημ. Θ, νδ'.

θήσεως μετελθόντες, ὡς ἔπος εἰπεῖν, παντὶ τῷ ἐπιστητῷ ἐπιθέμενοι, παντοίας ὕλης ἐχόμενα συγγράμματα διέδοσαν, ἅπερ εἰμή γε τὰς ἐπιστήμας αὐτὰς εἰς ὕψος μέγα προήγαγον, εἰς ὠφελίμων γε μὴν γνώσεων διάδοσιν μεθοδικῆς τέ τινος παιδείας ἐπίδοσιν οὐκ ὀλίγον, ὡς ἂν ἡμεῖς γε φαίημεν, συνετέλεσεν.

§. β΄. Ὅπως ἡ σοφιστικὴ τέχνη ἔχει πρός τε τὰ ἤθη καὶ τὴν πολιτικὴν κατάστασιν τῶν τότε Ἑλλήνων.

Ὅτι μὲν οὖν πᾶσα φιλοσοφία ἔκφανσίς τις καὶ οἷον εἰκών ἐστι τοῦ, ἐν ᾧ γε χρόνῳ ἀκμάζει, οὐχ ἥκιστ' ἂν δῆλον γένοιτο παντὶ, τῇ σοφιστικῇ αἱρέσει τὸν νοῦν ἐπιστήσαντι· ἔστι γὰρ αὕτη φιλοσοφία, παρακμήν τε καὶ ἀπομάρανσιν τοῦ παρ' Ἕλλησιν ἀρχαιοτρόπου βίου δηλοῦσα, ἅτε δὴ τὸ πᾶν κῦρος τῇ ἰδίᾳ γνώμῃ ἑνός γ' ἑκάστου ἀποδιδοῦσα, τὸ δὲ κοινῇ παρὰ πᾶσιν ἀνέκαθεν ἰσχῦον δίκαιον καὶ νόμιμον ἔν τε τῷ ἄλλῳ βίῳ καὶ ἐν πολιτείᾳ παρ' οὐδὲν τιθεμένη. Οἱ γὰρ σοφισταὶ, ὥςπερ καὶ Πλάτων ἐν πολιτείᾳ (ς΄. υϟγ΄, α.) ὀρθῶς πάνυ φησὶ, τὰ αὐτὰ ἐδίδασκον ἀξιώματα, οἷς περ καὶ ὁ πολὺς ὅμιλος μεσοῦντος τοῦ πέμπτου αἰῶνος, καὶ ὕστερον ὑπογραμμοῦ δίκην εἴς τε τὸν ἰδίᾳ καὶ τὸν κοινῇ βίον ἐχρῆτο. Ἣν γὰρ οὗτοι θεωρίας ἀρχὴν, τὴν ἑκάστῳ ἀνθρώπῳ οἰκείαν ἐμπειρίαν ὡς πιθαναλογίας τῆς περὶ τὰ ὄντα κριτήριον προεστήσαντο, ταύτην δὴ ὁρῶμεν ἐν παντὶ λόγῳ καὶ ἔργῳ παρὰ ἄλλοις τε τῶν τότε ἀνθρώπων οὐχ ἥκιστα δὲ παρ' Ἀθηναίοις ἰδίᾳ τε καὶ δημοσίᾳ ἀκολάστως πάνυ ἰσχύουσαν· ἐπέστη γὰρ ἤδη ὁ και-

ρός, καθ' ὃν ἕκαστος κατὰ τὸ καρτερὸν τῆς ἰδίας βουλήσεως ἀντέχεται, τοῦτό γε ἡγούμενος ἐλευθερίαν εἶναι ἀληθῆ, εἴπερ τὰ ἑαυτῷ δόξαντα, ὅσον σθένει, ἐπιτελῆ ποιεῖ. Κατὰ δὴ τοῦτον τὸν καιρὸν ἐοίκασι καὶ οἱ Ἕλληνες μηκέτι ὡς τὸ πρὶν ἄξιον ἡγεῖσθαι εἶναι τὰ ἰδίᾳ ἑκάστῳ τῶν πολιτῶν συμφέροντα καὶ δίκαια νόμῳ τε τῷ κοινῷ καὶ τῇ πόλει συμπάσῃ εὐπειθῶς τε καὶ ἀναμφηρίστως χαρίζεσθαι, ἀλλὰ καὶ πᾶν τοὐναντίον τῶν κοινῇ νομιζομένων ὀλιγωροῦντες, τὸ ἰδίᾳ συμφέρον ἐκ παντὸς τρόπου ἕκαστοι ἤρξαντο θηρεύειν. Τοῦτο δὲ τὸ φίλαυτον κατὰ σμικρὸν οὕτω προὐκεχωρήκει ὥστε τελευτῶν νῦν δὴ ἕκαστος τῶν ἰδίᾳ λόγων τε καὶ ἔργων μέτρον ἄριστον εἶναι ἠξίου τό γ' ἑαυτῷ ἑκάστοτε συμφέρον τε καὶ δίκαιον εἶναι δοκοῦν. Κατέστη οὖν αὐτοῖς ὁ δημοσίᾳ βίος δοξοκοπίας τε καὶ πλεονεξίας ἀγὼν, ἅτε δὴ ἑκάστου ἀνυποστόλως πάμπαν μηθὲν ἄλλο θηρῶντος ἢ εὐδοκιμήσεώς τε καὶ ἰσχύος παρὰ τῷ δήμῳ ἀπολαύειν. Οἵ τε γὰρ πολιτικοὶ ἀγῶνες καὶ αἱ στασιωτικαὶ ἔριδες τῶν ἑλληνίδων πόλεων πρὸς ἀλλήλας κατὰ τὸν πόλεμον τὸν πελοποννησιακὸν τήν τε περὶ τὰ θεῖα εὐσέβειαν δεινῶς ἀνέτρεψαν καὶ πᾶσαν εὐνομίαν παντελῶς κατέλυσαν· ὥστε καὶ ὁ Θουκυδίδης βαρέως φέρων τὴν κατ' ἐκείνους τοὺς καιροὺς ἐπιγενομένην τῶν ἰδεῶν σύγχυσιν δικαιοσύνης τε πέρι καὶ συλλήβδην περὶ πάσης ἄλλης ἀρετῆς, ὡς ἐφεξῆς δεινολογεῖται· « τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων, φησὶν, ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπὴς, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα. » (ι) τά τε ἔκπαλαι καθεστῶτα

(ι) Θουκυδ. Γ, πβ'.

νόμιμα παντὸς κύρους ἤδη ἐστέρηται· οἵ,τε γὰρ ἀπ' αὐθαιρέτου βουλήσεως ἔναγχος τεθειμένοι νόμοι καὶ οἱ πρὸς δόξαν μεταβεβλημένοι οὐθὲν ἄλλο τῷ δήμῳ ἐδόκουν εἶναι ἢ συνθήκη τις ἁπλῆ καὶ σύμβασις τῶν βίᾳ τῆς πόλεως κρατούντων ὥστε καὶ τὸ τηρεῖν αὐτοὺς ἢ παραβαίνειν ἐπὶ τῇ ἐλευθέρᾳ βουλήσει ἑνὸς ἑκάστου ὡςαύτως κεῖσθαι ἔφασαν· καὶ τὴν ἔμφυτον τοῖς γενναίοις ἀνδράσιν οὖσαν αἰδῶ πρὸς πᾶν εἴτι καλὸν, εἴ τι σεμνὸν, αὐτήν γε τὴν ἠθικὴν συναίσθησιν, ἐθισμόν τιν' ἄντικρυς ἔφασκον εἶναι ἁπλοῦν πρὸς τοὺς φρονίμως τῇ πόλει κειμένους νόμους (Γοργ. σ. υπγ'.), τὸ δὲ θεοὺς εἶναι νομίζειν νομοθετῶν ἐφεύρημα, φόβον τινὰ προτιθεμένων ἐπισείειν τοῖς ἐλευθέρως δρᾶν βουλομένοις, ὥστε κατά γε τοῦτον τὸν λόγον μηθὲν ἄλλο εἶναι τὴν λεγομένην εὐσέβειαν ἢ νόμον ἐξ ἀνθρώπων γενόμενον· διὸ καὶ παντὶ ἐξεῖναι ἔλεγον, πειθοῖ ἐν λόγοις χρησάμενον, μεταβαλεῖν αὐτὸν καὶ εἰ δοκεῖ, παντάπασι καταλῦσαι (ια)· ὡς δ' ἂν ἑνὶ λόγῳ εἰπεῖν, τὸ Πρωταγόρου φθέγμα, χρημάτων πάντων ἄνθρωπος μέτρον ὑπάρχει, οἱ πλεῖστοι τῶν τηνικαῦτα ὑπογραμμὸν αὐτόχρημα ἐν τῇ πράξει τοῦ ἑαυτῶν βίου προεστήσαντο. Διὸ καὶ δικαίως ἄν τις τοὺς σοφιστὰς ἄλλο μὲν καινὸν ἐπινοῆσαι μηδὲν εἴποι, εἶδος δέ τι θεωρητικὸν, τῷ κατ' ἐκείνους τοὺς καιροὺς εἰωθότι βίῳ τῶν ἀνθρώπων εὖ μάλα ἁρμόζον.

(ια) Ὑπὸ Ἀριστοφάνους ἐν νεφέλαις οὑτωσὶ τὰ τοιαῦτα εἰκονίζεται.

Στρεψ. Ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν. — αυκ΄.

Φειδιπ. οὔκουν ἀνὴρ ὁ τὸν νόμον τόνδ' ἦν τιθεὶς τὸ πρῶτον,
ὥςπερ σὺ κἀγὼ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττόν τι δῆτ' ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσιν, τοὺς πατέρας ἀντιτύπτειν;

γ'. Κρίσις τῆς Σοφιστικῆς.

Οὐδεὶς ἔστιν ὅστις οὐκ ἐπιμέμψεται τὴν περὶ τὰ ἤθη πραγματείαν τῶν σοφιστῶν· καὶ ὡς καθόλου εἰπεῖν, εὐλόγως πάνυ· οὐδενὶ γὰρ ἂν δόξειεν αὐτὴ ἀπόῤῥοιά τις ἁπλῆ καὶ ὡς ἔπος εἰπεῖν ἀπεικόνισις εἶναι τῆς τότε ὑπαρχούσης τῶν ἠθῶν διαφθορᾶς, ἀλλὰ καὶ τὸ ἐφ' ἑαυτῇ οὐκ ὀλίγον συμβαλέσθαι εἰς κατάλυσίν τε τῶν πάλαι ἠθῶν καὶ κατάσεισιν τῆς περὶ τὰ θεῖα πίστεως τῶν ἀνθρώπων. ἔτι δὲ καὶ ἐν φιλοσοφίᾳ εὐλαβητέον τὸ πολλὴν μοῖραν τοῖς ἀνδράσιν ἀπονέμειν, οἳ δὴ εἰς τοῦτο ἀπορίας ἤλασαν ὥστε ἐκ συστήματος διϊσχυρίζεσθαι μηδεμίαν μηδαμῶς ἐνδέχεσθαι τῶν ὄντων ἐπιστήμην κατ' ἀνθυπόστασιν καὶ παρὰ πᾶσιν ὁμοίως κῦρος ἔχουσαν. ὁμολογητέον μέντοι ὡς εἰς ἐπίδοσιν ὑποδεεστέρων τινῶν μαθήσεων οὐ πάμπαν ἀλυσιτελῆ τὰ ὑπ' αὐτῶν πονηθέντα ἀπέβη. Πρόδικος μὲν γὰρ περὶ τὰς λανθανούσας διαφορὰς τῶν παραπλησίαν ἔννοιαν ἐχόντων ὀνομάτων ὡς τὰ πολλὰ διατρίβων, τὴν περὶ γλώσσης τε καθόλου καὶ περὶ συνωνύμων θεωρίαν οὐκ ὀλίγον προήγαγε· καὶ τὴν πραγματείαν ταύτην καὶ αὐτὸς ὁ Σωκράτης ἐπῄνει αὐτός τε εἰς τὰς ἀγορεύσεις τοῦ Προδίκου φοιτῶν (Πρωτ. τμα', α'. Μέν. ϡϛ', δ'.) καὶ ἄλλους αὐτῷ μαθητὰς προξενῶν (Θεαιτ. σ. ρνα'. β'.)· Πρωταγόρας δ' αὖ, καθ' ἃ φησὶ Διογένης τε ὁ Λαέρτιος (θ, νγ'. . .) καὶ Ἀριστοτέλης ἐν τῷ τρίτῳ περὶ ῥητορικῆς, ἀναζητήσεις γραμματικὰς εἰώθει ποιεῖσθαι περὶ τῆς κατὰ γένη πλοκῆς τῶν μερῶν τοῦ λόγου· « Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄῤῥενα καὶ θήλεα καὶ σκεύη· δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα ὀρθῶς·

ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα ᾤχετο.» Ἄλλοι δὲ τῶν σοφιστῶν περὶ τὴν τῶν πάλαι ποιητῶν ἑρμηνείαν μάλιστα ἐνησχολήθησαν, καὶ οὗτοι τὰς περὶ γλώσσης διατριβὰς κατὰ δύναμιν προβιβάσαντες. Σοφισταὶ δ' ἦσαν καὶ οἱ τὸ πρῶτον τὰς ῥητορικὰς λεγομένας τέχνας συγγραψάμενοι. Γοργίας δὲ μάλισθ' ὁμολογεῖται τὴν παρ' Ἀθηναίοις ῥητορικὴν εἰς κάλλος οὐ τὸ τυχὸν ἀσκῆσαι, ἀλλὰ καὶ τὸν πεζὸν λόγον παρ' αὐτοῖς ἐπὶ τὸ ἀνθηρότερον διασκευάσαι. Δηλοῖ δὲ μάλιστα ἡ Θουκυδίδου συγγραφή· καὶ γὰρ ἂν εὐχερῶς τις ἐν αὐτῇ διαγνοίη τὴν λέξιν τὴν Γοργίειον πολλαχοῦ ὑπαντῶσαν· ἔτι δὲ καὶ Ἰσοκράτης, ὧν ἴσμεν ἐν Ἕλλησι ῥητόρων καλλιεπέστατος δὴ πάντων καὶ γλαφυρώτατος ὤν, Γοργίου μαθητὴς ὡςαύτως ἐγένετο. Πρὸς δὲ τούτοις οἱ σοφισταὶ σοφίσμασί τε καὶ παρεξελέγχοις ὡς ἐπὶ τὸ πολὺ χρώμενοι, περισσῶς πάνυ αὐτοὺς ἐπικομψεύοντες, τὰς πρώτας ἀρχὰς τῆς ὕστερον ὀργανικῆς λογικῆς κατεβάλοντο· ἠνάγκαζον γοῦν τοὺς ἑκάστοθ' αὐτοῖς ἀντιλέγοντας τὴν διάνοιαν ἐφιστάναι τοῖς τρόποις τοῦ διανοεῖσθαι πολλῷ μᾶλλον νῦν ἢ ὥς περ πρότερον εἰώθεσαν· οὗ περ ἕνεκεν αὐτίκα αὐτόν τε ὁρῶμεν τὸν Σωκράτην καὶ ἄλλας Σωκρατικὰς αἱρέσεις περὶ πλείστου τὰς λογικὰς ἢ διαλεκτικὰς συζητήσεις ἡγουμένους. Τέλος δὲ πολλοὶ τῶν σοφιστῶν, εἰ μή γε εἰς ἐπιστήμης ἐμβριθοῦς προκοπὴν, ἀλλ' εἰς χρησίμων μαθήσεων διάδοσιν εἰς τοὺς πολλοὺς οὐ πάμπαν ἀτελεσφόρως ἐπόνησαν. Ἀλλ' οὐδ' εἰκὸς ἂν εἴη τοὺς ἀρχαιοτέρους αὐτῶν, ἐν οἷς Γοργίας τε καὶ Πρωταγόρας, παγγελοίους τινὰς καὶ ἠλιθίους ἄνδρας γεγονέναι ὑπολαμβάνειν, οἵους περ ὁ Πλάτων ἐν τοῖς διαλόγοις (;) μετ' εὐ-

φυεστάτης εἰρωνείας περιγράφει· οὐδὲ γὰρ ἂν ἔχοι τὶς συλλαβεῖν ὅπως ποτὲ, τοιοῦτοι ὄντες, τηλικαύτης παρὰ τῷ δήμῳ τῶν Ἀθηναίων τιμῆς ἠξιωμένοι ἦσαν· ἀπ' ἐναντίας ὅμως μεταγενέστεροι σοφισταὶ, οἷοί περ ἐν τῷ Πλάτωνος Εὐθυδήμῳ εἰσάγονται, ἰταμοί τινες καὶ θερμουργοὶ μετεωρολέσχαι ἦσαν, τοῦτο μόνον μελετῶντες διὰ σοφιστικῶν γρίφων τοὺς τῶν ἀντιπάλων λόγους ταράσσειν τε καὶ κακουργεῖν. Ἐπὶ δὲ Ἀριστοτέλους ἡ σοφιστεία ἐσχάτῃ ἀτιμίᾳ ἦν περιπεπτωκυῖα

§ ΙΘ'. *Τίνες ἦσαν οἱ ἐπιφανέστατοι τῶν Σοφιστῶν;*

Α'. ΠΡΩΤΑΓΟΡΑΣ.

Πρωταγόρας Ἀρτέμωνος ἢ Μαιανδρίου Ἀβδηρίτης, πρῶτος λέγεται ἑαυτὸν ἀντὶ φιλοσόφου σοφιστὴν ἤτοι διδάσκαλον σοφίας ἐπονομάσαι (Πλάτ. Πρωτ. σ. τμθ'. α.). περὶ δὲ τὸ π' ἔτος τῆς ε' π. Χ. ἑκατονταετηρίδος γεννηθεὶς, ἑβδομηκοντούτης τὸ ζῆν μετήλλαξε, περὶ τὸ ιβ' ἔτος τῆς αὐτῆς ἑκατονταετηρίδος (α). Ἄνδρα δ' ἤδη

(α) Ἑρμάννῳ οὕτω δοκεῖ ἐν τῷ ἑαυτοῦ συγγράμματι de aetat. ph. jon. p. 17. ἑβδομηκοντούτης γὰρ ἐτελεύτησε (Πλάτ. Μέν. σ. ϟα', ε. καὶ Ἀπολλόδωρος παρὰ Διογ. Λ. Θ, νϛ'. ἐννενηκοντούτης δὲ κατὰ Διογ. Λ. Θ, νε, ἄνευ μαρτυρίας), περὶ τὴν ϟθ' ὀλυμπιάδα, ὅ ἐστι περὶ τὸ υιβ' ἔτος π. Χ. Ἴδε καὶ τὰ ὑπὸ Ἑρμάννου ἐν τῷ περιοδ. συγγραμ. περὶ ἀρχαιολ. ἐπιστ. ἔτει ͵αωλδ'. σελ. 365. — Frey Qaest. Prot p. 64. — Ἔχοι δ' ἂν τις ὑποτοπάσαι τὰ περὶ τῆς ἡλικίας τοῦ Πρωταγόρου καὶ ἐκ τῶν ἐν τῷ ὁμωνύμῳ διαλόγῳ τοῦ Πλάτωνος (σ. τιγ, γ.) ἔνθα Πρωταγόρας εἰσάγεται λέγων· «καί τοι πολλά γε ἤδη ἔτη εἰμὶ ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλὰ μοί ἐστιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ' ἡλικίαν πατὴρ εἴην.» Ἡ ὑπόθεσις δὲ τοῦ διαλόγου πίπτει περὶ τὸ υλ'. ἔτος. Ὁ δ' οὖν Πρωταγόρας περὶ τὸ υπ'. ἔτος γεννηθεὶς, ἦν τότε περὶ τὰ πεντήκοντα ἔτη.

τέλειον γεγονότα ἀποδεδημηκέναι φασὶν εἰς Ἀθήνας τε καὶ Σικελίαν, ἔνθα τέχνας λόγων ἐδίδασκε. Λέγεται δὲ καὶ ἑκατὸν μνᾶς τῶν λόγων μισθὸν τοὺς ἀκροωμένους πρασσόμενος, πλείω ἀργύρια εἰργάσθαι καὶ αὐτοῦ τοῦ Φειδίου (Πλάτων ἐν Μέν. ϟα΄.). μέγα δ' ἐφρόνει ἐπὶ τῷ οἷός τ' εἶναι τέχνῃ ῥητορικῇ τὸν ἥττω λόγον κρείττω ποιεῖν. Λέγεται δ' αὐτὸς πρῶτος εἰπεῖν δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀλλήλοις ἀντικειμένους, ὥστε ἐξεῖναι λέγειν κατὰ παντὸς ἑκάτερον αὐτοῖν ὁμοίως (Διογ. Λ. ΙΘ΄, να΄.). Ἐν δὲ τῷ ὁμωνύμῳ διαλόγῳ εἰσάγεται ὑπὸ Πλάτωνος ὁ Πρωταγόρας οὐχ ὡς λόγων τέχνας διδάσκων, ἀλλὰ σοφίαν τὴν περὶ τὸν βίον, παιδεύσεως καὶ ἀρετῆς ἐπαγγελλόμενος εἶναι διδάσκαλος· καὶ γὰρ φορτικώτερόν πως περιαυτολογῶν, ἅμα δὲ τῶν ἑαυτῷ ἀντιτέχνων ἄλλων σοφιστῶν ἐπιλαμβανόμενος λέγει ὅτι ὁ παρ' αὐτὸν ἀφικόμενος οὐ περὶ ἄλλου του μαθήσεται ἢ περὶ οὗ ἥκει· «τὸ δὲ μάθημά ἐστιν εὐβουλία περί τε τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὐτοῦ οἰκίαν διοικοῖ, καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν·» ἑνὶ λόγῳ τὴν πολιτικὴν ἐπηγγέλλετο τέχνην, καὶ ὑπισχνεῖτο ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας. Ἐκ ταύτης οὖν τῆς ὁμολογίας ὁρμηθεὶς ὁ Σωκράτης πυνθάνεται αὐτὸν περὶ τῆς ἀρετῆς, εἴ πως μία τέ ἐστι καὶ διδακτή, Πρωταγόρου δὲ ἐν τῷ ἀποκρίνεσθαι πρὸς τὸ ἐρωτηθὲν παντοίαις ἀντιφάσεσι περιπεπτωκότος, ὑπολαβὼν ὁ Σωκράτης τὸν λόγον ἀστείως πάνυ ὑπελέγχει αὐτὸν ὡς εἰκῇ καὶ ἄνευ λόγων ἐγχειροῦντα σκοπεῖν περὶ τῶν ὄντων, οὐδὲν διαλεκτικῆς τέχνης ἐπαΐοντα. Συνέγραψε δὲ καὶ βιβλίον περὶ τῶν θεῶν, ἐν ᾧ προοιμιαζόμενος τάδε

ἔλεγε· «περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσὶν, οὔθ' ὡς οὐκ εἰσίν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥτ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου.» οἱ δ' Ἀθηναῖοι διὰ ταύτην τὴν ἀρχὴν τοῦ συγγράμματος ἀσεβείας αὐτὸν γραψάμενοι, ἐφυγάδευσαν καὶ τὰ βιβλία αὐτοῦ ἐν τῇ ἀγορᾷ κατέκαυσαν, ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων. Καί φασιν αὐτὸν ἐν τῇ φυγῇ ναυαγήσαντα καταστρέψαι τὸ ζῆν (Διογ. Λ. Θ, νε' —καὶ Σεξτ. Ἐμπειρ. θ, νϛ'.). Κατὰ δὲ τὴν τῶν πάλαι ὁμολογίαν οὐ φαῦλός τις ἦν ἀνὴρ τὸ ἦθος, ἀλλὰ μᾶλλον καὶ σεβασμοῦ τινος ἄξιος· εὐλαβεῖτο δὲ πάνυ καὶ τὸ εἰς φῶς ἐκφέρειν τὰ ὀλέθρια πορίσματα τῆς ἑαυτοῦ θεωρίας, αἰδοῖ τῇ πρὸς τὰ καλὰ καὶ σεμνὰ κινούμενος. καὶ ἐν τῷ ὁμωνύμῳ διαλόγῳ ποιεῖται ὑπὸ Πλάτωνος ὡς πάνυ ἀσμένως τὴν ἀρετὴν κάλλιστον χρῆμα ἀποκαλῶν· διὸ καὶ Πλάτων ἀσάφειαν μόνον περὶ τὴν τῆς ἀρετῆς οὐσίαν αὐτῷ ἐπιμέμφεται. ἐν Γοργίᾳ δὲ καὶ Φιλήβῳ ἐξ ἐναντίας τοὺς ὕστερον σοφιστὰς ὡς ἐξ ἀρχῶν καὶ προαιρέσεως φαύλης ὑπὲρ τῆς κακίας ἀπολογουμένους ἡμῖν παραδίδωσιν. ἀναγράφουσι δὲ οἱ παλαιοὶ τῷ Πρωταγόρᾳ πολλὰ τὸν ἀριθμὸν συγγράμματα· καὶ ἐκ τούτων πάντων ἓν μόνον ἐγγύτερόν πως γιγνώσκομεν, τὸ περὶ τοῦ εἰδέναι καὶ μὴ εἰδέναι ἐνδιαλαμβάνον, ὅπερ Πλάτων ἐν Θεαιτήτῳ ἀπανθισάμενος, ἐπικρίνει. Ὥρμητο μὲν οὖν ἐν τῷδε τῷ συγγράμματι ὁ Πρωταγόρας ἐπὶ τὸ τὰ ὄντα σκοπεῖν, τὸ Ἡρακλείτειον ἐκεῖνο δόγμα προστησάμενος, ὡς τὸ πᾶν κίνησις ἦν καὶ ἄλλο παρὰ τοῦτο οὐδέν. λέγων δὲ τοῦτο τὸ δόγμα, οὐ μόνον εἰς τὸ αἰσθητὸν ἀποβλέψας ἀλλὰ καὶ εἰς τὸ αἰσθανόμενον πρόσωπον, διϊσχυρίζετο ὅτι

ἑκατέρου τούτοιν ἀεὶ ὁμοίως μεταβαλλομένου, τοῦ τε ἀντιλαμβανομένου καὶ τοῦ ἀντιληπτοῦ, οὐδεμία εἴη ἂν ἐπιστήμη αὐτὴ καθ' αὐτὴν καὶ παρὰ πᾶσιν ὡςαύτως ἔχουσα, ἀλλ' αἴσθησις μόνον καὶ φαντασία ἑκάστῳ προςιδιάζουσα· ἐντεῦθεν οὖν καὶ τὰ ἄλλα συνῆγεν ὅτι τὸ φανταστικὸν ἑκάστου μέτρον ἐστὶ πάσης ἐπιστήμης· πάντα δ' ὁμοίως ἀληθῆ ὑπάρχει· (Διογ. Λ. Θ, να'.)· ἀντιλέγειν δὲ οὐκ ἔστι τὸ παράπαν· ἔχοι γὰρ ἄν τις καθ' ὁτουοῦν καὶ τὸν ἐναντιώτατον λόγον ὁμοίως λέγειν. Τούτων δὴ ἕνεκα καὶ Ἀριστοτέλης τοῖς τὸν ἀντιφατικὸν λόγον διαψεύδουσι συγκαταλέγει καὶ τὸν Πρωταγόραν. ἔστι δὲ ὁ ἀντιφατικὸς λόγος ὅδε· « τὸ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό. — αὕτη δὴ πασῶν ἐστὶ βεβαιοτάτη τῶν ἀρχῶν· ἀδύνατον γὰρ ὁντινοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι. — Ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης (καθ' ἥν γε ἀναιρεῖται ὁ ἀντιφατικὸς λόγος) καὶ ὁ Πρωταγόρου λόγος, καὶ ἀνάγκη ὁμοίως ἄμφω αὐτοὺς ἢ εἶναι ἢ μὴ εἶναι· εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. Πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. Καὶ εἰ τοῦτ' ἐστὶν, ἀνάγκη τὰ δοκοῦντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. Εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, ἀληθεύουσι πάντες. » Ἀριστοτ. Μεταφ. Γ, γ'. δ'. ε'.).

§. ϛ'. ΓΟΡΓΙΑΣ.

Ὀνομαστότατος δὲ σοφιστὴς τῶν τότε, πλὴν Πρω-

ταγόρου, ἣν καὶ Γοργίας ὁ Λεοντῖνος. Λεοντῖνοι γὰρ ὑπὸ Συρακουσίων πιεζόμενοι ἐπὶ τοῦ πολέμου τοῦ Πελοποννησιακοῦ Ἀθήναζε ἐπρεσβεύσαντο ἐπὶ συμμαχίᾳ· (υκζ΄. π. χ.) « ἦν δὲ τῶν ἀπεσταλμένων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ, δεινότητι λόγου πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. Οὗτος καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε, καὶ κατὰ τὴν σοφιστείαν τοσοῦτον τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν. οὗτος οὖν καταντήσας εἰς τὰς Ἀθήνας καὶ παραχθεὶς εἰς τὸν δῆμον διελέχθη τοῖς Ἀθηναίοις περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε τοὺς Ἀθηναίους, ὄντας εὐφυεῖς καὶ φιλολόγους. Πρῶτος γὰρ ἐχρήσατο τῆς λέξεως σχηματισμοῖς περιττοτέροις, ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοιοτελεύτοις καί τισιν ἑτέροις τοιούτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἀξιοῦτο, νῦν δὲ φαίνεται καταγέλαστον. τέλος πείσας τοὺς Ἀθηναίους συμμαχῆσαι τοῖς Λεοντίνοις, οὗτος μὲν θαυμασθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ τὴν εἰς Λεοντίνους ἐπάνοδον ἐποιήσατο (γ). » Καὶ Πλάτων δὲ ἐν Ἱππίᾳ τῷ μείζονι (δ) οὑτωσὶ περὶ αὐτοῦ λέγει· « Γοργίας ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν, καὶ ἰδίᾳ ἐπιδείξεις (declamationes) ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως. » Ἐν δ' ὑστέρῳ χρό-

(γ) Διοδ. τοῦ Σικελ. Β. ΙΒ, νγ΄.
(δ) Σελ. σπβ΄. Β.

νῳ περιτυγχάνομεν αὐτῷ πολλάκις Ἀθήνησι διατρίβοντι καὶ τελευταῖον ἐν Θεσσαλίᾳ, ἔνθα ἐπισήμοις νεανίσκοις συνὼν, πολλοὺς θαυμαστὰς ἔλαβε (Μέν. σ. ό. Β.)· ἔντ' ἰδίαις συνουσίαις λόγων κομψῶν ἐπιδείξεις ποιούμενος καὶ τοὺς νέους ἐκπαιδεύων, οὐκ ὀλίγα χρήματα ἐκτήσατο (ε)· τὸν δὲ μάταιον καλλωπισμὸν αὐτοῦ, ὃς οὐ μόνον ἐν λόγοις, ἀλλὰ καὶ ἐν λαμπρᾷ ἐσθῆτι διέφαινε, πολλάκις ὁ Πλάτων ἔν τε Γοργίᾳ καὶ ἀλλαχοῦ καταγέλαστον ποιεῖ. ἀπέθανε δὲ ἐν γήρᾳ βαθεῖ κατὰ τὸν αὐτόν που χρόνον τῷ Σωκράτει. Φαίη μὲν οὖν ἄν τις Γοργίαν ῥήτορα μᾶλλον ἢ φιλόσοφον γεγονέναι. φέρεται μέντοι αὐτοῦ καὶ φιλοσοφικὸν σύγγραμμα ἐπιγραφὴν ἔχον, περὶ τοῦ μὴ ὄντος ἢ περὶ φύσεως, ἐν ᾧ γε τοῖς τῶν ἐλεατικῶν μάλιστα λόγοις ἐπερειδόμενος, «τρία κατὰ τὸ ἑξῆς κεφάλαια κατασκευάζει. ἓν μὲν γὰρ πρῶτον, ὅτι οὐδὲν ἔστι. δεύτερον, ὅτι εἰ καὶ ἔστιν, ἀκατάληπτον ἀνθρώπῳ· τρίτον ὅτι εἰ καὶ καταληπτὸν, ἀλλὰ τοίγε ἀνερμήνευτον τῷ πέλας ὑπάρχει.» (ζ). Ἀπανθίσματα δὲ τοῦ βιβλίου τούτου παραδίδωσιν ἡμῖν σύγγραμμά τι μεταξὺ τῶν Ἀριστοτελικῶν διασωθὲν «περὶ Ξενοφάνους Γοργίου καὶ Μελίσσου,» ἔτι δὲ καὶ ὁ Ἐμπειρικὸς ἐν Ζῳ τοῦ πρὸς τοὺς μαθηματικοὺς (κεφ. ξε'.).

Ἔοικε δ' οὖν Γοργίας ὑστέρῳ χρόνῳ τὴν διαλεκτικὴν σοφιστείαν ἀποθέμενος, πρὸς τῇ ῥητορικῇ ὅλος γε-

(ε) Plin. H. N. XXXIII, 24, § 83: auream statuam Gorgias Leontinus Delphis in templo posuit sibi; tantus erat docendae artis oratoriae quaestus.

(ζ) Σέξτου τοῦ Ἐμπειρ. πρὸς Μαθημ. Ζ. Τὴν δὲ ἀπόδειξιν τούτων τῶν πορισμάτων παρέλαβεν ὁ Γοργίας ἀπὸ τῶν πρώην φιλοσόφων καὶ μάλιστα τοῦ Ζήνωνος· διὸ καὶ οὐ πολλοῦ τινος ἀξία ἐστίν.

γονέναι· μάλιστα δὲ παρὰ Πλάτωνι ὡς τῆς ῥητορικῆς μόνον διδάσκαλος μνημονεύεται. καὶ μὴν καὶ ἐν Μένωνι περὶ αὐτοῦ λέγεται ὡς τῶν ἄλλων σοφιστῶν κατεγέλα, ὁσάκις ἀκούσειεν ἐπαγγελλομένων ἀρετῆς εἶναι διδασκάλων· αὐτὸς γὰρ ἐπηγγέλλετο οἷός τ' εἶναι τοὺς ἑαυτῷ συνόντας ποιεῖν λέγειν δεινούς. Ἀλλὰ καὶ ἐν τῷ ὁμωνύμῳ διαλόγῳ πρὸς Σωκράτη ἐρωτῶντα, « ὦ Γοργία, αὐτὸς ἡμῖν εἰπὲ, τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης;» ὁ Γοργίας ἐμφατικῶς λέγει «τῆς ῥητορικῆς.» Καὶ ὁ Σωκράτης αὖ· « οὐκοῦν καὶ ἄλλους σε φῶμεν δυνατὸν εἶναι ποιεῖν ; » πρὸς ὃ ὁ Γοργίας, « ἐπαγγέλλομαί γε δὴ ταῦτα » φησὶν (θ). Καὶ μὴν καὶ ἐπαίνου τινὸς οὐ πάμπαν ἀνάξιός ἐστιν ὁ Γοργίας τυχεῖν ἐπὶ τῷ τὴν ῥητορείαν τέχνην εἶναι τοῦ λοιποῦ εὖ μάλα ἀσκῆσαι. Ἦν δὲ μάλιστα ἡ τοῦ λέγειν τέχνη αὐτῷ ἐν τῷ τὸν πεζὸν λόγον ποιητικοῖς κάλλεσιν ἐς τὸ δυνατὸν διανθεῖν. εἰώθει δὲ τοῦτο ποιεῖν, τοῦτο μὲν ἀήθεις τινὰς καὶ καινοὺς ὀνομάτων σχηματισμοὺς, ποιητικάς τε εἰκόνας καὶ μεταφορὰς χαριέντως κάρτα εἰςφέρων· τοῦτο δὲ ῥυθμῷ τε καὶ ἁρμονίᾳ καὶ καλλιεπείᾳ τὸν λόγον ἐς τὰ μάλιστ' ἐπιτηδεύων, ὡς καὶ πρότερόν μοι εἴρηται. Κατὰ μίμησιν δὲ τῆς Γοργιείου λέξεώς

(θ) Ταύτην δὲ τὴν Γοργίου ἀπόκρισιν ἀφορμὴν ὁ Πλάτων ποιεῖται εἰς ὑπόθεσιν τοῦ ὁμωνύμου τῷ σοφιστῇ διαλόγου, ἐν ᾧ ἐφεξῆς πρῶτον μὲν περὶ τοῦ ὅπως ἡ ῥητορικὴ πρὸς τὴν ἀληθῶς πολιτικὴν ἔχει, πραγματεύεται, εἶτα δ' ὅπως τὸ ἡδὺ καὶ εὐάρεστον πρὸς τὸ ἀγαθὸν, καὶ ταῦτα κατασκευάζει, ἐφ' ᾧ τε ἀποδεῖξαι ὅτι ἕτερον ἑτέρου τούτοιν ἐστί. τὸ γὰρ ἑκάστῳ γε ἡδὺ εἶναι δοκοῦν οὐχ αὐτὸ εἶναι τὸ ἀγαθὸν τῷ λόγῳ δείκνυται, πολλῷ δὲ μᾶλλον πᾶν ἄλλο φαίη τις ἂν εἰκότως εἶναι τἀγαθόν· πασῶν γὰρ τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐγκράτειαν, αὐτό γε τὸ δίκαιον εἶναι τἀγαθόν.

ἐστι καὶ ὁ Ἀγάθωνος λόγος ἐν τῷ τοῦ Πλάτωνος συμποσίῳ, μάλιστα δὲ περὶ τὸ τέλος ἐξειργασμένος, ὃς ταῖς ἀκοαῖς οὑτωσὶ κηλητήριος ἐμβάλλει· « ὁ ἔρως ἡμᾶς ἀλλοτριότητος μὲν κενεῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάςδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν θυσίαις γιγνόμενος ἡγεμών· πρᾳότητα μὲν πορίζων, ἀγριότητα δ' ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυςμενείας· ἵλεως ἀγαθοῖς, θεατὸς σοφοῖς, ἀγαστὸς θεοῖς· ζηλωτὸς ἀμοίροις, κτητὸς εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος, ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος, ἡγεμὼν κάλλιστος καὶ ἄριστος, ᾧ δεῖ ἕπεσθαι πάντα ἄνδρα ἐφυμνοῦντα καλῶς καλῆς ᾠδῆς μετέχοντα, ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα. » (ι).

Γ'. ΠΡΟΔΙΚΟΣ (ια).

Ἐλλογιμώματος δὲ καὶ σοφιστῶν ἁπάντων ἄριστος ἦν Πρόδικος ὁ Κεῖος, ἐκ πόλεως Ἰουλίδος. Οἴκοθεν δὲ κοινῇ καὶ αὐτὸς πρεσβεύων, ὥςπερ Γοργίας τε ὁ Λεοντῖνος καὶ Τισίας καὶ Ἱππίας ὁ σοφιστής, ἀφίκετο Ἀθήναζε, καθ' ὃν χρόνον καὶ ὁ ὁμόπολις αὐτῷ Σιμωνίδης ὁ ποιητὴς μεγάλως παρ' Ἀθηναίοις ηὐδοκίμει, οἳ καὶ ἐστεφάνωσαν αὐτὸν περὶ τὰ ὀγδοήκοντα ἔτη ὄντα. Ἐδο-

(ι) Πλάτων συμπ. σ. ρϛζ', Δ·

(ια) Ἔπιθι Οὐελκέρου, « Πρόδικος ὁ κεῖος, Σωκράτους πρόδρομος, » σμικρῶν συγγραμμάτων μέρος 6ον.

ξε δὲ ὁ Πρόδικος τοῖς Ἀθηναίοις οὕτω σοφὸς εἶναι ὥστε καὶ τὸ Προδίκου σοφώτερος παροιμιακῶς παρ' αὐτοῖς ὕστερον ἐλέγετο. Καὶ μὴν καὶ Πλάτων αὐτὸς οὐκ ἄνευ τινὸς ἐπαίνου πολλαχοῦ τοῦ ἀνδρὸς μέμνηται. Ἐποιεῖτο δὲ Πρόδικος καὶ ἐμμίσθους τινὰς ἐπιδείξεις τεχνικάς, ἐν αἷς ἥ τε δραχμιαία ἦν καὶ ἡ πεντηκοντάδραχμος «περὶ ὀνομάτων ὀρθότητος ἢ διαιρέσεως», παρὰ τοῦ πολίτου αὐτοῦ Σιμωνίδου τοῦ Κείου τὸ μάθημα παραλαβών, ὥς που Πλάτων ἔοικεν ἐν Πρωταγόρᾳ μαρτυρῶν (σ. 340, Ε.). Ταύτην δὲ τὴν μάθησιν καὶ Διονύσιος ὁ Ἀλικαρνασσεύς, «ἐκλογὴν ὀνομάτων» ἀποκαλῶν, Σιμωνίδῃ μάλιστα τῷ Κείῳ ὡς ἰδίαν προςνέμει. ἀκριβολογία δέ τις ἦν καὶ ἔστιν οὐ λεπτολογία πολυσχιδεστέρα πως τοῦ δέοντος περὶ τὴν τῶν ὀνομάτων αἵρεσιν. Ἄλλη δέ τις ἦν ἡ ὀ ν ο μ ά τ ω ν ὀ ρ θ ό τ η ς, ἣν Κρατύλος ὁ Ἡρακλείτειος ἐπεζήτει· «ὀ ν ό μ α τ ο ς γ ὰ ρ ὀ ρ θ ό τ η ς (κατὰ Κρατύλον) ἐστὶν αὕτη, ἥτις ἐνδείξεται οἷόν ἐστι τὸ πρᾶγμα.»

Ἔτι δὲ πρὸς τούτοις οὐ μόνον περὶ ὀρθοέπειαν ἢ ὀρθοῤῥημοσύνην, ὡς δ' ἄν τις μᾶλλον κυριολεξίαν εἴποι καὶ τῶν συνωνύμων διαίρεσιν ἀκριβεστέραν ὁ Πρόδικος ἐσπούδαζεν (ιϐ), ἀλλὰ καὶ λόγους ἄλλους ἐς κάλλος μὴ ὅτι ψιλῶς γε τὸ ἐπιπολῆς, ἀλλὰ καὶ εἰς βάθος γνώμης τε καὶ συναισθήσεως ἀξιάγαστον ὄντως ἤσκησεν, ὧνπερ κάλλιστος καὶ γενναιότατός ἐστιν ὁ περὶ αἱρέσεως βίου Ἡρακλέους, ἤ, ὥς περ Ξενοφῶν, τὸ περὶ

(ιϐ) Πρωτ. σ. τνη'. τμ'. τμκ'. Χαρμίδ. σ. ρξγ'. Κρατύλ. σ. τπδ'. ὅτι καὶ Θουκυδίδης τὴν Προδίκου τέχνην ἐζήλωσεν φησὶν ὁ Μαρκελλῖνος ἐν βίῳ Θουκυδίδου. Ἔπιθι Σπεγγελίου, art. script. P. 54 κ.ε.ξ.

παιδεύσεως τοῦ Ἡρακλέους σύγγραμμα, ὅπερ καὶ ὧ ρ α ι ἐκαλεῖτο διὰ τὴν νεότητα καὶ ἥβην τὴν Ἡρακλέους πάντως (ιγ). Ταύτης δὴ τῆς ἐπιδείξεως τὸ κάλλιστον μέρος ὁ Ξενοφῶν ἐν τοῖς ἑαυτοῦ ἀπομνημονεύμασιν ἡμῖν διέσωσε, πολλαχοῦ, ὡς ἔοικεν, αὐτῇ σχεδὸν τῇ λέξει τοῦ Προδίκου κεχρημένος, ὥς που Φιλόστρατός τε ἤδη καί τινες τῶν νεωτέρων σοφῶν ἐπικυροῦσιν. Οὗτος δὴ ὁ λόγος τῶν πρεσβυτέρων σοφιστῶν φάσιν τε καὶ στάσιν ἐν τῷ βίῳ τὴν ἀρίστην ἐμφαίνει· δίκαιόν τε, οἶμαι, πᾶς ἄν τις ὁμολογήσειεν εἶναι μὴ μόνον τὰ σκιώδη μέρη πραγμάτων τε καὶ προσώπων ἑτεροζήλως θέλειν ἐλέγχειν, ἀλλὰ καὶ τὰ ἀνθηρὰ καὶ φαεινὰ ἐν τῇ τοῦ ὅλου κρίσει ὁμοίως παραλαμβάνειν· τοῦτόν τε τὸν λόγον, εἴγε τοὺς τοῦ θειοτάτου Πλάτωνος ἐξέλοις, μηδενὸς ἂν τῶν πάλαι μνημονευομένων δεύτερον φανῆναι, ἄλλαις τε πολλαῖς χάρισι πεπυκασμένον καὶ ἠθικῆς μεγαλοπρεπείας ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς ἀποπνέοντα. Καλὸν οὖν ἡμῖν ἔδοξεν αὐτὸν ἐνταῦθα παραθέσθαι ἵνα πρὸς τοῖς ἄλλοις καὶ τοῦτο σαφέστερον γένηται, ὡς οὐχ ἡ χρῆσις τῶν πρόσθεν σχημάτων καὶ τρόπων κ α τ α γ έ λ α σ τ ο ν τὸν λόγον ἀπεργάζεται, ἀλλ᾽ ὑπερβολικὴ, ἐπιτετηδευμένη, χωρὶς μὲν νοημάτων, χωρὶς δὲ συναισθήσεως βαθείας, κακόζηλος χρῆσις σχημάτων « εὐέπειαι λόγων, πομπὴ καὶ ῥημάτων ἀγλαϊσμὸς » αἱ λήκυθοι αἱ Γοργίειοι, αἱ Πώλειοι ψυχρὸν καὶ ἀηδῆ τὸν λόγον παρέχονται, ἡ δ᾽ ἐλευθέρα καὶ ὡς ἔπος εἰπεῖν ἀπὸ τοῦ αὐτομάτου χρῆ-

(ιγ) Πλάτ. συμπ. σ. ροζ', 6. « Ἡρακλέους ἐπαίνους ξυγγράφειν, ὥσπερ ὁ βέλτιστος Πρόδικος. »

σις τέχνης, οἵαν καὶ Θουκυδίδης αὐτὸς ἐζήλωσεν, εἰκῆ τι κάλλος περὶ οὐσίαν ἀστατοῦν ἔμπεδον ποιεῖ καὶ ἔτι μᾶλλον ἐπαυξάνει· καὶ γὰρ τέχνην γνησίαν εἴποι τις ἂν μηθὲν ἄλλο εἶναι ἢ τὴν κατὰ φύσιν καὶ ἀναγκαίαν φάσιν παντὸς πράγματος καὶ λόγου, ἤτοι αὐτῆς γε τῆς οὐσίας τὸ εἶδος τὸ ὡς ἔγγιστα ἀληθές τε καὶ τέλεον.

Εἰσάγει δὲ ὁ μελισταγὴς Ξενοφῶν Σωκράτην Ἀριστίππῳ τῷ ἡδονικῷ ἐγκρατείας τε πέρι καὶ τρυφῆς ἤτοι ἀρετῆς τε καὶ κακίας διαλεγόμενον, ἄλλας τε γνώμας τῶν πάλαι ποιητῶν εἰς νουθέτησιν Ἀριστίππου καὶ φρένωσιν κατ' ἔθος τὸ Ἑλλήνων προφερόμενον καὶ δὴ καὶ τὸν περὶ Ἡρακλέους λόγον τοῦ Προδίκου ὡς ἐφεξῆς διεξερχόμενον·

«Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡςαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προςιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύ-

σεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι, κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτὴν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δ' ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. Πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διοίσῃ τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; ἡ δὲ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν. Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε, καὶ ἐγὼ ἥκω πρὸς σὲ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν

τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗ περ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον, εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι τῇ γνώμῃ ὑπηρετεῖν, ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. Καὶ ἡ κακία ὑπολαβοῦσα, εἶπεν, ὥς φησι Πρόδικος, ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. Καὶ ἡ ἀρετὴ εἶπεν, ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ

διψῆν πίνουσα, καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς κλίνας μαλακὰς, ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ. Οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ,τι ποιῇς ὕπνου ἐπιθυμεῖς· τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς σεαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα. Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς παὶ παρὰ ἀνθρώποις οἷς προςήκει, ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ

πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. Ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι. Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν. « Ξενοφ. ἀπομνημ. », α'. (*).

(*) Εἰ καὶ αἱ ἰδεῶν προσωποποιήσεις χωρὶς τῶν ἐπὶ μέρους αἰσθητῶν λαμβανομένων, ὥς γ' ἐπὶ τὸ πολὺ ψυχρότεραι αὐτῶν τε τῶν συμβόλων καὶ τῆς ἀλληγορίας φαίνονται, καθ' ὅσον περ ὁ νοῦς ἐν τούτοις μὲν τὰ παράλληλα ἓν πρὸς ἓν ἀντισταθμώμενος καὶ τρόπον τινὰ μαντευόμενος ἐγείρεταί πως καὶ ἐργασίᾳ φαιδρύνεται, ἐπὶ δὲ τῶν προσωποποιήσεων ἀμέσως τῷ καθόλου καὶ ἐπὶ πολλῶν κοινῷ ἐπιβάλλει, ὅπερ πρὸς ἑκάστην τῶν καλῶν τεχνῶν ἁμηγέπῃ ἀντίπαλον καθίσταται· αὕτη μέντοι ἡ τοῦ Προδίκου εἰκὼν οὕτω τῆς οὐσίας αὐτῆς ἅπτεται καὶ τοῦ καθόλου εἴδους ἐπιτυγχάνει, ὅπερ παρὰ τοῖς Ἕλλησιν ἡ ἀρετὴ καὶ ἡ κακία εἶχεν, ὥστε οὐδ' ὁτιοῦν τοὺς ἔτι καὶ νῦν δὴ ἀκούοντας ἀποκναίει, ὅσοι περ ἂν τύχωσιν ἑλληνικῆς ἡμμένοι παιδείας καὶ πραγμάτων ἱστορίας. Ἄξιον δ' ἔτι μνήμης καὶ τοῦτο οἰόμεθα ὅτι ζωγράφος τις τῶν ὡς ἀληθῶς μεγαλειοτάτων (περὶ

Εὐλόγως ἄρα ὁ σοφώτατος Οὐελκέριος τὸν Πρόδικον ὡς πολλῷ ἀμείνω, ἄνδρα ἀτεχνῶς γεράσμιον τῆς τῶν ἄλλων σοφιστῶν χορείας ἐξαίρειν προθυμεῖται, καλλίστου τε ὀνόματος ἠξίωσε, πρόδρομον Σωκράτους αὐτὸν ἀποκαλέσας.

Συνέγραψε δὲ Πρόδικος καὶ ἄλλας ὁμιλίας παραινετικὰς, περὶ τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθῶν καὶ τῆς χρήσεως αὐτῶν· περὶ γεωργίας· περὶ ζωῆς, θανάτου, καὶ ἀθανασίας· περὶ θεῶν· πάσας λόγου πολλοῦ ἀξίας καὶ εἰς τὸν πρακτικὸν βίον χρησιμωτάτας γενομένας.

Δ'. ΙΠΠΙΑΣ.

Ἱππίας ὁ Ἠλεῖος πολυμαθείᾳ πάντων τῶν ἄλλων σοφιστῶν μακρῷ προέχων, καίτοι μηθὲν αὐτῶν μεγαλαυχίᾳ τε καὶ ὑψηγορίᾳ ἀπολειπόμενος· ὡς ἀλαζὼν γὰρ καὶ κομπαστὴς φαίνεται ἐν ἀμφοτέροις τοῖς Πλάτωνι

οὐ γαλάτης τις ὡς ταύτης τῆς καλῆς τέχνης παντάπασιν ἰδιωτικῶς ἔχων ἀποφαίνεται, ὁ σοφὸς Κουσῖνος), τὸν δαιμόνιον Ῥουβένσιον λέγω, αὐτὴν ταύτην τὴν Ἡρακλέους αἵρεσιν τοῦ μέλλοντος βίου ὑπόθεσιν εἰκόνος γραπτῆς πεποίηται, ἥτις τὰ νῦν ἐν τῷ ἐπιφανεστάτῳ τόπῳ τῆς ἐν κλεινῇ Φλωρεντίᾳ τῶν ἀγαλμάτων στοᾶς ἀνάκειται. Οὗτος δὴ ὁ ἐν ζωγράφοις ἔνδοξος Ῥουβένσιος, καί τοι τὸν μῦθον συνθετώτερον ἴσως τοῦ δέοντος κατασκευάσας, οὕτω πρὸς τὴν καθόλου συναίσθησιν τοῦ ἀνθρώπου τὴν γραφὴν ἥρμοσεν, ὥστε οἵαν τε εἶναι τῆς τοῦ θεωμένου ψυχῆς παραπλησίως θιγγάνειν, ὥσπερ καὶ τοῦ ἀξιαγάστου Ἀλβέρτου τοῦ Δουρίου ὁ ἱππότης, ὑπόθεσις πολλῷ τοι ἐγγύτερον ἡμῶν τῶν νῦν ἀνθρώπων οὖσα. Τοῦτο μὲν δὴ τοῖς τὰ παλαιὰ βουλομένοις ζηλοῦν μέλημα ἔστω καὶ ἀγώνισμα, ἴσως οὐ τὸ τυχόν. Ἡμεῖς δέ γε τὰ πρόσθεν εἰρήκαμεν ἄλλου μὲν λόγου ἕνεκεν οὐδενὸς ἢ εἰς μνήμην τῷ ἐντευξομένῳ βουλόμενοι ἀνακαλέσαι ὡς οὐ παντὸς ἔργον τὸ εἶδος τοῦ λόγου ὅπερ Πρόδικος ἤσκησεν· ἀκροσφαλὲς γὰρ πάνυ ἐστὶ καὶ εἰς ψυχρολογίαν εὐχερέστατα, ὡς εἴπέρ τι καὶ ἄλλο ἀντιπίπτον.

ἀναγραφομένοις διαλόγοις, ἐν οἷς πρωταγωνιστὴς τοῦ λόγου εἰσάγεται (ιδ). ἐφίλει δὲ μάλιστα λόγους ποιεῖσθαι μαθηματικῆς ἐπιστήμης διδακτικούς, φυσικῆς τε καὶ ἀστρονομίας, ἔτι δὲ ἀρχαιολογίας τε πέρι καὶ ἱστορίας (ιε). Διὰ δὲ τοιούτων ἀγορεύσεων, εἰ μή τί γε ἄλλο, συνετέλεσε γοῦν εἰς τὸ ὠφελίμους τινὰς μαθήσεις παρὰ τῷ δήμῳ διαδοθῆναι.

(ιδ) Ἀμφότεροι γὰρ οἱ διάλογοι νοθείας γράφονται. τούτων δὲ ὁ μὲν περὶ τὴν τοῦ καλοῦ φύσιν πραγματεύεται, ὅπερ Ἱππίας, ὑπὸ Σωκράτους ἐρωτώμενος, τηνάλλως παντοίους διεξιὼν λόγους, οὐκ ἔχει ἀκριβῶς διορίσασθαι ὅ,τί ποτ' εἴη· διὸ καὶ ὁ διάλογος ἀνήνυτος λήγει καὶ ἀλυσιτελής. Ἱππίας δὲ ὁ ἐλάττων ἀποπειρώμενος ἀποδεῖξαι ὅτι ὁ ἐκ προνοίας ψευδόμενος κρείσσων εἴη τοῦ ἀπροβούλως ψευδομένου, καὶ ὁ ἑκουσίως ἀδικῶν κρείσσων τοῦ ἀκουσίως ἀδικοῦντος, οὐθὲν ἄλλο βούλεται ἢ τοῖς μεταρσίοις λεσχηνεύμασι τῶν σοφιστῶν ἀντειπεῖν καὶ ὡς γελοίους αὐτοὺς ἀπελέγξαι.

(ιε) Ἴδε Πλάτωνος Πρωταγόραν σ. τιε', γ'. τιη', ε'. — καὶ Ἱππίαν τὸν μείζονα σ. σπε', Γ, Δ. ἐν ᾧ φησὶν ὅτι Ἱππίας τῶν ἀνθρώπων ἡδέως πάνυ ἀκροωμένων, λόγους ποιεῖται « περὶ τῶν γενῶν τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων, καὶ τῶν κατοικίσεων, ὡς τὸ ἀρχαῖον ἐκτίσθησαν αἱ πόλεις, καὶ συλλήβδην πάσης τῆς ἀρχαιολογίας. »

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΠΕΡΙ ΤΩΝ ΙΔΕΟΛΟΓΙΚΩΝ ΣΥΣΤΗΜΑΤΩΝ.

§. Κ΄. *Μετάβασις ἐπὶ τὴν Σωκρατικὴν φιλοσοφίαν.*

Περὶ μὲν οὖν τῶν σοφιστῶν φαίη τις ἄν, ὡς ἐγῷμαι, ὅτι εὖ μὲν καὶ μετὰ λόγου ἐποίησαν, τὸν ἐνδιάθετον τοῦ ἀνθρώπου λόγον καὶ τὴν ἐλευθέραν συνείδησιν ὡς ἀρχὴν τῆς ἑαυτῶν θεωρίας ὑποβαλόμενοι· παρὰ λόγον δὲ, ὅτι τὴν πεπερασμένην καὶ ἐμπειρικὴν γνώμην ἑνὸς ἑκάστου ὡς κριτήριον τῆς περὶ τὰ ὄντα ἀληθείας ἀποφηνάμενοι, εἰκαίαν βούλησιν καὶ δόξαν ἑκάστου τῶν ἀνθρώπων ὡς τὸ τῆς ἀληθείας φῶς παρὰ θέμιν μεγαλύναντες. Πᾶς μὲν οὖν ὁμολογήσειεν ἂν ὡς ἐν παντὶ ἔθνει καιρός ποθ' ἥκει ἐν ᾧ ὁ λόγος ὁ ἐν ἀνθρώποις ἀνεγείρεται, καὶ αἱ παραδόσεις καὶ τὰ ἔκπαλαι νομιζόμενα καὶ καθεστῶτα τὸ μέχρι τοῦδε κῦρος καὶ τὴν δεσμεύουσαν δύναμιν ἀποβάλλουσιν· ὁ δὲ ἄνθρωπος τὸν λόγον παντὸς πράγματος ἀναδιφῶν, ἀξιοῖ πᾶν εἴτι τοῦ λοιποῦ μέλλει ἰσχύειν, ὑπ' αὐγὰς πρότερον σκοπηθὲν, ὡς λόγον ἔχον, ἀποδειχθῆναι. Καὶ τὴν ἀξίωσιν ταύτην κατὰ πάντα δικαίαν πᾶς ἄν τις ὁμολογήσειεν· ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου δίκαιος αὖ καὶ ὅστις ἐκεῖνον κωλῦσαι προθυμεῖται τοῦ τὴν ἑαυτοῦ βούλησιν καὶ γνώμην, ἀντὶ τῆς καθόλου, ὡς μέτρον πάντων πραγμάτων αὐθαιρέτως

καθιστάναι. τοιαύτη τις οὖν ἦν ἡ τοῦ Σωκράτους σχέσις πρὸς τοὺς σοφιστάς. Τὸ γὰρ τῶν σοφιστῶν δόγμα μέτρον πάντων χρημάτων τὸν ἄνθρωπον εἶναι λεγόντων, ἐπανώρθωσεν εἰπὼν ὅτι ἀληθῶς μὲν ὁ ἄνθρωπος πάντων χρημάτων μέτρον, ἀλλ' οὐχ ὁ ἰδίᾳ ἄνθρωπος καὶ ἡ εἰκαία αὐτοῦ ἐπιθυμία καὶ ἡδονὴ καὶ δόξα, ἀλλ' ὁ λογικὸς ἤτοι ὁ καθόλου ἄνθρωπος, ἐνί γε λόγῳ αὐτὸς ὁ ἄνθρωπος, ὁ αὐτοῦ τε τοῦ πράγματος ὀρθὴν ἔννοιαν ἔχων καὶ τῶν κατ' ἀνθυπόστασιν συμβεβηκότων καὶ σχέσεων τῶν ὄντων ἐπ' ἄλληλα, ὁ τὴν ὀρθὴν ἐκείνην ἔννοιαν ἐν λόγῳ τε καὶ ἔργῳ παντὶ ὑπογραμμοῦ δίκην ὑποβαλλόμενος ἄνθρωπος. Καὶ οὕτως ἄρα ἐν ἀνδράσι, τὸ πρὸς ἐνδιάθεσιν ἀνθρώπου τοὺς λόγους τῶν ὄντων σκοπεῖν κοινῇ προτιθεμένοις, κριτήριόν τι κατ' ἀνθυπόστασιν τῆς τε δόξης καὶ πράξεως ἑκάστου τέλος ὥρισται. Οὐδὲν ἄρα ἄλλο τῷ Σωκράτει, πρὸς τοὺς σοφιστὰς ἐναντιουμένῳ, ἀπελείπετο ποιῆσαι ἢ τὴν μετὰ λόγου τῶν ὄντων ἐπίσκεψιν ἅπαξ ἔναγχος ἐγερθεῖσαν, ὡς ἀμηχάνου ὄντος αὖθις αὐτὴν περιστεῖλαι, ἑκουσίως ἢ κατ' ἀνάγκην στέργοντα ἀποδεῖξαι ὅτι καὶ αὕτη εἰς τὸ αὐτὸ τέλος ἐπίσης ἄγει, εἰς ὅπερ καὶ ἡ μέχρι τοῦδε ἰσχύσασα πίστις ἡ ἄνευ σκέψεως καὶ ἡ ἀπαραίτητος ὑπακοὴ ἡ πρὸς τοὺς νόμους ἤγαγεν· ὅ,τε βαθὺς καὶ λόγον ἔχων ἀνὴρ ἀπὸ συνειδήσεώς τε καὶ γνώμης ἐλευθέρας παραπλησίως ἂν κρίνειν τε καὶ πράσσειν μανθάνοι, ὅπως καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων ἄλλῳ μὲν λόγῳ ἐν τῷ βίῳ οὐδενὶ ἑπόμενοι, εἰ μὴ ἤθεσί τε καὶ ἐθίμοις τοῖς νομιζομένοις (ιϛ).

(ιϛ) Πρβλ. καὶ Διογ. τ. Λ. Β, ξη'. (Ἀρίστιππος) « ἐρωτηθείς ποτε, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι; ἔφη· ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν,

§. ΚΑ'. ΣΩΚΡΑΤΗΣ.

α'. *Βίος καὶ χαρακτὴρ αὐτοῦ.*

Σωκράτης, « ἀνδρῶν ἁπάντων σοφώτατος, » ἐν κλειναῖς Ἀθήναις γεννηθεὶς, τῷ δ' ἔτει τῆς οζ' ὀλυμπιάδος, ἤτοι υξθ' ἔτεσι πρὸ τῆς τοῦ Θεοῦ ἐνανθρωπίσεως. Σωφρονίσκος δὲ ὁ πατὴρ αὐτοῦ τὴν τέχνην λιθουργὸς καὶ Φαιναρέτη ἡ μήτηρ μαῖα, ἧς Σωκράτης ἐν Πλάτωνος Θεαιτήτῳ χαριέντως πάνυ καὶ ἀστείως μνημονεύων, φησὶ περὶ ἑαυτοῦ, ὡς τὴν αὐτὴν τῇ μητρὶ ἐπιτηδεύοι τέχνην, τὴν ἐν λόγοις μαιευτικὴν (α). Περὶ δὲ τῆς νεότητος καὶ παιδείας αὐτοῦ πάνυ ὀλίγα ὑπὸ τῶν πάλαι ἡμῖν παραδέδοται. Λέγεται δὲ τὸ πρῶτον τὴν τοῦ πατρὸς τέχνην, ἀγαλματοποιίαν, ἀσκῆσαι· τούτῳ δὲ τῷ λόγῳ μαρτυρεῖ καὶ Παυσανίας ὁ περιηγητὴς, λέ-

ὁμοίως βιώσονται. » καὶ ἐν βιβλίῳ Ε, κ'. (Ἀριστοτέλης) « ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ τῆς φιλοσοφίας; ἔφη· τὸ ἀνεπιτάκτως ποιεῖν, ἅ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν. »

(α) Θεαίτ. σ. ρμθ', α. Σωκρ. εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι υἱὸς μαίας μάλα γενναίας τε καὶ βλοσυρᾶς, Φαιναρέτης; Θεαίτ. ἤδη τοῦτό γε ἤκουσα. Σωκρ. ἆρα καὶ ὅτι ἐπιτηδεύω τὴν αὐτὴν τέχνην ἀκήκοας; Θεαίτ. οὐδαμῶς. Σωκ. ἀλλ' εὖ ἴσθ' ὅτι· — ἐννόησον δὴ τὸ περὶ τὰς μαίας ἅπαν ὡς ἔχει, καὶ ῥᾷον μαθήσει, ὃ βούλομαι. Οἶσθα γάρ που ὅτι οὐδεμία αὐτῶν ἔτι αὐτὴ κυϊσκομένη τε καὶ τίκτουσα ἄλλας μαιεύεται, ἀλλ' αἱ ἤδη ἀδύνατοι τίκτειν. Θεαίτ. πάνυ μὲν οὖν. Σωκρ. αἰτίαν δέ γε τούτου φασὶν εἶναι τὴν Ἄρτεμιν, ὅτι ἄλοχος οὖσα τὴν λοχείαν εἴληχε. στερίφαις μὲν οὖν ἄρα οὐκ ἔδωκε μαιεύεσθαι ὅτι ἡ ἀνθρωπίνη φύσις ἀσθενεστέρα ἢ λαβεῖν τέχνην ὧν ἂν ᾖ ἄπειρος, ταῖς δὲ δι' ἡλικίαν ἀτόκοις προσέταξε, τιμῶσα τὴν αὐτῆς ὁμοιότητα. Θεαίτ. εἰκός. Σωκρ. οὐκοῦν καὶ τόδε εἰκός τε καὶ ἀναγκαῖον, τὰς κυούσας καὶ μὴ, γιγνώσκεσθαι μᾶλλον ὑπὸ τῶν μαιῶν ἢ τῶν ἄλλων; »

γων «Σωκράτης τε ὁ Σωφρονίσκου πρὸ τῆς ἐς τὴν ἀκρόπολιν ἐσόδου χαρίτων εἰργάσατο ἀγάλματα Ἀθηναίοις, καὶ ταῦτα μέν ἐστιν ὁμοίως ἅπαντα ἐν ἐσθῆτι(β).» Φέρονται δὲ ὡς διδάσκαλοι αὐτοῦ ἐν φιλοσοφίᾳ Ἀναξαγόρας τε καὶ Ἀρχέλαος (γ), ἀλλ' ὁ λόγος οὗτος οὐδεμιᾶς ἐστι πίστεως ἄξιος. ὅτι μὲν οὖν αὐτὸς ἐνίοις τῶν τηνικαῦτα ἐπὶ φιλοσοφίᾳ διαπρεπόντων προςωμίλει, ἐν οἷς ἦν καὶ Πρόδικος ὁ σοφὸς, οὐδ' ἀμφισβητήσιμόν ἐστιν· ὅτι γε μὴν οὐκ ἐξ ἰδίας τινὸς φιλοσοφικῆς αἱρέσεως προῆλθεν, οὐδὲ συνήθης τινὸς ἄλλου μαθητὴς φιλοσόφου ἐγένετο, ἀλλ' αὐτὸς ἀφ' ἑαυτοῦ ἰδίαν φιλοσοφικὴν μέθοδον ἐπενόησεν, αὐτός τέ ἐστιν ὁ διαβεβαιούμενος ἐν συμποσίῳ Ξενοφῶντος, λέγων «ἡμᾶς ὁρᾷς αὐτουργούς τινας τῆς φιλοσοφίας ὄντας,» καὶ πᾶς ἄν τις ἄλλος εἰκάσειεν αὐτὸ εἰκότως, τὸ καινότροπον τῆς φιλοσοφικῆς αὐτοῦ ὁμιλίας ἀνασκεψάμενος. Ἄλλο δὲ οὐδὲν σχεδὸν ἀκριβὲς ἴσμεν περὶ αὐτοῦ νέου ὄντος, ἢ ὅτι δὶς ἢ τρὶς στρατευσάμενος ἐπὶ καρτερίᾳ τε καὶ ἀνδρείᾳ πάντων διήνεγκεν. (ὅρα Πλάτων. συμπόσ. σ. σιθ', ε'. . . — καὶ Διογ. Λ. Β, κβ'. . .) ἐν δὲ τοῖς συγγράμμασι τῶν Σωκρατικῶν φαίνεται ἤδη ἀνὴρ πρεσβύτερος, καὶ ἐκ λόγων τε καὶ ἔργων τηλικούτῳ γε ὄντι τὴν ἡλικίαν αὐτῷ εἰργασμένων ἡ λαμπρὰ καὶ θεσπεσία ἰδέα τοῦ χαρακτῆρος αὐτοῦ ἀπετελέσθη, ἥπερ δι' αἰώνων ὑμνουμένη ἐς ἡμᾶς ἀφῖκται. Πλάτων δὲ καὶ Ξενοφῶν καὶ πάντες οἱ ἄλλοι ὁμιληταὶ αὐτοῦ μιᾷ φωνῇ ὁμολογοῦ-

(β) Παυσαν. Θ, λε'. ζ'. — τὰ δ' ἐν ὑστέρῳ χρόνῳ πεποιημένα τῶν χαρίτων ἀγάλματα ἦσαν γυμνά.

(γ) Δ. Λ. Β, ιθ', κγ'. με'.

σιν ὅτι πάντων ὧν ἐπειράθησαν ἀνδρῶν ὁ Σωκράτης ἄριστος ἦν καὶ φρονιμώτατος καὶ δικαιότατος. « Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν οὔτε λέγοντος ἤκουσεν. » ἔτι δὲ πρὸς τῇ εὐσεβείᾳ καὶ τῇ δικαιοσύνῃ, ἣν μετὰ πρᾳότητος καὶ μετριοφροσύνης ἐκέκτητο, « πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν, εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος, ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. » ἀφιλοκερδέστατος πάντων καὶ πρὸς πάντας κινδύνους ἀκλόνητος τὸ ἦθος καὶ ἄτρεστος. Ἀλλὰ πρὸς ταύτας τὰς καλλίστας καὶ λαμπροτάτας τῆς ψυχῆς ἀρετὰς οὐ πάνυ τι συνᾷδον τὸ τῆς ἐξωτερικῆς μορφῆς αἶσχος ἐφαίνετο. ὤμους μὲν γὰρ εὐρεῖς εἶχε, γαστέρα δὲ προέχουσαν, ὀφθαλμοὺς ἐπιπολαίους, μυκτῆρας δὲ ἀναπεπταμένους καὶ ῥῖνα σιμὴν, στόμα δὲ μέγα καὶ χείλη παχέα καὶ ἑνὶ λόγῳ πάντα τὰ γνωρίσματα τῆς φιληδονίας καί τι ἠλιθιότητος μετέχον. ὅθεν καὶ οἱ ἑταῖροι τὰς τῆς ψυχῆς αὐτοῦ ἀρετὰς ἐγκωμιάζοντες, περὶ τοῦ εἴδους ἔλεγον ὡς μάλα προσεμφερὲς αὐτὸ εἴη τῷ τῶν Σειληνῶν καὶ Σατύρων εἴδει. καὶ αὐτὸς δὲ ὁ Σωκράτης πρὸς Κριτόβουλον χαριεντιζόμενος, λέγει ἐν τῷ συμποσίῳ τοῦ Ξενοφῶντος « ὅτι καὶ Ναϊάδες, θεαὶ οὖσαι τοὺς Σειληνοὺς ἐμοὶ ὁμοιοτέρους τίκτουσιν ἢ σοί; » Ἐπεὶ οὖν ἡμῖν δοκεῖ πολλῷ κάλλιον ἄν τινα τὸ Σωκράτους ἦθος ἔχειν διαγνῶναι τὰ ἐν συμποσίῳ τοῦ θείου Πλάτωνος περὶ Σωκράτους τῷ Ἀλκιβιάδῃ εἰρημένα ἀναγνόντα, μεταγράφομεν αὐτολεξεὶ τὸ καλλιπρεπέστατον καὶ χαριέστατον ἐγκώμιον, εἴτι ἀκολαστό-

τερον ὑπαντιάζει, τοῦτο παρασιωπῶντες. Ὧδε γὰρ Ἀλκιβιάδης λαλίστατος ἀνθρώπων παρὰ πότον διηγεῖται· «Σωκράτη δ' ἐγὼ ἐπαινεῖν, ὦ ἄνδρες, οὕτως ἐπιχειρήσω, δι' εἰκόνων. Οὗτος μὲν οὖν ἴσως οἰήσεται ἐπὶ τὰ γελειότερα, ἔσται δ' ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα, οὐ τοῦ γελοίου. Φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς Σειληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕςτινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ δίχα διοιχθέντες, φαίνονται ἔνθοδεν ἀγάλματα ἔχοντες θεῶν. καὶ φημὶ αὖ ἐοικέναι αὐτὸν τῷ Σατύρῳ τῷ Μαρσύᾳ. ὅτι μὲν οὖν τό γε εἶδος ὅμοιος εἶ τούτοις, ὦ Σώκρατες, οὐδ' αὐτὸς δήπου ἀμφισβητήσεις· ὡς δὲ καὶ τἆλλα ἔοικας, μετὰ τοῦτο ἄκουε. Ὑβριστὴς εἶ· ἢ οὔ; ἐὰν γὰρ μὴ ὁμολογῇς, μάρτυρας παρέξομαι. ἀλλ' οὐκ αὐλητής; πολύ γε θαυμασιώτερος ἐκείνου· ὁ μέν γε δι' ὀργάνων ἐκήλει τοὺς ἀνθρώπους τῇ ἀπὸ τοῦ στόματος δυνάμει, καὶ ἔτι νυνὶ ὃς ἂν τὰ ἐκείνου αὐλῇ· ἃ γὰρ Ὄλυμπος ηὔλει, Μαρσύου λέγω τούτου διδάξαντος. τὰ οὖν ἐκείνου ἐάν τε ἀγαθὸς αὐλητὴς αὐλῇ, ἐάν τε φαύλη αὐλητρὶς, μόνα κατέχεσθαι ποιεῖ καὶ δηλοῖ τοὺς τῶν θεῶν τε καὶ τελετῶν δεομένους διὰ τὸ θεῖα εἶναι. σὺ δ' ἐκείνου τοσοῦτον μόνον διαφέρεις, ὅτι ἄνευ ὀργάνων ψιλοῖς λόγοις ταὐτὸν τοῦτο ποιεῖς. Ἡμεῖς γοῦν ὅταν μέν του ἄλλου ἀκούωμεν λέγοντος καὶ πάνυ ἀγαθοῦ ῥήτορος ἄλλους λόγους, οὐδὲν μέλει ὡς ἔπος εἰπεῖν, οὐδενί· ἐπειδὰν δὲ σοῦ τις ἀκούῃ ἢ τῶν σῶν λόγων, ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος ᾖ ὁ λέγων, ἐάν τε γυνὴ ἀκούῃ, ἐάν τε ἀνὴρ, ἐάν τε μειράκιον, ἐκπεπληγμένοι ἐσμὲν καὶ κατεχόμεθα. Ἐγὼ γοῦν, ὦ ἄνδρες, εἰ μὴ ἔμελλον κομιδῇ δόξειν μεθύειν, εἶπον ὀμόσας ἂν

ὑμῖν, οἷα δὴ πέπονθα αὐτὸς ὑπὸ τῶν τούτου λόγων καὶ πάσχω ἔτι καὶ νυνί. Ὅταν γὰρ ἀκούω, πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιώντων ἥ τε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων τῶν τούτου· ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ αὐτὰ πάσχοντας. Περικλέους δὲ ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων εὖ μὲν ἡγούμην λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον, οὐδὲ τεθορύβητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει ὡς ἀνδραποδῳδῶς διακειμένου. Ἀλλ' ὑπὸ τουτουὶ τοῦ Μαρσύου πολλάκις δὴ οὕτω διετέθην, ὥστε μοι δόξαι μὴ βιωτὸν εἶναι ἔχοντι ὡς ἔχω. Καὶ ταῦτα, ὦ Σώκρατες, οὐκ ἐρεῖς ὡς οὐκ ἀληθῆ. καὶ ἔτι γε νῦν ξύνοιδα ἐμαυτῷ ὅτι, εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν καρτερήσαιμι, ἀλλὰ ταὐτὰ ἂν πάσχοιμι. ἀναγκάζει γάρ με ὁμολογεῖν ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι, ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ δ' Ἀθηναίων πράττω. Βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενος τὰ ὦτα οἴχομαι φεύγων, ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ καταγηράσω. Πέπονθα δὲ πρὸς τοῦτον μόνον ἀνθρώπων, ὃ οὐκ ἄν τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι, τὸ αἰσχύνεσθαι ὁντινοῦν· ἐγὼ δὲ τοῦτον μόνον αἰσχύνομαι. ξύνοιδα γὰρ ἐμαυτῷ ἀντιλέγειν μὲν οὐ δυναμένῳ ὡς οὐ δεῖ ποιεῖν, ἃ οὗτος κελεύει, ἐπειδὰν δὲ ἀπέλθω, ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. δραπετεύω οὖν αὐτὸν καὶ φεύγω, καὶ ὅταν ἴδω, αἰσχύνομαι τὰ ὡμολογημένα· καὶ πολλάκις μὲν ἡδέως ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα ἐν ἀνθρώποις· εἰ δ' αὖ τοῦτο γένοιτο, εὖ οἶδα ὅτι πολὺ μεῖζον ἂν ἀχθοίμην· ὥστε οὐκ ἔχω ὅ,τι χρήσομαι τούτῳ τῷ ἀνθρώπῳ. Καὶ ὑπὸ μὲν δὴ τῶν αὐλημάτων καὶ ἐγὼ καὶ ἄλλοι πολλοὶ τοιαῦτα πεπόνθασιν ὑπὸ τοῦδε τοῦ Σατύρου· ἀλλὰ δὴ ἐμοῦ ἀκούσατε ὡς ὅμοιός τ' ἐστὶν

οἷς ἐγὼ εἴκασα αὐτὸν καὶ τὴν δύναμιν ὡς θαυμασίαν ἔχει· εὖ γὰρ ἴστε ὅτι οὐδεὶς ὑμῶν τοῦτον γιγνώσκει· ἀλλ' ἐγὼ δηλώσω, ἐπείπερ ἠρξάμην. ὁρᾶτε γὰρ ὅτι Σωκράτης ἐρωτικῶς διάκειται τῶν καλῶν καὶ ἀεὶ περὶ τούτους ἐστὶ καὶ ἐκπέπληκται, καὶ αὖ ἀγνοεῖ πάντα καὶ οὐδὲν οἶδεν· ὡς τὸ σχῆμα αὐτοῦ τοῦτο οὐ σειληνῶδες; σφόδρα γε. τοῦτο γὰρ οὗτος ἔξωθεν περιβέβληται, ὥσπερ ὁ γεγλυμμένος Σειληνός· ἔνδοθεν δὲ ἀνοιχθεὶς πόσης οἴεσθε γέμει, ὦ ἄνδρες ξυμπόται, σωφροσύνης; Ἴστε ὅτι οὔτ' εἴτις καλός ἐστι μέλει αὐτῷ οὐδέν, ἀλλὰ καταφρονεῖ τοσοῦτον ὅσον οὐδ' ἂν εἷς οἰηθείη, οὔτ' εἴ τις πλούσιος, οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων τῶν ὑπὸ πλήθους μακαριζομένων. ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτήματα οὐδενὸς ἄξια καὶ ἡμᾶς οὐδὲν εἶναι, εἰρωνευόμενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους διατελεῖ· σπουδάσαντος δὲ αὐτοῦ καὶ ἀνοιχθέντος, οὐκ οἶδα εἴ τις ἑώρακε τὰ ἐντὸς ἀγάλματα. ἀλλ' ἐγὼ ἤδη πότ' εἶδον, καί μοι ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυμαστὰ, ὥστε ποιητέον εἶναι ἐν βραχεῖ ὅ,τι κελεύοι Σωκράτης. — **Καὶ** μετὰ ταῦτα στρατεία ἡμῖν εἰς **Ποτίδαιαν** ἐγένετο κοινὴ καὶ ξυνεσιτοῦμεν ἐκεῖ· πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· ὁπόταν γοῦν ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρατείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔντ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν, τά τ' ἄλλα καὶ πίνειν, οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει, καὶ ὃ πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι· πρὸς δὲ αὖ τὰς

τοῦ χειμῶνος καρτερήσεις (δεινοὶ γὰρ αὐτόθι χειμῶνες) θαυμάσια εἰργάζετο τά τε ἄλλα, καί ποτε ὄντος τοῦ πάγου οἵου δεινοτάτου καὶ πάντων ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἤ, εἴτις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦτον, οἷόν περ καὶ πρότερον εἰώθει φορεῖν, ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. Οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν, καὶ ταῦτα μὲν δὴ ταῦτα·

οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ

ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυννοήσας γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν, καὶ ἐπειδὴ οὐ προὐχώρει αὐτῷ, οὐκ ἀνίει, ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη ἦν μεσημβρία, καὶ ἄνθρωποι ᾐσθάνοντο, καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε. τελευτῶντες δέ τινες τῶν Ἰώνων ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες, (καὶ γὰρ θέρος τότε ἦν) χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν ἐν τῷ ψύχει καθηῦδον, ἅμα δὲ ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέσχεν· ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ. Εἰ δὲ βούλεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦναι. ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, οὐκ ἐθέλων τετρωμένον ἀπολιπεῖν, ἀλλὰ ξυνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ· καὶ ἐγὼ μὲν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς

στρατηγούς, καὶ τοῦτό γέ μοι οὔτε μέμψει οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν. Ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσασθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπεδον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα· ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν εὐθὺς παρακελεύομαί τε αὐτοῖν θαῤῥεῖν καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ. Ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ· αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ᾽ ἵππου εἶναι· πρῶτον μὲν ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοι γε ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο, καὶ ἐκεῖ διαπορεύεσθοι ὥςπερ καὶ ἐνθάδε, βρενθυόμενος καὶ τὼ ᾽φθαλμὼ παραβάλλων, ἠρέμα περισκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόῤῥωθεν ὅτι, εἴτις ἅψεται τούτου τοῦ ἀνδρὸς, μάλα ἐῤῥωμένως ἀμυνεῖται. διὸ καὶ ἀσφαλῶς ἀπήει καὶ οὗτος καὶ ὁ ἕτερος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι Πολλὰ μὲν οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια, ἀλλὰ τῶν μὲν ἄλλων ἐπιτηδευμάτων τάχ᾽ ἄν τις καὶ περὶ ἄλλου τοιαῦτα εἴποι, τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι, μήτε τῶν παλαιῶν μήτε τῶν νῦν ὄντων, τοῦτο ἄξιον παντὸς θαύματος. Οἷος γὰρ Ἀχιλλεὺς ἐγένετο, ἀπεικάσειεν ἄν τις καὶ Βρασίδαν καὶ ἄλλους, καὶ οἷος αὖ Περικλῆς, καὶ Νέστορα καὶ Ἀντήνορα· εἰσὶ δὲ καὶ ἕτεροι· καὶ τοὺς ἀλ-

λους κατὰ ταῦτ' ἄν τις ἀπεικάζοι· οἷος δὲ ουτοσὶ γέγονε τὴν ἀτοπίαν ἄνθρωπος, καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ, οὐδ' ἐγγὺς ἂν εὕροι τις ζητῶν, οὔτε τῶν νῦν οὔτε τῶν παλαιῶν, εἰ μὴ ἄρα οἷς ἐγὼ λέγω ἀπεικάζοι τις αὐτὸν, ἀνθρώπων μὲν μηδενὶ, τοῖς δὲ Σειληνοῖς καὶ Σατύροις, αὐτόν τε καὶ τοὺς λόγους. Καὶ γὰρ οὖν καὶ τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον, ὅτι καὶ οἱ λόγοι αὐτοῦ ὁμοιότατοί εἰσι τοῖς Σειληνοῖς τοῖς διοιγομένοις. Εἰ γὰρ ἐθέλει τις τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι τὸ πρῶτον· τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται, Σατύρου ἄν τινα ὑβριστοῦ δοράν· ὄνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν ταὐτὰ φαίνεται λέγειν, ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε. διοιγομένους δὲ ἰδὼν αὖ τις καὶ ἐντὸς αὐτῶν γιγνόμενος πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους εὑρήσει τῶν λόγων, ἔπειτα θειοτάτους καὶ πλεῖστ' ἀγάλματ' ἀρετῆς ἐν αὐτοῖς ἔχοντας καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον δὲ ἐπὶ πᾶν ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγαθῷ ἔσεσθαι.»

Καλλιτεχνικὸν μνημεῖον τῆς ἀνθρωπότητος ὅλης ὅρα, φίλτατε ἀναγνῶστα, μηδὲν μηδέποτ' εἴπῃς ἄλλο οὕτως ἐκλάμψαν, ὥςπερ τοῦτο τὸ συμπόσιον τοῦ θείου Πλάτωνος· οὐδὲν οὐδέποτε οὕτω δαιμόνιον ἀνδρὸς μεγάλου ἐγκώμιον, τῷ ἐγκωμιαζομένῳ οὕτως εἰς πάντα ἁρμόζον ἐγράφη, ἐξ ὅτου ἄνθρωποι ὑπ' ἀκτῖνα ἡλίου γνησίᾳ ἐξ ἀντιπάλων ἡρμοσμένῃ τέχνῃ ἀγάλλονται, καλῇ τε καλῶν καὶ χαριέντων νίκῃ εὐφραίνονται.

Ἔτι δὲ πρὸς τούτοις ἐν τούτῳ τῷ συμποσίῳ ὁ Σω-

κράτης μηδ' ὑπέρμετρον πότον εὐλαβουμένῳ ἔοικεν ἀνδρὶ, εἴποτε εἰς τοῦτο ὑπὸ τῶν συνόντων ἀναγκασθείη· ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἡδονῇ ὢν, ἐντὸς ἑαυτοῦ καὶ μάλα ἔμφρων ἕως τέλους παραμένει. ἐπεισδραμόντων γὰρ κωμαστῶν παμπόλλων εἰς τοὺς πρότερον συμποσιάζοντας θορύβου τε γενομένου καὶ πάντων ἤδη ἀναγκαζομένων σὺν οὐδενὶ κόσμῳ πάμπολυν οἶνον πίνειν, τὸν μὲν Ἐρυξίμαχον καὶ τὸν Φαῖδρον « καὶ ἄλλους τινὰς ἔφη ὁ Ἀριστόδημος οἴχεσθαι ἀπιόντας οἴκαδε, ἓ δὲ ὕπνον λαβεῖν, καὶ καταδαρθεῖν πάνυ πολὺ, ἅτε μακρῶν τῶν νυκτῶν οὐσῶν, ἐξεγρέσθαι δὲ πρὸς ἡμέραν ἤδη ἀλεκτρυόνων ᾀδόντων, ἐξεγρόμενος δὲ ἰδεῖν τοὺς μὲν ἄλλους καθεύδοντας καὶ οἰχομένους, Ἀγάθωνα δὲ καὶ Ἀριστοφάνη καὶ Σωκράτη ἔτι μόνους ἐγρηγορέναι καὶ πίνειν ἐκ φιάλης μεγάλης ἐπὶ δεξιά. τὸν οὖν Σωκράτη αὐτοῖς διαλέγεσθαι. καὶ τὰ μὲν ἄλλα ὁ Ἀριστόδημος οὐκ ἔφη μεμνῆσθαι τῶν λόγων· οὔτε γὰρ ἐξ ἀρχῆς παραγενέσθαι ὑπονυστάζειν τε· τὸ μέν τοι κεφάλαιον ἔφη προσαναγκάζειν τὸν Σωκράτη ὁμολογεῖν αὐτοὺς τοῦ αὐτοῦ ἀ ν δ ρ ὸ ς εἶναι κωμῳδίαν καὶ τραγῳδίαν ἐπίστασθαι ποιεῖν, καὶ τὸν τέχνῃ τραγῳδοποιὸν ὄντα καὶ κωμῳδοποιὸν εἶναι. Ταῦτα δὴ ἀναγκαζομένους αὐτοὺς καὶ οὐ σφόδρα ἑπομένους νυςάζειν· καὶ πρῶτον μὲν καταδαρθεῖν τὸν Ἀριςοφάνη, ἤδη δὲ ἡμέρας γιγνομένης τὸν Ἀγάθωνα. Τὸν οὖν Σωκράτη κατακοιμήσαντ' ἐκείνους, ἀναςάντα ἀπιέναι, καὶ αὐτὸς ὥςπερ εἰώθει ἕπεσθαι, καὶ ἐλθόντα ἐς Λύκειον, ἀπονιψάμενον ὡς ἄλλοτε τὴν ἄλλην ἡμέραν διατρίβειν, καὶ οὕτω διατρίψαντα εἰς ἑσπέραν οἴκοι ἀναπαύεσθαι.» Αὕτη δὴ οὖν ἡ λεγομένη ἀτοπία τοῦ ἀνδρὸς, ᾗ γε πάντας τοὺς ἑαυτῷ προςιόντας διαφερόν-

τως προςήγετο. θαυμάσιον δέ τι χρῆμα ἦν αὐτῷ προςιδιάζον καὶ τὸ θρυλλούμενον δαιμόνιον, ὅπερ αὐτὸς ἑαυτοῦ προΐστασθαι ἔλεγεν ἐπὶ παντὸς ἔργου ἀδήλου ὅπως ἀποβήσοιτο, τὰ βέλτιστα ἑαυτῷ ἀεὶ συμβουλεῦον. τοῦτο δὴ τὸ δαιμόνιον λέγων, οὔτοι τοιοῦτον ὑπονοεῖν ἔοικεν, οἷόν περ ἔνιοι τῶν μετ᾿ αὐτὸν ἐδόξαζον, ὂν προσωπικὸν ἢ πνεῦμά τι αὐτοτελὲς ἔξωθέν ποθεν αὐτῷ ἐπιφοιτῶν ἀλλὰ μαντεῖόν τι ἐσωτερικὸν ἢ φωνὴν ἐν αὐτῷ γιγνομένην, ἥ περ ὡς θεία ἐπίπνοια τὰ μέλλοντα ἔσεσθαι αὐτῷ ἐσήμαινε, μηδὲν περὶ τῶν ἐν φιλοσοφίᾳ οὕτως ἢ ἄλλως ἐχόντων αὐτῷ εἰςηγουμένη, ἀλλὰ μόνον εἴπερ ἔργον οἱονδή τι ποιητέον εἴη ἢ μὴ ποιητέον, εἰ βούλευμά τι ἢ ἐπιχείρημα καλῶς ἢ κακῶς ἐν τῷ βίῳ μέλλοι ἀποβήσεσθαι (ε).

Οὔτε ἐνταῦθα ὁ σοφὸς Σουεγλέριος οὔτε ἐν τῇ ἀξιολογωτάτῃ συνόψει αὐτοῦ τῆς ὅλης ἱστορίας τῆς φιλοσοφίας τὰ περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους τῇ φαεινῇ δυάδι τῶν ὁμιλητῶν τοῦ φιλοσόφου ἡμῖν παραδοθέντα ἀκριβῶς ἀλλήλων διαστέλλει. Ξενοφῶν μὲν γάρ φησι περὶ τοῦ δαιμονίου ὡς προσημαίνοι τῷ Σωκράτει τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν. Ἀλλ᾿ ἔοικεν ὁ Ξενοφῶν τοῦ Σωκρατικοῦ δαιμονίου τὸ εἰς τὸν καθ᾿ ἡμέραν βίον χρήσιμον μέρος ὂν καὶ λυσιτελὲς καί, ὡς ἄν τις εἴποι τὴν νεαρὰν φάσιν αὐτοῦ ἐν νῷ εἰληφέναι. ἀπὸ παιδὸς μὲν γὰρ ἤρξατο τῇ βαθείᾳ τοῦ Σωκράτους ψυχῇ αὕτη ἡ μαντικὴ φωνὴ ἐγγίγνεσθαι, ὁσημέραι δὲ ἐσωτερικώτερον καὶ πνευματικώτερον βίον διάγοντι αὐτῷ τελεώτερον καὶ θειότερον καὶ τὸ δαιμόνιον ἐγίγνετο. οὕτω μὲν οὖν ὁ πρακτικὸς Ξενοφῶν ὡς προτρέπον τε ἅμα εἰς ἔργα, ἀπ᾿ ἄλλων δ᾿ αὖ ἔργων ἀποτρέπον αὐτὸ ἐκλαμ-

(ε) Πρβλ. τοῦ αὐτοῦ συγγραφέως τὴν ἐν συνόψει ἱστορίαν τῆς φιλοσοφίας, σ. 29.

βάνει. οὐχ οὕτω μέντοι ὁ θεῖος Πλάτων· πανταχοῦ γὰρ, οὗ μνείαν τοῦ δαιμονίου ποιούμενον τὸν Σωκράτη εἰσάγει, φησὶν ὡς οὐδέποτ' ἦν αὐτὸν εἰς ἔργα π ρ ο τ ρ έ π ο ν, ἀεὶ δ' ἀπ' ἔργων ἀ π ο τ ρ έ π ο ν. τοῦτο δ'ἔχειν βάθος δοκεῖ μοι ὡς ἀληθῶς θαυμάσιον, ὅπερ ὡς εἰκὸς, τὸν Ξενοφῶντα διέλαθεν· καὶ γὰρ ὁσάκις ἂν ὅ,τε νοῦς ὁ ἀνθρωπικὸς καὶ ὁ λόγος, ἀμφότεροι ὅριον καὶ πέρας ἔχοντες τὸ ἑκάστοθ' ὑπάρχον ἐπιστητόν, ἱκανοὶ εἴησαν ἔργον τι ἐν τῷ βίῳ πραχθησόμενον δεόντως δικαιολογῆσαι, τότε ὁ ἐν ἡμῖν ἄρχων ὁ ἀνώτατος, ἡ ὑψίστη τοῦ θείου συναίσθησις, ἡ τὸν ὑπέρτατον νόμον τὸν ἠθικὸν π ρ ώ τ ω ς ἡμῖν ἐνεργαζομένη, σιγᾷ καὶ σιγῶσα οὐκ ἐναντιοῦται τῷ λόγῳ τῷ εἰς πρᾶξιν ἡμᾶς, ἤτοι τὴν ἡμετέραν βούλησιν ἐφορμῶντι. ἐπὰν μέντοι ὁ μὲν νοῦς καὶ ὁ λόγος, καθ' ἣν γε πεῖραν ἔχει πεπερασμένην, μηδεμίαν ἀφορμὴν διορᾷ ἀπὸ τοῦ μέλλοντος ἔργου ἡμᾶς ἀποτρέψαι, οὗτος δὲ ὁ λόγος μὴ οἷός τε ᾖ τὸ τῆς ψυχῆς ὄμμα τὸ θεῖον ἐν γαλήνῃ κατακοιμίσαι, τότε ὡς ἄγρυπνος φύλαξ ἡ ψυχὴ ἄφνω ἐγείρεται, φωνὴν ἡμῖν ἐνδοτάτω ἐμποιοῦσα, κελευστικῶς πάνυ τὴν πρᾶξιν ἀπαγορεύουσαν, κἂν ὁ ἐν ἡμῖν λόγος ὁ ἐποπτικὸς τὸ τῆς ἀποτροπῆς αἴτιον ἔσθ' ὅτε μὴ σθένῃ εὑρίσκειν. τοῦτό ἐστι τὸ τοῦ Σωκράτους δαιμόνιον, συναίσθησίς τις βαθυτάτη, οὐκ ἄνευ τοῦ λόγου, οὐ γὰρ οὖν, ἀλλ' ὑπὲρ τὸν ἑκάστοτε λόγον τοῦ ὡς ἀληθῶς γε Ὄντος ἁπτομένη, ἡ τὸν ὑπέρτατον ἠθικὸν νόμον ἡμῖν ἐνδιδοῦσα, τὴν ἔνδον κελευστικὴν τοῦ Θεοῦ φωνὴν, περὶ τῶν ἀρίστων ἀποφαινομένην, ἥτις ἐστὶν ἡ κατ' ἐξοχὴν θρησκευτικότης τοῦ ἀνθρώπου ἡ τὴν ὕπαρξιν τοῦ Θεοῦ ἡμῖν διαπρυσίως ἐξαγγέλλουσα. Εἰ δὲ τοῦτο τὸ μαντικὸν σημεῖον ὁ Σωκράτης πρὸς τὰ ἐν τῷ πρακτικῷ βίῳ καλῶς ἢ κακῶς ἑκάστοτε ἀποβησόμενα ἀναφέρει, οὐδεὶς λόγος τούτου γε ἕνεκα χωρίζειν αὐτὸ τῆς ὑψίστης τοῦ Ἀληθοῦς συναισθήσεως, ἐξ ἧς γε διὰ τοῦ Λόγου ὁ κράτιστος ἠθικὸς νόμος ἡμῖν, τῇ ἡμετέρᾳ βουλήσει, ἐγκελεύεται. καὶ γὰρ πάντες που ἴσμεν ὡς Σωκράτης περὶ πάντα ἄλλως τε ε ὐ δ α ι μ ο ν ι κ ὸ ς φαί-

νεται καὶ πρὸς πρακτικούς τινας ἀνθρώπους διαλεγόμενος.

Τῷ δὲ σοφῷ Σελλερίῳ οὐδ' ὁπωστιοῦν ἡμεῖς γε προστιθέμεθα οἰομένῳ μηδὲν ἄλλο γενέσθαι τὸ Σωκρατικὸν δαιμόνιον ἢ αἴσθημά τι ἀσαφὲς, ὁρμὴν ἔμφυτον, ἢ ἐσωτερικόν τινα προςεθισμὸν καὶ οἱονεὶ ἕξιν πολυχρόνιον ἢ αὐτογνωσίαν καὶ ἰδίαν Σωκράτει οὖσαν σύνεσίν τινα περὶ τὰ ἐν τῷ πρακτικῷ βίῳ εὖ ἢ κακῶς ἀποβαίνοντα, εἰ βούλει, καὶ πάνυ ἀτελῆ, ὡς μαντοσύνης μόριόν τι μετέχουσαν. οὕτω γὰρ ἀφθόνως πάνυ ἑρμηνεύων ὁ σοφὸς ἀνὴρ, ἀντιφάσει ἡμῖν δοκεῖ περιπίπτειν, τὴν τοῦ Ἑγέλου ἅμα ἑρμηνείαν προσωτέρω ἀποδεχόμενος λέγοντος ὅτι «ἐν τῷ Σωκράτους δαίμονι μετάβασίν τινα τῆς βουλήσεως σκοποῦμεν, ἣν ποιεῖται ἀπὸ τοῦ μέχρι τοῦδε πέραν ἑαυτῆς χρησμῳδοῦντος μαντείου τοῦ ἑλληνικοῦ εἰς ἑαυτὴν ἐπιστρεφομένη, καὶ ἔνδον ἑαυτῆς ἑαυτὴν νῦν μόγις ἐπιγιγνώσκουσα.» σύμμικτον δέ τι τὸ δαιμόνιον ὁ Ἕγελος ἀποφαίνεται ἐξ ἐπιστήμης τινὸς ἀτελοῦς καὶ μαντοσύνης ἅμα, τὴν φιλοσοφικὴν τοῦ Σωκράτους ἄ γ ν ο ι α ν ὡς ἱστορικῷ πάθει ἤδη ὑποκύψασαν οἰόμενος, εἰκότως κατά γε τὴν ἑαυτοῦ φιλοσοφίαν, πάντα φραγμὸν μεταξὺ θείων τε καὶ ἀνθρωπείων ἄρδην ἐπαιρομένην καταλῦσαι. Ἀλλὰ γὰρ τί κοινὸν ταύτῃ τῇ ἑρμηνείᾳ καὶ τῇ πρόσθεν λεχθείσῃ τοῦ σοφοῦ Σελλερίου ὑπάρχει; ἡ γὰρ βούλησις, ἣν ὁ μεγαλώνυμος φιλόσοφος ἐνταῦθα λέγει αὐτὴ ἡ ὑπερτάτη ἠθικὴ βούλησις ἅμα καὶ αὐτογνωσία κυρίως ἐστὶ, σχολῇ γε ἕξις τις καὶ πεῖρα ἐσωτερικὴ, ο ἵ α ν ὁ Σελλέριος ἀσπάζεται αὐτό γε τοῦτο ὡς ἀλλοτρίαν πάμπαν οὖσαν τῆς ἠθικῆς συνειδήσεώς τε καὶ βουλήσεως· εἰ καὶ καθ' ἡμᾶς ἐκείνη ἡ τοῦ Ἑγέλου βούλησις ὑποδεέστερόν τι πολλῷ γε ἦν τοῦ Σωκρατικοῦ δαιμονίου· τοῦτο γὰρ ἡμῖν διὰ τοῦ Λόγου νόμον τὸν ὕψιστον ἐνδίδωσι, τὴν δὲ βούλησιν τὴν ἠθικὴν ἐποτρύνει μὲν ἑκάστοτε οὐ διὰ τὸ μήπω εἶναι ὁ λ ο σ χ ε ρ ῶ ς εἰς λόγον μετουσιωμένον, διαμορφοῖ μέντοι καὶ συνεχῶς εἰς αἰῶνα τελειοῖ.

Ἔτι δὲ πρὸς τούτοις ῥητέον μοι ὡς ἐν συντόμῳ, καὶ τάδε· ὡς

Σωκράτης πολύς ἐςὶ λέγων ἀρετὴν μηθὲν ἄλλο εἶναι ἢ μάθησιν καὶ ἐπιςήμην, κακίαν δ' αὖ ἀμαθίαν εἶναι, δύο ὀνόματα πράγματος ἑνὸς ἐν ἑκατέρᾳ συζυγίᾳ. Θαυμαστὸν οὖν παντί που δόξειεν ἂν εἶναι τοῦτο, τὸν αὐτὸν ἄνδρα πᾶσαν δικαιοσύνην καὶ συλλήβδην πᾶσαν ἀνθρώπου ἀρετὴν καὶ εὐδαιμονίαν τῷ εἰδέναι καὶ τῇ ἐπιστήμῃ προςνέμοντα, μεγίστην αὖ μοῖραν τὸν αὐτὸν ὁρᾷν δαιμονίῳ τινὶ ἔν γε τοῖς κρατίστοις ἀποδιδόναι, ὅπερ ἂν ἐκείνῃ τῇ κατ' ἄνθρωπον ἐπιςήμῃ παντάπασί γε ἐναντίον εἶναι δόξειε. κινδυνεύει ἄρα ὁ Σωκράτης δυοῖν θἄτερον φανῆναι ἤτοι πρὸς ἑαυτὸν πάμπαν ἀσυνακόλουθος ὤν, ἢ μόριόν τι γοητείας καὶ ἀλαζονείας μετέχον, πράγματα οὕτως ἐπιμόνως εἰς μέσον λόγῳ φέρων, ἅπερ ἂν ὡς ἀληθῶς μηδόλως πιστεύειν ἐλεγχθήσοιτο.

Ἀλλ' ἡ Σωκράτους ψυχὴ εἰλικρινεστέρα ἦν ἀκτῖνος ἡλίου, ἀνεφελωτέρα αἰθρίας Ἀττικῆς, ἀτεχνῶς ἄγαλμα θεῖον, ὅλως ἀρυτίδωτον· τοῦ Σωκράτους τὸ ἦθος ἦν οὕτως ἀνεπιτήδευτον, ἀφελές τε ἅμα καὶ μεγαλοπρεπὲς οὕτως, ὅπως καὶ ἡ τέχνη ἡ ἑλληνική. οὐθὲν ἄλλο ὁ Σωκράτης εἰώθει καλύπτειν ἢ μόνας τὰς Χάριτας διὰ τοῦ πέπλου τῆς εἰρωνείας, αἰδοῖ τῇ ἑαυτοῦ. (Φαῖδρος, Παυσανίας.) ἐν ἀνθρώποις ὤφθησαν καὶ ἄλλοι ἄνδρες Σωκράτους μείζονες πάντως, οὐδεὶς μέντοι εἰλικρινέστερος αὐτοῦ. ἐπιχειρητέον τοίνυν ὡς διὰ βραχυτάτων τὴν πρόσθεν ἀπορίαν διαλῦσαι. Πρῶτον μὲν οὖν ἡμεῖς γε οὐ πάνυ τι τὴν γνώμην πολλῶν σοφῶν προςιέμεθα παραινούντων ὅτι παρὰ τῷ Ξενοφῶντι μᾶλλον τὸν Σωκράτη ζητητέον εἶναι ἢ παρὰ τῷ Πλάτωνι. Τοσόν δε δὲ μόνον ἡμεῖς αὐτοῖς ὁμολογοῦμεν, ὅτι αὐτὸς ὁ Σωκράτης μέσος τις ἦν μεταξὺ τοῦ παρὰ Ξενοφῶντι καὶ τοῦ παρὰ Πλάτωνι ὤν, οὔτε οὕτω λιτὸς ἐν θεωρίαις, ὥςπερ ὁ παρὰ Ξενοφῶντι ἡμῖν ὑπαντᾷ, οὔτε αὖ οὕτω δαιμόνιος, οἷος παρὰ τῷ θείῳ Πλάτωνι ἐν αἰθερίῳ ὕψει ἄπλετον μαρμαίρων· ἀλλὰ τόδε λέγομεν ὅτι ὁμοιότερος ἐν θεωρίαις ἦν τῷ παρὰ Πλάτωνι Σωκράτει ὁ ἀληθινὸς Σωκράτης ἢ τῷ παρὰ Ξενο-

φῶντι ἐπὶ πολλῶν τε ἄλλων, οὐχ ἧσσον δὲ καὶ ἐπὶ τοῦ νῦν ζητουμένου ὡς μὲν οὖν Σωκράτης τῶν θαυμασίων ἀνδρῶν ἦν, οἳ ἠπίσταντο τοὺς ἑαυτῶν λόγους καὶ τὰς ζητήσεις πρὸς τὸ ἦθος καὶ τὴν παιδείαν, ἔτι δὲ καὶ τὴν μοῖραν τὴν κοινωνικὴν τῶν διαλεγομένων αὐτοῖς ἁρμόζειν, τοῦτο παντὶ δῆλον ἂν γένοιτο, οἶμαι, καὶ ἐξ αὐτοῦ τοῦ Ξενοφῶντος. δοκοῦμεν τοίνυν τὰ παρὰ Ξενοφῶντι καὶ Πλάτωνι, ὡς διὰ μνήμης νῦν ἔχομεν, ἀλλήλοις συνδυάζοντες, ὅτι Σωκράτης ὡς μὲν τὰ πολλὰ εἰςάγεται τὴν μὲν ἀρετὴν μηδὲν ἄλλο εἶναι λέγων ἢ ἐπιστήμην ἀληθῆ περὶ τὰ ὄντα, τὴν δ' αὖ κακίαν ἀμαθίαν, καθ' ὅσον περ τοὺς πολλοὺς τῶν λόγων πρὸς νεωτέρους τε καὶ πρεσβυτέρους ἐποιεῖτο, ἄνδρας μήπω ἐσωτερικὸν βίον διαγαγόντας, οἷς μάθησις καὶ ἐπιστήμη τῶν ἐν τῷ βίῳ καθόλου ἤτοι μετρία τις παιδεία, ὥς γ' ἐπὶ τὸ πολὺ ἐπαρκὴς ἦν ἢ πρὸς ἐπανόρθωσιν καὶ νουθέτησιν ἢ πρὸς παρόρμησιν εἰς τὸ τὰ καθήκοντα ἑκάστοτε ἐπιτελῆ ποιεῖν· διὰ τοῦτο καὶ Ξενοφῶν τοῦ δαιμονίου τὸ εἰς τὸν πρακτικὸν βίον ἔχον μόριον ἐν τοῖς λόγοις συχνάκις μνημονεύει. ἀλλ ἦσαν μέντοι καὶ ἄλλοι ἄνδρες πολλῷ τοι τούτων τὴν φύσιν ἀμείνονες, ἐπὶ τοῦ ἐποπτικοῦ λόγου ἤδη ἐπιβεβηκότες περὶ τὴν ἁψῖδα τὴν ὑπερουράνιον, τουτουῒ τοῦ κόσμου τοῦ ἑκάστοτε νοητοῦ ἐκτὸς, τολμηρὸν πλοῦν πλέοντες κατὰ ζήτησιν αὐτοῦ τοῦ ἀπλέτου τῆς Ἀληθείας φωτός· οὗτοι οἱ ἄνδρες πεῖραν ἤδη τῆς μεγαλοπρεπεστάτης καὶ τραγικωτάτης τῶν φιλοσόφων ἀ γ ν ο ί α ς, οὐ τῆς χαμαιζήλου τῶν ἀγενῶν σοφιστῶν, λαμβάνοντες, οὐκέτι ἐκείνῃ τῇ μαθήσει τῶν ἐγγὺς λόγων ἔστεργον, ὥςπερ Ξενοφῶν καὶ ἄλλοι, ἀλλὰ τὸν οἰκεῖον τόπον τῇ μαθήσει καὶ ἐπιστήμῃ ἀποδιδόντες, ἤρξαντο ἤδη λέγειν, ὡς οὐ τὸ πᾶν ἀρετῆς περὶ μάθησιν καὶ ἐπιστήμην διδακτὴν εἴη, ἀλλ' ἔστι καί τις φύσις κατὰ θειοτέραν μοῖραν ἀνθρώποις τισὶ δεδομένη. καὶ Σωκράτης ἤδη τούτου ἕνεκεν, ὡς ἂν ἡμεῖς γε φαίημεν, παρὰ Πλάτωνι εἰςάγεται ὑπελέγχων, ὡς οὐ τὸ πᾶν ἀρετῆς διδακτὸν εἴη, ἀλλὰ καὶ φύσεως γενναίας αὐτὴν

προςδεῖσθαι, μὴ μόνον μαθήσεως· ὡς τοῦτο ἄλλοθί που καὶ ἔργῳ δεικνύει λέγων ὅτι τὸ δαιμόνιον ἀποκωλύοι αὐτὸν ἢ ἐξ ἀρχῆς τισι τῶν προςιόντων νέων συνεῖναι ὡς μὴ πάνυ εὐφυῶς εἰς φιλοσοφίαν ἔχουσιν, ἢ ἐνίους τῶν πρωϊαίτερον τοῦ δέοντος ἀποςάντων ἑαυτοῦ αὖθις παραλαμβάνειν,ὡς φύσει ῥοπὴν ἔχοντας πρὸς τὰ ἐναντία τῶν ἑαυτοῦ διδαγμάτων· οὕτω δοκοῦμεν. ταύτης δὲ τῆς κατὰ θείαν τινὰ μοῖραν ἡμῖν ἐνούσης φύσεως, ἐπιστήμης δὲ χωρὶς, καὶ ταύτης αὖ τῆς ἐπιστήμης καὶ τοῦ λόγου, οὔ τι ἀλλότριον, ἀλλὰ πολλῷ ὑπέρτερόν ἐστι τὸ παρὰ Πλάτωνι τοῦ Σωκράτους δαιμόνιον, ἡ θεία λάμψις καὶ ἐπίπνοια, ἧς ἀξιοῦται πᾶς, ὅςτις ἱερῷ ἔρωτι,Πλατωνικῷ πτερώματι αὐτοῦ γε τοῦ θείου, τοῦ ἀπλέτου τῆς Ἀληθείας φωτὸς ἐφίεται· οὗτοι δ' εἰσὶν οἱ πνευματικὴν πολιτείαν ἔχοντες ἐν πόλει μακαριστοτάτῃ τοῦ Θεοῦ. Οὕτως, οἶμαι, ὁ Σωκράτης ἑαυτῷ συνακόλουθος ἐς τὰ μάλιςʼ ἂν φανείη. Ἀλλὰ ταῦτα καὶ ἄλλων λόγων προςδεόμενά ἐστιν, ὅπως ἂν ἐπιεικῶς δειχθείη ὅτι οὐχ ὕστερα τοῦ Πλάτωνος δόγματα ἦν τῇ Σωκράτους προαισθήσει τῇ ἀσαφεῖ τρόπον τινὰ ἐπιμετρούμενα· — τὸ πρὸς ἀρετὴν, λέγω, καὶ φύσεώς τινος προςδεῖσθαι τὸν ἄνθρωπον θείας, ὥςπερ ὁ ποιητὴς καὶ καλλιτέχνης ἐν γένει πτερώματος, μοίρας ἢ ἐπιπνοίας θείας ἢ μανίας προςδεῖται· ἔτι τὸ δαιμόνιον ἀπαγορευτικὸν μόνον εἶναι, μηδέποτε δὲ παρακελευστικὸν καὶ τὰ παραπλήσια· — ἀλλὰ καὶ αὐτοῦ ἤδη τοῦ Σωκράτους ταῦτα δόγματα ἦν, περὶ οὗ ἐν ἄλλῳ τόπῳ εἰςαῦθις τὰ δέοντʼ ἐροῦμεν. Ἀλλὰ πρὸς τούτοις εἰρήσθω μοι νῦν ὡς ἀναμφήριστον τόδε· ὡς Σωκράτης φανότατος ἀνθρώπων ἐστὶ τὴν μὲν τελεωτάτην σοφίαν καὶ δὴ καὶ τὴν τελεωτάτην ἀρετὴν ἅμα καὶ μακαριότητα μόνῳ τῷ θείῳ ἀπονέμων· ἑαυτῷ δὲ ἄγνοιαν σύνοιδε καὶ πάντας τοὺς περὶ ἑαυτὸν οὐδὲν παύεται παραινῶν σοφίαν ἐκ τῶν ἐνόντων ἐπιζητεῖν ἐξ Ἑλλήνων τε ὁμοίως καὶ βαρβάρων, ἐκ παντὸς ἀνθρώπων γένους μάθησιν πορίζεσθαι ἀμαθίας καὶ δὴ καὶ κακίας οὖσαν καταλυτικήν. εἰ οὖν τις οὕτω ταῦτα νοήσειε, τὴν μὲν ἄκραν σο-

φίαν ἄκραν εἶναι ἀρετὴν καὶ μακαριότητα, ταύτης δὲ Μιᾶς πάντως οὔσης, ἀληθὲς ὂν ἀληθοῦς οὐσίας τε καὶ εἴδους τὸ θεῖον κρατεῖν μόνον, τὸ δ' ἀνθρώπειον ὀρέγεσθαι μὲν αὐτῆς καὶ ἀεί τι μόριον μεταλαγχάνειν, κρατήσειν δὲ μηδεπώποτ' αὐτῷ εἱμαρμένον εἶναι, πάντα τὰ πρόςθεν κάλλιστ' ἄν, οἶμαι, καὶ ἄριστα ἀλλήλοις συναρμόσειεν.

Ὁ δὲ σοφὸς Σελλέριος ἀπειρίαν τινὰ Σωκράτους ὑπελέγχει, ὅτι οὐ πάντων πέρι σαφῶς πρὸς ἑαυτὸν ἔχων φαίνεται, ἀλλὰ καὶ θειοτέρας τινὸς ἐπιπνοίας ἐν τῷ βίῳ προςχρήζων, πρῶτος τὴν πλαστικὴν τῶν Ἑλλήνων ἁρμονίαν πρὸς ἑαυτοὺς ἀνιάτως διέῤῥηξεν. Διϊσχυρισαίμεθ' ἂν οὖν ἡμεῖς γε εἴπερ τι ἄλλο καὶ τόδε, ὡς οὐ μόνος ὁ Σωκράτης καὶ οἱ περὶ αὐτὸν ἐκλεκτοὶ τοῦτο τὸ πάθος ἔπαθον, ἀλλὰ κοινὸν ἦν καὶ τὸν πάντα αἰῶνα ἔσεται πᾶσι τοῖς γενναιοτάτοις τῶν ἀνθρώπων· καὶ ὁ σοφώτατος τῶν γε νῦν ἀνθρώπων ὄντων διχάζοιτ' ἂν ἔσθ' ὅτε ἐν τῷ βίῳ πρὸς ἑαυτὸν, νοήσει μὲν καὶ λόγῳ τῷ μάλιστα καθόλου, οὗ ἂν αὐτός τε ἐξιγμένος τυγχάνῃ καὶ οἱ περὶ αὐτὸν σύμβουλοι, μηδὲν ἔχων πρὸς δόξαν τινὰ ἢ ἔργον ἀντιλέγειν, ὑφίστῃ δὲ συναισθήσει τῇ ὑπὲρ πάντα λόγον σφόδρα αὐτὸ ἀπαναινόμενος, βλάβην, ζημίαν, ἐνίοτε δὲ καὶ θάνατον μᾶλλον αἱρούμενος ἢ ἔργον ἐπιτελέσαι, ὅπερ πρὸς τὸν ὑπάρχοντα λόγον τε καὶ νόμον, λέγω, οὐδ' ὁπωςτιοῦν ἀνόσιον ἢ ἄδικον ἢ παράλογον οὔθ' ἑαυτῷ, οὔτε τινὶ τῶν πλησίον φαίνοιτ' ἄν· ὡς ἐπὶ Σωκράτους αὐτοῦ τἀγαθὸν μὲν ἐτιμᾶτο, ἐξεῖναι δὲ ἅμα πᾶσιν ὁμοίως ἐδόκει τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς· ἡ συναίσθησις ἄρα τοῦ ἀγαθοῦ ἦν ἐν τῷ γίγνεσθαι λόγος, οὔπω λόγος, ἀλλὰ δαιμονίου τινὸς ἔτι χρήζουσα. εἰ οὖν τις τούτου τὴν ἔννοιαν σαφῶς παρ' ἑαυτῷ λάβοι, ὁμολογήσει ὡς οὐ μόνον ἐν Σωκράτει δαιμόνιόν τι ἐγίγνετο, ἀλλὰ καὶ ἐν παντὶ ἀνθρώπῳ τῶν τε νῦν καὶ τῶν μελλόντων, ὃς ἂν ἐσωτερικὸν βίον διάγων, ἑαυτὸν ἑκάστοτε σκοπῇ. εἰ δέ τις τοῦτο μὲν μὴ δέχοιτο, ἀλλὰ πρὸς πᾶν ὃ ἂν μηδενὶ τῶν ὑπαρχόντων νόμων

τε καὶ λόγων μηδ' ὁτιοῦν ἀντιβαίνῃ, ἑτοίμην βούλησιν, ἑτοίμην δὲ χεῖρα ἔχειν τὸν σοφὸν ἀπαιτοῖ, ὡς μὴ ἐξὸν σοφῷ γε ὄντι, περί τι τῶν ὄντων ὑπενδοιάζειν ἢ ἐπιόντος τινὸς τῇ ψυχῇ ἀδυνατεῖν τὸν λόγον τὸν ἔσχατον ἑ α υ τ ῷ τε καὶ τοῖς ἄλλοις ἀποδιδόναι· τοῦτον οἴομαι λεληθέναι ὅπως ὁ ἄνθρωπος κατὰ σμικρὸν τὴν μαντικὴν τοῦ Ἀληθοῦς προαίσθησιν ἐν λόγοις ὀψέ ποτε καὶ μάλα μόγις ἐκφαίνων, πολλῶν μὲν δογμάτων, πολλῶν δὲ ἔργων τῶν πρότερον θεμιτῶν εἶναι δοκούντων καὶ ἱερῶν, ὡς ἀθεμίτων, λόγῳ καινῷ πειθόμενος ἀπέχεται. αὕτη ἐστὶν ἡ κατὰ σμικρὸν ἀϊδίως λ ε ι τ ο υ ρ γ ο υ μ έ ν η βελτίωσις καὶ τελείωσις τοῦ ἀνθρωπίνου γένους. Τὸ τοῦ Σωκράτους δαιμόνιον ἐνδίκως ἄν τις φαίη τοιόνδε τι εἶναι, οἷον τὸ τῆς ἐν ἡμῖν ὑψίστης τοῦ Ἀληθοῦς συναισθήσεως εἰς λόγον ἐποπτικὸν ἑκάστοτε μεταβάλλειν, τοῦτον δ' αὖ εἰς λόγον καθαρτικὸν καὶ ἐπανορθωτικὸν τῆς τε διανοίας καὶ τῆς φαντασίας· τοῦτο τὸ δαιμόνιόν ἐστιν, ὅπερ τὴν ἡμετέραν βούλησιν διὰ τοῦ ἑκάστοτε ἐπιστητοῦ ἀεὶ ἑαυτῆς ἁγνοτέραν, ἀεὶ γενναιοτέραν ἀπεργάζεται· τὸ τοῦ Σωκράτους δαιμόνιον μέρος ἐστὶν ἁρμονικὸν τῆς ὅλης ἱστορίας τοῦ ἐν ἀνθρώποις δαιμονίου, δι' ὃ οἱ ἄνθρωποι βίον πνευματικὸν διάγοντες, ἀϊδίως θάλλουσιν. ἔοικε τοίνυν ὁ Σωκράτης τὴν μεγαλοπρεπεστάτην τοῦ ἀνθρώπου τραγῳδίαν γενναιότατα προαισθέσθαι, ἧς τέρμα οὐδὲν, τέρμα γὰρ αὐτῆς καὶ αὐτῇ τῇ νοήσει καὶ αὐτῷ τῷ λόγῳ πάμπαν ἄληπτον, αὐτὸς ὁ Θεὸς ἔσται. — πρβλε δὲ καὶ τὸν ἡμέτερον λόγον πρὸς τὴν ἑλληνικὴν νεολαίαν.

Διετέλει οὖν ὁ Σωκράτης οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον σκοπῶν ἢ ὅπως ἂν δύναιτο πάντας μὲν τοὺς ἑαυτῷ συγγιγνομένους πολίτας, κατ' ἐξοχὴν δὲ τοὺς νεωτέρους ὡς πλεῖστα ὠφελεῖν, ἐπὶ τὰ καλὰ καὶ σεμνὰ καὶ τὴν τοῦ ἀληθοῦς ἐπιστήμην ἑκάστοτ' αὐτοὺς προςβι-

βάζων (ς). «Ἐγὼ δ' οὖν καὶ αὐτὸς (ἔλεγεν), ὦ Ἀντιφῶν, ὥςπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ ἐάν τι σχῶ ἀγαθὸν, διδάσκω, καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι, καὶ ἄν τι ὁρῶμεν ἀγαθὸν, ἐκλεγόμεθα, καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις ὠφέλιμοι γιγνώμεθα.» Διέτριβε δὲ ἀεὶ ἐν τῷ φανερῷ· «πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.» Διελέγετο δὲ ἀεὶ περὶ τῶν ἀνθρωπείων « σκοπῶν τί εὐσεβές, τί ἀσεβές· τί καλόν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρεία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς κἀγαθοὺς εἶναι, τοὺς δ' ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.» Οὐδέποτε δ' αὐτῷ ἐμέλησε πράττειν τὰ τῆς πόλεως, ἡγούμενος ἴσως τὴν πόλιν τότε μέλλειν ἐν εὐνομίᾳ εὐπραγήσειν, ἐπειδὰν πρότερον οἱ νέοι εὖ καὶ καλῶς τὰ περὶ τὴν ἀνθρωπίνην κοινωνίαν παιδευθῶσιν (ζ). Ἐν δὲ παίδων τε καὶ μειρακίων ὁμιλίαις ὡς τὰ πολλὰ ανα-

(ς) Πλάτ. Ἀπολ. σ. κγ', 6 κεφ. κεφξ. — Θεαίτ. σ. ρν'. γ'. — Ξενοφ. Ἀπομνημ. Α, ς, ιδ'.

(ζ) Ξενοφ. Ἀπομνημ. Α, ς, ιε'.—πρβλ. καὶ Πλάτ. Ἀπολογ. σ. λα'.

στρεφόμενος, ἐσκήπτετο ὅτι μάλα αὐτῶν ἐρῴη χαριεντιζόμενος. διὸ καὶ εἰώθει ἀποκαλεῖν ἑαυτὸν σφόδρα ἐρωτικόν· βουλόμενος οὕτω τοὺς τότε τῶν νέων διαφθορεῖς νουθετῆσαι, ὡς ψυχῶν καλῶν θέμις εἴη ἐρᾷν καὶ οὐ σωμάτων. τοῦτον δὲ τὸν ἔρωτα αὐτοῦ οὐδ' αὐτοὶ οἱ ἀσπόνδως μισοῦντες τὸν ἄνδρα ἐτόλμησάν ποτε διαβαλεῖν. καὶ Πλάτων δ' ἐν πολλοῖς τῶν ἑαυτοῦ διαλόγων ἀρίδηλον ποιεῖ ὡς ἁγνὴ καὶ ἱερὰ ἦν ἡ Σωκράτους παιδεραστία. Ἀλλ' ἔμελλον ποτέ τινες χρόνου παμπόλλου διαγενομένου, ἄνδρες ἀδόλεσχοι ἐξ ἐπαγγέλματος ἐπελθόντες, ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν αὐτοῖς ἔλθοι αὐτίκα λαλοῦντες, μηδὲ ταύτην τὴν ὡμολογημένην τοῦ Σωκράτους ἁγνότητα αἰσχρῶς διαβαλεῖν ὀκνῆσαι (Λουκ. ἐν τῷ περὶ τοῦ οἴκου.)

Ἔτι δὲ οὐδεὶς ἂν θαυμάσειεν, οἶμαι, εἴπερ ὁ Σωκράτης, ὡς προείρηται, πολιτευόμενος, πολλοῖς τε προςέπταισε καὶ ὑπὸ πολλῶν παρενοήθη· πολλοῖς γὰρ ἐδόκει ἡ πολιτεία αὐτοῦ τῇ τῶν Σοφιστῶν παραπλησία εἶναι. καὶ γὰρ ἐπάγγελμα μὲν ῥητὸν ἐν τῷ βίῳ μηδὲν ἐπαγγέλλεσθαι αἱρούμενος, ὅλος δὲ ὢν πρὸς τῷ τοὺς νέους βελτίονας ἑαυτῶν ἀεὶ παρασκευάζειν, τὸν δ' ἀληθῆ λόγον παντὸς πράγματος ἀναδιφᾶν προτιθέμενος, πάντα ὁμοίως ἐπικρίνων, προὔργου δ' ἀεὶ ἡγούμενος πρὸς τὰς τῶν ἀντιπάλων ἀσαφεῖς περὶ τῶν ὄντων δόξας, ἃς εἶχον, μηδὲν ὑποστελλόμενος, μηδέν τε ὅλως ὑποπτήσσων, παῤῥησίᾳ ἑκάστοτε τὰ δέοντ' ἀντιλέγειν, τούς τε ἀλαζονικῶς ἐπὶ δοκησισοφίᾳ ἐπαιρομένους ματαίᾳ προςαναγκάζειν τῷ λόγῳ μονονουχὶ ὁμολογεῖν μηδοπωστιοῦν ἐπαίειν, ὧν γε πρότερον ἀκριβῶς ἐπίστασθαι ἐδόκουν· οὕτω πως πολιτευόμενος, ἀφορμὰς οὐκ ὀλίγας περὶ ἑ-

αυτοῦ τοῖς πολλοῖς παρέσχεν ἀτεχνῶς ἕνα καὶ αὐτὸν ὑπολαμβάνειν εἶναι τῆς χορείας τῶν ἄλλων σοφιστῶν. Μαρτύριον δὲ τούτοις τρανὸν αἱ Ἀριστοφάνους Νεφέλαι αἱ τῷ αφ ἔτει τῆς πθ΄ ὀλυμπιάδος (υκγ΄ π. Χ.) τὸ πρῶτον διδαχθεῖσαι, ἐν αἷς ὁ Σωκράτης ὡς ὁ κορυφαῖος τῶν σοφιστῶν εἰςάγεται, σχινδαλάμους λόγων λεπτοὺς διεξιὼν, μάταιά τινα ἐρεβοδιφῶν, ὕθλων καὶ λήρων πονηρῶν ἀνάπλεως ὢν καὶ καινῇ τινι παιδείᾳ τὰ τῶν νέων ἤθη ἐπὶ τὸ χεῖρον μετακλίνων. Ἀλλὰ γὰρ οὐδὲν ἧσσον ἐνδεχόμενον ἦν καὶ τοῖς χρηστοῖς πολίταις ὁ Σωκράτης προςκροῦσαι. ἀεὶ γὰρ τοῦ τὰ τῆς πόλεως πράσσειν ἀπείχετο. ἅπαξ δὲ μόνον παρ' ὅλον τὸν βίον αὐτοῦ δημόσιόν τι ἀξίωμα περιεβέβλητο, ὅτε καὶ συνέβη αὐτῷ γενναίως μάλα καὶ ἀνδρικῶς τῇ ἀδίκῳ ὀργῇ τοῦ δήμου ἀντιστῆναι· «ἐπιστάτης γὰρ ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ τοὺς ἀμφὶ Θράσυλλον καὶ Ἐρασινίδην ἀποκτεῖναι πάντας — διὰ τὸ μὴ δυνηθῆναι ἀνελέσθαι τοὺς ναυαγοὺς μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν (υϛ΄. π. Χ.), ἅτε βιαίου χειμῶνος ἐπιγενομένου — οὐχ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.» (η)

(η) Ἴδε Πλουτ. Ἀπολ. λϐ, ϐ — Ξενοφ. ἀπομνημ. Α, α, ιη΄. Δ, δ, ϐ. Ἑλλην. Α, ζ· ὁ δ' οὖν δῆμος ὑπὸ πονηρῶν ἀνθρώπων ἐξαπατηθεὶς θάνατον κατεψηφίσατο τῶν ναυμαχίᾳ νενικηκότων στρατηγῶν· καὶ οὕτως ἄκριτοι παρὰ τὸν νόμον ἀπέθανον τῶν ὀκτὼ οἱ παρόντες ἕξ. Οὐ πολλῷ δὲ χρόνῳ ὕστερον μετεμέλησε τοῖς Ἀθηναίοις ταύτης τῆς παρὰ νόμον κρίσεως.

Πρὸς δὲ τούτοις οὔτε τὸ ἀποδοκιμάζειν τοὺς μὴ καλῶς ἔχειν αὐτῷ δοκοῦντας νόμους παρ' Ἀθηναίοις ἀποκρυπτόμενος ἦν, οὔτ' αὖ ἄλλα πολιτεύματα ἐπαινεῖν ἐπὶ τὸ ἀριστοκρατικώτερον ἡρμοσμένα, ἐν οἷς τὸ τῶν Σπαρτιατῶν. ταύτην δὲ τὴν πολιτικὴν γνώμην καὶ πολλῷ προθυμότερον ἠσπάσαντο οἱ περὶ αὐτὸν, πάντων δὲ μάλιστα Πλάτων τε καὶ Ξενοφῶν. ἔτι δὲ πρὸς τούτοις ἐν τοῖς Σωκράτους ὁμιληταῖς ἐγένοντο Κριτίας τε καὶ Ἀλκιβιάδης, ἄμφω πλεῖστα κακὰ τὴν πόλιν πεποιηκότε· μάλιστα δὲ Κριτίας, «ὃς τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων κλεπτίστατός τε καὶ βιαιότατος καὶ φονικώτατος ἐγένετο.» παρῆν ἄρα τοῖς κακοβούλοις λαβὴ ἱκανὴ εἰς τὸ διαβαλεῖν τὸν ἄνδρα πρὸς τοὺς μὴ προςομιλοῦντας αὐτῷ, ὡς κακόνουν τῇ πολιτείᾳ ὄντα. ὅτι μὲν οὖν προκατάληψίς τις κατ' αὐτοῦ ἐν Ἀθηναίοις ἦν διαδεδομένη καὶ βαθέως ἐῤῥιζωμένη (;) πρόδηλον καὶ ἐκ τοῦδε· Ξενοφῶντι γὰρ καὶ πολλῷ ὕστερον τῆς Σωκράτους τελευτῆς ἀναγκαῖον εἶναι ἔδοξεν ἀπολογίαν Σωκράτους συγγράψαι. Τοιαύταις οὖν ψευδέσι φήμαις καὶ κακοβούλοις διαβολαῖς παρέχοντες ἑκάστοτε οἱ Ἀθηναῖοι τὰ ὦτα, τέλος δὲ παραχθέντες θάνατον αὐτοῦ κατέγνωσαν τετάρτῳ καὶ εἰκοστῷ ἔτει, ἐξ οὗ γε τὸ πρῶτον αἱ Ἀριστοφάνους νεφέλαι ἐδιδάχθησαν. Καταλυθέντων γὰρ τῶν ἐν Ἀθήναις τριάκοντα τυράννων, ἀναλαβόντες οἱ περὶ τὸν δῆμον τὰς τῆς πόλεως ἀρχὰς, λυσιτελῶς ἂν ἔχειν ἡγήσαντο, εἴπως, ἅμα τῇ πρώην πολιτείᾳ, καὶ τὰ πάλαι ἰσχύοντα ἤθη τε καὶ φρονήματα ἀποκαταστῆσαι ἔχοιεν, τήν τε σοφιστικὴν παιδείαν φθορὰν τῇ πόλει εἶναι δοκοῦσαν, ἐς τὸ δυνατὸν ἀπαλεῖψαι (θ). Ἐκ ταύ

(θ) Τοιοῦτον δέ τι συνέβη καὶ ἑκατὸν ἔτεσιν ὕστερον, ὁπότε ὡςαύτως οἱ

της οὖν τῆς πολιτικῆς πορείας προῆλθεν καὶ ἡ Σωκράτους κατηγορία. Ἦσαν δὲ οἱ γραψάμενοι Σωκράτη ὡς ἄξιος εἴη θανάτου τῇ πόλει Μέλητος ποιητὴς (ι) καὶ Λύκων ῥήτωρ καὶ Ἄνυτος δημαγωγὸς (ια). ἡ δὲ γραφὴ

περὶ τὸν δῆμον ἐν ὀργῇ εἶχον μεγάλῃ τοὺς παρὰ Δημητρίῳ τῷ Φαληρεῖ εὐδοκιμηκότας φιλοσόφους. Ἔπιθι Σούμπτου «περὶ τῶν φιλοσοφικῶν αἱρέσεων» σ. 17.

(ι) C. Fr. Hermann, disputatio de Socratis accusatoribus, σελ. 17. — Μέλητος ἦν ὥςπερ Πλάτων ἐν Εὐθύφρονι φησὶ «νέος καὶ ἀγνώς.» Λέγεται δὲ ὑπό τινων παλαιῶν ὁ Μέλητος ποιητὴς γενέσθαι. καὶ Πλάτων ἐν ἀπολογίᾳ φησὶν ὅτι Μέλητος ἐπεξῆλθε Σωκράτει «ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος.» Ἴσμεν δὲ ἀκριβῶς ὅτι ἐγένετό τις ποιητὴς τραγικὸς τῶν πάνυ ὀνομαστῶν Μέλητος καλούμενος. καὶ οἱ παλαιοὶ ἀντήλλαξαν αὐτὸν τῷ Σωκράτους κατηγόρῳ. Ἑρμάννος οὖν τοῦτο ὡς ἀδύνατον ὂν ἱκανῶς ἐλέγχει. κατὰ γὰρ τὸν σχολιαστὴν εἰς τὴν Πλάτωνος ἀπολογίαν (σ. ιη΄.) ἐνεπαίχθη ὁ τραγικὸς οὗτος Μέλητος ὑπὸ Ἀριστοφάνους ἐν τῷ δράματι «Γεωργοί», διδαχθέντι ἤδη περὶ τὸ υκδ΄ ἔτος π. Χ· ὁ δὲ Σωκράτους κατήγορος (τϟθ΄.) ἦν κατὰ Πλάτωνα, ὡς εἴρηται, νέος καὶ ἀγνώς. Ὁ δ᾽ οὖν Ἑρμάννος ὑποτοπάζει ὅτι ὁ τραγικὸς ποιητὴς πατὴρ ἦν Μελήτου τοῦ διώξαντος Σωκράτη.

(ια) Ἀνθεμίων ὁ πατὴρ αὐτοῦ ἦν ὡς Πλάτων ἐν Μένωνί φησιν (σ. ϟ΄ α΄.) «ἀνὴρ πλούσιος καὶ σοφός, ὃς ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ τῇ αὐτοῦ σοφίᾳ κτησάμενος καὶ ἐπιμελείᾳ.» Αὐτὸς δὲ ὁ Ἄνυτος ἦν (κατὰ τὸν σχολιαστὴν εἰς τὴν Πλάτωνος ἀπολογίαν σ. ωϟγ΄, α, δ.) πλούσιος ἐκ βυρσοδεψικῆς, ὅ ἐστιν δούλους ἔτρεφε ταύτην τὴν τέχνην ἐπιτηδεύοντας. πρβλ. Ἑρμάννου «περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν πάλαι Ἑλλήνων § μϐ. σημ. ι΄. Φησὶ δὲ περὶ αὐτοῦ Ξενοφῶν ἐν τῇ Σωκράτους ἀπολογίᾳ (§ κθ΄.) ὅτι τῶν μεγίστων ὑπὸ τῆς πόλεως ἠξιοῦτο· καὶ Πλάτων ἐν Μένωνι ὡςαύτως (σ. ϟ΄. Β.) ὅτι αἱροῦνται αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. Λέγει δὲ καὶ Διόδωρος ὁ Σικελιώτης (ΙΓ, ξδ΄.) ὡς ἀπεστάλη ποτὲ παρ᾽ Ἀθηναίων ναυσὶ τριάκοντα ἐπὶ Πύλον, ὅπως λύσειε τὴν πολιορκίαν. εἰςαγγελθεὶς δὲ ὡς προδοὺς τὴν Πύλον, χρήμασι τοὺς δικαστὰς ἐδέκασε καὶ οὕτως ἀπελύθη. Ἀριστ. παρ᾽ Ἁρποκρατ. ἐν λέξει δικάζων. παρὰ δὲ Πλουτ. ἐν βίῳ Κοριολάνου ιδ΄. καὶ παρὰ Λυσίᾳ κατὰ Ἀγοράτου, φαίνεται ὡς στρατηγῶν ἐπὶ φυλήν. Συνετέλεσε δὲ σὺν Θρασυβούλῳ καὶ οὗτος οὐκ ὀλίγον εἰς ἀποκατάστασιν τῆς δημοκρατίας.

κατ' αὐτοῦ τοιάδε τις ἦν· «ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰςφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων, τίμημα θάνατος.» (Διογ. Λ. 6, μ'.—Ξενοφ. ἀπομνημ. Α, α, α'. — Πλάτ. ἀπολ. σ. κδ'. κϛ'.) Οὕτως οὖν ἔχουσαν τὴν κατηγορίαν, οὐδεὶς ὅςις οὐκ ἐρεῖ περὶ αὐτῆς ὅτι κομιδῇ ψεύδοιτο· μάλιστα δὲ ἄνευ οἱαςοῦν ὑποστάσεως ἦν ὅτι Σωκράτης οὐ πρεσβεύοι, οὓς καὶ ἡ πόλις ἐπρέσβευε θεούς. ἀλλ' οὐδὲν ἧσσον παρὰ τοῖς δικασταῖς ἐξενίκησεν ἡ παρὰ πολλοῖς διαδεδομένη δόξα ὡς Σωκράτης λόγῳ τε καὶ ἔργῳ τὸν νοῦν τῶν νέων ἐπαίροι εἰς τὸ καταφρονεῖν τῆς πολιτείας τῆς ἐνεςώσης. ἔτι δὲ πρὸς τούτοις οὐ μόνον, οἱ κατήγοροι ἀλλὰ καὶ οἱ δικασταὶ, τῶν ἐν τέλεσιν ἀποκαταστάντων δημοκρατικῶν ὄντες, πάντα σφόδρα ἐμίσουν, ὃς ἂν ἄλλως πως περὶ πολιτείας φρονοίη. ὁ δὲ Ἄνυτος (ιϐ) ἦν καὶ αὐτὸς τῶν τῆς πατρίδος ἐκπεσόντων, οἵτινες σὺν Θρασυβούλῳ κατελθόντες, τὴν τῶν τριάκοντα ἀρχὴν κατέλυσαν. Σωκράτης δὲ τὸ ἑαυτοῦ μέρος, ὡς μηδὲν ἄδικον ἑαυτῷ συνειδὼς, μετὰ παῤῥησίας πολλῆς καί τινος μεγαληγορίας πρὸς τοὺς δικαστὰς ἀπελογήσατο, οἵτινες οὐ πολλῷ πλείοσι ψήφοις θάνατον αὐτοῦ κατεψηφίσαντο (ιγ). Ἐξὸν δ' αὐτῷ καὶ νῦν τὸν θάνατον ἀποφυγεῖν τὴν τῶν δικαστῶν ἐπιείκειαν, κατά γε τὸ εἰωθός, ἐπικαλεσάμενος, τούτου ἀμελήσας, ὥς φησι Πλάτων ἐν τῇ ἀπολογίᾳ, ὧδε ἔλεξε· « Τιμᾶται

(ιϐ) Ἄνυτος ἦν ὁ τῶν κατηγόρων ἡγούμενος, οἷος φαίνεται καὶ ἐν τῇ Πλάτωνος ἀπολογίᾳ. Ὁ δὲ Μέλητος σχεδόν τι οὐδὲν ἄλλο ἢ ὅτι τὸ ἑαυτοῦ ὄνομα τῇ κατηγορίᾳ προςέθετο.

(ιγ) Σωκράτης δέ φησιν ἐν τῇ Πλάτωνος ἀπολογίᾳ « εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀποπεφεύγη ἄν. »

δ' οὖν μοι ὁ ἀνὴρ θανάτου· εἶεν, ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιμιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτίσαι; — Εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως.» προςκαταβαίνων δὲ τῷ λόγῳ ἐν παρέργου μέρει ἔφη· «εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν (οὐδὲν γὰρ ἂν ἐβλάβην), νῦν δὲ οὐ γὰρ ἔστιν· εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. Ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. τιμῶμαι οὖν τοσούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.» Ἀλλ' ἑαυτὸν ἄξιον τῆς ἐν πρυτανείῳ σιτήσεως εἶναι εἰπὼν, δεινῶς παρώργισε τοὺς δικαστὰς, ὡς μετ' εἰρωνείας ἀλλόγιστον τὴν κρίσιν αὐτῶν ἐξελέγξας· οὗτοι δ' αὖ ὀργῇ ὡς εἶχον πολλῷ πλείοσι ψήφοις ἢ τὸ πρῶτον θάνατον αὐτοῦ κατέγνωσαν (ιδ)· ἀπαχθέντι δ' αὐτῷ εἰς

(ιδ) Ἄλλοι ἄλλως τῶν τε πάλαι καὶ νῦν περὶ τῆς δίκης ταύτης ἀπεφήναντο. Κάτων μὲν οὖν ὁ πρεσβύτερος ἔφη «τὸν Σωκράτη λάλον καὶ βίαιον γενόμενον, ἐπιχειρεῖν, ᾧ τρόπῳ δυνατὸν ἦν, τυραννεῖν τῆς πατρίδος, καταλύοντα τὰ ἔθη καὶ πρὸς ἐναντίας τοῖς νόμοις δόξας ἕλκοντα καὶ μεθιστάντα τοὺς πολίτας.» Πλούτ. ἐν βίῳ Κάτωνος. Ὡσαύτως δὲ καὶ τῶν καθ' ἡμᾶς ὁ Φορχάμμιος ἐν τῷ ἑαυτοῦ συγγράμματι τῷ ἐπιγραφομένῳ «οἱ Ἀθηναῖοι καὶ ὁ Σωκράτης, οἱ ἔννομοι καὶ ὁ ἐπαναστάτης» ͵αωλζʹ. — πρὸς τοῦτον δὲ ὑπὲρ Σωκράτους ἀπολογούμενος ἔγραψεν ὁ Limburg-Bruwer, Apologia Socratis contra Meliti redivivi calumniam, Gröningen 1838. Ἔπιθι καὶ Βενδιξενίου «ὑποθέσεις περὶ τοῦ σκοποῦ, ὃν προέθετο Σωκράτης ὁ νεωτεριστὴς, ͵αωλθʹ. καί Ἑϊενσίου «Σωκράτης καθ' ὅσον ἦν ἔνοχος τῇ κατ' αὐτοῦ κατηγορίᾳ, ͵αωλθʹ.

τὸ δεσμωτήριον τὴν ἐπὶ θανάτῳ τριάκοντα ἡμέραι διεγένοντο μέχρι τῆς τελευτῆς· ἔτυχον γὰρ οἱ Ἀθηναῖοι τῇ προτεραίᾳ τῆς δίκης θεωρίαν ἀπάγοντες τῷ Ἀπόλλωνι εἰς Δῆλον. ὅτε δ' ἄρξαιντο τῆς θεωρίας νόμος ἦν αὐτοῖς «ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκοιτο τὸ πλοῖον καὶ πάλιν Ἀθήναζε.» Ἐν τούτῳ δὲ τῷ μεταξὺ φοιτῶντες πρὸς αὐτὸν οἵ τε ἄλλοι ἑταῖροι καὶ ὁ Κρίτων, προςέφερον αὐτῷ λόγους παντοίους, βουλόμενοι πεῖσαι αὐτὸν ἀποδρᾶναι τοῦ δεσμωτηρίου. ὁ δὲ Σωκράτης οὐδένα τούτων τῶν λόγων προςήκατο, ἀλλὰ ὥςπερ καὶ ἐν τῷ πρόσθεν χρόνῳ διετέλεσε καὶ νῦν μέχρι τῆς τελευτῆς πρὸς τοὺς ἑταίρους τὰ κάλλιστα καὶ ἄριστα διαλεγόμενος, ὧν οὐδ' ἂν ὁ πᾶς αἰὼν τὴν μνήμην ἐξαλείψειεν.

Διηγεῖται δὲ παρὰ Πλάτωνι ὁ Φαίδων (Μαρία ἡ Μαγδαληνὴ τοῦ Σωκράτους, Coreggio ἐν τῇ πινακοθήκῃ τῆς Πάρμης.) τὰ περὶ τὴν τελευτὴν τοῦ μακαρίου ἀνδρὸς, τοιούτοις ῥήμασιν αὐτὴν διασεμνῶν· «ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ανασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥςπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας) καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι

ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πόλλ' ἄττα μετὰ ταῦτα διελέχθη· καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτὸν, ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γε σοῦ, ὅπερ τῶν ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγείλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γιγνώσκεις γὰρ τοὺς αἰτίους), ἀλλ' ἐκείνοις. νῦν οὖν (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτὸν καὶ σὺ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς ὡς ἀστεῖος, ἔφη ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προςῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. ἀλλ' ἄγε δὴ, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται, εἰ δὲ μὴ, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους, ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης· εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις· οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες· καὶ

ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδαίνειν ὀλίγον ὕστερον πιὼν ἄλλο γε, ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει. καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι· καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας, ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν; οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιϊέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει, καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας, οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ; τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦδ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ. καὶ ἅμα εἰπὼν ταῦτα, ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε καὶ αὐτοῦ βίᾳ καὶ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός

τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη, Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλάων καὶ ἀγανακτῶν, οὐδένα ὅν τινα οὐ κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δὲ οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι; ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν ἄγετε καὶ καρτερεῖτε. καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πηγνύοιτο· καὶ αὐτὸς ἥπτετο καὶ εἶπεν ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γὰρ) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα εἴτι ἄλλο λέγεις. ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν. ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειρά-

θημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου» (ιε). Μετήλλαξε δὲ τὸ ζῆν ὁ Σωκράτης δύο καὶ ἑβδομήκοντα ἔτη γεγονὼς τῷ τ٦θῳ ἔτει π. Χ.

(ιε) Λέγεται δὲ τοὺς Σωκράτους κατηγόρους ὀλίγῳ ὕστερον τῆς τελευτῆς αὐτοῦ δίκην δοῦναι τῷ ἐξαπατηθέντι δήμῳ· τὸν δὲ Μέλητον καὶ θανάτῳ ζημιωθῆναι. Ἀλλὰ ταῦτα διαψεύδει ὅ,τε Φορχάμμιος (σ. 66.) καὶ ὁ περίπυστος ἱστοριογράφος Γρότιος ὁ Ἄγγλος, Τ. Η', σ. 675. — Ὑπὲρ δὲ τῆς παραδόσεως ἐνίσταται Ἑρμάννος de Socr. accus. p. 8. Ἀλλ' ὁ Φορχάμμιος προΐσχεται τὴν σιωπὴν τοῦ Ξενοφῶντος· εἰκότως γε (;)· Ξενοφῶν γὰρ Σωκράτους ὑπεραπολογούμενος καὶ δῆλος ὢν προθυμεῖσθαι πᾶσαν χάριν αὐτῷ φέρειν οὐχ' οἷός τ' ἂν ἦν ἐν σιγῇ τὴν Ἀθηναίων μεταμέλειαν παρελθεῖν. — Ἀλλὰ γὰρ Ἀθηναίων ἀπολογίαν ὁ Ξενοφῶν οὐ συνέγραψε· μηδὲ πάνυ πολλὴν προθυμίαν εἰς τοῦτο ἐσχηκέναι ὁ ἀνὴρ πολλαχῶς φαίνεται.— Ἑρμάννος δ' ἐπιμαρτύρεται τὸν Ἰσοκράτη λέγοντα «οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς καὶ μὴ μετ' ἐλέγχου γενομένων, ὥστ' οὐ πολὺν χρόνον διαλιποῦσα παρὰ μὲν τῶν ἐξαπατησάντων δίκην λαβεῖν ἐπεθύμησε, τοὺς δὲ διαβληθέντας ἡδέως ἂν εἶδεν ἄμεινον ἢ πρότερον πράττοντας» Καὶ κατὰ Διογένην μὲν τὸν Λαέρτιον, λέγοντα (β, μγ'.) «Μελήτου θάνατον κατέγνωσαν,» ὑπολάβοι τις ἂν ὅτι Μέλητος εἰς τοὺς δικαστὰς ἐγκαλεσθεὶς κατεκρίθη. τούτῳ δ' ὁμολογεῖ καὶ Θεμίστιος ἐν λόγ. Κ'. σ. σ٦γ'. Διόδωρος μέντοι λέγει (ΙΔ, λζ'.) ὅτι «ὁ δῆμος μετεμελήθη· διόπερ τοὺς κατηγορήσαντας δι' ὀργῆς εἶχε καὶ τέλος ἀκρίτους ἀπέκτεινεν.» Σουΐδας δ' ἐν λέξει Μέλητος φησι, κατελιθώθη ὑπὸ τῶν Ἀθηναίων. ὡσαύτως δὲ καὶ ὁ Αὐγουστῖνος. C. D. VIII, 3. Καὶ Πλούταρχος δ' ἐν τῷ περὶ φθόνου καὶ μίσους φησί· «τοὺς γοῦν Σωκράτη συκοφαντήσαντας, ὡς εἰς ἔσχατον κακίας ἐληλακότας οὕτως ἐμίσησαν οἱ πολῖται καὶ ἀπεστράφησαν, ὡς μήτε πῦρ αὔειν, μήτε ἀποκρίνεσθαι πυνθανομένοις, μὴ λουομένοις κοινωνεῖν ὕδατος, ἀλλ' ἀναγκάζειν ἐκχεῖν ἐκεῖνο τοὺς παραχύτας, ὡς μεμιασμένον· ἕως ἀπήγξαντο μὴ φέροντες τὸ μῖσος.» Περὶ τῆς ἐπιδείξεως Πολυκράτους τοῦ σοφιστοῦ κατὰ Σωκράτους ἔπιθι Sauppe, fragm. Orat. gr. p. 222. ἦν δ' οὗτος ὁ Πολυκράτης Ἀθηναῖος, περὶ οὗ Διονύσιος ὁ Ἁλικαρνασσεὺς φησὶν ὡς «κενὸς μὲν ἐν τοῖς ἀληθινοῖς, ψυχρὸς δὲ καὶ φορτικὸς ἐν τοῖς ἐπιδεικτικοῖς, ἄχαρις δὲ ἐν τοῖς χαριεντισμοῦ δεομένοις ἐστίν.» Ἔγραψε δὲ ἄλλα τε ἐγκώμια καὶ μυῶν, καὶ χυτρῶν καὶ ψήφων, ἔτι δὲ πρὸς τούτοις «ἀκόλαστον σύγγραμμα περὶ ἀφροδισίων.» ἴδοις ἂν πρὸ

§. β'. Η ΣΩΚΡΑΤΟΥΣ ΦΙΛΟΣΟΦΙΑ.

α'. ᾗ τινι μεθόδῳ ὁ Σωκράτης προείλετο φιλοσοφεῖν.

Ἐπεὶ οὖν ὁ Σωκράτης φιλοσοφεῖν εἰώθει τοῖς ἑαυτῷ προσιοῦσιν ἁπλῶς διαλεγόμενος, τούτου γε ἕνεκα καὶ πάντ᾽ ἀκριβῶς τὰ ἐν φιλοσοφίᾳ αὐτῷ ἀρέσκοντα διεξελθεῖν οὐ πάνυ τι ῥᾴδιον ἂν εἴη. οὐ γὰρ ἀνεβάλετο, φιλοσοφικόν τι σύστημα ἐπινοήσας, διασαφηνίσαί τε αὐτὸ καὶ ἐν λόγοις μεθοδικοῖς ἑρμηνεῦσαι. (Πλάτ. ἀπολ. λγ'.). οὐδὲ γὰρ ὅλως διέφερεν αὐτῷ οἱανδήποτε φιλοσοφικὴν αἵρεσιν μετὰ σπουδῆς τοῖς περὶ ἑαυτὸν μεταδιδόναι, ἀλλὰ τοῦτο μάλιστα παρ' ὅλον τὸν βίον ἐφρόντιζεν, ὅπως καθαράν τε τὴν διάνοιαν τῶν προσιόντων καὶ πάσης ἀτοπίας ἀπηλλαγμένην ἀπεργάζοιτο, εἰς δὲ τὸ πράσσειν τὰ πρέποντα ἱκανοὺς αὐτοὺς ἀποδεικνύοι, ἔρωτα μὲν τοῦ εἰδέναι αὐτοῖς ἑκάστοτε ἐκ παντὸς λόγου ἐμποιῶν, ἑαυτοὺς δὲ γιγνώσκειν παρορμῶν καὶ εἰς τὸ μετ' ἐπιλογισμοῦ καὶ ἐπιστήμης ἐν τῷ βίῳ πολιτεύεσθαι χειραγωγῶν. τοῦτο προέθετο τῇ ἐν λόγοις μαιείᾳ χρώμενος (Θεαίτ. σ. ρμθ'), πρὸς τοῦτο ἀποβλέπων, πάντα λόγον τοὺς ἑαυτῷ προσομιλοῦντας ἐρωτῶν καὶ ἐξετάζων διετέλει (ἀπολογ. σ. 22, 23.) καὶ τοὺς τὸ φρόνημα ἐπηρμένους τῷ λόγῳ προσαναγκάζων ἄγνοιαν ἑαυτῶν καταγιγνώσκειν καὶ τὰ ἡμαρτημένα μετατίθεσθαι. Πᾶσα δ' ὑπόθεσις λόγου

πάντων τὸν Ἰσοκράτους Βούσιριν. Ἑρμάννου de Socr. acc. p. 15. . . περὶ δὲ τῆς ἀπολογίας ἢ τῶν ἀπολογιῶν τοῦ Λυσίου ἴδε Sauppe ἔνθ. ἀν. σ. 203. καὶ Ἑρμάννου ἔν. ἀν. σ. 16.

ἔστιν ὅτε καὶ τοῦ προςτυχόντος καὶ τετριμμένου λυσιτελεστάτη αὐτῷ ἐγίγνετο εἰς τὸ τοὺς νέους ἐπὶ τὰ καλὰ καὶ σεμνὰ ἑκάστοτε προςβιβάζειν. τοῦτο δὴ τὸ αἴτιον ὅτι ἡ Σωκράτους φιλοσοφία οὐ συνεχὴς οὐδ' εὖ ἠρθρωμένη ὑπὸ τῶν πάλαι ἡμῖν παραδέδοται. πάνθ' ὅσα δὲ οἱ μαθηταὶ αὐτοῦ Ξενοφῶν τε καὶ Αἰσχίνης ἀπεμνημόνευσαν, οὐδὲν ἄλλο ἐςὶν, εἰμὴ συνδιαλέξεις τινὲς τυχαῖαι, ὃν τρόπον τὰς φιλοσόφους διατριβὰς ἐποιεῖτο ἡμῖν διαδηλοῦσαι. πολλῷ μὲν δὴ ἐμβριθέστερόν τε καὶ ἐναργέστερον πάντων τῶν ἄλλων συνῆκε τὰ Σωκράτους ὁ Πλάτων· ἀφεκτέον μέντοι τοῦ ὡς ὁμοίωμα κατὰ τἀληθὲς ἠκριβωμένον ἐκλαμβάνειν, ἥν περ εἰκόνα τοῦ Σωκράτους ἐν τοῖς ἀξιολογωτάτοις τῶν διαλόγων αὐτοῦ πεποίηται. ὥστ' οὐκ ἂν πάνυ καλῶς τινι προχωρήσειεν, εἴπερ τὰ ἐν φιλοσοφίᾳ δόξαντα Σωκράτει βουλόμενος διεξελθεῖν, εἶτα τὰ παρὰ Πλάτωνι ὡς αὐτοῦ Σωκράτους λόγους πάντας ἐκλάβοι· ἀλλ' ἐκ τῶν Ξενοφῶντος μάλιστα προςήκει τὰ περὶ Σωκράτους ἀρύεσθαι· τοῖς δὲ Πλάτωνος προςχρηστέον, ἐφ' ὅσον ἂν μόνον δέῃ ἐκεῖνά τε συμπληροῦν καὶ τὴν τῶν Σωκρατικῶν λόγων φιλοσοφικὴν ἔννοιαν συνιέναι, οὓς γε Ξενοφῶν πιστῶς μὲν πάνυ παραδίδωσιν, οὐ μέντοι, ὡς ἔοικε, καὶ κατὰ βάθος ἐνενόησεν.

β'.) *Περὶ τίνα μάλιστα τῶν ὄντων ἦν ἡ Σωκράτους φιλοσοφία.*

Ὑποκείμενον τῆς μέχρι τοῦδε φιλοσοφικῆς θεωρίας σχεδόν τι οὐθὲν ἄλλο ἦν ἢ τὰ περὶ τὴν φύσιν ὄντα. Σωκράτης δὲ πάσης μὲν τῆς τοιαύτης πραγματείας

παντάπασιν ἀπέστη. εἰώθει δὲ λέγειν, τῆς περὶ τὴν φύσιν καὶ τὰ μαθήματα κενῆς τότ' οὔσης μεταρσιολογίας τρόπον τινὰ ὀλιγωρῶν (ις'), ὡς οὐ φρόνιμον εἴη ὅπως μὲν ὁ λεγόμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων καὶ τοιαῦτα δαιμόνια πράγματα σκοπεῖν, τῶν δὲ ἀνθρωπείων, ὧν μέγα ὄφελος, παρ' ἐκεῖνα, ἀμελεῖν. οὐχ ὧν περ ἐπιστήμην λαβεῖν ἀτεχνῶς ἀδύνατον (ιζ'.), τά γε ἐκτὸς ἡμῶν ὄντα εἰδέναι προτίθεται ὁ φιλομαθής, ἀλλ' ὧν ἕνεκα ἡμῖν τὸ εἰδέναι ἐμπέφυκε, τὰ ἐντὸς ἡμῶν ἤτοι τἀνθρώπεια. Οὐ γὰρ ἡμῖν τέλος πάντα ὁμοίως μανθάνειν· ἀμήχανον γάρ· ἀλλὰ τούτῳ ἀτενῶς τὴν διάνοιαν ἐφιστάναι, ὅ,τι καὶ συνιέναι ἔνεστιν ἀνθρώπῳ, ὃ δ'ἀνάγκη εἰδέναι, τοῦτό γε ἀκριβῶς εἰδέναι χρὴ, εἴ τις βούλοιτό γε ἔχειν διὰ παντὸς τοῦ βίου μετὰ λόγου τε καὶ ἐπιστήμης τὰ ἄριστα καὶ φρονιμώτατα λέγειν τε καὶ πράσσειν,ὡς ἀληθινῷ ἀνθρώπῳ προσήκει.(ιη) Μόνον οὖν ἔργον ἀληθινῆς φιλοσοφίας ἄξιον αὐτῷ εἶναι ἐδόκει, εἴπερ τὴν τῶν ἀνθρώπων διάνοιαν καὶ τὸν λόγον πάντων τῶν εἰς ἐπιστήμην ἐμποδὼν αὐτῷ γιγνομένων ἀπαλάσσουσα, οἷόν τ' εἶναι ποιοῖ τὰ ὅσια τῶν ἀνοσίων καὶ τὰ θεμιτὰ τῶν ἀθεμίτων καὶ τἆλλα τὰ περὶ τὸν

(ις) Ὅτι δὲ εἰς τὸ μηδὲν τὴν περὶ τὴν φύσιν θεωρίαν ἀπέῤῥιπτε δῆλον ἂν γένοιτο ἐκ τῶν Ξενοφῶντος ἀπομνημονευμάτων. Α, α'. ια'. ις'. Περ δὲ τὰ μαθηματικὰ τοσοῦτον μόνον τοὺς ἑαυτοῦ ὁμιλητὰς σπουδάζειν παρῄνει, ἐφ' ὅσον ἂν χρήσιμ' αὐτοῖς πρὸς τὸν βίον μέλλοι ἔσεσθαι. Δ,ζ'· β'.

(ιζ) Ἀδύνατον δε φησι, τεκμαιρόμενος τοῖς ἐναντίοις λόγοις, ἐν οἷς οἱ περὶ τῶν τοιούτων πεφροντικότες φιλόσοφοι ἀλλήλοις διαφωνοῦσιν, Ξενοφῶντος ἀπομνημ. Δ, ζ, ς', Α, α'. ιγ'.

(ιη) Ξενοφῶντος ἀπομνημονευμάτων Α, α'. ις'. — Δ, ζ', β–ι'.

βίον τὸν κοινωνικὸν εὖ ἀλλήλων διαστέλλειν, διδάσκουσα ὅ,τι μάλιστ' ἀνθρώπῳ ὠφέλιμον εἴη καὶ ἀγαθὸν καὶ ποθητὸν, αὐτὸ δὴ τοῦτο τὴν κατ' ἄνθρωπον εὐδαιμονίαν καὶ τελειότητα ἤτοι τὴν χρήσιμον ἀρετὴν καὶ τὴν πολιτικήν. Πᾶν δ' ἄλλο εἰδέναι, πλήν γε δὴ τῶν ἀνθρωπείων, περὶ ἐλαχίστου ἐποιεῖτο, ὡς μηδενὸς ἄξιον ὂν, παρ' ὅσον ἂν μηδεμίαν ἔχῃ ἀναφορὰν εἴς τι τῶν ἐν τῷ βίῳ χρησίμων. Διὸ καὶ εἰκότως τὴν Σωκράτους φιλοσοφίαν περὶ μηδὲν ἄλλο πραγματεύεσθαι ἔφασαν ἢ περὶ τὰ ἠθικὰ μόνον (ιθ)· φαίη μὲν οὖν ἄν τις αὐτὸν ἐνδίκως καινὴν ὁδὸν ἐν φιλοσοφίᾳ τραπέσθαι, οὐ μόνον ὅτι ἀπὸ τῶν μεταρσίων εἰς τὰς τῶν ἀνθρώπων κοινωνίας αὐτὴν μετεκάλεσεν, ὥστε αὐτὸν πρῶτον παρὰ τοῖς πάλαι εἰσηγητὴν γεγονέναι λέγεσθαι τοῦ λόγου τοῦ ἠθικοῦ (κ), ἀλλὰ πολλῷ μᾶλλον, ὡς ἔμοιγε δοκεῖ, ὅτι αὐτὸς πρῶτος ἦν ὁ τὴν μετὰ λόγου τε καὶ ἐπιστήμης

(ιθ) Ἀριστοτ. Μετ. Α, ς, γ'. « Σωκράτους περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐδὲν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν πρώτου ἐπιστήσαντος τὴν διάνοιαν—·» ὡσαύτως ἐν Μ, δ, δ περὶ μερ. Ζώ. Α, α. σελ. χμϐ'. α, κθ. «Ἐπὶ Σωκράτους τὸ ζητεῖν τὰ περὶ φύσεως ἔληξε, πρὸς δὲ τὴν χρήσιμον ἀρετὴν καὶ τὴν πολιτικὴν ἀπέκλιναν οἱ φιλοσοφοῦντες. — Cic. Tusc. V, 4 : Socrates primus philosophiam devocavit e coelo, et in urbibus collocavit, et in domos etiam introduxit, et coegit de vita et moribus rebusque bonis et malis quaerere. — Ξενοφῶντος ἀπομνημονευμάτων Α, α'. ιϐ'.

(κ) Διογ. Λαερ. Γ, νς'. « τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικός, δεύτερον δὲ Σωκράτης προσέθηκε τὸν ἠθικόν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικόν, καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν. Α, ιδ'. Σωκράτης ὁ τὴν ἠθικὴν εἰσαγαγών. Β, κα'. — Cic. Tusc. III, 4; a Socrate haec omnis, quae est de vita et moribus, philosophia manavit. —

ζήτησιν τῆς ἀληθείας συστήσας καὶ καινήν τινα μέθοδον ἱδρύσας, δι' ἧς ἂν οἷόν τ' εἶναι αὐτῷ ἔδοξεν ἐπιστήμην τινὰ τῶν ὄντων ἐναργῆ τε καὶ ἀδιάπταιστον λαμβάνειν. ἀλλ' αὕτη ἡ μετὰ λόγου ἐξηκριβωμένη ἀλήθεια, ἣν Σωκράτης ἐπεζήτει, οὐ περὶ πάντα ἁπλῶς τὰ ὄντα ἦν ἀλλὰ μόνον περὶ τὰ ἐν ἀνθρώποις ἔργα· τὴν γὰρ περὶ τῶν ὅλων φύσιν εἰδέναι, τοῦτο μὲν τῶν οὐκ ἐφικτῶν ἀνθρώπῳ εἶναι ἡγεῖτο, τοῦτο δὲ καὶ πάντῃ ἀλυσιτελὲς πρὸς τὸν καθ' ἡμέραν βίον ἀποβαίνειν (κα).

γ'. Ἀρχὴ τῆς Σωκρατικῆς φιλοσοφίας.

Συνήρχετο μὲν οὖν εἰς ταὐτὸν ἡ Σωκράτους γνώμη τῇ τῶν Σοφιστῶν, ἐφ' ὅσον γε καὶ αὐτὸς σκεπτικώτερόν πως πρὸς τὴν ψιλὴν θεωρίαν τῶν περὶ τὴν φύσιν εἶχε, φιλοσοφίας ἔργον ἄξιον ἡγούμενος τοῦτο εἶναι, τοὺς νέους διδάσκειν, ὅσα πρὸς τὸν βίον λυσιτελούντως ἔχει. Ἀλλὰ πάμπαν ἐναντίως πρὸς αὐτοὺς διέκειτο, καθ' ὅσον περ ἐκ τῆς ἑαυτοῦ φιλοσοφίας οὐχ ὅμοιόν τι πρὸς τὰ ἐκείνοις δόξαντα συνῆγεν ὅτι παντὶ ἀνθρώπῳ ἐξείη ἀπ' αὐθαιρέτου τινὸς οἰήσεως ὁρμωμένῳ, πᾶν ἁπλῶς τὸ ἀνθυφεστὼς τε καὶ καθόλου ἀρνουμένῳ, ὡς φροῦδόν τι ἄντικρυς πάσης προσοχῆς ἀπαξιοῦν, οὐδ' αὖ ἰσχυρίζετο τῷ λόγῳ ὅτι πᾶσα γνῶσις καὶ πᾶσα ἐπιστήμη μηδὲν εἴη ἄλλο ἢ φάντασμά τι καὶ δόγμα ἁπλοῦν ἑκάστου τῶν ἀνθρώπων, τά τε κοινῇ παραδεδεγμένα νόμιμά τε καὶ δίκαια μηδὲν ἄλλο ἢ τό γε ἑκάστῳ ἡδὺ εἶναι δοκοῦν· ἀλλὰ πάντα τὰ ἐναντία τούτοις ἐκεῖνός γε ἐδίδασκεν· οὐ γὰρ ἦν μέλημα

(κα) Ὅρα τὰ Ἀριστοτελικὰ χωρία ἐν σημειώσει ιθ'.

αὐτῷ ἐν τῷ βίῳ πᾶσαν δή ποτε ἐπιστήμην ματαίαν ἀποδεικνύναι, ἀλλ᾽ ὅσον οἷόν τε μάλιστα ἐναργῆ τε καὶ βεβαίαν τιθέναι, οὐκ ἀποφάσκειν τὰ ἐκτὸς ὄντα, ἀλλ᾽ὀρθῶς αὐτὰ συνιέναι παραινῶν, οὐδὲ τὸ φανταστικόν τε καὶ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐφ᾽ ἑαυτοῦ, καὶ νόμου παντὸς κρεῖσσον εἶναι δεῖν ἔφασκεν,ἀλλὰ πᾶσαν δόξαν πᾶσάν τε πρᾶξιν λόγον αὐτῇ τῇ φύσει τῶν ὄντων ἁρμόζοντ᾽ ἔχειν παρῄνει, καὶ τῶν φρόνησιν δ᾽ ἀσκούντων ἑκάστῳ, εἴπέρ τι ἄλλο καὶ τὸ λόγον ἑαυτῷ εἰδόναι προςήκειν τῶν τε βουλευομένων καὶ τῶν πραχθησομένων, ὡς οὐδ᾽ ὁπωςτιοῦν πρὸς τὴν τῶν ὄντων φύσιν ἐναντιουμένων. Πᾶσαν δὲ δόξαν ἀξίαν τινὸς λόγου ἔλεγε Σωκράτης εἶναι μόνον, ὅταν ἐναργής τε καὶ ἐξηκριβωμένη τοῦ πράγματος ἐπιστήμη καθιστῆται· καὶ πᾶσαν πρᾶξιν ὁμοίως, ὅταν ἐκ τοιαύτης τινὸς ἐπιστήμης ὁρμᾶται, οἷον ἔκφανσις αὐτῆς γιγνομένη. Προςήκειν δ᾽ ἔλεγε πάντα ἄνθρωπον, ᾧ περ ἂν τὸ λόγον ἔχειν μέλῃ, μηδὲν μηδενὶ πρότερον συντίθεσθαι, μηδενός τε πέρι γνώμην ἀποφαίνεσθαι, μηδ᾽ ἐγχειρεῖν τινι τὸ παράπαν, πρὶν διαγνῶναι ὅ,τι αὐτὸ τὸ πρᾶγμά ἐςι καὶ περὶ τίνος αὖ τῶν ἐν τῷ πράγματι ὁ λόγος γίγνεται, πρίν τε ἑαυτῷ συνειδέναι ἐπιστήμην ἀληθῆ αὐτοῦ τοῦ πράγματος ἔχοντα. σοφὸν δὲ καὶ σώφρονα εἶναι ἔφη, ὃς ἂν ἑκάστοτε τῇ ἑαυτοῦ οἰήσει τε καὶ κρίσει τὴν μετ᾽ ἐναργείας τε καὶ ἐπιστήμης εἰλημμένην ἰδέαν τοῦ ὄντος ἀντιτίθηται, μηδέν τε κρίνων καὶ μηδὲν προαιρούμενος, πρὶν ἢ τὰ δεδογμένα ἑαυτῷ εἰς ταὐτὸν ἐκείνῃ τῇ καθόλου ἰδέᾳ συνέλθῃ, πρὶν ἢ ἑαυτὸν συνεπιγνῷ ἐπιστήμην τοῦ πράγματος εἰληφότα ἐναργῆ τε καὶ ἀδιάπταιστον. εἶναι γὰρ τὸν ἄνθρωπον ζῶον λογικόν, μόνον τῶν ὄντων τοῦ ὡς ἀληθῶς

εἰδέναι δεκτικόν. Διὸ παρὰ τὴν φύσιν αὐτοῦ εἴη ἄν, εἴ περ ὁ ἄνθρωπος οἴοιτό τι τῶν ὄντων καὶ ἰσχυρίζοιτο ἄνευ λόγου τε καὶ ἐπιστήμης· καὶ πᾶσαν πρᾶξιν ὁμοίως τόσῳ κάλλιον ἔλεγεν ἀποβαίνειν, ὅσῳ γε ἂν τὸ ὅ,τι καὶ ὅπως αὐτῆς ἐγγύτερον ὁ πράσσων ἐπίσταται. Διὸ ἄλογον ἔφη καὶ οὐ φρενῆρες τὸ εἰκῇ καὶ ἄνευ ἐπιστήμης ζῆν τε καὶ πράσσειν ὑπομένειν. (κϐ) Μηδ' ἄλλως ἄρα ἔχειν ἂν ἕκαστον ἔφη αὐτοῦ γε τοῦ εἰδέναι καὶ τῆς ἐπιστήμης ἑκάστοτ' ἐπιτυγχάνειν ἢ τῷ μετ' ἐπιλογισμοῦ τά τε ὄντα καὶ τὰς ἰδιότητας αὐτῶν διορίζεσθαι. μηδὲ προςήκειν ἀνδρὶ φρονίμῳ γε μέλλοντι ἔσεσθαι ἱκανὸν εἶναι οἴεσθαι, εἰ δόξαν τινά ποθεν ὁπωςδήποτε λαϐὼν ἀδιόριστόν τε καὶ νοήματος κενὴν περί τε τῶν ὄντων αὐτῶν καὶ τῶν τούτοις συμϐεϐηκότων ἔχει· φυλακτέον γὰρ εἴπέρ τι ἄλλο καὶ τὸ περὶ οἱουδήποτε πράγματος ἀσαφῶς τε καὶ ἄνευ λόγου τοῦ ἀποχρῶντος διανοεῖσθαι ἢ ἀποφαίνεσθαι· σκεπτέον οὖν πολλῷ μᾶλλον πάντοθεν ἕκαστόν τε τῶν ὄντων αὐτὸ καθ' αὐτὸ καὶ τῶν κατηγορουμένων αὐτοῦ προσόντων· δέον γὰρ ἤδη πρότερον ἐπισταμένως μανθάνειν ὅ,τί ποτε τόδε ἢ τόδε εἴη τῶν ὄντων, ὅπως ἂν ἔχοι ἀληθές τι περὶ αὐτοῦ λέγειν καὶ πρεπόντως αὐτῷ ἐν τῷ βίῳ ἐπιχειρεῖν· ἐπιγνόντά τε ἤδη ὅ,τι ποθ' ἑκάστη εἴη τῶν ἰδιοτήτων, ἔχειν ἂν αὐτὴν καθ' οὗτινος δὴ τῶν ὄντων κατηγορεῖν καὶ οὕτως ἂν γνώμην περὶ αὐτοῦ εὔστοχον ἀποφαίνεσθαι. ᾧ γὰρ ἂν μὴ δῆλον ᾖ τῷ λόγῳ ὅ,τι ἕκαστον εἴη τῶν ὄντων, οὐθὲν

(κϐ) Ξενοφῶντος ἀπομνημονευμάτων βιϐλίον Γ, κεφ. Θ. § ς'. καὶ βιϐλίον Α, κεφ. α'. § Θ'. καὶ βιϐλίον Γ, κεφ. Θ', § ε'. καὶ κεφ, ς'. §. ζ'.

ἔφη θαυμαστὸν εἶναι αὐτόν τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν, φαντασίαν σφαλεράν τε καὶ ἡμαρτημένην αὐτῶν ἄμφω εἰληφότας. (ἀπομνημ. Δ, ϛ΄.) Τὸν γὰρ μετὰ λόγου ἔχοντα εἰδέναι, ὅ,τι, φέρ' εἰπεῖν, τῶν ἐν τῷ βίῳ ἀπαντώντων ἀγαθὸν εἴη, τοῦτον ἔφη μόνον δύνασθαι μὴ διαμαρτόντα εἰπεῖν ὅτι ὅδε ὁ ἄνθρωπος ἢ τόδε τὸ πρᾶγμα ἀγαθόν ἐστιν. (Δ, ϛ΄, ιγ΄. . .) ὃς δ' ἂν οὕτω τὴν διαλεκτικὴν τέχνην πεπαιδευμένος τυγχάνῃ ὥστε τήν τε οὐσίαν τῶν ὄντων καὶ τὰ συμβεβηκότα αὐτοῖς αὐτῇ τῇ νοήσει εἰλικρινῶς παρ' ἑαυτῷ λαμβάνειν, τοῦτον ἔφη ἱκανὸν εἶναι φυλάσσεσθαι, μήτε ὡς ταὐτὰ ἐκλαμβάνειν πράγματ' ἀλλήλων πλεῖστον διαφέροντα, ἐκ τῶν ἐπὶ μέρος ὁμοιοτήτων παραγόμενον, μήτε τὸ ἀνάπαλιν τὰ αὐτὰ πράγματα διά τινας δοκούσας εἶναι διαφορὰς διάφορα ἀλλήλων εἶναι λέγειν· (Γ, κεφ. Η, ε΄. ϛ΄.)· τόν τε αὖ μὴ σαφῶς εἰδότα ὅ,τι εἴη οὐσία καὶ ὅ,τι προσὸν τοῦ ὄντος κινδυνεύειν ἔλεγε τοιόνδε τι πάσχειν, αὐτόματα μέν τινα καὶ ἐπουσιώδη τῶν ὄντων γνωρίσματα ἀντὶ τῆς οὐσίας αὐτῶν τῆς κυρίας ἐκλαμβάνειν (Δ, κεφ. 6, § λζ΄. κεφξ. (κγ), συμβεβηκότα δὲ, ἅπερ τοῖς οὖσι προσφύεται μόνον, ὅταν αὐτὰ ἐν συναναφορᾷ τινι καὶ σχέσει πρὸς ἄλληλα τυγχάνῃ ὄντα (Δ, κεφ. ϛ΄. § η΄ κφξ. Γ, η,), ὥς τι] τῶν καθόλου καὶ ἀχωρίστων γνωρισμάτων αὐτοῖς ἀποδιδόναι, ὥστε ἔν τε ἔργῳ, ἔν τε λόγῳ περὶ τὸ διορίζεσθαι τὴν ἀξίαν ἑκάστου τῶν ὄντων δεινῶς αὐτοὺς ἐξαμαρτάνειν ἔφη. (Δ, κεφ. 6΄. § λα —λϛ΄.). Εἴτις οὖν τῇ διανοίᾳ τὴν ἰδέαν τοῦ προκειμένου

(κγ) Πλείονα παραδείγματα ἢ ὁ Ξενοφῶν παρέχονται οἱ Σωκρατικοὶ τοῦ Πλάτωτος διάλογοι Λάχης, Λύσις, Χαρμίδης, Πρωταγόρας.

πράγματος εἴληφε, συμβήσεσθαι αὐτῷ ἔφη καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα ἀκριβῶς εἰδέναι. τὸ γὰρ ἐπίστασθαι τὰ ὄντα μηδὲν ἄλλο εἶναι ἢ τὸ τὴν ἰδέαν αὐτῶν ἐν νῷ ἔχειν, καὶ τοῦτο ἔφη ποιεῖν τὸν ἄνθρωπον ἱκανὸν, ὅσον ἐνδέχεται, ὀρθῶς περὶ αὐτῶν ἑκάστοτε κρίνειν, ὃ μηδὲν ἄλλο εἶναι ἢ τὸ τὰ ἀληθῶς αὐτοῖς προςιδιάζοντα ἀποδιδόναι καὶ τοῦτο αὖ μηδὲν ἄλλο ἢ τὴν τοῦ ὄντος ἰδέαν τῇ τοῦ προςόντος συμπαραθέμενον, οἷόν τε εἶναι ἀποδεικνύναι ὅτι ἡ ἑτέρα τῇ ἑτέρᾳ συνέρχεται καὶ εὖ μάλα ἀλλήλαις ἁρμόζουσιν (Δ, κεφ. ϛ' § ιγ' κεφξ.). Φαίνεται δ' οὖν ὁ Σωκράτης τὸ πᾶν κῦρος τῇ μετὰ λόγου τῶν ὄντων θεωρίᾳ ἀποδιδόναι οὐχ' ἧσσον ἐν τοῖς πρὸς ἄλλους διαλόγοις ἢ ἐν τοῖς ἰδίοις ἔργοις. πολὺς γὰρ ἦν ἐν παντὶ λόγῳ θηρῶν τὸ ἀσφαλῶς δύνασθαι λέγειν ὅ,τί ποτε ἕκαστον εἴη τῶν ὄντων καὶ οὗ τινος εἴδους ἢ γένους εἴη, ἐφ' ὅσον τ' αὖ καὶ δι' ἣν αἰτίαν τόδε ἢ τόδε τῶν προςόντων ἀποδιδόναι αὐτῷ προςήκοι (κδ). Τοὺς δὲ ἑαυτῷ διαλεγομένους παντὸς πράγματος τὸν λόγον ἀπαιτῶν καὶ δὴ καὶ τὴν φύσει τοῖς Ἕλλησιν οὖσαν ἐνάργειαν μὲν περὶ τὸ διανοεῖσθαι, σύνεσιν δὲ περὶ τὸ κρίνειν ἐπὶ πλέον προάγων, πρός τε τὴν ὑπὸ τῶν σοφιςῶν ἐπενεχθεῖσαν τῶν ἰδεῶν σύγχυσιν καὶ πρὸς πᾶσαν ἄλλην ἀγροικίαν καὶ νοῦ ἀδράνειαν οἴησίν τε καὶ ἀλαζονείαν ἐκ τοῦ ἐμφανοῦς ἠναντιοῦτο (Δ, Α.). Ἔλεγε γὰρ

(κδ) Ξενοφ. Ἀπομνημον. Δ, κεφ. ϛ', § α' σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων οὐδέποτ' ἔληγε. κεφ. ε', § ια'. ἔφη δὲ δεῖν τοὺς ἀνθρώπους «ἔργῳ καὶ λόγῳ διαλέγοντας κατὰ γένη τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.» κεφ. ε', § ιϐ'. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα. Γ, κεφ. Η'. § α—γ'.

ὡς οὐχ ὁ ψιλὸς λέξεών τε καὶ φράσεων κόμπος, οὐδὲ τὰ ἐν ἀδιογνώστῳ ζόφῳ παραδεδομένα δόγματα καὶ αἱ δυςξυμβλήτως συμπεπλεγμέναι γνῶσεις ποιοῦσι τὸν ἄνθρωπον σοφὸν, σπουδαῖον καὶ εὐδαίμονα, ἀλλ' ἡ μετ' ἐπιλογισμοῦ θεωρία τῶν ὄντων καὶ τῶν σχέσεων αὐτῶν πρὸς ἄλληλα (Δ, ϐ'.).

Καὶ Ἀριστοτέλης δὲ Σωκράτη φησὶ τὴν φιλοσοφίαν προαγαγεῖν διὰ τὸ ἀεὶ ζητεῖν τὸ καθόλου καὶ τὴν οὐσίαν ὁρίζεσθαι ἑκάστου τῶν ὄντων (κε). Ἀλλὰ καὶ περὶ τῆς Πλάτωνος ἰδεολογίας φησὶν ὡςαύτως Ἀριστοτέλης εἰςαγαγεῖν αὐτὴν ὕστερον τὸν Πλάτωνα, ἐκ τῆς μεθόδου παρορμηθέντα, ᾗ γε Σωκράτης χρώμενος, ὡρίζετο τὰ καθόλου. τὸ γὰρ ὅ,τι ἤτοι ἡ καθαρῷ λογισμῷ ληπτὴ τῶν ὄντων οὐσία, ἧς περ τὴν γνῶσιν Σωκράτης ἔλεγεν αὐτὸ εἶναι τὸ εἰδέναι, τοῦτό ἐστι καὶ ἡ κατὰ Πλάτωνα ἰδέα· διάφορον δ' ἐν τούτοις μόνον· ὅτι Πλάτων μὲν τὰς ἰδέας αὐτὰς καθ' αὑτὰς εἶναι ἔλεγε, τῶν καθ' ἕκαστον ὄντων χωριστὰς, Σωκράτης δὲ οὐ χωρὶς τῶν ὄντων αὐτὰς ἐλάμβανεν (κϛ).

(κε) Μεταφ. Α, κεφ. ϛ, § γ'. ἴδε καὶ σημ. ιθ'. — Μ, κεφ. δ'. § η· «δύο γάρ ἐστιν, ἅ τις ἂν ἀποδοίη Σωκράτει δικαίως, τοὺς τ' ἐπακτικοὺς λόγους καὶ τὸ ὁρίζεσθαι καθόλου. ταῦτα γάρ ἐστιν ἄμφω περὶ ἀρχὴν ἐπιστήμης.» Μ, κεφ. θ', § λε'. «τοῦτο (τὴν Πλατωνικὴν ἰδεολογίαν) ἐκίνησε Σωκράτης διὰ τοὺς ὁρισμούς.»

(κϛ) Ἀριστοτ. Μεταφ. Μ. κεφ. δ'. §. θ. Σωκράτης εἰςήγαγε τὸ «ὁρίζεσθαι καθόλου». «Ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου οὐ χωριστὰ ἐποίει οὐδὲ τοὺς ὁρισμούς οἱ δὲ (περὶ Πλάτωνα) ἐχώρισαν, καὶ τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προςηγόρευσαν.» — Μ, κεφ. θ', § λε'. «οἱ περὶ Πλάτωνα ἀποφαίνονται «τὸ καθόλου παρὰ τὰ αἰσθητὰ εἶναι· τοῦτο ἐκίνησε Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισε τῶν καθ' ἕκαττον. καὶ τοῦτο ὀρθῶς ἐνόησεν, οὐ χωρίσας.»

δ΄. Περὶ τῆς Σωκρατικῆς μεθόδου

Ἡ μέθοδος, ᾗ περ Σωκράτης ἐν τῷ διαλέγεσθαι ὡς τὰ πολλὰ ἐχρῆτο, ἦν ἡ ἐπαγωγή, ἧς καὶ εὑρετὴν φησιν αὐτὸν Ἀριϛοτέλης γενέσθαι (σημ. κε΄.). Ἔϛι δὲ ἐπαγωγὴ (Inductio) πορισμὸς ἀληθείας τινὸς τῶν καθόλου ἔκ τινων τῶν ἐπὶ μέρους καὶ ὁμοίων τὸ γένος ἀλλήλοις ὄντων ἢ γιγνομένων ἢ ὡς Ἀριστοτέλης ὁρίζεται «ἐπαγωγὴ ἡ ἀπὸ τῶν καθ᾽ ἕκαστον ἐπὶ τὰ καθόλου ἔφοδος». Κατὰ τοῦτον οὖν τὸν λόγον εἴη ἂν ἐπαγωγὴ ὅταν, ἐρωτῶντός τινος ὅ,τί ποτ᾽ εἴη ὅ,τι δήποτε τῶν καθόλου λεγομένων, οἷον ὅ,τι καλὸν ἢ ἀγαθὸν ἤ τι ἄλλο τῶν τοιούτων αὐτὸ καθ᾽ αὑτὸ (in abstracto), ἐπιχειρῶμεν διασαφηνίζειν τὸ ἐκ τῶν πολλῶν καὶ τῶν ἐπὶ μέρους (in cocreto) ὑποδηλούμενον, κᾆτα ἐκ τῶν δεδομένων ἡμῖν τούτων δὴ τῶν καθ᾽ ἕκαστον, ἅ περ τὸ πλάτος τῆς ἐννοίας ἀποτελεῖ, τὰς μὲν διαφορὰς ἀφαιροῦντες, τὰ δὲ κοινὰ πᾶσι τούτοις γνωρίσματα συνάγοντες, συγκροτῶμεν τὸ λεγόμενον βάθος τῆς ἐννοίας, ὅ ἐστιν ὁ καθόλου ὁρισμὸς αὐτῆς καὶ ἑνί γε λόγῳ ἡ καθόλου ἰδέα τῶν τε ἑκάστοτε ἡμῖν προκειμένων καὶ πάντων ἁπλῶς τῶν ἐπὶ μέρους ὁμοειδῶν. (Ἀπομν. Γ, κεφ. η΄, § ε, ζ΄.). Λυσιτελεστάτη ἄρα ἡ ἐπαγωγὴ εἰς τὸ τὸν ὁρισμὸν ἀποδιδόναι παντὸς δήποτε ὄντος ἢ προςόντος. Ὡςαύτως δὲ ἀπόδειξις κατ᾽ ἐπαγωγὴν εἴη ἂν τόδε· ὅταν, ἐρωντῶντός τινος, εἴ τινι ὄντι οἱῳδήποτε, ἥτις δήποτε ἰδιότης προςείη ἢ μὴ προςείη, προδεικνύντες ὅτι καὶ ἕτερα ὄντα γένους τοῦ αὐτοῦ τῷ πρώτῳ ἐκείνῳ τὴν αὐτὴν ἰδιότητα ὡςαύτως ἔχει, ποριζώμεθα ἐντεῦθεν ὅτι ἡ ἰδιότης αὕτη παντί τε τῷ γένει καὶ δὴ καὶ ἐκείνῳ, ἑνί γε ὄντι, προσθε-

τέα ἐστίν. (Α, κεφ. β', § λβ'—Γ, κεφ. θ', § ι', κεφξ. — Α, κεφ. δ', § η', ιζ' κεφξ.). χρήσιμος ἄρα ἡ ἐπαγωγὴ ἐνταῦθα μὲν εἰς τὸ πορίζειν κρίσεις ἀσφαλεῖς καὶ λόγῳ διηκριβωμένας· ἐν δὲ τοῖς πρόσθεν προὐργιαιτάτη ἐφάνη εἰς τὸ ὁρίζεσθαι τὰ καθόλου.

Αὕτη δὲ ἡ κατ' ἐπαγωγὴν ἀπόδειξις κατὰ τοσοῦτον ἀληθοῦς ἐπιτυχίᾳ ὑπερφέρει, καθ' ὅσον περ ἔξεστι τῷ διαλεγομένῳ ἀπὸ γνωστῶν ἤδη καὶ συνήθων αὐτῷ ἐννοιῶν ὁρμᾶσθαι· διὰ γὰρ τῆς πείρας τῶν κατὰ μέρος καὶ χωρὶς ὄντων ἡ ἀπόδειξις εὐοδοῦται. (κζ). Διὸ

(κζ) Πρβλ. Ἀριστοτέλους Τοπικ. Α, κεφ. ιβ'. «Ἐπαγωγὴ ἡ ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου ἔφοδος. ἔστι δ' ἡ μὲν ἐπαγωγὴ πιθανώτερον καὶ σαφέστερον καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερον καὶ τοῖς πολλοῖς κοινόν, ὁ δὲ συλλογισμὸς βιαστικώτερον καὶ πρὸς τοὺς ἀντιλογικοὺς ἐνεργέστερον.» Trendelenburg Elem. Log. Arist. § 34. καθ' ὅσον ὁ ἐπακτικὸς λόγος ἐξ ὀλίγων τῶν ἐπὶ μέρους εἴδους τινὸς τῶν καθόλου πάντων πέρι τῶν ὅλῳ τῷ εἴδει ὑπαγομένων συμπεραίνεται, κατὰ τοσοῦτον καὶ τοὺς εἰδητικοὺς (*) τύπους ἤτοι τὰ καθόλου ὡς κατ' ἀνθυπόστασιν ὑπάρχοντα παραλαμβάνει. Διὸ καὶ φύσει πως εἰς ταὐτὸν τῇ δόξῃ συνέρχεται ὅτι αἱ ἰδέαι οὐσίαι καθ' ἑαυτάς εἰσίν.

Ἀλλὰ γὰρ οὐκ ἀναγκαῖον εἶναι οἶμαι ἐπακτικοῖς λόγοις χρωμένῳ εἰς ἐπίσκεψιν αὐτῆς γε τῆς ἀνθυφεστώσης οὐσίας τῶν ὄντων ἔρχεσθαι καὶ ὡς ὑπάρχουσαν αὐτὴν καθ' αὑτὴν πρότερον τιθέναι· οἷον τὸ τοιόνδε ὡς ἐν παραδείγματι λέγω· τὸ μὴ μένειν τοὺς ἐπιόντας πολεμίους ἀλλὰ τὴν ἀσπίδα ῥίψαντα, προτροπάδην φεύγειν, ὡς μόριον δειλίας ἔχοι ἂν ὁ ἐπαγωγῇ χρώμενος λαμβάνειν, μὴ ἀναγκαίου αὐτῷ ὄντος σκοπῆσαι πρότερον, εἴπερ ἀληθῶς κίνησις ὑπάρχει, ἧς μόριον ἡ φυγή· ἀλλὰ ταύτην τὴν φυγὴν πρὸς τὸν ἐσωτερικὸν ἄνθρωπον ἑλ-

(*) Εἰδητικός ἐστιν ὅρος Ἀριστοτελικὸς (τῶν μετὰ τ. Φυσ. Μ, θ'.), καίτοι μήπω τεταμιευμένος ἐν τοῖς λεξικοῖς !

δὴ καὶ Σωκράτης εἰώθει ὡς τὰ πολλὰ ἐπὶ λόγων ἐπακτικῶν τετριμμένοις χρῆσθαι παραδείγμασιν ἀπὸ τοῦ καθ' ἡμέραν βίου αὐτὰ παραλαμβάνων, δι' ὅπερ καὶ οἱ ἐναντίοι πολλάκις αὐτὸν ἐχλεύαζον λέγοντες, ὡς οὐδὲν παύοιτο ὄνους λέγων καθηλίους καὶ χαλκέας καὶ σκυτοτόμους καὶ βυρσοδέψας (κη). περὶ δὲ ἰδέας ἢ κρίσεως ἢ συλλογισμοῦ οὐδεμίαν ἔοικε θεωρίαν ὁ Σωκράτης ὁλοσχερῆ συνθέσθαι, ἀλλ' ἡ γε διαλεκτικῇ μεθόδῳ τοὺς ὁπότε τύχοι λόγους διεξῄει, οὐθὲν ἄλλο ἦν ἢ ἑτοιμότης τις καὶ δεινότης περὶ τὸ λέγειν ἐξ ἀμφιλαφοῦς πείρας αὐτῷ ἰδίᾳ γενομένη.

κοντες δειλίαν προςαγορεύομεν. Ἐξεῖναι δὴ οὖν ἡμεῖς γε φαμὲν καὶ τῷ κατ' ἐνδιάθεσιν οἰομένῳ τὸν ἄνθρωπον τῶν ἐκτὸς ἀντιλαμβάνεσθαι πάντων, ἐπαγωγῇ ὡςαύτως χρῆσθαι. ἄλλος γὰρ ὁ λόγος περὶ τῶν σοφιστῶν. μηδ' ἂν ἔχειν τινὰ οἶμαι τὴν ἐπαγωγὴν ὁρίζεσθαι εἶναι ἄλλο μηδὲν ἢ τὴν τῶν καθόλου εἰς τὰ κατὰ μέρος διαίρεσιν καὶ τούτων αὖ τῶν κατὰ μέρος ὑπαγωγήν τιν' ἁπλῆν εἰς τὰ καθόλου· σχολῇ γε!

(κη) Ξενοφ. ἀπομνημ. Α, κεφ. β'. § λζ'. Ἀλλὰ τῶν δέ σε, ἔφη (Κριτίας), δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων καὶ τῶν τεκτόνων, καὶ τῶν χαλκέων, καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρῖφθαι διαθρυλουμένους ὑπὸ σοῦ. Δ, κεφ. ς', § ιε'. ὁπότε τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην ἀσφάλειαν εἶναι λόγου. — Πλάτωνος συμπόσ. σελ. σκα', ε. εἴτις ἐθέλει τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι τὸ πρῶτον· ὄνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας καὶ ἀεὶ διὰ τῶν αὐτῶν ταὐτὰ φαίνεται λέγειν, ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε. — Γοργ. σελ. υϟ' κεφξ. Καλλικλῆς· ὡς ἀεὶ ταὐτὰ λέγεις ὦ Σώκρατες. Σωκράτης· οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. Καλλικλῆς· νὴ τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει, ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον.

ε'. Ἡ κατὰ Σωκράτη ἠθική.

Περὶ δὲ τῶν ἠθικῶν τοῦ Σωκράτους ἀξιωμάτων εἰκότως ἄν τις μηδὲν ἄλλο αὐτὰ εἶναι εἴποι ἢ πορίσματα ἐξ ἧς γε εἶχε θεωρίας περὶ τοῦ καθόλου εἰδέναι. εἰ μὲν γὰρ τὸ περὶ παντὸς πράγματος τὰ δέοντα δύνασθαι πράσσειν ἐκ τοῦ ὀρθῶς τὴν ἰδέαν εἰδέναι τοῦ προκειμένου συμβαίνει, δῆλον ὡς οὐκ ἂν ἄλλως ἔχοι καὶ πρὸς πᾶσαν ἠθικὴν πρᾶξιν. οὐ γάρ ἐστιν ὅπως τις τἀγαθὸν ποιήσει, μὴ προεγνωκὼς ὅ,τί ποτ' εἴη τὸ ἀγαθὸν αὐτὸ, οὐδ' αὖ τὸ ἐναντίον γε τούτου· ὃς γὰρ ἂν ἐπίστηται ὅ,τι ἀγαθόν ἐστιν ἐθελήσει πάντως ἐπιτελὲς αὐτὸ ποιῆσαι. Τὸ γὰρ πράσσειν καθόλου εἰπεῖν οὐδὲν ἄλλο ἐστὶν ἢ πρᾶξιν πράξεως ἄλλην ἄλλης προαιρεῖσθαι τὴν ὡς ἀρίστην ἑκάστοτε εἶναι δοκοῦσαν. τὸν δ' εἰδότα τὰ ἀγαθὰ ἀτεχνῶς ἀδύνατον μὴ οὐκ ἐθέλειν αὐτὰ ποιεῖν (κθ). Καὶ μὴν τὸ φθέγμα τόδε, ὡς ἡ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ ἐπιστήμη τε καὶ σοφία εἴη, πλεῖστον πάντων τῶν ἀξιωμάτων ἰσχύει τῆς Σωκράτους ἠθικῆς (λ). τοῦτό ἐστι καὶ διαλόγων τινῶν ὑπόθεσις, ἐν οἷς ὁ Σωκράτης προτιθέμενος φαίνεται τὰς ἰδίᾳ ἀρετὰς εἰς τὸ εἰδέναι πάσας κορυφῶσαι. καὶ αὐτὴν δὲ τὴν ἀνδρείαν μηδὲν εἶναι ἄλλο ἰσχυρίζετο εἰμὴ ἐπιστήμην διδακτήν τε καὶ ἀσκητήν, χρῆμά τι διδασκαλίᾳ τε καὶ

(κθ) Ξενοφῶντος ἀπομνημ. Δ, κεφ. ς', § γ'. ς', ια'. Γ, κεφ. θ', § δ'. ε'. «τά τε γὰρ δίκαια καὶ πάντα ὅσα ἀρετῇ πράττεται καλά τε καὶ ἀγαθὰ εἶναι, καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων προελέσθαι, οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν ἁμαρτάνειν ».

(λ) Ξενοφ. ἀπομν. Γ, κεφ. θ', ε'. Δ, κεφ· ς' § 6' κεφξ. — Ἀριστ. ἠθ. Νικ. Ζ, κεφ. ιγ'. Ἠθ, Εὐδ. Α, κεφ. ε'. — Ἠθ. Μεγ. Α, κεφ. α'.

ἀσκήσει μαθητὸν (λα). Ἐκ τούτου οὖν τοῦ δόγματος, ἐπιστήμην εἶναι τὴν ἀρετὴν, ἐν μὲν τῇ πράξει συνάγεται ὡς διδακτὸν αὐτὴ ὑπάρχει, ἐν δὲ τῇ μετὰ λόγου θεωρίᾳ ὅτι μία καὶ ἡ αὐτὴ πᾶσαι αἱ ἐπὶ μέρους ἀρεταὶ εἰσί. (λϐ) καὶ ὡς ἂν ἄλλως εἰπεῖν, αἱ πολλαὶ ἀρεταὶ διάφοροι μὲν ἀλλήλων καὶ χωρὶς εἶναι φαίνονται, παρ' ὅσον περὶ πράξεις διαφόρους ὀνόματα καὶ εἴδη διάφορα ἑκάστη αὐτῶν λαμβάνουσι, κατ' οὐσίαν μέντοι πᾶσαι μία καὶ ἡ αὐτή ἐστι, σύνεσίς τις πρακτικὴ μετὰ λόγου τε καὶ ἐπιστήμης οὖσα. εἰς ταῦτα δὴ τὰ τρία φθέγματα πρῶτον μὲν ὅτι ἡ ἠθικὴ ἀρετὴ ἐπιστήμη τίς ἐστιν, εἶτα ἐπιστήμη οὖσα, διδακτόν ἐστι καὶ τρίτον ὅτι μία καὶ ἡ αὐτὴ πᾶσαι αἱ κατὰ μέρος ἀρεταὶ, συγκεφαλαιωσαίμεθ' ἂν ἐν βραχεῖ πᾶσαν τὴν Σωκράτους θεωρίαν περὶ τῆς ἀρετῆς· καὶ τούτων τῶν τριῶν φθεγμάτων ἡ ἐκ πλαγίου ἀπόδειξις τὸ κεφάλαιον καὶ ὅλην τὴν πραγματείαν Πρωταγόρου ποιεῖ, ἑνὸς τῶν πρωϊαιτάτων τοῦ Πλάτωνος διαλόγων, ὃν ἔοικε συγγεγραφέναι, ὅτε σφόδρα τῆς Σωκρατικῆς φιλοσοφίας ἀντείχετο. πρὸς δὲ τούτοις ἐκ τοῦ πρώτου τῶν τριῶν φθεγμάτων, ὡς ἡ ἠθικὴ ἀρετὴ

(λα) Ξεν. ἀπομν. Δ, κεφ. ς', § ι', ια'. Γ, κεφ. θ', § α', ϐ'. Συμπόσ. κεφ. ϐ', § ιϐ'. «μετὰ δὲ τοῦτο κύκλος εἰσηνέχθη περίμεστος ξιφῶν ὀρθῶν. εἰς οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυϐίστα τε καὶ ἐξεκυϐίστα ὑπὲρ αὐτῶν. ὥστε οἱ μὲν θεώμενοι ἐφοϐοῦντο μή τι πάθῃ, ἡ δὲ θαῤῥούντως τε καὶ ἀσφαλῶς ταῦτα διεπράττετο. καὶ ὁ Σωκράτης καλέσας τὸν Ἀντισθένην εἶπεν, οὔ τοι τούς γε θεωμένους τάδε ἀντιλέξειν ἔτι οἴομαι ὡς οὐχὶ καὶ ἡ ἀνδρεία διδακτὸν, ὁπότε αὕτη, καίπερ γυνὴ οὖσα, οὕτω τολμηρῶς εἰς τὰ ξίφη ἵεται». — Ἀριστ. ἠθ. Νικομ. Γ, κεφ. α'. «ὅθεν καὶ ὁ Σωκράτης ᾠήθη ἐπιστήμην εἶναι τὴν ἀνδρείαν».

(λϐ) Ξεν. ἀπομν. Γ, κεφ. θ', § δ', ε', κεφ. δ'. § ιϐ'. — Ἀριστοτ. πολ. Α, κεφ. ιγ'. — Πλάτ. Μέν. σ. οα'. δ'.

ἐπιστήμη ἐστί, συνάγεται καὶ τοῦτο, ὅπερ Σωκράτης εἰώθει λέγειν, ὡς οὐδεὶς ἑκὼν εἶναι, εἰδώς γε τὰ βελτίω, κακὸς εἶναι προαιρεῖται (λγ). ἐπεὶ οὖν πᾶς ἄνθρωπος φύσει πως ἐπὶ τὰ βέλτιστα καὶ ἑαυτῷ συμφέροντα τρέπεται, δῆλον ὡς ἐάν τις περί τι ἁμαρτάνων βλάβην ἑαυτῷ παρασκευάζῃ, ἀμαθίᾳ ἢ ἀφροσύνῃ ἑαυτὸν οὕτω βλάπτει. (λδ) τὸ ἐπίστασθαι ἄρα τὰ ὄντα αἰτιώτατον ἐς τὰ μάλιστα πασῶν τῶν ἀνθρωπίνων πράξεων ἀναφανὲν, οὐκ ἄν ποτε ἧσσον γένοιτο τῶν διὰ τοῦ σώματος ἐπιθυμιῶν. εἰδέ ποτε ἄρα συμβαίνοι τὰς ἐπιθυμίας τοῦ λόγου κυριεύειν, τεκμήριον τοῦτο ὡς οὔπω ἱκανῶς ἡ ἐπιστήμη τῆς ψυχῆς τοῦ πράσσοντος ἐπείληπται. Μαρτυρεῖ δὲ τούτοις καὶ Ἀριστοτέλης ἐν ἠθικοῖς Νικομαχείοις (Η, κεφ. γ΄.) οὑτωσὶ λέγων· «Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις. ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὸν ὥςπερ ἀνδράποδον. Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον, ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν. οὗτος μὲν οὖν ὁ λόγος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς καὶ δέον ζητεῖν περὶ τὸ πάθος, εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας.» ὅρα καὶ Ξενοφ. ἀπομνημ. Γ, κεφ. θ΄, § δ΄. — Πλάτωνος Πρωταγ. σελ. τνβ΄. γ΄.

Ἐπεὶ τοίνυν αὕτη ἡ δόξα, ὅτι ἀρετή τε καὶ ἐπιστήμη

(λγ) Ἀριστοτέλους Ἠθικ. Μεγ. Α, κεφ. θ΄.

(λδ) Ἔπιθι καὶ Ξενοφ. ἀπομνημ. Γ, κεφ. θ΄, § δ΄, ε΄. Δ, κεφ. ς΄, § ς΄, ιϛ΄. — Πλάτωνος Ἀπολογ. σ. κε΄, ε΄.

ταὐτὸν, ὡς τὸ πᾶν κῦρος ἔχουσα ἐφάνη, εἰκὸς ἦν κα τὴν περὶ ἀγαθοῦ τοῦ ἀκροτάτου θεωρίαν συνακόλουθον ἐκείνῃ ἀποδεῖξαι. (λε). Τὴν ἀρετὴν γὰρ ὁ Σωκράτης εἰς ἀνθρώπου εὐδαιμονίαν πρὸ ἔργου τε εἶναι ἀπεφήνατο καὶ πάνυ λυσιτελῆ. Μόνον γὰρ τὸν φρόνιμον καὶ συνετὸν οἷόντ' ἂν εἶναι ἔφη κατὰ σκοπόν τε καὶ τέλος πάντα πράσσειν, τήν τε εὐπραγίαν ἑαυτῷ ἀσφαλῆ κατασκευάζειν καὶ πάντων τῶν ὡς ἀληθῶς εὐκτῶν ἐπιτυγχάνειν, οἷς δ' ἂν εὐνοίᾳ τύχης ἀγαθὰ ἔχοι πρεπόντως ἐν τῷ βίῳ χρῆσθαι καὶ ὡς ἂν κοσμιώτατα αὐτῶν εἰδέναι ἀπολαύειν, μηδεμιᾶς αὐτῷ ἐκ τούτων βλάβης ἐπιγιγνομένης. τούτων οὖν οὕτως ἐχόντων, δῆλον ὅτι οὐ τά γε ἐκτὸς ἡμῶν ἀγαθὰ ἄλλως λεγόμενα, ἀλλ' ἡ ἐν ἡμῖν αὐτοῖς οἰκοῦσα ἀρετὴ καὶ σοφία τὸ πᾶν ἰσχύει εἰς τὸ ποιεῖν ἡμᾶς ἱκανοὺς εὐδαιμόνως τε τὸν βίον πάντα διάγειν καὶ τοῦ μεγίστου ἀγαθοῦ ἐπιτυγχάνειν, ὃ δὴ καὶ τὸ κάλλιστον ἀνθρώποις γέρας εἰκότως ἄν τις ἐπιφημίσειεν. (Δ, ε', ς'.) Μέγιστον δ' αὖ ἀγαθὸν προςρητέον τὴν ἀρετὴν τά τε ἄλλα καὶ διὰ τὸ τοὺς ἀνθρώπους ἱκανοὺς παρασκευάζειν πάντα τε τὰ ἐν τῷ βίῳ εὖ διαπράσσειν καὶ ἑαυτοῖς ἀγαλλίασιν παρέχειν, ὡς ῥώμην τε ψυχῆς ἔχειν συνειδόσι καὶ ἐλευθερίαν τὴν ἀρίστην. (Α, ς', θ'. Δ, η', ς'.) Ἀλλά γε τῇ σωφροσύνῃ καὶ συνέσει ἐς τὸ πᾶν ἐναντιώταταί εἰσιν αἱ διὰ τοῦ σώματος ἡδοναὶ τοῦ ἀνθρώπου, τό τε πρὸς τὰ ἡδέα γλυκυθυμίας πλέων εἶναι καὶ τῶν ἐφημέρων καὶ φθαρτῶν ἀγαθῶν προςγλίχεσθαι, ῥαθυμία, πλεονεξία, φιλοδοξία, φιλαρχία καὶ τὰ τούτων ἀδελφά. ὃς γὰρ ἂν ταῖς ἐπιθυμίαις ταύ-

(λε) Ξενοφ. ἀπομν. Α, κεφ. ς'. Β, κεφ. β'. Δ, κεφ. ε'. — καὶ Πλάτωνος ἀπολογ. σ. λ'. α', β'.

ταις χαρίζηται, οὗτος δοῦλος αὐτῶν γίγνεται, μηδ' ἐξεῖναι αὐτῷ ἔλεγεν, ἀκρατεῖ γε ὄντι, ὑπὸ γαλήνην καὶ καὶ αἰθρίαν ψυχῆς τὰ ὄντα σκοπεῖν καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντα κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι· οὔπω γὰρ ἐν αὐτῷ ἡ φρόνησίς ἐςι τὸ ἄρχον καὶ δὴ καὶ εὐδαιμονίας οὐδεμιᾶς μόριον οὐδέν πω αὐτῷ ὑπάρχει. (Δ, ε, ζ'.) τἀναντία δὲ τούτοις συμβαίνει τῷ ἐγκρατεῖ καὶ ἀγαθῷ ἀνδρί· τῶν τε γὰρ ἐξωτερικῶν ἀγαθῶν, εἰ τύχοι, στερούμενος καὶ πρὸς τὰ προςπίπτοντα αὐτῷ κακὰ γενναίως πάνυ καρτερῶν, οὐδὲν παύεται εὐδαιμονίας πλήρης ὤν· τὸ γὰρ αἴτιον αὐτῆς ἐν αὐτῷ οἰκεῖ, ἡ φρόνησις καὶ ἡ ἐκ ταύτης βλαστάνουσα ἐλευθερία καὶ τῆς ψυχῆς τὸ ἀκέραιον. (Α, ς, θ'.) Ἄριστ' ἂν οὖν τις πράσσοι, εἴπερ τὰς σωματικὰς ὀρέξεις μηδὲ τὴν ἀρχὴν ἐν ἑαυτῷ ἐγείρεσθαι ἐᾷ, ἀλλ' ὡς ἔνι ἐλαχίστων δεῖσθαι ἑαυτὸν παιδεύει. Διὸ καὶ πρός τινα τῶν τἀναντία τούτοις διδασκόντων σοφιστῶν ὁ Σωκράτης ἔλεγεν· « ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου, καὶ τὸ μὲν θεῖον κράτιςον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίςου (λς)». καὶ τὸν ὡς λιτοτάτῃ διαίτῃ χρώμενον μόνον ἱκανὸν εἶναι ἔφη πάντα δι' ἀρετὴν πράσσειν καὶ δὴ καί, ὅσον γε ἀνθρώπῳ ἔνι, ὄλβιον τὸν βίον πάντα διάγειν. «ἆρά γε (ἔφη) οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι; τίς γὰρ ἄνευ ταύτης ἢ μάθοι τι

(λς) Ξενοφ. ἀπομνημ. Α, κεφ. ς'. § ι'.

ἂν ἀγαθὸν ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς ἱκετεύειν τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν· οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.» — «τοιαῦτα δὲ λέγων ἔτι ἐγκρατέστερον τοῖς ἔργοις ἢ τοῖς λόγοις ἑαυτὸν ἐπεδείκνυεν· οὐ γὰρ μόνον τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐκράτει, ἀλλὰ καὶ τῆς διὰ τῶν χρημάτων, νομίζων τὸν παρὰ τοῦ τυχόντος χρήματα λαμβάνοντα δεσπότην ἑαυτοῦ καθιστάναι καὶ δουλεύειν δουλείαν οὐδεμιᾶς ἧττον αἰσχράν». (ἀπομν. Α, κεφ. ε', § δ'.). ἔλεγε δὲ τοὺς ἐγκράτειαν ἀσκοῦντας μηδαμῶς ἀμοίρους εἶναι τῶν ἐν τῷ βίῳ ἡδέων, ἀλλὰ πολλῷ ἰσχυροτέραν τὴν ἀπὸ τούτων τέρψιν ἀναμένειν· ἔφη γὰρ «ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ»· «ἡ μὲν γὰρ ἀκρασία οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν οὔτε δίψαν οὔτε ἀφροδισίων ἐπιθυμίαν οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων ἔστιν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, καὶ περιμείναντας καὶ ἀνασχομένους ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις». (Ξεν. ἀπομν. Δ, κεφ. ε', § θ', ι'.). Ἀπολαύειν οὖν ἔλεγε τῶν ἐν τῷ βίῳ τερπνῶν ὡς ἀληθῶς μόνον, ὃς ἂν κατὰ κόσμον ἅπτηται αὐτῶν, τὸ μηδὲν ἄγαν ἐν παντὶ τηρῶν, τοῦτον ἔφη ὄν-

τως ἐλεύθερον καὶ γενναῖον ἄνδρα εἶναι, ὃς ἂν μὴ ταῖς ἡδοναῖς παρελκόμενος τῆς καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς ἐπιλανθάνηται. εἰ μὲν οὖν ἡ ἀρετὴ φρόνησίς ἐστι μετὰ λόγου, εὐδαιμονίας τε παρασκευαστικὴ καὶ τελειότητος ἐν γένει τῆς κατ' ἄνθρωπον, φανερὸν ἄρα ὡς πάντων μάλιστα φυλάσσεσθαι χρὴ, ὅπερ ἂν δύναμιν ἔχοι τῇ τε λελογισμένῃ προαιρέσει τἀνθρώπου ἐμποδὼν γίγνεσθαι καὶ τὰς τῆς ψυχῆς γενναίας παιδεύσεις κολούειν τε πρῶτον καὶ τέλος ἀφανίζειν. Ἔοικε τοίνυν ὁ Σωκράτης τὴν φιλοσοφίαν καὶ ἐν ταῖς ἠθικαῖς διατριβαῖς τοῦ φυσιολογικοῦ σχήματος παντάπασιν ἐκλῦσαι, ἐν ᾧ γε ὡς ἐν δεσμῷ τινι τὸ πρὶν πεπεδημένη ὑπῆρχε καὶ τοὐναντίον πρὸς τὴν τῶν σοφιστῶν μεταρσιολογίαν διανοίας ἔργον αὐτὴν καὶ λόγου ἀτεχνῶς ἀνέδειξεν.

ζ. Τίνες αἱρέσεις ἐκ τῆς Σωκρατικῆς φιλοσοφίας ἐβλάστησαν.

Ὅτι μὲν οὖν αἱ φιλοσοφικαὶ τοῦ Σωκράτους διατριβαὶ οὐκ εἰς εἶδος ἑνιαῖον ἀπηρτισμέναι ἦσαν, δῆλον μάλιστα ἐκ τοῦδε γένοιτ' ἄν· τῶν γὰρ ἐξ αὐτοῦ προελθουσῶν αἱρέσεων ἄλλη ἄλλον καὶ πάμπαν διάφορον σκοπὸν ἐν τῷ φιλοσοφεῖν προέθεντο. Ἐπεὶ γὰρ θεωρία ἐπιστημονικῶς ἠκριβωμένον σχῆμα ἔχουσα οὐδεμία αὐτοῖς προεβέβλητο, ἀλλὰ μόνον ὁ γόνιμος καὶ πνευματικὸς βίος τοῦ προεξάρχοντος, ἀπηνθίσατο ἕκαστος ἀπὸ τῶν διδαγμάτων αὐτοῦ ὅ,τι μάλιστα τῇ τῆς ψυχῆς αὐτοῦ δυνάμει ἢ διαθέσει συνᾷδον ἑώρα. Οἱ μὲν γὰρ τὴν διαλεκτικὴν τοῦ Σωκράτους ἕξιν ἐπὶ πλέον τελειῶσαι ἐπε-

χείρησαν, ὥς περ Πλάτων τε καὶ οἱ Μεγαρικοὶ, οἱ δὲ τὴν ἠθικὴν καὶ τὴν ἄλλην πρακτικὴν φιλοσοφίαν αὐτοῦ προείλοντο, οἷος Ἀντισθένης τε καὶ Ἀρίστιππος. Αἱ πλεῖσται οὖν τούτων τῶν Σωκρατικῶν ἀγωγῶν μονομερεῖς ἀπέβησαν. Μόνος δὲ ὁ Πλάτων δαιμονίᾳ φρενὶ τὸ ὅλον τῆς Σωκρατικῆς προθέσεως συλλαβὼν φαίνεται καὶ τὰς ἰδέας αὐτοῦ εἰς σύστημα φιλοσοφίας τέλεον ἐκορύφωσεν. Ἀλλὰ καὶ ἐπ' αὐτῶν ἔτι τῶν αἱρέσεων τῆς τρίτης περιόδου ἡ Σωκράτους φιλοσοφία οὐ τὴν τυχοῦσαν ἰσχὺν ἔσχεν· ἐκ μὲν γὰρ τῶν κυνικῶν οἱ Στωϊκοὶ προεληλύθεσαν, ἐκ δὲ τῶν Κυρηναϊκῶν ὁ Ἐπίκουρος καὶ ἐκ τῶν Μεγαρικῶν οἱ Σκεπτικοί. συνελὼν δ' ἄν τις εἰπεῖν ἔχοι πάσας σχεδὸν τὰς ὕστερον Σωκράτους ἀνθησάσας αἱρέσεις, ὡς ἔπος εἰπεῖν, ἀναλάμψεις αὐτῆς γε ταύτης τῆς Σωκρατικῆς φιλοσοφίας γεγονέναι ἐπὶ τὸ τελεώτερον ἀεὶ λαμβανομένης. Πρῶτον μὲν οὖν τὰς τρεῖς μονομερεῖς καὶ ἀτελεστέρας ἀντιλήψεις αὐτῆς ἐπισκεπτέον, αἵτινες ἐξ ἀνδρῶν αὐτῷ τῷ Σωκράτει συγγενομένων προῆλθον· καὶ πρῶτον τὴν φιλοσοφίαν τοῦ Ἀντισθένους ἤτοι τὴν κυνικὴν ἀγωγὴν διεξιτέον· εἶτα δὲ τὴν στάσιν τοῦ Ἀριςίππου ἤτοι τὴν κυρηναϊκὴν αἵρεσιν. καὶ τρίτον τὴν πραγματείαν τοῦ Εὐκλείδου καὶ τὴν ὑπ' αὐτοῦ συγκροτηθεῖσαν σχολὴν τὴν Μεγαρικήν.

§ ΚΒ'. Ἀντισθένης καὶ οἱ Κυνικοί.

Ἀντισθένης Ἀντισθένους Ἀθηναῖος. Ἐλέγετο δὲ οὐχ εἶναι ἰθαγενής· Θράττης γὰρ μητρὸς ἐδόκει εἶναι. ἐνθουσιαστικῶς δὲ σφόδρα διετέλεσεν ἀγάμενος τὰ περὶ ἀρετῆς διδάγματα καὶ τὸν πρακτικὸν βίον τοῦ Σωκράτους·

καὶ κατ' ἀρχὰς μὲν Γοργίου ἀκροατὴς ἐγένετο· εἶτα δὲ τὴν ἡλικίαν ἤδη προβεβηκὼς ἤρξατο τῇ ἐμμελεῖ ὁμιλίᾳ τοῦ Σωκράτους ἐνασμενίζεσθαι ἐς ὃ τέλος τοσοῦτον αὐτὸν ἐθαύμασεν, «ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς». Συγκαταλέγεται δὲ καὶ οὗτος ὑπὸ Πλάτωνος ἐν Φαίδωνι τοῖς Σωκράτει παραγεγενημένοις ἐν τῷ δεσμωτηρίῳ, ὅτε τὸ κώνειον ἔπιε. Σωκράτους δὲ τελευτήσαντος, συνέστησεν ὁ Ἀντισθένης σχολὴν ἰδίαν ἐν γυμνασίῳ τινὶ μικρὸν ἄποθεν τῶν πυλῶν Κυνοσάργει καλουμένῳ, εἰς ὃ ἠδύναντο φοιτᾷν, ὅσοι μὴ ἀμφοτέρωθεν ἰθαγενεῖς πολῖται ἦσαν, ἐν οἷς καὶ αὐτὸς ὁ ἀρχηγὸς ἐτέλει. (Διογ. Λ. ϛ', § α'.). εἴτ' οὖν ἐκ τοῦ ὀνόματος τοῦ τόπου, εἴτε καὶ κατ' εἰρωνείαν κυνικοὶ οἱ ἄνδρες ἐπωνομάσθησαν ὑπὸ τῶν ἐκφαυλιζόντων τὴν δίαιταν αὐτῶν ὡς λιτοτέραν τοῦ δέοντος οὖσαν. αὐτός τε ὁ Ἀντισθένης Ἁπλοκύων ἐπεκαλεῖτο.

Ἡ δὲ φιλοσοφία τοῦ Ἀντισθένους εἰς τὰ ἐν τῷ βίῳ ἔργα πρὸ πάντων ἀπέβλεπε. Θαυμαστὴς δ' ἐς τὰ μάλιϛα Σωκράτους διατελῶν διά τε τὴν τῆς διανοίας ἰσχὺν καὶ τὸ ἐλεύθερον τοῦ ἤθους αὐτοῦ, ἀπεφαίνετο ὅτι τὸ κατ' ἀρετὴν ζῆν σκοπὸς ἐνθάδε ἔσχατος ἀνθρώπῳ ὑπάρχει ἄκρον τε καὶ μόνον ἀγαθὸν ψυχῇ ἀνθρωπίνῃ· αὐτάρκη γὰρ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν εἶναι ἐδόξαζεν. ὡσαύτως δὲ τῷ Σωκράτει παρὰ πόδας ἀκολουθῶν, τὴν ἀρετὴν φρόνησιν εἶναι καὶ διδακτὴν ἔλεγεν. οὐδ' ἀναγκαῖον ἔκρινεν λόγους πολλοὺς ἐπ' ἀκριβὲς περὶ αὐτῆς ἀνασκοπεῖσθαι. ἔργα γὰρ εἶναι τὴν ἀρετὴν ἔφη μήτε λόγων συχνῶν δεομένην, μήτε μαθήσεων, μηδ' ἐπιστημονικῆς τινος παιδείας τὸ παράπαν· μηδενὸς γὰρ αὐ-

τὴν προςδεομένην ἔλεγεν «ὅτι μὴ Σωκρατικῆς ἰσχύος». κυριωτάτην δὲ τῶν ἀρετῶν πασῶν τὸ ὡς ἔνι ἐλαχίστων δεῖσθαι, τὴν αὐτάρκειαν ἡγεῖτο, πασῶν τε τῶν ἡδονῶν καταφρονεῖν καὶ πρὸς πάντας πόνους καὶ ταλαιπωρίας καρτερεῖν (γ). σοφὸν δὲ ὄντως ἐμακάριζε μόνον τὸν τῆς ἀληθοῦς ἀρετῆς ἐξιγμένον καὶ ἀσείστως ἐπ' αὐτῆς ἐφιδρυμένον. κρείσσονα δ' εἶναι τὸν σοφὸν τῶν παρὰ τοῖς ἀνθρώποις νόμων τεθειμένων· πειθόμενον γὰρ ἑαυτὸν τῷ νόμῳ τῆς ἀρετῆς ἑκουσίως τε καὶ ἐλευθέρως παρέχειν· «καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύσεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς». Φρόνησιν δὲ αὐτὸν καὶ βούλησιν ἄπταιστον ἔχοντα μόνον αὐτάρκη ἑαυτῷ εἶναι ἔλεγε· μηδὲν γὰρ αὐτῷ μέλειν μήτε εὐδοκιμήσεως μήτε ὀλιγωρίας τῆς παρὰ τοῖς ἀνθρώποις· εὐδαίμονα δὲ τελέως εἶναι διὰ τὸ ἀγαθὸν κεκτῆσθαι ὅπερ μόνον ἀληθὲς καὶ ἀκήρατον παραμένει, τὴν ἀρετὴν νοῶν· εἴ τι ἄρα τῆς τε αὐταρκείας καὶ ὀλιγαρκείας ἀποκωλύοι ἤγουν πᾶσαν ἡδονὴν κακὸν εἶναι ἔφασκε, «μανείην μᾶλλον ἢ ἡσθείην» ἐπᾴδων· πᾶν δὲ τὸ εἰς ἐκείνας ἡμᾶς προςβιβάζον, πόνον τε καὶ ταλαιπωρίαν ἀγαθὸν ἐπεφήμιζεν· «ὁ πόνος ἀγαθὸν — ἀδοξία ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ» λέγων· πάντα δὲ τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα (δ).

Ἀλλ' οἱ ὕστερον κυνικοὶ εἰς φανερωτέραν ἐκφαύλισιν τῆς ἐπιστήμης ἐξηνέχθησαν καὶ ἔτι μείζονα ὀλιγωρίαν τῶν κοινῇ νομιζομένων ἠθῶν, πολλάκις ἐπὶ τὸ εἰδεχθέστερον καὶ ἀσχημονέστερον παραφθείροντες τὰ τοῦ Σω-

(γ) Διογ. Λ. ς, § ια', ρε'. πρβλ. καὶ ς, § 6. τὸ καρτερικόν.
(δ) Διογ. Λ. ς, § γ'. § 6. § ια'.

κράτους σεμνὰ καὶ γενναῖα διδάγματα. ἐλλογιμώτατον δὲ πάντων καί πως σύμμικτον παράδειγμα ταύτης τῆς κυνικῆς ἀτοπίας Διογένης ἦν ὁ Σινωπεύς, Ἀντισθένους μαθητής, ὃν Πλάτων Σωκράτη μαινόμενον ἐπωνόμαζε. τούτου τοῦ ἀλλοκότου, ἅμα δὲ εὐφυεστάτου καὶ ἀποφθεγματικοῦ ἀνδρὸς μαθητὴς ἐγένετο Κράτης, ὃς διὰ τὸν ἀκηκοότα αὐτοῦ Ζήνωνα μετάβασιν ἀποτελεῖ εἰς τὴν τῶν στωϊκῶν φιλοσοφίαν. ἀρετὴν δὲ μάλιστα καὶ φιλοσοφίαν οἱ κυνικοὶ τιμῶντες, διὰ μνήμης εἶχον τὴν Σωκράτους παιδείαν, ὥς που καὶ Διογένης εἰώθει λέγειν « εἰς τὸν βίον παρεσκευάσθαι δεῖν λόγον ἢ βρόχον ». (Διογ. Λ. ϛ΄, κδ΄) Ἀλλ' ἡ περὶ ὀλιγάρκειαν καὶ αὐτάρκειαν σπουδὴ τούτων τῶν ἀνδρῶν τηλικαύτης ὑπεροψίας καὶ καινοτομίας, ἠθῶν τε ἀγροικίας μεστὴ ἐφαίνετο, ὥστε δικαίως ἄν τις εἴποι τὴν ἀρετὴν αὐτῶν ἐγγυτάτω φιλαυτίας γεγονέναι· οὐ γὰρ τοῦτό γε μόνον ἐμελέτων, ὅπερ αὐτοὶ τῶν ἄλλων κατασοβαρευόμενοι ἔλεγον, ὡς ἔνι μάλιστ' ἀνθρώπῳ τῶν κακιῶν ἐπικρατῆσαι, ἀλλ' ἅμα καὶ αὐτῶν τῶν καθηκόντων καὶ τῶν ὁρίων τῆς ἀνθρώπων κοινωνίας ὅλως ἀπαλλαγῆναι ἐβουλεύοντο. Πρὸς δὲ τούτοις ἡ περὶ τῆς ἀρετῆς ἐπιμέλεια καὶ θεραπεία τῶν ἀνδρῶν μόνον περὶ ἐγκράτειαν καὶ καρτερίαν οὖσα, πάσης θετικῆς ἰδέας ἐπιδεεστέρα ἐφάνη ἢ ὥστε ὄφελός τι παρασχεῖν πρὸς τὰ ἤθη τῶν κατ' ἐκείνους τοὺς καιροὺς ἀνθρώπων.

§ ΚΓ΄. Ἀρίστιππος καὶ οἱ Κυρηναϊκοὶ ἢ ἡδονικοί.

Ἀρίστιππος ἐκ Κυρήνης πόλεως πολυτελεστάτης ὁρμώμενος, Ἀθήναζε ἐπορεύθη κατὰ κλέος τὸ Σωκρά-

τους, ᾧ καὶ διετέλεσε προσομιλῶν σχεδὸν μέχρι τῆς τελευτῆς αὐτοῦ (Φαίδ. σ. νθ', γ'), μηδαμῶς τὴν ἁϐρὰν καὶ χλιδανὴν δίαιταν ἀποθέμενος, ἐν ᾗ ἐκ παίδων τεθραμμένος ἦν. (α). Ἱλαρὸς δ' ὢν τὸ ἦθος καὶ φύσει ἀστεῖος ἀνὴρ, «ἦν ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμοδίως ὑποκρίνασθαι», ἀεὶ τὸ προςπεπὸν εὖ διατιθέμενος· «Διό ποτε Στράτωνα, οἱ δὲ Πλάτωνα πρὸς αὐτὸν εἰπεῖν· σοὶ μόνῳ δέδοται καὶ χλανίδα φορεῖν καὶ ῥάκος» (ϐ). Ἔτι δὲ καὶ ἀγαθῶν στερήσεις ἱκανώτατος ἦν φέρειν καὶ ἐν χαλεποῖς καιροῖς εἴ περ ἦν τι τῶν ἐν τῷ βίῳ τερπνῶν, ἐκ παντὸς τρόπου ἑαυτῷ παρασκευάζειν. αἱ δὲ πλεῖϛαι τῶν ἀποδιδομένων αὐτῷ χαριτιῶν ἀναφορὰν ἔχουσιν ἢ εἰς τὴν ὁμιλίαν αὐτοῦ μετὰ Διονυσίου τοῦ Συρακουσῶν τυράννου ἢ εἰς τὸν ἔρωτα Λαΐδος τῆς ἑταίρας. καὶ ἐν ταύταις δὲ ταῖς ὁμιλίαις δεινὸς ἦν, ὡς αὐτὸς ἔλεγεν, ἀκήρατον τὴν ἑαυτοῦ ἐλευθερίαν διασώζειν· πρός τε τοὺς ὀνειδίζοντας αὐτῷ τὸν Λαΐδος ἔρωτα ἔφη· «ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι· ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδο-

(α) Ξενοχ. ἀπομνημ. Β, κεφ. Α, § α'· «Ἐδόκει μοι ὁ Σωκράτης τοιάδε διαλεγόμενος προτρέπειν τοὺς συνόντας, ἀσκεῖν ἐγκράτειαν βρωτοῦ καὶ ποτοῦ καὶ λαγνείας καὶ ὕπνου. γνοὺς γάρ τινα τῶν συνόντων ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, εἰπέ μοι, ἔφη ὦ Ἀρίστιππε, κ. τ. λ.— Πλάτ. ἐν Φαίδ. σ. νθ', γ'. τί δαί; Ἀρίστιππος παρεγένετο; — Φαίδων. οὐ δῆται· ἐν Αἰγίνῃ γὰρ ἐλέγετο εἶναι». ταύτην τὴν φράσιν τοῦ Πλάτωνος καὶ αὐτοὶ οἱ παλαιοὶ ἤδη ὡς μέμψιν κατ' Ἀριστίππου ἐξέλαβον Διογ. Λ. Γ, λϛ'. — καὶ Ἀθήν. ιϐ, ξγ'. σελ. φμδ'. «Διέτριβεν ὁ Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν».

(ϐ) Διογ. Λαέρ. Β, ξϛ'ξζ'. — Hor. Ep. 1. 17, 23· Omnis Aristippum decuit color et status et res, tentantem majora, fere praesentibus aequum.

νῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι». (γ). Ἦν δ' αὐτῷ ἀπόφθεγμα· σοφὸν εἶναι μᾶλλον τὸν ἐπιστάμενον ἑαυτῷ τοὺς καιροὺς συμπεριφέρειν ἢ αὐτὸν τοῖς καιροῖς συμπεριφέρεσθαι (δ).

Ἡ Ἀριστίππου φιλοσοφικὴ πραγματεία συγκορυφοῦται πᾶσα εἰς τόδε τὸ δόγμα. Δύο γὰρ ἔλεγεν εἶναι πάθη, πόνον καὶ ἡδονήν· τὴν μὲν, λείαν κίνησιν, τὴν ἡδονήν, τὸν δὲ πόνον, τραχεῖαν κίνησιν· καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δ' ἀποκρουστικόν. Τέλος οὖν καὶ τοῦ ἀνθρωπικοῦ βίου καὶ ἄκρον ἀγαθὸν μηδὲν ἄλλο εἶναι ἢ τὴν ἡδονὴν, πρὸς ἣν μόνην πάντας ἀνθρώπους φύσει φέρεσθαι. σαφέστερον δ' ὁριζόμενος ἔλεγεν ἡδονὴν τὴν θετικὴν, τὴν ἐν κινήσει, ἀλλ' « οὐ τὴν καταστηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀνοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται καὶ τέλος εἶναί φησι» (ε) ἔτι δὲ ἡδονὴν μερικὴν ἐπεζήτει, ἡδυπάθειαν μονόχρονον· δύνασθαι γὰρ ἔφη τοὺς ἀνθρώπους μόνον τὸ ἑκάστοτε παρὸν οὕτως ἢ ἄλλως διατίθεσθαι· τὸ δὲ παρεληλυθὸς κατέχειν τε καὶ ἐπὶ πλέον αὐτοῦ ἀπολαύειν ἀμήχανον ἀνθρώπῳ· ἀλλὰ καὶ τὸ ἐπὶ μελλούσῃ ἡδονῇ πεποιθέναι ἀλόγιστον (ϛ). Πολυχρόνιον γὰρ ἢ καὶ παραμόνιμον εὐφροσύνην ἐν παντὶ τῷ βίῳ, καίτοι ἀγαθὸν οὖσαν, μηδαμῶς μέντοι ἔλεγεν εἶναι τὸ ὑπὸ τοῦ σοφοῦ θηρώμενον

(γ) Διογ. Λ. Β, οε'. — Ἀθήν. ΙΒ, ξγ'. σελ. φμδ', ε'. — Cic. ad fam. IX, 26, 2.

(δ) Horat. Ep. I, 1, 17· (nunc fio) virtutis verae custos rigidusque satelles; nunc in Aristippi furtim praecepta relabor, et mihi res, non me rebus subjungere conor.

(ε) Διογ. Λ. Β, πζ'. πθ'.

(ϛ) Ἀθην. ΙΒ, σ. φμδ'. — Διογ. Λ. Β, ξϛ'. πθ'.

τέλος· τὴν γὰρ ἐπίτευξιν ἡδονῆς τινος τοιαύτης, ἀνεκλύτου τῷ χρόνῳ μενούσης, τὴν ἀνθρώπων δύναμιν ὅλως ὑπερβαίνειν· εὐφραίνειν τε μόνον ἔλεγε τὴν ἡδονὴν αὐτὴν, ψιλὴν δ' ἀνάμνησιν παρελθούσης ἢ ἐλπίδα ἡδονῆς μελλούσης μηδ' ὁπωςτιοῦν εὐφραίνειν (Διογ. Λ. Β, πθ', ϛ'.). «Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονὴν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι· εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετὴν, τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς». (ζ).

Γνησίαν δὲ καὶ ἰσχυρὰν ἡδονὴν ἡγεῖτο εἶναι ὁ Ἀρίστιππος τὴν σωματικήν, ἣν καὶ ἀμείνω τῆς ψυχικῆς ἔλεγεν. Ἀλλὰ καὶ τὴν φρόνησιν λυσιτελῶς γ' ἔχειν ἀπεφαίνετο εἰς κτῆσίν τε ἡδονῆς καὶ ἀπόλαυσιν, τοῦτο μὲν ὅτι τὰ πάθη καὶ τὰς προλήψεις τὰς τῷ ἡδέως ζῆν ἐμποδὼν γιγνομένας, ἄμφω ταῦτα τὰ τῆς ἀληθοῦς ἡδονῆς κωλυτικὰ ἐπελθοῦσα ἡ φρόνησις διαλύει τε καὶ ἐκποδὼν ποιεῖται· τοῦτο δὲ ὅτι τὸν σοφὸν διδάσκει συμπεριφέρεσθαί τε τοῖς καιροῖς καὶ πράγμασι καὶ πρὸς τὸ ἴδιον ὄφελος αὐτοῖς χρῆσθαι, ἀπολαύειν δὲ τῶν ἡδονῶν, χωρὶς τοῦ ὑπ' αὐτῶν κρατεῖσθαι. Διογ. Λ. Β, οε'.

Δικαίως οὖν ἄν τις ἔροιτο τίνι ποτέ τις λόγῳ πεισθεὶς ἔχοι ἂν εἰπεῖν περὶ τῆς τῶν Κυρηναϊκῶν ἀγωγῆς τὴν μὲν διὰ τοῦ σώματος ἡδονὴν οἷον ἀρχὴν τιθεμένης, τὴν δὲ φρόνησιν ὡς ἡδονῆς ὄργανον ἐκφαυλιζούσης, κοινόν τι ὅλως ἔχειν αὐτὴν πρὸς τὴν Σωκράτους φιλοσοφίαν;

(ζ) Διογ. Λ. Β, πζ' κεφ.

Καὶ μὴν εὕροι ἄν τις ἀναφορὰν καὶ ὁμοιότητα πρὸς ἀλλήλας ὡς ἀληθῶς ὑπάρχουσαν. Σωκράτης γὰρ ὡς πολλαχοῦ τῶν παρὰ Ξενοφῶντι διαλόγων φανερὸν ἡμῖν γίγνεται, ἠθικὰ ἀξιώματα καὶ καθήκοντα τούτῳ τῷ τρόπῳ ἐπικυροῦν ἐζήτει, τὸ ἐκ τῆς πληρώσεως αὐτῶν ἑκάστοτ' ἐπιγιγνόμενον ὄφελος ἐναργῶς ἀποδεικνύων. Οὕτως οὖν καὶ ἐν ἀπομνημονεύμασι τοῦ Ξενοφῶντος (Α, κεφ. ε'. Β, κεφ. α'. Δ, κεφ. ε'.) τοὺς συνόντας ἑαυτῷ πρὸς ἐγκράτειαν προτρέπει, δεικνὺς ὅτι ὁ ἐγκρατὴς ἄνθρωπος πολλῷ ἡδύτερον καὶ εὐθυμότερον τὸν βίον διάγειν πέφυκεν ἢ ὁ ἀκρατής. Φανερὸν δὲ καὶ ὡς Σωκράτης, καθάπερ αὐτῷ τῷ Ἀριστίππῳ, οὕτω καὶ πολλοῖς ἄλλοις μέτρον ἐν ἡδοναῖς τηρεῖν παρῄνει, ὡς ἄριστον ἡγούμενος τὸ μετὰ κόσμου καὶ φρονήσεως τῶν ἐν τῷ βίῳ ἡδέων ἀπολαύειν. τὸ δ' οὖν ἀξίωμα τοῦτο τὸ Σωκρατικὸν μονομερῶς ὁ Ἀρίστιππος ἠσπάσατο, τῇ ἑαυτοῦ ἕξει τε καὶ διαθέσει τῆς ψυχῆς αὐτὸ προσαρμόσας. Ἔλεγε δὴ τέλος καὶ ἀγαθὸν ἀνθρώπῳ ἄκρον εἶναι μόνον τὸ ὡς ἔνι μάλιστ' ἐνθάδε μελιηδὲς χαρίτων ἄνθος παραχρῆμα ἀποδρέπειν, καὶ τὴν φρόνησιν ἀμηγέπῃ ἀναγκαίαν εἶναι ἔφη, οἷον δὴ παρασκευαστικὴν ἐκείνου τοῦ ἀγαθοῦ πάντως οὖσαν.

Οἱ δ' ὕστερον ὀπαδοὶ ταύτης τῆς φιλοσοφικῆς αἱρέσεως σχεδόν τι περὶ οὐδὲν ἄλλο ἦσαν ἢ περὶ τὸν ἀκριβέστερον ὁρισμὸν τῆς ἐπιζήλου ἐκείνης ἡδονῆς, ἀνασκοποῦντες πότερον ἡ σωματικὴ ἢ ἡ ψυχικὴ ἡδονὴ καὶ πάλιν ἡ ἐν κινήσει καὶ θετικὴ ἡδονὴ ἢ ἡ ψιλὴ ἀνοχλησία καὶ ἀλυπία τὸ τέλος τῆς ἐν ἀνθρώποις σπουδῆς τε καὶ μελέτης προσήκει εἶναι; Αὕτη δὴ ἡ ὑπὸ τῶν Κυρηναϊκῶν ὁρισθεῖσα ἰδέα τῆς ἡδονῆς μετάβασιν ποιεῖ ἀπὸ τούτων τῶν ἡδονικῶν φιλοσόφων ἐπὶ τοὺς Ἐπικουρείους·

ἀλλὰ μὴν τῆς χορείας τῶν ἡδονικῶν ἦσαν καὶ οἱ ἐφεξῆς.

Α. Θεόδωρος ὁ Ἀριστίππου τοῦ νεωτέρου (η) ἀκροασάμενος, (Β, πϛ΄.) ἄθεος ἐπικληθεὶς, οὐκέτι τὴν ἡδονὴν κατὰ Ἀρίστιππον τὸν πρεσβύτερον ὡς τὴν παραυτίκα αἴσθησιν ἐξέλαβεν, ἀλλ' ὡς διάθεσιν καὶ παραμόνιμον τῆς ψυχῆς κατάστασιν ἑνὸς ἑκάστου τῶν ἀνθρώπων. Ἀπεφαίνετο δὲ τὸ ἑαυτοῦ δόγμα, λέγων μὴ εἶναι εὐδοκητὸν τὴν ἡδονὴν ἀλλὰ τὴν χαρὰν, μηδ' αὖ τὸν πόνον ἀποκρουστικὸν ἀλλὰ τὴν λύπην, ὃ βούλεται εἰπεῖν τὴν ἐν τῇ ψυχῇ ἑκάστου ἐνεργαζομένην διάθεσιν εἶναι εὐδοκητὴν ἢ ἀποκρουστικήν. Διογ. Λ. Β, Ϟη΄. Διὸ τέλος τοῦ βίου ἔλεγεν χαρὰν τὴν ἐπὶ φρονήσει εἶναι (ὡς ὅταν τις χαίρῃ ἐπὶ τῷ εὖ ἐπίστασθαι ζῆν τε καὶ πράσσειν κατ' ἰδίαν γνώμην). ἀγαθὰ μὲν οὖν ἔφη φρόνησιν εἶναι καὶ δικαιοσύνην κακὰ δὲ τὰς ἐναντίας τούτων ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον· τὴν μὲν γὰρ ἡδονὴν οἷάντε εἶναι ἂν τὸν ἄσοφον βλάψαι, περὶ δὲ τοῦ πόνου, ἱκανὸν ἂν εἶναι τὸν σοφὸν κατισχῦσαί τε αὐτοῦ καὶ εὐημερίας παραγωγὸν αὐτὸν ποιῆσαι.

Β. Ὡσαύτως δὲ ἐναντία τῇ Ἀριστίππου ἱλαρότητι καὶ θυμηδίᾳ ἦν καὶ ἡ σκυθρὰ καὶ ἀπαισία πραγματεία Ἡγησίου τοῦ κυρηναϊκοῦ. τὸ γὰρ πλῆθος τῶν λυπηρῶν ἀναλογιζόμενος, ὅσα ταῖς ἐν τῷ βίῳ ἡδοναῖς καὶ χάρισιν ὑπαντιάζει, ἐδίδασκεν ὡς οὐ προςήκοι ἀνδρὶ φρονίμῳ σκοπὸν τοῦ βίου προβάλλεσθαι τὴν ἡδονὴν, ἀτε-

(η) Οὗτος ἦν Ἀριστίππου θυγατριδοῦς τοῦ τῆς αἱρέσεως κατάρξαντος, ὃς καὶ μητροδίδακτος ἐπεκαλεῖτο παρὰ τὸ ὑπ' Ἀρήτης τῆς ἑαυτοῦ μητρὸς διδαχθῆναι. τούτῳ δ' ἀποδίδοται καὶ ἡ ἐπὶ πλέον διασάφησις τῶν ἡδονικῶν δογμάτων.

χνῶς ἀδύνατον οὖσαν, ἀλλ' ἀπονίᾳ τινὶ στέργειν καὶ ἀλυπίᾳ· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν· ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι· τόν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ, τέλος τιθέμενον τὸ μὴ ἐπιπόνως ζῆν μηδὲ λυπηρῶς· Διογ. Λ. Β, ϟε΄. ϟϛ΄. — πενίαν τε καὶ πλοῦτον πρὸς ἡδονῆς λόγον εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. δουλείαν ἐπίσης ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν δυςγενείᾳ, καὶ δόξαν ἀδοξίᾳ· ὅλως γὰρ ἀνύπαρκτον εἶναι τὴν ἡδονὴν καὶ εὐδαιμονίαν ἐν τῷ βίῳ. Διὸ τὴν ζωὴν καὶ τὸν θάνατον ὁμοίως αἱρετὸν εἶναι ἔφη· καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς ἂν φανῆναι, τῷ δὲ φρονίμῳ πάντῃ ἀδιάφορον. ἔν. ἀν. ϟδ΄. ϟε΄.

Ταύτην δὲ τὴν δόξαν περὶ τοῦ βίου τοῦ ἀνθρωπικοῦ διεσάφησεν ὁ Ἡγησίας ἔν τινι συγγράμματι, ἐν ᾧ εἰςάγει τινὰ ἀποκαρτεροῦντα καὶ τὰ αἴτια ἐκτιθέμενον, ἅπερ ἔπεισαν αὐτὸν τὸν θάνατον τοῦ βίου προελέσθαι. Λέγεται δ' ὅτι ἐν ταῖς ἑαυτοῦ ὁμιλίαις, ἃς ἐν Ἀλεξανδρείᾳ ἐπεποίητο, οὕτω δεινῶς τὰς τῶν ἀκροωμένων ψυχὰς διετίθετο, ἐφ' ἓν ἕκαστον τὰ κακὰ τοῦ ἐνθάδε βίου διεξιών, ὥστε πολλοὶ αὐτῶν ἑκουσίως τὸ ζῆν κατέστρεψαν· διὸ καὶ ἐκώλυσαν αὐτὸν διδάσκειν τοῦ λοιποῦ· (θ) καὶ διὰ ταύτην τὴν ἕξιν καὶ πεισιθάνατος ἐπωνομάσθη. Διογ. Λ. Β, πϛ΄.

(θ) Cic. Tusc. I, 34: Ὁ θάνατος οὐδὲν κακόν· a malis mors abducit, non a bonis. et quidem hoc a Cyrenaico Hegesia sic copiose

Γ΄ Ἐπὶ τὸ ἠθικώτερον δ᾽ ἐξέλαβε τὴν ἡδονὴν Ἀννίκερις ὁ Κυρηναῖος, ὃς οὔτε τινὰ ἀρχὴν μετάρσιον ἐν τῷ βίῳ ἐπιτελέσαι προβάλλεται, οὔτε πρακτικῆς μεθέξεως αὐτοῦ διὰ τὰς τυχὸν ἐπακολουθούσας λύπας ἀποτρέπει. ἀλλὰ σαφῶς ἀποφαίνεται ὅτι ἐκ πάσης πράξεως καίτοι πόνον τινὰ ἐχούσης, οἷός τ᾽ ἂν εἴη τις μεῖζον ἢ ἔλασσον μόριον ἡδονῆς ἐπαυρίσκεσθαι καὶ αὐτὸ τοῦτο τὸ ἐκ πάσης ἰδίας πράξεως ὅσον ἔνεστιν ἡδονῆς ἀποδρέπειν τὸ τέλος ἐστὶ τοῦ ἐνθάδε βίου (ι). Τοιαύτη δέ τις ἡδονὴ φιλεῖ μάλιστα ἐπιγίγνεσθαι, ὅταν τις λέγῃ τε καὶ πράσσῃ ἐν κοινωνίᾳ ἀνθρώπων, οὓς εὔνοια καὶ στοργὴ ἀλλήλοις συνήρμοσε. Μεθέξει ἄρα ὁ σοφὸς καὶ στοργῆς πρὸς τοὺς οἰκείους καὶ φιλίας καὶ ὑπὲρ πατρίδος τι πράξει· καὶ διὰ ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται, οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα περιγένηται αὐτῷ. ἔτι δ᾽ ἔλεγον οἱ Ἀννικέρειοι « μὴ εἶναι αὐτάρκη τὸν λόγον πρὸς τὸ θαῤῥῆσαι καὶ τῆς τῶν πολλῶν δόξης ὑπεράνω γενέσθαι· δεῖν δ᾽ ἀνεθίζεσθαι διὰ τὴν ἐκ πολλοῦ συντραφεῖσαν ἡμῖν φαύλην διάθεσιν. » Ἡ δ᾽ οὖν δόξα, ἣν ὁ Ἀννίκερις περὶ τῆς ἡδονῆς εἶχεν, οὐκέτι ἀπῇδε πρὸς τὸν κατὰ φύσιν βίον τῶν ἀνθρώπων, ἀλλ᾽ ἡ τοῦ Ἡγη-

disputatur, ut is a rege Ptolemaeo prohibitus esse dicatur, illa in scholis dicere, quod multi, iis auditis, mortem sibi ipsi consciscerent. — Hujus Hegesiae liber est Ἀποκαρτερῶν, in quo e vita quidam per inediam discedens revocatur ab amicis ; quibus respondens vitae humanae enumerat incommoda.

(ι) Κλήμεντ. Ἀλεξανδ. Στρώμ. Β, κα, § ρλ΄. «οἱ Ἀννικέρειοι τοῦ ὅλου βίου τέλος οὐδὲν ὡρισμένον ἔταξαν, ἑκάστης δὲ πράξεως ἴδιον ὑπάρχειν τέλος, τὴν ἐκ τῆς πράξεως περιγιγνομένην ἡδονήν». — Τὰ δ᾽ ἄλλα ἔπιθι παρὰ Διογένει τῷ Λαερτίῳ Β, ϟϛ΄. ϟζ΄.

σίου τὸ μέσον ἔχει μεταξὺ τῆς Ἀριστίππου αἱρέσεως καὶ τῆς Ἐπικούρου.

§ ΚΔ΄. Εὐκλείδης καὶ οἱ Μεγαρικοί.

Εὐκλείδης Μεγαρεύς· καὶ οὗτος ἦν Σωκράτους θαυμαστὴς ἐν τοῖς μάλιστα τῶν τότε (α)· Παρῆν δὲ καὶ οὗτος Σωκράτει τὸ ὕστατον διαλεγομένῳ τοῖς φίλοις ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ δεσμωτηρίῳ, ᾗ τὸ κώνειον ἔπιε, (Φαίδ. σ. νθ΄, Γ.) καὶ τελευτήσαντος Σωκράτους, ὑπεδέξατο πολλοὺς τῶν Σωκρατικῶν εἰς Μέγαρα καταφυγόντας (Διογ. Λ. Β, ρϛ΄.), ἐν οἷς καὶ Πλάτωνα, ὃς τῆς πρὸς τοὺς Μεγαρικοὺς ὁμιλίας αὐτοῦ μνημόσυνον τοῖς ὕστερον ἐν Θεαιτήτῳ κατέλιπεν (β). Ἔοικε δὲ Εὐκλείδης

(α) Gell. VI, 10: decreto suo Athenienses caverant, ut, qui, Megaris civis esset si intulisse Athenas pedem prehensus esset, ut ea res ei homini capitalis esset. Tum Euclides, qui Megaris erat, quique ante id decretum et esse Athenis et audire Socratem consueverat, postquam id decretum sanxerunt, sub noctem, cum advesperasceret, tunica longa muliebri indutus, et pallio (ἀνθινῷ πέπλῳ ὃν ἐφόρουν αἱ ἑταῖραι) versicolore amictus, et caput rica velatus e domo sua Megaris Athenas ad Socratem commeabat, ut vel noctis aliquo tempore consiliorum sermonumque ejus fieret particeps: rursusque sub lucem millia pafsuum paulo amplius viginti (δισμύρια δὲ βήματα ἐξισοῦται δεῷ ὡρῶν ὀκτώ) eadem veste illa tectus redibat.

(β) Τίθεται δὲ ὁ διάλογος ὡς συντεταγμένος, ἐξ ὅσων Εὐκλείδης Ἀθήναζε ἐλθών, παρὰ Σωκράτους περὶ Θεαιτήτου ἔμαθεν, ὡς κάλλιστά ποτε καὶ ἄριστα αὐτῷ Σωκράτει διαλεχθέντος. Τούτων οὖν ὑπομνήματα Εὐκλείδης, καθάπερ παρὰ Πλάτωνι διηγεῖται, τότ᾽ εὐθὺς οἴκαδ᾽ ἐλθὼν ἐγράψατο, ὕστερον δὲ κατὰ σχολὴν ἀναμιμνησκόμενος ἔγραφε καὶ ὁσάκις Ἀθήναζε ἀφίκοιτο, ἐπανηρώτα τὸν Σωκράτην, ὃ μὴ ἐμέμνητο καὶ εἰς Μέγαρα ἐλθὼν ἐπηνωρθοῦτο. οὕτως οὖν ὁ διάλογος σχεδόν τι πᾶς γεγράφθαι ὑπὸ Πλάτωνος πεποίηται.

καὶ τὰ τῶν Ἐλεατῶν δόγματα περὶ πολλοῦ ποιήσασθαι· καὶ τὴν φιλοσοφίαν δ' αὐτοῦ εἰκότως ἄν τις εἴποι συνδυασμὸν εἶναι τῆς Σωκρατικῆς ἀρχῆς πρὸς τὴν τῶν Ἐλεατῶν. Τὰ μὲν γὰρ σὺν Σωκράτει τἀγαθὸν ὡς τὴν κατ' ἐξοχὴν ἐπιστήμην ὑπέλαβε, τὰ δὲ συνταὐτίζων αὐτὸ τῷ ἁπλῷ εἶναι τῶν Ἐλεατῶν, τὴν ἰδέαν αὐτοῦ ὡς ἐν τοῖς νοητοῖς αὐτὴν καθ' αὑτὴν ἀνθυφεστῶσαν ἐλογίζετο. Τὸ γὰρ ἀγαθὸν, ὅπερ Σωκράτης παρῄνει τέλος εἶναι καὶ νόμον τοῦ τε λογίζεσθαι καὶ πράσσειν ἑκάστῳ τῶν ἀνθρώπων, ἀπεφήνατο ὁ Εὐκλείδης καὶ ὡς τὸ μόνον καθ' ἑτερότητα ὂν καὶ μόνον ὡς ἀληθῶς ὑπάρχον. Ἔστιν οὖν κατ' Εὐκλείδην τἀγαθὸν ἀπαράλλακτον, οἷον καὶ τῷ Σωκράτει ἔδοξεν, αὐτὸ τοῦτο ὁ λόγος κἂν φρόνησις, νοῦς ἢ θεὸς, κἂν ἄλλῳ ὀνόματι οἱῳδή τινι καλῆται. (Διογ. Λ. Β, ρϛ'.). Ὄντως ὂν ἐστιν ἄρα μόνον τὸ ἀγαθὸν τοῦτο ἤτοι ὁ καθόλου λόγος, ὅς ἐστιν ἰδανικόν τι ὅλως, ὕλης οἱασοῦν ἀλλότριον, αὐτὸ ἑαυτῷ ἀεὶ ὁμοῖον, ἀδιαίρετόν τε καὶ ἀκίνητον (cic. Acad. II, 42), πᾶν δὲ τὸ ἐναντίον τοῦ ἀγαθοῦ, ἤτοι πάντα τὰ αἰσθήσει περιληπτὰ, τὰ πολλὰ καὶ μεταβλητὰ οὐκ ἀληθῶς ὑπάρχει. — Ἀλλὰ τὰ Εὐκλείδῃ δόξαντα ἐπ' ἀκριβὲς καθ' ἓν ἕκαστον διεξελθεῖν οὐκ ἀνυστόν ἐστιν. ἐπιλείπει τε γὰρ ἡμᾶς μαρτύρια ἱκανὰ, καὶ τὰ ὑπάρχοντα οὐ πάνυ ἀσφαλῆ ἀποβαίνει. ἐοίκασι δ' οὖν οἱ Μεγαρικοὶ τὸ ἓν εἶναι τῶν Ἐλεατῶν μὴ μόνον ἐπὶ τὸ νοερώτερον παρ' ἑαυτοῖς λαβεῖν βουληθῆναι, ἀλλὰ καὶ μᾶλλον ὡρισμένως· καὶ γὰρ τὸν μάλιστα καθόλου νοῦν ὡς σύνολον ἐξέλαβον πάντων τῶν εἰδῶν ἤτοι τῶν ὅρων, ἐν οἷς ἂν τὰ οὐσιωδέστατα γνωρίσματα δηλωθείη τοῦ ἐν νοητοῖς τελεωτάτου νοητοῦ, ἀϊδιότης καὶ σοφία καὶ τὰ τούτοις

παραπλήσια· πρόδρομοι ἄρα οἱ Μεγαρικοὶ φαίνονται τῆς Πλατωνικῆς ἰδεολογίας. Εἰδῶν γὰρ φίλους, ὧν Πλάτων ἐν τῷ Σοφιστῇ (σ. σμϛ', Β καὶ σμη', Α.) πρὸς τοῖς Ἐλεάταις μνείαν ποιεῖται, λέγων ὅτι πολλὰς ἀσωμάτους τε καὶ νοερὰς οὐσίας ὡς τὸ ὄντως ὂν ἔθεντο, μηδένας ἂν ἄλλους εἰκὸς οἶμαι οὕτω προσαγορεύεσθαι ἢ τούς γε Μεγαρικοὺς φιλοσόφους.

Ἐπίδοσιν δ' ἀεὶ τῷ χρόνῳ ἡ Μεγαρικὴ αἵρεσις λαμβάνουσα, ὥσπερ καὶ ἡ πρὸ αὐτῆς Ἐλεατικὴ, ἐπὶ τὸ ἀποφατικώτερον περὶ τῶν ὄντων συζητεῖν ἀπέκλινεν. Ἐπεὶ δ' οὖν μηδεμίαν οὐσίαν μηδεμίαν τε γνῶσιν ἐπὶ μέρους ἔφασκον εἶναι τὸ παράπαν, δῆλον ὡς οὐδὲν αὐτοῖς ἄλλο οὕτως ἔμελεν ὡς τὸ ἀντιλέγειν τε καὶ ἀντιμάχεσθαι πρός τε τὴν εἰωθυῖαν ἀντίληψιν τῶν ὄντων καὶ τὴν τοῦ γιγνώσκειν μέθοδον ἐν γένει. καὶ οἱ πλεῖστοι δὲ τῶν ὕστερον Μεγαρικῶν σχεδόν τι ἐπ' οὐδενὶ ἄλλο περιβόητοι ἐγένοντο ἢ ἐπὶ σοφιστικοῖς τισι παρεξελέγχοις, δι' ὧν ἠβούλοντο πλαγίως πως ὑποδεικνύναι, ὡς ἀδύνατόν ἐστι τὰ πολλὰ ἀλλήλων διαστέλλειν, ἥ τε ταῖς αἰσθήσεσι περιληπτὴ οὐσία τῶν ὄντων καὶ δόξα καὶ νόησις, πάντα ἀπάτης μεστά ἐστιν, οὐθὲν μόριον ἀληθείας μετέχοντα. Διὰ δὲ ταύτην τὴν ἕξιν ἐ ρ ι σ τ ι κ ο ί τε καὶ δ ι α λ ε κ τ ι κ ο ὶ ὕστερον ἤκουσαν. Τῆς δ' Εὐκλείδου διαδοχῆς ἦν καὶ Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐλεγκτικοὺς λόγους ἠρώτησε, τόν τε ψ ε υ δ ό μ ε ν ο ν καὶ τὸν δ ι α λ α ν θ ά ν ο ν τ α καὶ Ἠ λ έ κ τ ρ α ν καὶ ἐ γ κ ε κ α λ υ μ μ έ ν ο ν καὶ σ ω ρ ί τ η ν καὶ κ ε ρ α τ ί ν η ν καὶ φ α λ α κ ρ ό ν. τούτων δ' ὁ μὲν ψευδόμενος ὧδέ πως ἠρωτᾶτο· «ἆρά γε ἐνδέχεται τὸν αὐτὸν ἅμα καὶ ψεύδεσθαι καὶ ἀληθεύειν; οὔ. ἀλλὰ μὴν ὁ λέγων· ἐ γ ὼ ψ ε ύ δ ο μ α ι, ἅμα καὶ ψεύ-

δεται καὶ ἀληθεύει». Περὶ δὲ τούτου τοῦ εἴδους τοῦ συλλογιστικοῦ Θεόφραστος μὲν τρία βιβλία συνέγραψε, Χρύσιππος δὲ ἕξ. ὁ δὲ διαλανθάνων καὶ ἐγκεκαλυμμένος καὶ ἡ Ἠλέκτρα εἰσὶ διάφορα εἴδη τοῦ αὐτοῦ σοφίσματος, ὧδέ πως ἐρωτωμένου· «ἆρ' οἶδας ὃ μέλλω σε ἐρωτᾷν; οὔ. ἆρ' οἶδας ὅτι ἡ ἀρετὴ ἀγαθόν; ναί. τοῦτο δέ σε μέλλω ἐρωτᾷν, οἶδας ἄρα ὁ μέλλω σε ἐρωτᾷν». πάλιν· ἆρ' οἶδας τὸν προςιόντα καὶ κεκαλυμμένον; οὔ· εἶτα ἀφελόντες τὸ περικάλυμμα, τί δέ, οἶδας τοῦτον; ναί. τὸν αὐτὸν ἄρα οἶδας καὶ οὐκ οἶδας. (ὃ δὴ καὶ εἰς Ἠλέκτραν τε καὶ Ὀρέστην ἀναφέρεται, παρ' ὃ καὶ τὸ σόφισμα Ἠλέκτρα ἐπωνόμασται.) πάλιν· ἆρά γε ὁ ἀνδριὰς ἔργον ἐστίν; ναί. ἆρά γε σός ἐστιν; ναί. σὸν ἄρα ἔργον ἐστὶν ὁ ἀνδριάς. ἀλλὰ μὴν καὶ οὐκ ἔστι· τοῦ Φειδίου γάρ ἐστιν. πάλιν· ἆρά γε ὁ κύων πατήρ ἐστιν; ναί. ἆρά γε σός ἐστιν; ναί. σὸς ἄρα ὁ κύων πατήρ. πάλιν· ἆρά γε τὰ ὀλιγάκις ὀλίγα ὀλίγα; ναί. ἀλλὰ μὴν τὰ ἑκατὸν πρὸς τὰ δεκάκις μύρια ὀλιγάκις ἐστὶν ὀλίγα. τὰ ἑκατὸν ἄρα ὀλίγα. ἀλλὰ μὴν καὶ πολλά». φανερὸν οὖν «ἐν ἅπασι τούτοις ὅτι οὐκ ἀνάγκη τὸ κατὰ τοῦ συμβεβηκότος καὶ κατὰ τοῦ πράγματος ἀληθεύεσθαι· μόνοις γὰρ τοῖς κατὰ τὴν οὐσίαν ἀδιαφόροις καὶ ἓν οὖσιν ἅπαντα δοκεῖ ταὐτὰ ὑπάρχειν· τῷ δ' ἀγαθῷ οὐ ταὐτόν ἐστιν ἀγαθῷ τ' εἶναι καὶ μέλλοντι ἐρωτᾶσθαι, οὐδὲ τῷ προςιόντι ἢ ἐγκεκαλυμμένῳ προςιόντι τε εἶναι καὶ Κορίσκῳ· ὥστ' οὐκ εἰ οἶδα τὸν Κορίσκον, ἀγνοῶ δὲ τὸν προςιόντα, τὸν αὐτὸν οἶδα καὶ ἀγνοῶ· οὐδ' εἰ τοῦτ' ἐστὶν ἐμόν, ἔστι δ' ἔργον, ἐμόν ἐστιν ἔργον, ἀλλ' ἢ κτῆμα ἢ πρᾶγμα ἢ ἄλλο τι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων». Ἀριστοτ. περὶ σοφιστικῶν ἐλέγχων κεφ. κδ',

κε'. καὶ ὑπομν. Ἀλεξάνδ. εἰς τὸν αὐτὸν τόπον. ὁ δὲ κερατίνης ὧδε λέγεται· Ἀπέβαλες κέρατα; εἰ μέν τις εἴποι ναί, ἐπιφέρεται, ἄρα εἶχες ποτὲ κέρατα· εἰδ' οὔ, ἐπιφέρεται· «ἔχεις ἄρα καὶ νῦν κέρατα». ὁ δὲ σωρίτης ἐν τούτῳ τῷ ἐρωτήματι ἐστί, πόσοι κόκκοι σωρὸν ἀποτελοῦσιν ἤτοι, καθολικώτερον εἰπεῖν, ἐκ τίνος ἀριθμοῦ ἄρχεται τὸ πλῆθος; ὃ δῆλον ὅτι ἀόριστον μένει. τὸ δ' αὐτὸ ἐρωτώμενον περὶ τῶν τριχῶν τῆς κεφαλῆς ἀποτελεῖ τὸν φαλακρὸν λεγόμενον ἔλεγχον, ὡς εἴ τις ἔροιτο πόσας τρίχας τῆς κεφαλῆς τινος ἀποτῖλαι δεῖ, ἵνα φαλακρὸς ἀναφανῇ; ἐξ οὗ δήλη γίγνεται ἡ οὐδένεια τῆς κατὰ ποσὸν διαφορᾶς τῶν ὄντων ἀπ' ἀλλήλων (γ). φανερὸν ἄρα ὅτι ἡ Μεγαρικὴ αἵρεσις τοὺς τῶν σοφιστῶν γρίφους μᾶλλον ζηλώσασα ἢ τὴν εἰλικρινῆ περὶ τῶν ὄντων ζήτησιν Ζήνωνος τοῦ Ἐλεάτου, ψυχροῖς παραλογισμοῖς ἐμπεσοῦσα, ματαία ὅλως καὶ ἀλυσιτελὴς εἰς φιλοσοφίαν ἔμελλεν ἀποβῆναι· καὶ οἱ ὀπαδοὶ αὐτῆς πρὸς νόησιν ὄντος ἑνὸς καὶ ὑπὲρ αἴσθησιν ὅλοι ῥυέντες, πάσης θετικῆς περὶ τὰ ὄντα μαθήσεώς τε καὶ πείρας κενοὶ πάμπαν ὤφθησαν. Ἐκ δὲ δὴ τούτων οἱ σκεπτικοὶ προελθόντες πᾶν ἁπλῶς τὸ ὂν ἠμφισβήτουν καὶ ἀνυποστόλως ἀνῄρουν. πάντων δὲ τῶν ὕστερον ἀκμασάντων Μεγαρικῶν διασημότατος Στίλπων ἐγένετο ὁ Μεγαρεύς, ὃς ἐπὶ κοσμίῳ τε ἤθει καὶ τρόπῳ ἐπιεικεῖ πλείστης ὅσης τιμῆς παρὰ τοῖς πάλαι ἠξίωτο. Οὗτος καὶ τῶν Μεγαρικῶν δογμάτων τὸ ἐς πρᾶξιν ἔχον μόριον ἀκριβέστερον ἀνεβάλετο διορίσαι, τέλος ἀνθρώπῳ φάμενος καὶ ἀγαθὸν

(γ) Ἔπιθι καὶ Ἑγελίου ἱςορίαν τῆς φιλοσοφίας Τ. Β, σελ, 132—140. καὶ Σελλερίου τῆς παρ' Ἕλλησι φιλοσοφίας, Μέρος Β', σ. 188 κεφξ. ἔκδ. 6'.

μόνον εἶναι, ἐν ἀποφάσεως μὲν μέρει ἀπάθειαν παντελῆ, τὸ μηδὲν αἰσθάνεσθαι, ὡς ἡδονῆς καὶ ἀηδονίας μόνον κατ' οἴησιν ὑπαρχούσης· ἐν δὲ φάσεως μέρει, λόγον καὶ ἐπιστήμην μόνα ἐφετὰ ὑπάρχειν. [Διογ. Λ. Β, ριε'. Senec. Epist. 9].

Μετάβασις εἰς τὰ Πλάτωνος.

Πάντων τῶν περὶ Σωκράτη γενομένων ἀνδρῶν Πλάτων πᾶσι φαίνεται ὁλοσχερέστατα τὴν τοῦ ἀρχηγέτου φιλοσοφίαν κατανοήσας. Πρῶτος μὲν γὰρ τὰς περὶ ἕκαστον τῶν ὄντων γνώμας τοῦ Σωκράτους εἰς ὅλον ἓν εὖ καὶ καλῶς συνηρμόσατο καὶ τὴν περὶ φύσεως τοῦ παντὸς ἔρευναν ἐγκαταμίξας, ἧς ἐκεῖνος ὑπὲρ τὸ δέον ὀλιγωρῶν διετέλεσε· τάς τε ἀρχὰς τῶν πρώην φιλοσοφημάτων πρῶτος ὡσαύτως λυσιτελῶς διεσκεύασε καὶ ὡς κατὰ καιροὺς φάσεις τοῦ φιλοσοφοῦντος νοῦ ἤτοι ἐπὶ τὸ ἱστορικώτερον μετῆλθεν· ἔτι δὲ πρὸς τούτοις τὴν ἐπακτικὴν μέθοδον, ἥν περ Σωκράτης μετιὼν καθολικούς τινας λόγους, ὡς νόμους ἀπὸ τῶν κατὰ μέρος ἐπορίζετο, ταύτην ὁ Πλάτων ἐπὶ μᾶλλον διακριβώσας, εἰς εἴδη τῶν ὄντων καθόλου καὶ ἰδέας αὐτῶν χωριστὰς περιῆλθε· ταύταις δὴ μόναις ἀλήθειάν τε καὶ βεβαιότητα παρ' εἰκῇ ῥέον τὸ αἰσθητὸν ἅπαν ἀπέδωκεν. οὕτω κατὰ σμικρὸν ὡς ἀληθῶς δαιμόνιόν τι φιλοσόφημα ἀπήρτισεν.

§ ΚΕ'. ΠΛΑΤΩΝΟΣ *βίος καὶ συγγράμματα.*

Πλάτων Ἀρίστωνος καὶ Περικτιόνης τῷ αὐτῷ ἐνιαυτῷ ἡλίου φῶς ἐν κλειναῖς Ἀθήναις εἶδεν, ἐν ᾧ Περι-

κλῆς ὁ ἀγλαΐαις καὶ χάρισι περιῤῥύτους αὐτὰς καταστήσας, τὸ ζῆν μετήλλαξεν (τῷ υκθ΄ π. Χ.). Ἦν δὲ γένους παλαιοῦ καὶ ἐς τὰ μάλιστα λαμπροῦ· πρὸς πατρὸς μὲν γὰρ ἐπὶ Κόδρον ἀνῆκε τὸν βασιλέα, πρὸς δὲ μητρὸς ἐπὶ Σόλωνα τὸν νομοθέτην. ἔοικε δέ πως ἡ τοῦ γένους λαμπρότης συναίτιον γεγονέναι Πλάτωνι τοῦ φρονήματος τοῦ πολιτικοῦ. Καὶ γὰρ φανερὸς ἦν τὴν μὲν ἀριστοκρατίαν κομιδῇ ἀσπαζόμενος, τῆς δ' Ἀθηναίων δημοκρατίας παντάπασί γε ἀλλότριος ὤν. ἤδη δὲ ἐν ἡλικίᾳ ἀνθῶν εἴκοσι ἐτῶν προςῆλθε τῷ Σωκράτει, παρ' ᾧ φίλος τε καὶ συνήθης διετέλεσεν ὢν μέχρι τῆς τελευτῆς ἐκείνου. Ὅτι δὲ ἡ μετὰ Σωκράτους ὁμιλία οὐκ ὀλίγον ἴσχυσε τήν τε διάνοιαν καὶ τὸ φρόνημα αὐτοῦ παιδεῦσαι, αὐτὸς ὁ Πλάτων ἱκανῶς ἡμῖν ἐμφαίνει τὸν Σωκράτη ἐν τοῖς πλείστοις τῶν ἑαυτοῦ διαλόγων ὡς τῶν λόγων ἐξάρχοντ' εἰςάγων, τοῦτο μάλιστα προθυμούμενος ὑποδεῖξαι ὅτι ἡ ἑαυτοῦ φιλοσοφία αὐτή γε ἡ τοῦ Σωκράτους πραγματεία εἴη ἐπὶ τὸ μᾶλλον διηκριβωμένη. Λέγεται δὲ καὶ ἐπὶ δυσμαῖς ἤδη ὢν τοῦ βίου, εἰπεῖν χάριν μυρίαν τῇ θείᾳ προνοίᾳ εἰδέναι ὅτι μάλιστα ἐπὶ Σωκράτους γεγονὼς τῶν ἐν λόγοις διατριβῶν αὐτοῦ ἀπήλαυσεν (α). τῶν δὲ διαλόγων τοὺς πρώτους φασὶν αὐτὸν, ζῶντος ἔτι τοῦ Σωκράτους συγγεγραφέναι (Δ. Λ. Γ, λε΄.). Σωκράτους δὲ τὸ φάρμακον ἐν τῷ δεσμωτηρίῳ πιόντος, ἀμφὶ τὰ τριάκοντα ἤδη ἔτη ὁ Πλάτων καθεςὼς

(α) «Πλάτων μὲν οὖν, ἤδη πρὸς τῷ τελευτᾷν γενόμενος, ὕμνει τὸν αὑτοῦ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος, εἶτα Ἕλλην, οὐ βάρβαρος, οὐδ' ἄλογον τῇ φύσει θηρίον γένοιτο· πρὸς δὲ τούτοις, ὅτι τοῖς Σωκράτους χρόνοις ἀπήντησεν ἡ γένεσις αὐτοῦ». Πλούτ. ἐν βίῳ Μαρ. μς΄. ἔπιθι καὶ Lact. III, 19, 17.

μετὰ καὶ ἄλλων Σωκρατικῶν τὰς Ἀθήνας καταλιπὼν, τάχ' ἂν που καὶ διὰ φόβον εἴποι τις μὴ ἡ καταδρομὴ κἀπὶ τοὺς Σωκράτους ἑταίρους ἐκτραπείη, εἰς Μέγαρα ἐπορεύθη παρὰ τῷ Εὐκλείδῃ, ὃς συμμαθητὴς αὐτῷ πρεσβύτερος τὴν ἡλικίαν γενόμενος, ἤδη δὲ τῆς Μεγαρικῆς αἱρέσεως καθηγούμενος, ἰδίαν ἤρξατο ὁδὸν ἐν φιλοσοφίᾳ βαδίζειν. Συνδιατρίψας οὖν ὁ Πλάτων τῷ Εὐκλείδῃ ἔτι εἰδημονέστερος ἐγένετο τῆς φιλοσοφίας τῶν Ἐλεατῶν. τάχα δ' ἂν καὶ εἰκότως τῇ ὁμιλίᾳ ταύτῃ καὶ τὴν τῶν διαλεκτικῶν λεγομένων διαλόγων σύνθεσιν ἀποδοίημεν, ὅπερ τῷ Θεαιτήτῳ ἐπιγραφὴν ἔχοντι συγκαταλέγονται. ἐν τούτοις γὰρ τῆς τῶν Ἐλεατῶν ἀρχῆς τῶν ὄντων πέρι ἡ ζήτησις γίγνεται καὶ περὶ τῶν ἰδεῶν, ᾗ φύσεως ἔχουσιν ἤτοι τῆς ἰδεολογίας. (πρὸς δὲ τῷ Θεαιτήτῳ συναριθμητέοι τῇ εἰρημένῃ συλλογῇ εἰσιν ὁ Σοφιστής, ὁ πολιτικὸς καὶ ὁ Παρμενίδης.) (6) Ἀπάρας

(6) Θεαίτητον μὲν οὖν τῶν Μεγαρικῶν διαλόγων ἕνα εἶναι αὐτὸ ἤδη τὸ ἐξωτερικὸν σχῆμα ἱκανῶς ἐλέγχει. καὶ γὰρ Εὐκλείδης ἐν αὐτῷ εἰςάγεται Σωκράτους ὁμιλίαν ἀφηγούμενος· οὐ μέντοι πω τῆς ἐλεατικῆς θεωρίας ὁ διάλογος οὗτος ἅπτεται, ἀλλ' ἀνασκευαστικός ἐστιν, ὧν περ Πρωταγόρᾳ τε καὶ Ἡρακλείτῳ τοῦ εἰδέναι πέρι ἔδοξεν. Θεαιτήτου δὲ ἔχεται ἀμέσως ὁ Σοφιστής· τὰ γὰρ ἐν Θεαιτήτῳ διαλεγόμενα πρόσωπα τελευτῶντες συντίθενται τὴν ἐπιοῦσαν ἐπὶ τό προκείμενον ἐπανιέναι. Τοῦτο δὲ ἐγένετο πάντως ἐν τῷ Σοφιστῇ. καὶ γὰρ ἐν προοιμίῳ τοῦ διαλόγου ἀνακεφαλαιοῦται ῥητῶς τὰ ἐν τῇ προτεραίᾳ ἤδη λεχθέντα, καὶ μετὰ τοῦτο αὖθις ὁ λόγος ἐπὶ τὰ πρόσω χωρεῖ. ἐν δὲ τῷ προοιμίῳ τοῦ Σοφιστοῦ διομολογοῦσιν ἀλλήλοις οἱ ἑταῖροι περὶ τοῦ τίς πότ' ἐστιν ὁ σοφιστὴς πρότερον ζητῆσαι, μετὰ δὲ τοῦτο περὶ τοῦ πολιτικοῦ καὶ τέλος περὶ τοῦ φιλοσόφου καὶ αὕτη ἐστὶν ἡ τριλογία ἐκ τοῦ Σοφιστοῦ, Πολιτικοῦ καὶ Παρμενίδου συγκειμένη· δῆλον γὰρ ὅτι ὁ τελευταῖος διάλογος, ἐν ᾧ ὁ Παρμενίδης ὡς ὁ κατ' ἐξοχὴν διαλεκτικὸς προσωποποιεῖται, αὐτὸς οὗτος ὁ ὑπεσχημένος φιλόσοφός ἐστιν. τούτου δὴ τοῦ Σοφιστοῦ καὶ Παρμενίδου τὸ κεφάλαιον καὶ ἡ πραγματεία πᾶσα περὶ τὴν ἐξήγησιν καὶ διασάφησίν ἐστι τῆς Ἐλεατικῆς φιλοσοφίας.

οὖν ὁ Πλάτων ἀπὸ Μεγάρων πρῶτον μὲν εἰς Αἴγυπτον ἐπορεύθη, ὕστερον δὲ εἰς Μεγάλην Ἑλλάδα καὶ εἰς Σικελίαν. Ἐν δὲ τῇ μεγάλῃ Ἑλλάδι ἔτι ἐμπειρότερος τῆς Πυθαγορικῆς ἐγένετο φιλοσοφίας, ἥπερ μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον ἐνταῦθα ἤκμαζεν. Τοῖς τε ἐπισημοτάτοις τῶν Πυθαγορείων κατ' ὄψιν ἐνέτυχε καὶ ἐν κοινωνίᾳ λόγων αὐτοῖς ἐγένετο, Ἀρχύτᾳ δὲ μάλιστα τῷ Ταραντίνῳ (πρὸς ὃν ἥτε ἐννάτη καὶ ἡ δωδεκάτη τῶν Πλατωνικῶν ἐπιστολῶν φέρονται γεγραμμέναι·) καὶ Τιμαίῳ τῷ Λοκρῷ, οὗτινος τὴν μνήμην ἐν τῷ ὁμωνύμῳ διαλόγῳ κοσμήσας, ἀθάνατον τοῖς ὕστερον παρέδωκεν· Ἔοικε δὲ τούτοις τοῖς Πυθαγορικοῖς ὡμιληκὼς, ἐπὶ τὸ πρακτικώτερον τοῦ βίου πάλιν προςηνῶς ἐπιβλέψαι, ἀφ' οὗ πρότερον ἀπὸ τῆς Σωκράτους τελευτῆς ὅλως ἀφειστήκει. (γ) φανερὸς δ' ἐστὶ καὶ ἔνια ἀξιώματα ἐκ τῆς τῶν Πυθαγορείων πράξεως παραλαβὼν, ὑστέρῳ χρόνῳ ἐν τῇ ἑαυτοῦ πολιτείᾳ διὰ μακροτέρων καὶ ἐπὶ τὸ ἐπι-

(γ) Ὡς τοῦτο δῆλόν που γένοιτ' ἂν καὶ ἐκ τῶν ἐν Θεαιτήτῳ (σ. ρογ΄.) ὧδέ πως αὐτῷ εἰρημένων « Οὗτοι δέ που (οἱ ὡς ἀληθῶς φιλόσοφοι) ἐκ νέων πρῶτον μέν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδὸν, οὐδὲ ὅπου δικαστήριον ἢ βουλευτήριον ἤτι κοινὸν ἄλλο τῆς πόλεως ξυνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε δρῶσιν, οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρχὰς καὶ ξύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προςίσταται αὐτοῖς. εὖ δὲ ἢ κακῶς τις γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες· καὶ ταῦτα πάντ' οὐδ' ὅτι οὐκ οἶδεν οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι τό σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδὲν, ἀτιμάσασα πανταχῇ φέρεται κατὰ Πίνδαρον, τά γε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα, καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς οὐδὲν αὐτὴν ξυγκαθιεῖσα ».

στημονικώτερον διεξεληλυθέναι, μάλιστα δὲ τὴν ὅλῃ ταύτῃ τῇ συγγραφῇ ὑποκειμένην γνώμην ὅτι ἐν πόλει καλλίστῃ τε καὶ τελεωτάτῃ τοὺς φιλοσοφίᾳ κατόχους, ὡς ἐπιστήμην τῆς περὶ τὰ ὄντα ἀληθείας ἔχοντας, μόνους ἄρχειν προςήκοι τῶν πολλῶν· τοὺς δὲ λοιποὺς πολίτας πειθομένους ἑαυτοὺς τυφλοῖς ὄμμασιν παρέχειν ἐκείνοις χρῆσθαι. Διατρίβοντι δ᾽ αὐτῷ ἐν Σικελίᾳ συνέβη εἰς πεῖραν ἐλθεῖν Διονυσίου τοῦ πρεσβυτέρου. Δίων γὰρ νέος ὢν κόσμιός τε τὸ ἦθος καὶ γενναῖος, σφόδρα δὲ τὴν Πλάτωνος σοφίαν τε καὶ σεμνότητα ἀγάμενος, τῷ δὲ τυράννῳ ἐκ κηδεστίας προςήκων, παρεσκεύασε τὴν διάθεσιν αὐτοῦ εὐνοϊκωτέραν εἶναι πρὸς τὸν Πλάτωνα· Ἀλλ᾽ οὐκ ἦν ἐπὶ πολὺν χρόνον τὴν εὔνοιαν ταύτην παραμεῖναι· καὶ γὰρ Πλάτων φρονήματος γενναίου πλέως ὢν καὶ ἑκάστοτε τἀληθὲς παῤῥησιαζόμενος, ἤρξατο ὑποκινεῖν καὶ ὑποκαίειν καθ᾽ ἑαυτοῦ τὴν Διονυσίου δυςμένειαν καὶ ὀργὴν, ὃς τέλος τοσοῦτον τὰς τοῦ φιλοσόφου παραινέσεις τε καὶ ἐπιπλήξεις ἐδυςανασχέτησεν, ὅν γε πρότερον μεγάλοις δώροις ἐκόσμησεν, ὥστε ἐπιβιβάσας αὐτὸν ἐπὶ πλοίου κατὰ τάχος ἐπ᾽ οἴκου ἀπέπεμψεν. (παρὰ Πλουτ. ἐν βίῳ Δίωνος ε΄.). Πλάτων δ᾽ ἐν τῷ ἑαυτοῦ μέρει ὑστέρῳ χρόνῳ μνημεῖον Διονυσίου κατέλιπεν ἐν ὀγδόῳ καὶ ἐννάτῳ βιβλίῳ τῆς ἑαυτοῦ πολιτείας· ἔνθα γὰρ τὴν τυράννου φύσιν θαυμαστῶς ὡς περιγράφει, ἐν πολλοῖς φαίνεται τὸ ἦθος Διονυσίου τοῦ πρεσβυτέρου ὑπαινισσόμενος.

Δέκα δὲ ἔτη ἀποδημήσας, τεσσαρακοντούτης ἤδη ὢν, ἐπανῆλθεν αὖθις Ἀθήναζε, ἔνθα καὶ ἤρξατο διδάσκειν ἐν τοῖς σκιεροῖς τῆς Ἀκαδημίας ἄλσεσιν, ἥπερ ἦν γυμνάσιον ἔξω τῆς πόλεως, ἐγγὺς Κολωνοῦ τοῦ ἱππίου

κείμενον. (Δ. Λ. Γ, ζ΄.). πολὺ δὲ πλῆθος ἀνθρώπων παντοίας μοίρας καὶ στάσεως νέων τε καὶ πρεσβυτέρων συνωθοῦντο περὶ αὐτὸν μαθητιῶντες (ἔπιθι περὶ τούτων Δ. Λ. Γ, μς΄.). ἐν δὲ τούτοις μνημονεύονται ἄνδρες στρατηγοί τε καὶ πολιτικοὶ, οἷοι Χαβρίας καὶ Δημοσθένης. Ἀλλὰ περὶ τοῦ τρόπου τῆς διδασκαλίας αὐτοῦ οὐ πάνυ σαφῶς ἡμῖν παραδέδοται. Ἔοικε γοῦν τὸ πρῶτον, ὡς ἐπὶ τὸ πολὺ τοῖς συνοῦσι διαλεγόμενος τὰ ἑαυτῷ δεδογμένα ἀποφαίνεσθαι· καὶ γὰρ πολλαχοῦ φαίνεται τὸ διαλεκτικὸν εἶδος προτιμῶν μᾶλλον ἢ τοὺς τῶν σοφιστῶν λόγους, ὡς δοκοῦσαν μόνον λαμπρότητα ἐπιζητοῦντας. ἐπεὶ οὖν ἐν τοῖς τοῦ φιλοσόφου συγγράμμασι μετάβασίν τινα ὁρῶμεν, ἀπὸ τοῦ διαλεκτικοῦ τῆς ἐκθέσεως τρόπου ἐπὶ τὸν συστηματικώτερον κατὰ βραχὺ γιγνομένην, εἰκάσαιμεν ἂν ἴσως οὐκ ἀλόγως ὅτι καὶ ἐν ταῖς ἑαυτοῦ ὁμιλίαις κατὰ σμικρὸν ἀεὶ ἐπὶ τὸ ἀκροαματικώτερον ἀπέκλινεν. Τεκμήραιτο δ' ἄν τις τοῦτο καὶ ἐκ τοῦδε· Ἀριστοτέλης γὰρ τὴν περὶ τοῦ ἀγαθοῦ θεωρίαν τοῦ Πλάτωνος, ἅμα ἀγορεύοντος ἐγράψατο· καὶ τὸ ὑπόμνημα τοῦτο μέχρι Σιμπλικίου ἐν τοῖς Ἀριστοτέλους συγγράμμασιν ἐσώζετο. (δ).

Ὡς ἐν ἐπεισοδίου δὲ μέρει τοῦ ὕστερον βίου τοῦ Πλάτωνος εἰρήσθω ἥτε δευτέρα καὶ τρίτη ἀποδημία αὐτοῦ εἰς τὰς Συρακούσας. Ἐπεχείρησε δὲ τῇ πορείᾳ ταύτῃ, ταῖς παρακλήσεσιν ἐνδοὺς Δίωνος τοῦ ἑαυτοῦ ἑταίρου τε καὶ θαυμαστοῦ ἵνα Διονύσιον τὸν νεώτερον, Δίωνος μὲν ἀδελφιδοῦν, ἐν δὲ τῷ μεταξὺ χρόνῳ ἐπὶ τὴν ἀρχὴν

(δ) Brandis, de perditis Aristotelis libris de ideis et de bono. 1828.

καταστάντα, φιλοσοφικῶς ἐκπαιδεύσειε καὶ ἐπὶ τὰ καλὰ καὶ σπουδαῖα προτρέψειεν. Ἴσως δὲ καὶ ἄλλο τι ἅμα ἐν νῷ ὁ Πλάτων ἐβάλετο, οἷόν που καὶ ἡ ἑβδόμη τῶν Πλατωνικῶν ἐπιστολῶν ὑπεμφαίνει, εἴ πως ἄρα τὴν τέως ἐν λόγοις καὶ θεωρίᾳ κειμένην πολιτείαν αὑτοῦ καὶ ἔργῳ νῦν δὴ ἐν Συρακούσαις αὐτῷ ἐξῆν ἀποδεῖξαι καὶ φιλοσοφικῶς τὸν νέον τύραννον παιδαγωγήσαντι, τήν τε φιλοσοφίαν καὶ τὴν βασιλείαν ὑπὸ τὸ αὐτὸ κράτος συζεῦξαι. (ε) Ἀλλ' αὕτη ἡ ἀπόπειρα βασιλεύοντα ἄνδρα ἐπὶ

(ε) Ὥς που καὶ ἐν δ' τῶν νόμων (τ. ψι'.) φησίν· «Ἀθηναῖο,· τυραννουμένην μοι δότε τὴν πόλιν· τύραννος δ' ἔστω νέος, μνήμων καὶ εὐμαθὴς καὶ ἀνδρεῖος καὶ μεγαλοπρεπὴς φύσει. ὃ δὲ καὶ ἐν τοῖς πρόσθεν ἐλέγομεν δεῖν ἕπεσθαι ξύμπασι τοῖς τῆς ἀρετῆς μέρεσι, καὶ νῦν τῇ τυραννουμένῃ ψυχῇ τοῦτο ξυνεπέσθω, ἐὰν μέλλῃ τῶν ἄλλων ὑπαρχόντων ἄφελος εἶναί τι. — Κλεινίας· Σωφροσύνην μοι δοκεῖ φράζειν, ὦ Μέγιλλε, δεῖν εἶναι τὴν ξυνεπομένην ὁ ξένος· ἢ γάρ; — Ἀθην. τὴν δημώδη γε, ὦ Κλεινία, καὶ οὐχ ἥν τις σεμνύνων ἂν λέγοι, φρόνησιν προσαναγκάζων εἶναι τὸ σωφρονεῖν, ἀλλ' ὅπερ εὐθὺς παισὶ καὶ θηρίοις, τοῖς μὲν ἀκρατῶς ἔχειν πρὸς τὰς ἡδονάς, ξύμφυτον ἐπανθεῖ, τοῖς δ' ἐγκρατῶς· ὃ καὶ μονούμενον ἔφαμεν τῶν πολλῶν ἀγαθῶν λεγομένων οὐκ ἄξιον εἶναι λόγου· ἔχετε γὰρ ὃ λέγω που. — Κλειν. πάνυ μὲν οὖν. — Ἀθην. Ταύτην τοίνυν ἡμῖν ὁ τύραννος τὴν φύσιν ἐχέτω πρὸς ἐκείναις ταῖς φύσεσιν, εἰ μέλλει πόλις ὡς δυνατὸν ἐστι τάχιστα καὶ ἄριστα σχήσειν πολιτείαν, ἣν λαβοῦσα εὐδαιμονέστατα διάξει· θᾶττον γὰρ ταύτης καὶ ἄμεινον πολιτείας διάθεσις οὔτ' ἔστιν οὔτ' ἄν ποτε γένοιτο. — Κλειν. Πῶς δὴ καὶ τίνι λόγῳ τοῦτο, ὦ ξένε, λέγων ἄν τις ὀρθῶς λέγειν αὑτὸν πείθοι; — Ἀθην. Ῥᾴδιόν που τοῦτό γε νοεῖν ἐστίν, ὦ Κλεινία, κατὰ φύσιν ὡς ἔστι τοῦθ' οὕτως. — Κλειν. Πῶς λέγεις; εἰ τύραννος γένοιτο, φῄς, νέος, σώφρων, εὐμαθής, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής; — Ἀθην. Εὐτυχὴς πρόσθες μὴ κατ' ἄλλο ἀλλὰ τὸ γενέσθαι τε ἐπ' αὐτοῦ νομοθέτην ἄξιον ἐπαίνου καί τινα τύχην εἰς ταὐτὸν ἀγαγεῖν αὐτῷ· γενομένου γὰρ τούτου πάντα σχεδὸν ἀπείργασται τῷ θεῷ, ἅπερ ὅταν βουληθῇ διαφερόντως εὖ πρᾶξαί τινα πόλιν. δεύτερον δὲ ἐὰν ποτέ τινες δύο ἄρχοντες γένωνται τοιοῦτοι, τρίτον δ' αὖ καὶ κατὰ λόγον ὡσαύτως χαλεπώτερον, ὅσῳ πλείους· ὅσῳ δ' ἐναντίον, ἐναντίως.»

φιλοσοφίαν μετακλῖναι ὅλως ἀτελεσφόρητος ἀπέβη· ὁ δὲ Πλάτων τῆς καλῆς ἐλπίδος ἐψευσμένος ἐπανῆλθε πάλιν ἄπρακτος Ἀθήναζε.

Διετέλεσε δ' ὁ Πλάτων ἀεὶ μέχρι γήρως βαθέος ἐῤῥωμένως τε καὶ ὑγιῶς τόν τε νοῦν καὶ τὸ σῶμα ἔχων. Κικέρωνι δὲ Πλάτωνα εἰπόντι γράφοντα τελευτῆσαι (ς) οὐ κατὰ λέξιν πειστέον οἶμαι, μᾶλλον δ' ἐκ ταύτης τῆς μαρτυρίας εἰκαστέον ὅτι Πλάτων μέχρις ἐσχάτων ἡμερῶν συνέγραφε. Καὶ μὴν καὶ λέγεταί γε κατὰ τὴν τελευτὴν αὐτοῦ πίνακα εὑρεθῆναι, ἐν ᾧ πολλαχῶς ἦν διεσκευασμένον τὸ τῆς πολιτείας προοίμιον. Δ. Λ. Γ, λζ'.

Ἔοικε δὲ οὐ τοῦ αὐτοῦ κύρους τε καὶ κλέους ὁ Πλάτων παρὰ τοῖς ὁμιληταῖς ἕως τέλους ἀπολελαυκέναι· καὶ γὰρ Ἀριστοτέλη φασὶν ἰδίαν ἤδη σχολὴν συστησάμενον, ἀντιλέγειν ἐπιχειρῆσαι πρὸς τὰ τῷ Πλάτωνι δοκοῦντα καὶ τοῦτο πολλῶν ἐρίδων τε καὶ διχονοιῶν αἴτιον γεγονέναι. [Δ. Λ. Ε, β'.].

Μετήλλαξε δὲ τὸ ζῆν ὁ θεῖος Πλάτων τῷ ἑβδόμῳ καὶ τεσσαροκοστῷ ἔτει τῆς τετάρτης π. Χ. ἑκατονταετηρίδος (τμζ'. π. Χ.), ἐν πρὸς τοῖς ὀγδοήκοντα ἔτεσι βιούς· ὡς δὲ Σένεκάς φησι τῇ δευτέρᾳ καὶ ὀγδοηκοστῇ γενεθλίῳ ἡμέρᾳ. ἐτάφη δὲ ἐπὶ τοῦ Κεραμεικοῦ πρὸς τῇ Ἀκαδημίᾳ, ὥς φησι καὶ Παυσανίας, ἐφ' οὗ τὸ σῆμα ἔτι εἱστήκει.

Τὰ Πλάτωνος ὑπερθαύμαστα συγγράμματα Θεοῦ εὐμενείᾳ ὁλοσχερῆ πάντα ἐς ἡμᾶς διεσώθη. Ἔστι δὲ τὸν ἀριθμὸν τέσσαρα καὶ τεσσαράκοντα ἐν βιβλίοις τέσσαρ-

(ς) Cic. de sen. 5 : placida ac lenis senectus, qualem accepimus Platonis, qui uno et octogesimo anno scribens est mortuus.

σι καὶ ἑξήκοντα γνήσιά τε καὶ ψευδεπίγραφα ὁμοῦ. Τὸ δὲ σχῆμα αὐτῶν διαλογικόν, ὅπερ οὐχ ὡς τυχαῖον κάλυμμα καὶ ἐπιπολῆς κόσμημα τῆς Πλατωνικῆς φιλοσοφίας λογιστέον ἐστίν, ἀλλ' ἐν τοῖς μάλιστα ἐπιτήδειον πρὸς ὃν ὁ Πλάτων προὐβάλετο σκοπόν. Ἤδη γὰρ καὶ Σωκράτης διαῤῥήδην ἔλεγεν ὡς οὐ τὰ ἑαυτῷ δοκοῦντα τοῖς ἄλλοις μεταδιδόναι σπεύδοι, ἀλλὰ πολλῷ τοι μᾶλλον αὐτοὺς προβιβάζειν ἐπὶ τὸ τὰ ἀληθῆ ἀφ' ἑαυτῶν ἀσφαλῶς τε καὶ μετὰ λόγου ἐπιγιγνώσκειν. Τὸ δ' αὐτὸ θηρῶν καὶ Πλάτων τῷ διαλογικῷ εἴδει ἐχρήσατο. Βούλεται γὰρ ὡς ἔνι μάλιστα ταῖς ἑαυτοῦ συγγραφαῖς ἀρετὰς παρασκευάσαι οἵων ἡ πρὸς παρόντας συνδιάλεξις εὐπορίαν ἔχει. Διὰ τὸν αὐτὸν δέ που λόγον καὶ ἐν τέλει πολλῶν διαλόγων ἀσύνακτον δοκεῖ τὸ ζητούμενον καὶ μετέωρον καὶ πλῆρες ὂν ἀντιφάσεων· οὐθὲν γὰρ οὕτω Πλάτων προθυμεῖται, ὡς τὸ ἐπεγείρειν τε τὴν τοῦ ἐντυγχάνοντος διάνοιαν καὶ περὶ λόγους παντοίους ἀκονᾶν οὕτως, ὥστε ἀφ' ἑαυτοῦ τὰ δέοντα συλλογίζεσθαι τήν τε ἐλλιπῆ ζήτησιν ἐπὶ πλέον προάγειν καὶ ἑνί γε λόγῳ τἀληθὲς περὶ τοῦ προκειμένου ἀφ' ἑαυτοῦ ἐπιγιγνώσκειν. Ταύτῃ οὖν τῇ διαλεκτικῇ μεθόδῳ ὁ Πλάτων χρώμενος ἀμφότερον σκοπεῖ, τήν τε ἑαυτοῦ φιλοσοφίαν ὡς οἷόν τ' ἐπιστημονικῶς ἐκθέσθαι, κῦρος αὐτῇ οὐ τὸ ἀπὸ δόγματος, ἀλλὰ τὸ ἀπὸ τοῦ λόγου καὶ τῆς ἐπιστήμης παρασκευάζων, καὶ ἅμα ἱκανῶς τὸν ἀναγνώστην ἐκπαιδεῦσαι ὡς ἔνι μάλιστα εἰλικρινῶς αὐτὴν καὶ πιθανῶς παρ' ἑαυτῷ λαμβάνειν. Αὕτη δὴ ἡ εἰς ἓν σύμμιξις ἐπιστημονικῆς συνθέσεως καὶ ἐπαγωγῆς ἀποτελεῖ τὸν ἰδιάζοντα χαρακτῆρα τῆς Πλατωνικῆς μεθόδου. Σωκράτης μὲν γὰρ οὐδὲν ἄλλο ἀνεβάλετο ἢ τὸν

φιλοσοφίας ὀρεγόμενον διδάσκειν ἐμφιλοσόφως διανοεῖσθαί τε καὶ πράσσειν· Ἀριστοτέλης δὲ τὸ ἀνάπαλιν, τὴν ἑαυτοῦ φιλοσοφίαν μετ' ἐπιστήμης τε καὶ μεθόδου μόνον διεξελθεῖν προέθετο. Πλάτων δὲ ἀμφότερα εἰς ἓν συνάπτει· ἔργον γὰρ φιλοσοφίας ἡγεῖται ἐπ' ἴσης τό τε ἐπαγωγικῶς ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου ἤτοι τὰς ἰδέας τὸν φιλοσοφοῦντα προσαναβιβάζειν καὶ τὸ τὰ καθόλου συμφυᾶ γε ὄντα, εὖ ἀλλήλοις συναρμόζειν καὶ ὡς ἑνιαῖον καὶ φιλοσοφικὸν σύστημα τῷ λόγῳ διεξιέναι.

Ἀλλ' εἴ τινι μέλοι τῶν Πλατωνικῶν συγγραμμάτων τὸν νοῦν ἐπ' ἀκριβὲς ἐννοῆσαι ἴστω μάλιστα ὅτι οὐχ ὥςπερ τὰ Ἀριστοτέλους σύστημά τι τέλεον καὶ πάντῃ εὖ ἀπηρτισμένον παρέχει, ἀλλ' ὡς ἔπος εἰπεῖν ὀργανικὴν τελείωσιν καὶ διάνοιαν ὁσημέραι γενναιότερον βάθος λαμβάνουσαν ἐμφαίνει· καὶ αὕτη ἡ κατὰ σμικρὸν ἐπίδοσις οὐ μόνον ἐν τῇ μεθόδῳ τελουμένη ἐλέγχεται, ὥςπερ Σλεϊεμάχειρ ἡγεῖται, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ φιλοσόφῳ οἷον λειτουργουμένη σκοπεῖται. ὡς δ' ἐν ἄλλῳ λόγῳ εἰπεῖν, οὔ τοι χάριν τοῦ μανθάνοντος μόνον ὁ Πλάτων κατὰ σμικρὸν ἐπὶ τὰ κράτιστα τῆς γνώσεως ἀνέρχεται, ὅπως ἂν χειραγωγήσειεν αὐτὸν πρὸς εὐχερεστέραν τῶν λεγομένων κατάληψιν, ἀλλὰ καὶ δι' αὐτὴν τὴν φιλοσοφικὴν αὐτοῦ θεωρίαν, ἀεὶ μᾶλλον τελειουμένην καὶ ἔστιν οὗ μεταβαλλομένην, ὥστε ὀρθῶς ἄν τις περὶ ἑκάστου τῶν διαλόγων ἔχοι εἰπεῖν ὅτι ἀεὶ μείζονα ἐπίδοσιν διαδηλοῖ τῆς φιλοσοφικῆς αὐτοῦ θεωρίας (ἴδε Κ. Φρ. Ἑρμάννου, ἱστορίαν καὶ σύστημα τῆς Πλατωνικῆς φιλοσοφίας). Ταύτην δὲ τὴν κατὰ σμικρὸν ἀνάπτυξιν τῆς φιλοσοφίας αὐτοῦ εὐλόγως ἂν εἰς τρεῖς κυρίας περιόδους διέλοιμεν, μίαν μὲν στοιχειώδη λεγο-

μένην, δευτέραν δὲ διαλεκτικὴν καὶ τρίτην συστηματικήν. ἐν μὲν οὖν τῇ πρώτῃ περιόδῳ φαίνεται ὁ Πλάτων τῆς Σωκρατικῆς παιδείας ἔτι καὶ πάνυ ἐχόμενος, καὶ οἱ ἐν τούτῳ τῷ χρόνῳ συγγεγραμμένοι αὐτῷ διάλογοι συνᾴδουσι τοῖς παρὰ Ξενοφῶντι ἀπεμνημονευμένοις. Καὶ ἡ ὑπόθεσις μὲν αὐτῶν αὐτόχρημα Σωκρατικὴ ὑπάρχει· περὶ ἠθικῶν γὰρ ἰδεῶν πραγματεύονται, ἡ δὲ μέθοδος ἡ κατ' ἐπαγωγήν, καὶ ὁ σκοπὸς ὃν προτίθενται, τὸ ἀποδεῖξαι ὅτι λυσιτελέστατον πάσῃ συνδιαλέξει περὶ παντοσδήποτε πράγματος γιγνομένῃ ἐστὶν ἀπὸ τοῦ ὁρίζεσθαι τὴν φύσιν τοῦ πράγματος ἥτις ἐστὶν ὁρμᾶσθαι. ἔτι δὲ οὔπω πρὸς ἄλλα ἄλλων δόγματα φιλοσόφων ἑτεροδοξούντων οὗτοι οἱ διάλογοι ἀντιμαχόμενοι φαίνονται, ἀλλά, καθάπερ οἱ Σωκρατικοί, τῆς κατ' ἐκείνους τοὺς καιροὺς ὑπερισχυούσης ἀνεπιστημοσύνης τε καὶ εἰκαιότητος καθάπτονται· οὐδέ πω τὰς ἀρχὰς αὐτὰς τῶν σοφιστῶν προσβάλλουσιν, εἰμὴ μόνον τὸ ἀτημελὲς καὶ ἐπιπόλαιον τῆς πολιτείας αὐτῶν. Οὕτω φέρ' εἰπεῖν, Χαρμίδης μὲν περὶ σωφροσύνης διαλαμβάνει, Λάχης δὲ περὶ ἀνδρείας, Εὐθύφρων περὶ εὐσεβείας, Λύσις περὶ φιλίας, Πρωταγόρας δὲ περὶ τῆς οὐσίας τῆς ἀρετῆς καθόλου. Ἐν δὲ Μένωνι περὶ τοῦ εἰ διδακτὸν ἡ ἀρετὴ λόγος γίγνεται, Κρίτων δὲ διδάσκει ὡς δίκαιόν ἐστι πάντα πολίτην τοῖς κειμένοις τῆς πόλεως νόμοις ἑαυτὸν πειθόμενον παρέχειν, ἐν δὲ τῷ Γοργίᾳ ἡ τοῦ ἀγαθοῦ καὶ τοῦ δικαίου ἰδέα ἀντιλογικῶς ἤδη πρὸς τὰς τῶν Σοφιστῶν ἀρχὰς ζητεῖται. ὡς τῆς δευτέρας δὲ περιόδου λογίζονται οἱ διάλογοι, ἐν οἷς ὁ Πλάτων ἐκ τῆς Σωκρατικῆς θεωρίας τὴν ἰδεολογίαν ἀπειργάσατο. Ζητεῖ δ' ἐν αὐτοῖς ὑπόστασιν ἐπιλογισμῷ ἀνευρεῖν βέβαιον καὶ

ἀσφαλῆ, ἀλήθειαν κατ' ἀνθυπόστασιν ἔχουσαν. ἔστι δὲ τοῦτο τὸ ὄντως ὂν κατὰ Πλάτωνα αὐτὰ τὰ καθόλου, οἱαςοῦν ὕλης ἀμιγῆ ἤτοι αἱ ἰδέαι, αἱ λόγῳ εἰλικρινεῖ καὶ τέχνῃ διαλεκτικῇ συναγόμεναι. Διὸ καὶ οἱ διάλογοι ταύτης τῆς περιόδου διαλεκτικοὶ κατ' ἐξοχὴν ἐκλήθησαν. Τὰς δ' ἐνστάσεις, καὶ ἀντιῤῥήσεις, δι' ὧν αἱ ὑποθέσεις τῶν διαλόγων πλέκονται καὶ τὰ καθόλου ἤτοι αἱ ἰδέαι συνάγονται, παρέχουσιν ὡς ἐπὶ τὸ πολὺ τὰ Πρωταγόρου καὶ τῶν Ἐλεατικῶν φιλοσόφων δόγματα. Ἀναγράφονται δὲ τῇ περιόδῳ ταύτῃ οἱ ἐφεξῆς διάλογοι, Θεαίτητος, Σοφιστής, Πολιτικὸς καὶ Παρμενίδης, οἳ καὶ Μεγαρικοὶ καλοῦνται. Ἐν δὲ τοῖς διαλόγοις τῆς τρίτης περιόδου ἐκ τῆς ἰδεολογίας ὡς ἀπό τινος σαφοῦς καὶ δεδειγμένου τοῦ λοιποῦ ὁ Πλάτων ὁρμώμενος, τὰ ἐπὶ μέρους τῆς τε ἠθικῆς καὶ φυσικῆς πραγματείας ἐπεξεργάζεται. καὶ τὰς μέχρι τοῦδε κατὰ μόνας καὶ χωρὶς οὔσας ἐπιστήμας συλλαβών, ὑφ' ἓν σύστημα ὁλοσχερὲς ὑπάγει. ταύτης δὲ τῆς περιόδου διάλογοί εἰσιν ὁ Φαῖδρος καὶ τὸ συμπόσιον, οὓς ἄν τις εὐλόγως ὡς προοίμιον ἢ εἰςαγωγὴν ἐκλάβοι εἰς ὅσα συγγράμματα ὁ Πλάτων ἐν τούτῳ τῷ χρόνῳ συνέγραψεν, εἶτα Φαίδων, Φίληβος, ἡ πολιτεία, Τίμαιος, καὶ οἱ νόμοι ἀριθμοῦνται.

§ Κϛ'. *Διαίρεσις τῆς Πλατωνικῆς φιλοσοφίας.*

Εἰ καὶ Πλάτων αὐτὸς ἐν οὐδενὶ τῶν συγγραμμάτων τὴν ἑαυτοῦ φιλοσοφίαν εἰς μέρη διελεῖν ἐπεχείρησεν, ἐπεὶ καὶ τὰς θεωρίας αὐτοῦ οὐκ ἐν σχήματι συστήματος φιλοσοφικοῦ ἐξέθετο· ἔργῳ μέντοι μηδένα ἄν, οἶμαι, διαλάθοι τὸ ἐκ τριῶν κυρίων μερῶν τὴν φιλοσοφίαν

αὐτοῦ συνηρμόσθαι. τὸ δ' αὐτὸ ἐοίκασιν ἤδη καὶ πολλοὶ τῶν πάλαι νενοηκέναι, Πλάτωνα πρῶτον λέγοντες πρὸς τῇ ἐν χρήσει φυσικῇ καὶ ἠθικῇ καὶ τρίτην ἄλλην καινὴν καὶ τέως ἀγνοουμένην ἐπιστήμην, τὴν διαλεκτικὴν εἰςαγαγεῖν καὶ οὕτω τελείαν τὴν φιλοσοφίαν ἀπεργάσασθαι, ὅπερ καὶ Διογένης ὁ Λαέρτιος μαρτυρεῖ, ὧδέ πως λέγων· « ὥςπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διοδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορόν, καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, καὶ συνεπλήρωσαν τὴν τραγῳδίαν· οὕτω καὶ τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικός, δεύτερον δὲ Σωκράτης προςέθηκε τὸν ἠθικόν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν, καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν». (α) ταῦτα μὲν οὖν ὀρθῶς λέγεται· καὶ γὰρ ἡ παρὰ Πλάτωνι διαλεκτικὴ οὐ μόνον μέρος ἁπλοῦν ἐστι τῆς φιλοσοφίας, ἀλλὰ καὶ πάνυ οὐσιῶδες καὶ ὡς ἔπος εἰπεῖν ῥίζα, ἐξ ἧς γε ἥτε φυσικὴ καὶ ἠθικὴ ἐκβλαστάνουσιν. ἐπεὶ οὖν αὕτη ἡ τριχῇ τῆς φιλοσοφίας διαίρεσις εἰς τὴν διαλεκτικὴν καὶ φυσικὴν καὶ ἠθικὴν ἐν ἔθει ἔκτοτε καθέστηκε, Ξενοκράτης τε ὁ Πλάτωνος ἀκροασάμενος αὐτὴν παρεδέξατο καὶ Ἀριστοτέλης ὡς γνωστὴν ἤδη προϋπολαμβάνει, δίκαιοί που ἂν εἴημεν ἐκ παντὸς λόγου τῷ Πλάτωνι αὐτὴν ἀναγράφοντες, εἴτε ὑπὸ Πλάτωνος αὐτοῦ διαῤῥήδην τὸ τρισσὸν εἶδος αὐτῇ ἀπεδόθη, εἴτε καὶ ὡς ἀφ' ἑαυτῆς προκύπτουσα συνάρθρωσις τῶν Πλατωνικῶν λόγων παραλαμβάνεται.

(α) Διογ. Λ. Γ, νς'.

§ κζ'. Περὶ τῆς κατὰ Πλάτωνα διαλεκτικῆς ἤτοι τῆς ἐπιστήμης τῶν ἰδεῶν.

α'. Ὁρισμὸς τῆς διαλεκτικῆς.

Δόξειεν ἂν ἡ διαλεκτικὴ κατὰ τὴν ἐξ ἀρχῆς ἐκδοχὴν τῆς λέξεως τέχνη εἶναι τοῦ μετ' ἐπιστήμης περὶ τῆς οὐσίας ἑκάστου τῶν ὄντων διαλέγεσθαι. παραπλησίως δὲ καὶ Πλάτων αὐτὴν ὁρίζεται, παιδείαν λέγων, «ἐξ ἧς ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι ἐπιστημονέστατα οἷοί τ' ἔσονται οἱ παῖδες». οὔκουν ἀλυσιτελές μοι δοκεῖ τόπον τινὰ τῆς Πλάτωνος πολιτείας ἐνταῦθα παραλαβεῖν ἐξ οὗ δῆλον ἂν μᾶλλον γένοιτο, οἵαν γε Πλάτων τῇ διαλεκτικῇ δύναμιν ἀπεδίδου· ὧδε γάρ πως ἀποφαίνεται· «Ἦ καὶ διαλεκτικὸν καλεῖς τὸν λόγον ἑκάστου λαμβάνοντα τῆς οὐσίας; καὶ τὸν μὴ ἔχοντα, καθ' ὅσον ἂν μὴ ἔχῃ λόγον αὑτῷ τε καὶ ἄλλῳ διδόναι, κατὰ τοσοῦτον νοῦν περὶ τούτου οὐ φήσεις ἔχειν; Πῶς γὰρ ἄν, ἦ δ' ὅς, φαίην; οὐκοῦν καὶ περὶ τοῦ ἀγαθοῦ ὡσαύτως, ὃς ἂν μὴ ἔχῃ διορίσασθαι τῷ λόγῳ ἀπὸ τῶν ἄλλων πάντων ἀφελὼν τὴν τοῦ ἀγαθοῦ ἰδέαν, καὶ ὥςπερ ἐν μάχῃ διὰ πάντων ἐλέγχων διεξιών, μὴ κατὰ δόξαν, ἀλλὰ κατ' οὐσίαν προθυμούμενος ἐλέγχειν, ἐν πᾶσι τούτοις ἀπτῶτι τῷ λόγῳ διαπορεύηται, οὔτε αὐτὸ τὸ ἀγαθὸν φήσεις εἰδέναι τὸν οὕτως ἔχοντα οὔτε ἄλλο ἀγαθὸν οὐδέν, ἀλλ' εἴ πῃ εἰδώλου τινὸς ἐφάπτεται, δόξῃ, οὐκ ἐπιστήμῃ ἐφάπτεσθαι, καὶ τὸν νῦν βίον ὀνειροπολοῦντα καὶ ὑπνώττοντα, πρὶν ἐνθάδ' ἐξέγρεσθαι, εἰς Ἅδου πρότερον ἀφικόμενον τελέως ἐπικαταδαρθάνειν; Νὴ τὸν Δία, ἦδ' ὅς, σφόδρα γε πάντα ταῦτα φήσω. Ἀλλὰ μὴν τούς γε

σαυτοῦ παῖδας, οὓς τῷ λόγῳ τρέφεις τε καὶ παιδεύεις, εἴ ποτε ἔργῳ τρέφοις, οὐκ ἂν ἐάσαις, ὡς ἐγῷμαι, ἀλόγους ὄντας ὥςπερ γραμμάς, ἄρχοντας ἐν τῇ πόλει κυρίους τῶν μεγίστων εἶναι. Οὐ γὰρ οὖν, ἔφη. Νομοθετήσεις δὴ αὐτοῖς ταύτης μάλιστα τῆς παιδείας ἀντιλαμβάνεσθαι, ἐξ ἧς ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι ἐπιστημονέστατα, οἷοί τ' ἔσονται; Νομοθετήσω, ἔφη, μετά γε σοῦ. Ἆρ' οὖν δοκεῖ σοι, ἔφην ἐγώ, ὥςπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτ' ἄλλο τούτου μάθημα ἀνωτέρω ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ' ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων; Ἔμοι γ', ἔφη» (α). Ἔστι δ' οὖν κατὰ Πλάτωνα ἡ τοῦ ὀρθῶς διαλέγεσθαι τέχνη καὶ τοῦ ὀρθῶς ἅμα διανοεῖσθαι· διάνοια γὰρ καὶ λόγος «ταὐτόν, πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὐτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη διάνοια. Τὸ δέ γ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου κέκληται λόγος» (β). Ὅθεν δὴ καὶ χρῆται τῷ τῆς διαλεκτικῆς ὀνόματι, ὁσάκις ἂν βούληται τὰς λογικὰς διανοήσεις σημαίνειν, αἷς γε μόναις, ἔφη, ἡ τοῦ ἀληθοῦς ἐπιστήμη ἐφικτὴ ἡμῖν γένοιτ' ἄν. ἔτι δὲ ἀποφαίνεται τὴν διαλεκτικὴν δύναμιν εἶναι τοῦ διαλέγεσθαι, ᾗπερ αὐτὸς ὁ λόγος χρώμενος ἅπτεται τοῦ νοητοῦ, «τὰς ὑποθέσεις ποιούμενος οὐκ ἀρχάς, ἀλλὰ τῷ ὄντι ὑποθέσεις, οἷον ἐπιβάσεις τε καὶ ὁρμάς, ἵνα μέχρι τοῦ ἀνυποθέτου (ad absolutum) ἐπὶ τὴν τοῦ παντὸς ἀρχὴν ἰών, ἀψάμενος αὐτῆς, πάλιν αὖ ἐχόμενος τῶν ἐκείνης ἐχο-

(α) Πλάτ. πολ. Ζ, σ. φλδ'.

(β) Σοφιστ. σ. σξγ', ε.

μένων, οὕτως ἐπὶ τελευτὴν καταβαίνῃ αἰσθητῷ παντάπασιν οὐδενὶ προςχρώμενος, ἀλλ' εἴδεσιν αὐτοῖς δι' αὐτῶν εἰς αὐτὰ, καὶ τελευτᾷ εἰς εἴδη» (γ). Ἐπεὶ οὖν Πλάτων τὰς ἰδέας μόνας ὡς τὸ ὄντως ὂν ὑπολαμβάνει, ὁρίζεται ἐν Φιλήβῳ καὶ τὴν τοῦ διαλέγεσθαι δύναμιν ἤτοι τὴν διαλεκτικὴν ὡς τὴν περὶ τὸ ὂν καὶ τὸ ὄντως καὶ τὸ κατὰ ταὐτὸν ἀεὶ πεφυκὸς μακρῷ ἀληθεςάτην οὖσαν γνῶσιν (δ).

β'. Γένεσις καὶ αἴτια τῆς Πλατωνικῆς ἰδεολογίας.

Εἴ τις ἂν βούλοιτο ἀνασκέψασθαι, ὅθεν ἀρχὴ καὶ γένεσις τῆς Πλάτωνος ἰδεολογίας ἐγένετο, πεισθείη ἂν, οἶμαι, ἐκ τούτων τῶν τριῶν κοινῇ αὐτὴν προεληλυθέναι· πρῶτον μὲν ἐκ τῶν Σωκρατικῶν λόγων ἀπὸ τῶν ἐπὶ μέρους ἐπὶ τὰ εἴδη τὰ γενικώτατα ἀεὶ προϊόντων, εἶτα δὲ ἐκ τοῦ δόγματος τοῦ Ἡρακλείτου λέγοντος μηδὲν χρῆμα ἔμπεδον, πάντων ποταμοῦ δίκην ἀεὶ ῥεόντων καὶ τρίτον ἐκ τοῦ τῶν Ἐλεατῶν δόγματος, περὶ τοῦ Εἶναι τοῦ ἑνὸς καὶ πάσης ὕλης ἀμοιροῦντος.

α'. Σωκράτης μὲν οὖν παρὰ πάντα τὸν βίον οὐδὲν ἄλλο οὕτως ἦν σκοπῶν, ὡς τὸ σὺν πείρᾳ πραγμάτων βεβαίαν ὑπόστασιν τοῦ ἐπιστητοῦ ὁρίζεσθαι καὶ λόγῳ ἠκριβωμένην τῶν ὄντων ἐπιστήμην παρ' ἑαυτῷ λαμβάνειν· καὶ μέγα τι οὕτως ἤνυσε τὰς τῶν ὄντων ἰδέας τέλος κατανοήσας. εἰς δὲ τὸ ὁρίζεσθαι τὰ καθόλου παρώρμησεν αὐτὸν ἡ ἐξ ἧς γε ὡρμήθη ὑπόθεσις ὅτι τὸ

(γ) Πλάτωνος Πολιτείας ς'. σ. φια', β.
(δ) Φιληβ. σ. νη', α.

καθόλου εἶδος ἤτοι ἡ ἰδέα τύπος ἐστὶ τῆς οὐσίας αὐτῆς τῶν ἔξω ἡμῶν ὄντων. Ταύτην δὲ τὴν Σωκράτους ὑπόληψιν ὁ Πλάτων παραλαβὼν, τὰ μὲν αὐτῆς ὡς εἶχεν ἐτήρησεν, ἔνια δὲ καὶ ἐπὶ τὸ θεωρητικώτερον ἐτελεσιούργησεν, ἀποφηνάμενος ὅτι τὰ εἴδη τὰ γενικώτατα οὐ μόνον τὸ πᾶν εἴη ἑκάστῳ πρὸς τὸ εἰδέναι τὰ ὄντα, ἀλλὰ καὶ αὐτὸ τὸ ὄντως ὂν τοῦ ἀνθυφεστῶτος κόσμου, ἡ ἀληθὴς τῶν ὄντων οὐσία καὶ κοινὴ ἀρχὴ παντὸς τοῦ εἶναί τε καὶ εἰδέναι. προσωτέρω δὲ ὁ Πλάτων προέβη, καθ' ὅσον τὰ καθόλου εἴδη, ὡς αὐτὰ καθ' αὑτὰ καὶ τῶν καθ' ἕκαστον ὄντων ἐκτὸς τὸ εἶναι ἔχοντα ὑπείληφεν, οὐσίας χωριστάς, ὡς φιλεῖ καὶ Ἀριστοτέλης τὰς ἰδέας ἀποκαλεῖν.

β'. Ἦν δὲ τῷ Πλάτωνι ἤδη ἐκ νέου πλὴν τῆς Σωκρατικῆς φιλοσοφίας καὶ ἡ Ἡρακλείτου συνήθης, ἥγε δὴ καὶ οὐκ ὀλίγον αὐτῷ ὑπούργησεν εἰς τὴν ἰδεοποιίαν. Ὥςπερ οὖν καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ ὧδέ πως φησίν· « Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν ἰταλικῶν ἔχουσα φιλοσοφίαν. Ἐκ νέου τε γὰρ συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν· Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμοῦ ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον, ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γινόμενον καὶ οὐ τῶν αἰσθητῶν τινός· ἀδύνατον

γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων· οὗτος μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προςηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα ». Μετ. Α, ϛ'. Μ, θ'. Καὶ φαίνεταί γε δὴ Πλάτων τῇ Ἡρακλείτου περὶ τῶν αἰσθητῶν θεωρίᾳ ἕως τέλους παραμεμενηκέναι. Καὶ γὰρ τὰ αἰσθήσει ληπτὰ καὶ οὗτος ἀεὶ ῥεῖν ὑπείληφε καὶ πάντῃ μεταβάλλειν, ὡς ἀληθῶς μὴ ὄντα ἀλλὰ μεταξὺ τοῦ εἶναί τε καὶ μὴ εἶναι ἄλλοτ' ἄλλως ἐν μέσῳ που ἀορίστως μετακινούμενα. Διὸ δόξαν μόνον εἶναι αὐτῶν καὶ φαντασίαν ψιλὴν ἄλλοτ' ἄλλως ἐν ἄλλοις ἔχουσαν, γνῶσιν μέντοι ἔμπεδον καὶ ἐπιστήμην ἀκριβῆ ἑκάστου αὐτῶν μηδεμίαν εἶναι μηδαμῶς. ταὐτά που καὶ ἐν Κρατύλῳ οὑτωσὶ διέξεισιν·

«Σωκρ. Ἆρ' οὖν οἷόν τε προςειπεῖν αὐτὸ ὀρθῶς, εἰ ἀεὶ ὑπεξέρχεται, πρῶτον μὲν ὅτι ἐκεῖνό ἐστιν, ἔπειτα ὅτι τοιοῦτον; ἢ ἀνάγκη ἅμα ἡμῶν λεγόντων, ἄλλο αὐτὸ εὐθὺς γίγνεσθαι καὶ ὑπεξιέναι καὶ μηκέτι οὕτως ἔχειν; Κρατύλος. Ἀνάγκη. Σωκ. Πῶς οὖν ἂν εἴη τι ἐκεῖνο, ὃ μηδέποτε ὡςαύτως ἔχει; εἰ γάρ ποτε ὡςαύτως ἔχει, ἔν γε ἐκείνῳ τῷ χρόνῳ, ὁπότε ὡςαύτως ἔχει, δῆλον ὅτι οὐδὲν μεταβαίνει. Εἰ δὲ ἀεὶ ὡςαύτως ἔχει καὶ τὸ αὐτό ἐστι, πῶς ἂν τοῦτό γε μεταβάλλοι ἢ κινοῖτο, μηδὲν ἐξιστάμενον τῆς αὑτοῦ ἰδέας; Κρατ. Οὐδαμῶς. Σωκ. Ἀλλὰ μὴν οὐδ' ἂν γνωσθείη γε ὑπ' οὐδενός· ἅμα γὰρ ἂν ἐπιόντος τοῦ γνωσομένου ἄλλο καὶ ἀλλοῖον γίγνοιτο, ὥστε οὐκ ἂν γνωσθείη ἔτι ὁποῖόν γέ τί ἐστιν ἢ πῶς ἔχον· γνῶσις δὲ δήπου οὐδεμία γιγνώσκει, ὃ γιγνώσκει, μηδαμῶς ἔχον. Κρατ. Ἔστιν ὡς λέγεις. Σωκ· Ἀλλ' οὐδὲ γνῶσιν εἶναι φάναι εἰκός, ὦ Κράτυλε, εἰ

μεταπίπτει πάντα χρήματα καὶ μηδὲν μένει· εἰ μὲν γὰρ αὐτὸ τοῦτο, ἡ γνῶσις, τοῦ γνῶσις εἶναι μὴ μεταπίπτει, μένοι τε ἂν ἀεὶ ἡ γνῶσις καὶ εἴη γνῶσις· εἰδὲ καὶ αὐτὸ τὸ εἶδος μεταπίπτει τῆς γνώσεως, ἅμα τ' ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνώσεως καὶ οὐκ ἂν εἴη γνῶσις· εἰ δὲ ἀεὶ μεταπίπτει, ἀεὶ οὐκ ἂν εἴη γνῶσις. καὶ ἐκ τούτου τοῦ λόγου οὔτε τὸ γνωσόμενον οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. Εἰ δὲ ἔστι μὲν ἀεὶ τὸ γιγνῶσκον, ἔστι δὲ τὸ γιγνωσκόμενον, ἔστι δὲ τὸ καλόν, ἔστι δὲ τὸ ἀγαθόν, ἔςι δὲ ἓν ἕκαστον τῶν ὄντων, οὔ μοι φαίνεται ταῦτα ὅμοια ὄντα, ἃ νῦν ἡμεῖς λέγομεν, ῥοῇ οὐδὲν οὐδὲ φορᾷ. ταῦτ' οὖν πότερόν ποτε οὕτως ἔχει, ἢ ἐκείνως ὡς οἱ περὶ Ἡράκλειτόν τε λέγουσι καὶ ἄλλοι πολλοί, μὴ οὐ ῥᾴδιον ᾖ ἐπισκέψασθαι, οὐδὲ πάνυ νοῦν ἔχοντος ἀνθρώπου ἐπιτρέψαντα ὀνόμασιν αὐτὸν καὶ τὴν αὐτοῦ ψυχὴν θεραπεύειν, πεπιστευκότα ἐκείνοις καὶ τοῖς θεμένοις αὐτά, διϊσχυρίζεσθαι ὥς τι εἰδότα καὶ αὐτοῦ τε καὶ τῶν ὄντων καταγιγνώσκειν, ὡς οὐδὲν ὑγιὲς οὐδενός, ἀλλὰ πάντα ὥςπερ κεράμια ῥεῖ καὶ ἀτεχνῶς, ὥςπερ οἱ κατάῤῥῳ νοσοῦντες ἄνθρωποι, οὕτως οἴεσθαι καὶ τὰ πράγματα διακεῖσθαι, ὑπὸ ῥεύματός τε καὶ καταῤῥου πάντα χρήματα ἔχεσθαι. Ἴσως μὲν οὖν δή, ὦ Κρατύλε, οὕτως ἔχει, ἴσως δὲ καὶ οὔ. σκοπεῖσθαι οὖν χρὴ ἀνδρείως τε καὶ εὖ, καὶ μὴ ῥᾳδίως ἀποδέχεσθαι (ἔτι γὰρ νέος εἶ καὶ ἡλικίαν ἔχεις), σκεψάμενον δὲ ἐὰν εὕρῃς, μεταδιδόναι καὶ ἐμοί ». (ε). — Συνάγεται οὖν ἐκ τῶν ἄρτι λεχθέντων ὅτι εἰ μὲν αἰσθήσει μόνον ληπτά ἐστι, δῆλον ἄρα ὅτι οὔτε τι ὄντως ὂν ἐστίν, οὐδὲ γνῶσις οὐδεμία τοπαράπαν. εἰδ' ἔστι τι ἀληθὲς καὶ γνῶσις αὐτοῦ, ἀνάγκη πᾶσα

(ε) σ. υλθ, Δ. κεφξ.

πέραν γέ που τῶν αἰσθητῶν ὑπάρχειν, ὃ ταῖς μὲν αἰσθήσεσιν ὅλως ἄληπτον ἂν εἴη, λογισμῷ δὲ μόνῳ καὶ νοήσει ἁλωτόν· καὶ τοῦτό ἐστιν ὑπόθεσις καὶ πραγματεία τῆς ἐπιστημονικῆς καὶ κυρίως λεγομένης θεωρίας.

γ΄. Τὰ αὐτὰ δ' ἔθεντο καὶ οἱ Ἐλεᾶται· Παρμενίδης γὰρ τὸ ὑπὲρ αἴσθησιν Εἶναι μόνον ὂν ὄντως καὶ εἰλικρινὲς εἶναι ἔφη καὶ τοῦτο ταὐτὸν εἶναι τῷ νοεῖν· « τὸ γὰρ αὐτὸ νοεῖν ἐστί τε καὶ εἶναι ». καὶ Πλάτων ἀσπάζεται τὸ δόγμα τοῦτο ὁλοσχερῶς. Προφέρεται γὰρ αὐτὸν ὡς προοδοποιήσαντα ἑαυτῷ τὴν περὶ ἰδεῶν θεωρίαν, εἰςάγων αὐτὸν ἐν Παρμενίδῃ τῷ ἐπωνύμῳ διαλόγῳ ὡς τῶν περὶ αὐτὴν λόγων προεξάρχοντα, ἐν οἷς γε τοῦθ' ὑποδηλῶσαι ὁ Πλάτων βούλεται, ὅτι ἡ ἰδεολογία ὁ ἀληθὴς νοῦς τρόπον τινὰ εἴη καὶ ἡ διαλεκτικὴ πρόοδος τοῦ ἐλεατικοῦ δόγματος. οὐ μέντοι πάνθ' ὁμοίως τὰ τῶν Ἐλεατῶν τῷ Πλάτωνι ἀρέσκει. οἱ μὲν γὰρ Ἐλεᾶται οὐσίαν μίαν μόνην νοητὴν εἶναι ἔφασκον, τὸ ὂν τὸ ἁπλοῦν· πρὸς δὲ ταύτην τὴν δόξαν φανερῶς ὁ Πλάτων ἐν τῷ Σοφιστῇ ἀντιμάχεται. τὸ γὰρ ἁπλοῦν Εἶναι καὶ τοῦ Τινὸς πάμπαν ἀμοιροῦν, εἴη ἄν, φησί, τῇ διανοίᾳ ἄληπτον, ὡς ἓν μηδὲν δῆλον ὅτι ὄν. Νοεῖν δ' ἄρα χρὴ τὸ ἀληθῶς ὄν, ἤτοι τὴν ἰδέαν μὴ ὡς ἀφῃρημένην, ἀλλ' ὡς μονάδα ὡρισμένην. Ἐπεὶ δὴ οὖν τὸ ὁρίζεσθαι οἷον χωρίζειν ἐστί τι ἀπό τινος ἄλλου, μὴ μίαν μόνην εἶναι ἂν οὐσίαν ἔφη, ἀλλὰ πληθὺν οὐσιῶν, ἃς ἑνάδας ἢ μονάδας (ἐν Φιλήβῳ σ. ιε΄.) ἀποκαλεῖ. Ἀποδείκνυσι δὲ τοῦτο ἐν Σοφιστῇ ὧδέ πως λέγων· « Ξένος. Τί δέ; παρὰ τῶν ἓν τὸ πᾶν λεγόντων ἆρ' οὐ πευστέον εἰς δύναμιν τί ποτε λέγουσι τὸ ὄν;— Θεαίτητος. Πῶς γὰρ οὔ; — Ξέν. Τόδε τοίνυν ἀποκρινέσθωσαν. Ἓν πού φατε μόνον

εἶναι ; Φαμὲν γάρ, φήσουσιν· ἦ γάρ ; — Θεαίτ. Ναί.— Ξέν. Τί δέ ; ὄν καλεῖτέ τι ; — Θεαίτ. Ναί. — Ξέν. Πότερον ὅπερ ἕν, ἐπὶ τῷ αὐτῷ προςχρώμενοι δυοῖν ὀνόμασιν, ἢ πῶς ; — Θεαίτ. Τίς οὖν αὐτοῖς ἡ μετὰ τοῦτ', ὦ ξένε, ἀπόκρισις ; — Ξέν. Δῆλον, ὦ Θεαίτητε, ὅτι τῷ ταύτην τὴν ὑπόθεσιν ὑποθεμένῳ πρὸς τὸ νῦν ἐρωτηθὲν καὶ πρὸς ἄλλο δὲ ὁτιοῦν οὐ πάντων ῥᾷστον ἀποκρίνασθαι. — Θεαίτ. Πῶς ; — Ξέν. Τό, τε δύο ὀνόματα ὁμολογεῖν εἶναι, μηδὲν θέμενον πλὴν ἕν, καταγέλαστόν που. — Θεαίτ. Πῶς δ' οὔ ; — Ξέν. Καὶ τὸ παράπαν γε ἀποδέχεσθαι τοῦ λέγοντος ὡς ἔστιν ὄνομά τι, λόγον οὐκ ἂν ἔχον. — Θεαίτ. Πῇ ; — Ξέν. Τιθείς τε τοὔνομα τοῦ πράγματος ἕτερον, δύο λέγει πού τινε. — Θεαίτ. Ναί. — Ξέν. Καὶ μὴν ἂν ταὐτόν γε αὐτῷ τιθῇ τοὔνομα, ἢ μηδενὸς ὄνομα ἀναγκασθήσεται λέγειν, εἰ δέ τινος αὐτὸ φήσει, ξυμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ οὐδενὸς ὄν.— Θεαίτ. Οὕτως. — Ξεν. Καὶ τὸ ἕν γε ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο ὀνόματος αὐτὸ ἓν ὄν. — Θεαίτ. Ἀνάγκη. — Ξέν. Τί δέ ; τὸ ὅλον ἕτερον τοῦ ὄντος ἑνὸς ἢ ταὐτὸν φήσουσι τούτῳ ; — Θεαίτ. Πῶς γὰρ οὐ φήσουσί τε καὶ φασίν ; — Ξέν. Εἰ τοίνυν ὅλον ἐστίν, ὥςπερ καὶ Παρμενίδης λέγει,

Πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ,
Μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον
Οὔτε τι βαιότερον πελέναι χρεών ἐστι τῇ ἢ τῇ,

τοιοῦτόν γε ὂν τὸ ὂν μέσον τε καὶ ἔσχατα ἔχει, ταῦτα δὲ ἔχον, πᾶσα ἀνάγκη μέρη ἔχειν· ἢ πῶς ; — Θεαίτ. Οὕτως. — Ξέν. Ἀλλὰ μὴν τό γε μεμερισμένον πάθος

μὲν τοῦ ἑνὸς ἔχειν ἐπὶ τοῖς μέρεσι πᾶσιν οὐδὲν ἀποκωλύει, καὶ ταύτῃ δὴ πᾶν τε ὂν καὶ ὅλον ἓν εἶναι. — Θεαίτ. Τί δ' οὔ; — Ξέν. Τὸ δὲ πεπονθὸς ταῦτα ἆρ' οὐκ ἀδύνατον αὐτό γε τὸ ἓν αὐτὸ εἶναι; — Θεαίτ. Πῶς; — Ξεν. Ἀμερὲς δήπου δεῖ παντελῶς τό γε ἀληθῶς ἓν κατὰ τὸν ὀρθὸν λόγον εἰρῆσθαι. — Θεαίτ. Δεῖ γὰρ οὖν. — Ξέν. Τὸ δέ γε τοιοῦτον ἐκ πολλῶν μερῶν ὂν οὐ ξυμφωνήσει τῷ λόγῳ. — Θεαίτ. Μανθάνω. — Ξέν. Πότερον δὴ πάθος ἔχον τὸ ὂν τοῦ ἑνὸς οὕτως ἕν τε ἔσται καὶ ὅλον, ἢ παντάπασι μὴ λέγωμεν ὅλον εἶναι τὸ ὄν; — Θεαίτ. Χαλεπὴν προβέβληκας αἵρεσιν. — Ξέν. Ἀληθέστατα μέντοι λέγεις· πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναί πως, οὐ ταὐτὸν ὂν τῷ ἑνὶ φαίνεται, καὶ πλέονα δὴ τὰ πάντα ἑνὸς ἔσται. — Θεαίτ. Ναί. — Ξέν. Καὶ μὴν ἐάν γε τὸ ὂν ᾖ μὴ ὅλον διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνου πάθος, ᾖ δὲ αὐτὸ τὸ ὅλον, ἐνδεὲς τὸ ὂν ἑαυτοῦ ξυμβαίνει. — Θεαίτ. Πάνυ γε. — Ξέν. Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ἑαυτοῦ στερόμενον οὐκ ὂν ἔσται τὸ ὄν· — Θεαίτ. Οὕτως. — Ξέν. καὶ ἑνός γε αὖ πλείω τὰ πάντα γίγνεται, τοῦ τε ὄντος καὶ τοῦ ὅλου χωρὶς ἰδίαν ἑκατέρου φύσιν εἰληφότος. — Θεαίτ. Ναί. — Ξέν. Μὴ ὄντος δέ γε τὸ παράπαν τοῦ ὅλου, ταὐτά τε ταῦτα ὑπάρχει τῷ ὄντι καὶ πρὸς τῷ μὴ εἶναι μηδ' ἂν γενέσθαι ποτὲ ὄν. — Θεαίτ. Τί δή; — Ξέν. Τὸ γενόμενον ἀεὶ γέγονεν ὅλον, ὥστε οὔτε οὐσίαν οὔτε γένεσιν ὡς οὖσαν δεῖ προσαγορεύειν [τὸ ἓν ἢ], τὸ ὅλον ἐν τοῖς οὖσι μὴ τιθέντα. — Θεαίτ. Παντάπασιν ἔοικε ταῦθ' οὕτως ἔχειν. — Ξέν. Καὶ μὴν οὐδ' ὁποσονοῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι· ποσόν τι γὰρ ὄν, ὁπόσον ἂν ᾖ, τοσοῦτον ὅλον ἀναγκαῖον αὐτὸ εἶναι. — Θεαίτ. Κομιδῇ γε. — Ξέν. Καὶ

τοίνυν ἄλλα μυρία ἀπεράντους ἀπορίας ἕκαστον εἰληφὸς φανεῖται τῷ τό ὄν εἴτε δύο τινὲ εἴτε ἓν μόνον εἶναι λέγοντι. — Θεαίτ. Δηλοῖ σχεδὸν καὶ τὰ νῦν ὑποφαίνοντα· ξυνάπτεται γὰρ ἕτερον ἐξ ἄλλου, μείζω καὶ χαλεπωτέραν φέρον περὶ τῶν ἔμπροσθεν ἀεὶ ῥηθέντων πλάνην. — Ξέν. Τοὺς μὲν τοίνυν διακριβολογουμένους ὄντος τε πέρι καὶ μὴ πάντας μὲν οὐ διεληλύθαμεν, ὅμως δὲ ἱκανῶς ἐχέτω.»—(Σοφισ. σ. σμδ΄ κ.φ.ξ.) Συγκεφαλαιοῦντες οὖν τὰ πρόσθεν εἰρημένα, λέγομεν ὅτι Πλάτων ὁμογνωμονεῖ μὲν τοῖς Ἐλεάταις καθ᾽ ὅσον περ ἑκάστην ἰδέαν ἓν ἀποφαίνεται εἶναι, ἀίδιον, ἀμετάβλητον, οἱαςοῦν ἀτελείας ἀπὸ τοῦ σωματοειδοῦς ἀνέπαφον, μηδ᾽ ὁπωςτιοῦν αἰσθήσει περιληπτὸν ὄν, νοήσει δὲ μόνῃ καὶ λογισμῷ νοητόν· ἀντιμάχεται δὲ αὐτοῖς, καθ᾽ ὅσον διϊσχυρίζεται μὴ μίαν, ἀλλὰ πολλὰς εἶναι τὰς ἰδέας, ἑκάστην δ᾽ αὐτῶν πάσης ἄλλης ἀφωρισμένην τε καὶ διακεκριμένην.

Γ΄. Περὶ τῆς Πλατωνικῆς ἰδεολογίας ἤτοι τῆς περὶ ἰδεῶν θεωρίας.

Ἐκ πάντων μὲν οὖν τῶν μέχρι τοῦδε λεχθέντων συνάγεται τόδε, ὅτι ὁ Πλάτων ὁρίζεται τὰς ἰδέας, κατά γε τὴν λογικὴν αὐτῶν φύσιν, ὡς τὸ νοήσει καὶ λογισμῷ ληπτὸν ἤτοι τὸ τί ἐςι τῶν ὄντων. Εἶναι μὲν γάρ φησι τὴν ἰδέαν ἕκαστον αὐτό, οἷον αὐτὸ καλὸν καὶ αὐτὸ ἀγαθόν, αὐτὸ τὸ ἴσον καὶ τὰ τούτοις παραπλήσια (ς), εἶναι δὲ τὸ καθόλου, τὸ ἐπὶ πᾶσι κοινόν, ἓν ἐπὶ πολλῶν καὶ ταὐτὸν ἐν ποικιλίᾳ ὄντων· εἶναι δέ φησι

(ς) Πολιτ. ς΄. σ. φζ΄, Β. — Φαίδ. οδ΄, Β.

πρὸς τούτοις τὰς ἰδέας κατά γε τὸν λογικὸν συνειρμὸν κρείσσονας ἢ ἴσας ἢ ἥσσονας ἀλλήλων. τὴν δὲ ἰδέαν τοῦ ἀγαθοῦ πασῶν τῶν ἄλλων κρατίστην εἶναι, πάσας ἐν ἑαυτῇ περιέχουσαν τὰς ἄλλας. Καὶ γὰρ Πλάτων μόνον τὸ ἀγαθὸν ἄξιον ἂν εἶναι οἴεται πρώτην καὶ ἐσχάτην τοῦ ὄντος πηγὴν λογίζεσθαι τοῦ γε ἐκτὸς ἡμῶν ὑπάρχοντος καὶ τοῦ ἐν τῷ ἡμετέρῳ νῷ τὴν γένεσιν ἔχοντος ἤτοι τοῦ εἰδέναι. καὶ ἑνί γε λόγῳ τὸ ἀγαθὸν αὐτὸ οἷον ἄστρον φαεινόν ἐστιν καὶ κορυφὴ ὑψίστη καὶ πρώτη ἀρχὴ τοῦ τῶν ἰδεῶν βασιλείου καὶ δὴ καὶ καθόλου εἰπεῖν σύμπαντος τοῦ ὄντος. Ἐπεὶ δὲ τὸ κατὰ Πλάτωνα ἰδεολογικὸν ἀγαθὸν ἤτοι ἡ ἰδέα τοῦ ἀγαθοῦ ὑπ' ἄλλων ἄλλως ἑρμηνευθὲν παλαιῶν τε καὶ νεωτέρων, τῶν οὐσιωδεστάτων μερῶν τῆς φιλοσοφίας αὐτοῦ ἐστιν, εὖ ἂν ἔχειν ἔδοξέ μοι παραθέσθαι ἐνταῦθα τὸ ἐν ἕκτῳ βιβλίῳ τῆς πολιτείας χωρίον, ὅπερ σαφέστερον περὶ αὐτοῦ πραγματεύεται, ὡς ἐφεξῆς· « Πολλὰ καλὰ, ἦν δ' ἐγὼ, καὶ πολλὰ ἀγαθὰ, καὶ ἕκαστα οὕτως εἶναί φαμέν τε καὶ διορίζομεν τῷ λόγῳ. Φαμὲν γάρ. Καὶ αὐτὸ δὴ καλὸν καὶ αὐτὸ ἀγαθὸν, καὶ οὕτω περὶ πάντων, ἃ τότε ὡς πολλὰ ἐτίθεμεν, πάλιν αὖ κατ' ἰδέαν μίαν ἑκάστου ὡς μιᾶς οὔσης τιθέντες, ὅ ἐστιν ἕκαστον προςαγορεύομεν. Ἔστι ταῦτα. Καὶ τὰ μὲν δὴ ὁρᾶσθαί φαμεν, νοεῖσθαι δ' οὔ, τὰς δ' αὖ ἰδέας νοεῖσθαι μὲν, ὁρᾶσθαι δ' οὔ. Παντάπασι μὲν οὖν. Τῷ οὖν ὁρῶμεν ἡμῶν αὐτῶν τὰ ὁρώμενα; Τῇ ὄψει, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγὼ, καὶ ἀκοῇ τὰ ἀκουόμενα, καὶ ταῖς ἄλλαις αἰσθήσεσι πάντα τὰ αἰσθητά; Τί μήν; Ἆρ' οὖν, ἦν δ' ἐγώ, ἐννενόηκας τὸν τῶν αἰσθήσεων δημιουργὸν, ὅσῳ πολυτελεστάτην τὴν τοῦ ὁρᾷν τε καὶ ὁρᾶσθαι δύναμιν ἐδημιούργησεν; Οὐ πάνυ, ἔφη. Ἀλλ'

ὧδε σκόπει. Ἔστιν ὅ,τι προςδεῖ ἀκοῇ καὶ φωνῇ γένους ἄλλου εἰς τὸ τὴν μὲν ἀκούειν, τὴν δ' ἀκούεσθαι, ὃ ἐὰν μὴ παραγένηται τρίτον, ἡ μὲν οὐκ ἀκούσεται, ἡ δὲ οὐκ ἀκουσθήσεται; Οὐδενός, ἔφη. Οἶμαι δέ γε, ἦν δ' ἐγώ, οὐδ' ἄλλαις πολλαῖς, ἵνα μὴ εἴπω ὅτι οὐδεμιᾷ, τοιούτου προςδεῖ οὐδενός· ἢ σύ τινα ἔχεις εἰπεῖν; Οὐκ ἔγωγε, ἦδ' ὅς. Τὴν δὲ τῆς ὄψεως καὶ τοῦ ὁρατοῦ οὐκ ἐννοεῖς ὅτι προςδεῖται; Πῶς; Ἐνούσης που ἐν ὄμμασιν ὄψεως καὶ ἐπιχειροῦντος τοῦ ἔχοντος χρῆσθαι αὐτῇ, παρούσης δὲ χρόας ἐν αὐτοῖς, ἐὰν μὴ παραγένηται γένος τρίτον ἰδίᾳ ἐπ' αὐτὸ τοῦτο πεφυκὸς, οἶσθα ὅτι ἥτε ὄψις οὐδὲν ὄψεται τά τε χρώματα ἔσται ἀόρατα. Τίνος δὴ λέγεις, ἔφη, τούτου; Ὃ δὴ σὺ καλεῖς, ἦν δ' ἐγὼ, φῶς. Ἀληθῆ, ἔφη, λέγεις. Οὐ σμικρὰ ἄρα ἰδέα, ἡ τοῦ ὁρᾷν αἴσθησις καὶ ἡ τοῦ ὁρᾶσθαι δύναμις, τῶν ἄλλων ξυζεύξεων τιμιωτέρῳ ζυγῷ ἐζύγησαν, εἴπερ μὴ ἄτιμον τὸ φῶς. Ἀλλὰ μὴν, ἔφη, πολλοῦ γε δεῖ ἄτιμον εἶναι. Τίνα οὖν ἔχεις αἰτιάσασθαι τῶν ἐν οὐρανῷ θεῶν τούτου κύριον, οὗ ἡμῖν τὸ φῶς ὄψιν τε ποιεῖ ὁρᾷν ὅτι κάλλιστα καὶ τὰ ὁρώμενα ὁρᾶσθαι; Ὅνπερ καὶ σὺ, ἔφη, καὶ οἱ ἄλλοι· τὸν ἥλιον γὰρ δῆλον ὅτι ἐρωτᾷς. Ἆρ' οὖν ὧδε πέφυκεν ὄψις πρὸς τοῦτον τὸν θεόν; Πῶς; Οὐκ ἔστιν ἥλιος ἡ ὄψις οὔτε αὐτὴ, οὔτε ἐν ᾧ ἐγγίγνεται, ὃ δὴ καλοῦμεν ὄμμα. Οὐ γὰρ οὖν. Ἀλλ'ἡλιοειδέστατόν γε οἶμαι τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων. Πολύ γε. Οὐκοῦν καὶ τὴν δύναμιν ἣν ἔχει, ἐκ τούτου ταμιευομένην ὥςπερ ἐπίῤῥυτον κέκτηται; Πάνυ μὲν οὖν. Ἆρ'οὖν οὐ καὶ ὁ ἥλιος ὄψις μὲν οὐκ ἔστιν, αἴτιος δ' ὢν αὐτῆς ὁρᾶται ὑπ' αὐτῆς ταύτης; Οὕτως, ἦ δ' ὅς. Τοῦτον τοίνυν, ἦν δ' ἐγώ, φάναι με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν τἀγαθὸν ἐγέννησεν

ἀνὰ λόγον ἑαυτῷ, ὅ,τί περ αὐτὸ ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα. Πῶς; ἔφη· ἔτι δίελθέ μοι. Ὀφθαλμοὶ, ἦν δ' ἐγὼ, οἶσθ' ὅτι ὅταν μηκέτι ἐπ' ἐκεῖνά τις αὐτοὺς τρέπῃ, ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ, ἀλλὰ ὧν νυκτερινὰ φέγγη, ἀμβλυώττουσί τε καὶ ἐγγὺς φαίνονται τυφλῶν, ὥςπερ οὐκ ἐνούσης καθαρᾶς ὄψεως; Καὶ μάλα, ἔφη. Ὅταν δέ γ', οἶμαι, ὧν ὁ ἥλιος καταλάμπει, σαφῶς ὁρῶσι, καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ὄψις ἐνοῦσα φαίνεται. Τί μήν; Οὕτω τοίνυν καὶ τὸ τῆς ψυχῆς ὧδε νόει· ὅταν μὲν, οὗ καταλάμπει ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτὸ καὶ νοῦν ἔχειν φαίνεται, ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένον, τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, δοξάζει τε καὶ ἀμβλυώττει ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον, καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Ἔοικε γάρ. Τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φάθι εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας ὡς γιγνωσκομένης μὲν διὰ νοῦ, οὕτω δὲ καλῶν ἀμφοτέρων ὄντων, γνώσεώς τε καὶ ἀληθείας, ἄλλο καὶ κάλλιον ἔτι τούτων ἡγούμενος αὐτὸ ὀρθῶς ἡγήσει· ἐπιστήμην δὲ καὶ ἀλήθειαν, ὥςπερ ἐκεῖ φῶς τε καὶ ὄψιν ἡλιοειδῆ μὲν νομίζειν ὀρθὸν, ἥλιον δὲ ἡγεῖσθαι οὐκ ὀρθῶς ἔχει, οὕτω καὶ ἐνταῦθα ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθὸν, ἀγαθὸν δὲ ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθὸν, ἀλλ' ἔτι μειζόνως τιμητέον τὴν τοῦ ἀγαθοῦ ἕξιν. Ἀμήχανον κάλλος, ἔφη, λέγεις, εἰ ἐπιστήμην μὲν καὶ ἀλήθειαν παρέχει, αὐτὸ δ' ὑπὲρ ταῦτα κάλλει ἐστίν· οὐ γὰρ δήπου

σύγε ἡδονὴν αὐτὸ λέγεις. Εὐφήμει, ἦν δ' ἐγώ· ἀλλ' ὧδε μᾶλλον τὴν εἰκόνα αὐτοῦ ἔτι ἐπισκόπει. Πῶς; Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφὴν, οὐ γένεσιν αὐτὸν ὄντα. Πῶς γάρ; Καὶ τοῖς γιγνωσκομένοις τοίνυν μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ τὴν οὐσίαν ὑπ' ἐκείνου αὐτοῖς προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος. Καὶ ὁ Γλαύκων μάλα γελοίως, Ἄπολλον, ἔφη, δαιμονίας ὑπερβολῆς! Σὺ γὰρ, ἦν δ' ἐγὼ, αἴτιος, ἀναγκάζων τὰ ἐμοὶ δοκοῦντα περὶ αὐτοῦ λέγειν. Καὶ μηδαμῶς γ', ἔφη, παύσῃ, εἰμή τι, ἀλλὰ τὴν περὶ τὸν ἥλιον ὁμοιότητα αὖ διεξιών, εἴ πῃ ἀπολείπεις. Ἀλλὰ μὴν εἶπον, συχνά γε ἀπολείπω. Μηδὲ σμικρὸν τοίνυν, ἔφη, παραλίπῃς. Οἶμαι μὲν, ἦν δ' ἐγὼ, καὶ πολύ· ὅμως δέ, ὅσα γε ἐν τῷ παρόντι δυνατόν, ἑκὼν οὐκ ἀπολείψω. Μὴ γάρ, ἔφη. Νόησον τοίνυν, ἦν δ' ἐγώ, ὥςπερ λέγομεν, δύο αὐτὼ εἶναι, καὶ βασιλεύειν τὸ μὲν νοητοῦ γένους τε καὶ τόπου, τὸ δ' αὖ ὁρατοῦ, ἵνα μὴ οὐρανοῦ εἰπὼν δόξω σοι σοφίζεσθαι περὶ τὸ ὄνομα. Ἀλλ' οὖν ἔχεις ταῦτα διττὰ εἴδη, ὁρατὸν, νοητόν; Ἔχω. Ὥςπερ τοίνυν γραμμὴν δίχα τετμημένην λαβὼν, ἄνισα τμήματα πάλιν τέμνε ἑκάτερον τὸ τμῆμα ἀνὰ τὸν αὐτὸν λόγον, τό τε τοῦ ὁρωμένου γένους καὶ τὸ τοῦ νοουμένου καί σοι ἔσται σαφηνείᾳ καὶ ἀσαφείᾳ πρὸς ἄλληλα ἐν μὲν τῷ ὁρωμένῳ τὸ μὲν ἕτερον τμῆμα εἰκόνες. λέγω δὲ τὰς εἰκόνας πρῶτον μὲν τὰς σκιὰς, ἔπειτα τὰ ἐν τοῖς ὕδασι φαντάσματα καὶ ἐν τοῖς ὅσα πυκνά τε καὶ λεῖα καὶ φανὰ ξυνέστηκε, καὶ πᾶν τὸ τοιοῦτον, εἰ καταγοεῖς.

Ἀλλὰ κατανοῶ. Τὸ τοίνυν ἕτερον τίθει ᾧ τοῦτο ἔοικε, τά τε περὶ ἡμᾶς ζῶα καὶ πᾶν τὸ φυτευτὸν καὶ τὸ σκευαστὸν ὅλον γένος. Τίθημι, ἔφη. Ἦ καὶ ἐθέλοις ἂν αὐτὸ φάναι, ἦν δ' ἐγώ, διῃρῆσθαι ἀληθείᾳ τε καὶ μή, ὡς τὸ δοξαστὸν πρὸς τὸ γνωστόν, οὕτω τὸ ὁμοιωθὲν πρὸς τὸ ᾧ ὡμοιώθη; Ἔγωγ', ἔφη, καὶ μάλα. Σκόπει δὴ αὖ καὶ τὴν τοῦ νοητοῦ τομὴν ᾗ τμητέον. Πῇ; Ἧ τὸ μὲν αὐτοῦ τοῖς τότε τμηθεῖσιν ὡς εἰκόσι χρωμένη ψυχὴ ζητεῖν ἀναγκάζεται ἐξ ὑποθέσεων, οὐκ ἐπ' ἀρχὴν πορευομένη, ἀλλ' ἐπὶ τελευτήν, τὸ δ' αὖ ἕτερον ἐπ' ἀρχὴν ἀνυπόθετον ἐξ ὑποθέσεως ἰοῦσα καὶ ἄνευ τῶν περὶ ἐκεῖνο εἰκόνων, αὐτοῖς εἴδεσι δι' αὐτῶν τὴν μέθοδον ποιουμένη. — — — Καί μοι ἐπὶ τοῖς τέτταρσι τμήμασι τέτταρα ταῦτα παθήματα ἐν τῇ ψυχῇ γιγνόμενα λαβέ, νόησιν μὲν ἐπὶ τῷ ἀνωτάτω, διάνοιαν δὲ ἐπὶ τῷ δευτέρῳ, τῷ τρίτῳ δὲ πίστιν ἀπόδος καὶ τῷ τελευταίῳ εἰκασίαν, καὶ τάξον αὐτὰ ἀνὰ λόγον, ὥσπερ ἐφ' οἷς ἔστιν ἀληθείας μετέχειν, οὕτω ταῦτα σαφηνείας ἡγησάμενος μετέχειν ». (πολιτείας ς', σ. φζ'—φιδ'.).

Τούτοις δ' ἐπισυνάπτομεν ὡς ἐν παραδείγματος μέρει τὴν παγκάλην εἰκόνα, ἐν ᾗ ὁ θεῖος Πλάτων, ὡς ἐν κατόπτρῳ λείῳ, φανὸν ἀπεργάζεται τοῦτο τὸ μέρος τῆς ἑαυτοῦ φιλοσοφίας, ὅπερ διασαφεῖ, ὅπως μὲν ὁ ἄνθρωπος τὸ σύμπαν ὄν, εἰς τέσσαρα τμήματα ἐνταῦθα διῃρημένον, τέσσαρσιν ὡσαύτως παθήμασι τῆς ψυχῆς, ἓν ἐφ' ἑνί, παρ' ἑαυτῷ πλέον ἢ ἔλασσον λαμβάνειν σθένει, ὅπως δὲ ἡ ἰδέα τοῦ ἀγαθοῦ τὰς αἰθερίας κορυφὰς τοῦ ὄντος, ὡς ἄπλετος αἴγλη περιαυγάζει, πρὸς ἣν ὁμοίωμα γνοφῶδες ὁ παρ' ἡμῖν ἥλιος μαρμαίρει. ὧδέ πως διεξέρχεται τὴν ἀξιάγαστον εἰκόνα.

«Μετὰ ταῦτα δὴ, εἶπον, ἀπείκασον τοιούτῳ πάθει τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας· ἰδὲ γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴςοδον ἐχούσῃ μακρὰν παρ' ἅπαν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, ὥςτε μένειν τε αὐτοὺς εἴς τε τὸ πρόςθεν μόνον ὁρᾷν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόῤῥωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδὸν, παρ' ἣν ἰδὲ τειχίον παρῳκοδομημένον, ὥςπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν. Ὁρῶ, ἔφη. Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου καὶ ἀνδριάντας καὶ ἄλλα ζῷα λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκός, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφερόντων. Ἄτοπον, ἔφη, λέγεις εἰκόνα καὶ δεσμώτας ἀτόπους. Ὁμοίους ἡμῖν, ἦν δ' ἐγώ· τοὺς γὰρ τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι ἄλλο, πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου προςπιπτούσας; Πῶς γὰρ, ἔφη, εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν ἠναγκασμένοι εἶεν διὰ βίου; Τί δὲ τῶν παραφερομένων; οὐ ταὐτὸν τοῦτο; Τί μήν; Εἰ οὖν διαλέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα ἡγεῖ ἂν τὰ παρόντα αὐτοὺς νομίζειν ὀνομάζειν, ἅπερ ὁρῷεν; Ἀνάγκη. Τί δ'; εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι, ὁπότε τις τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι τὸ φθεγγόμενον ἢ τὴν πα-

ριοῦσαν σκιάν Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Παντάπασι δή, ἦν δ' ἐγώ, οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς. Πολλὴ ἀνάγκη, ἔφη. Σκόπει δή, ἦν δ' ἐγώ, αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς· ὁπότε τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε καὶ περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς ἀναβλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ τε καὶ διὰ τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾷν ἐκεῖνα, ὧν τότε τὰς σκιὰς ἑώρα, τί ἂν οἴει αὐτὸν εἰπεῖν, εἴ τις αὐτῷ λέγοι, ὅτι τότε μὲν ἑώρα φλυαρίας, νῦν δὲ μᾶλλόν τι ἐγγυτέρω τοῦ ὄντος καὶ πρὸς μᾶλλον ὄντα τετραμμένος ὀρθότερα βλέποι, καὶ δὴ καὶ ἕκαστον τῶν παριόντων δεικνὺς αὐτῷ ἀναγκάζοι ἐρωτῶν ἀποκρίνεσθαι ὅ τι ἔστιν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν καὶ ἡγεῖσθαι τὰ τότε ὁρώμενα ἀληθέστερα ἢ τὰ νῦν δεικνύμενα; πολύ γ', ἔφη. Οὐκοῦν κἂν εἰ πρὸς αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν, ἀλγεῖν τε ἂν τὰ ὄμματα καὶ φεύγειν ἀποστρεφόμενον πρὸς ἐκεῖνα, ἃ δύναται καθορᾷν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν δεικνυμένων; Οὕτως ἔφη. Εἰ δέ, ἦν δ' ἐγώ, ἐντεῦθεν ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας τῆς ἀναβάσεως καὶ ἀνάντους, καὶ μὴ ἀνείη, πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα οὐχὶ ὀδυνᾶσθαί τε ἂν καὶ ἀγανακτεῖν ἑλκόμενον, καὶ ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι, αὐγῆς ἂν ἔχοντα τὰ ὄμματα μεστὰ ὁρᾷν οὐδ' ἂν ἓν δύνασθαι τῶν νῦν λεγομένων ἀληθῶν; οὐ γὰρ ἄν, ἔφη, ἐξαίφνης γε. Συνηθείας δή, οἶμαι, δέοιτ' ἄν, εἰ μέλλοι τὰ ἄνω ὄψεσθαι· καὶ πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα καθορῴη, καὶ μετὰ τοῦτο ἐν τοῖς ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ τῶν

ἄλλων εἴδωλα, ὕστερον δὲ αὐτά· ἐκ δὲ τούτων τὰ ἐν τῷ οὐρανῷ καὶ αὐτὸν τὸν οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο, προςβλέπων τὸ τῶν ἄστρων τε καὶ σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν ἥλιόν τε καὶ τὸ τοῦ ἡλίου. Πῶς δ' οὔ; Τελευταῖον δή, οἶμαι, τὸν ἥλιον, οὐκ ἐν ὕδασιν οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὑτοῦ χώρᾳ δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός ἐςιν. Ἀναγκαῖον ἔφη. Καὶ μετὰ ταῦτ' ἂν ἤδη συλλογίζοιτο περὶ αὐτοῦ, ὅτι αὐτὸς ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ ἐκείνων ὧν σφεῖς ἑώρων τρόπον τινὰ πάντων αἴτιος. Δῆλον, ἔφη, ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι. Τί οὖν; ἀναμιμνησκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς ἐκεῖ σοφίας καὶ τῶν τότε ξυνδεσμωτῶν οὐκ ἂν οἴει ἑαυτὸν μὲν εὐδαιμονίζειν τῆς μεταβολῆς, τοὺς δὲ ἐλεεῖν; Καὶ μάλα. Τιμαὶ δὲ καὶ ἔπαινοι εἴ τινες αὐτοῖς ἦσαν τότε παρ' ἀλλήλων καὶ γέρα τῷ ὀξύτατα καθορῶντι τὰ παριόντα, καὶ μνημονεύοντι μάλιστα ὅσα τε πρότερα αὐτῶν καὶ ὕστερα εἰώθει καὶ ἅμα πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς ἂν αὐτὸν ἐπιθυμητικῶς αὐτῶν ἔχειν καὶ ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυναστεύοντας, ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι καὶ σφόδρα βούλεσθαι ἐ π ά ρ ο υ ρ ο ν ἐ ό ν τ α θ η τ ε υ έ μ ε ν ἄ λ λ ῳ ἀ ν δ ρ ὶ παρ' ἀ κ λ ή ρ ῳ καὶ ὁτιοῦν ἂν πεπονθέναι μᾶλλον ἢ 'κεῖνά τε δοξάζειν καὶ ἐκείνως ζῆν; Οὕτως, ἔφη, ἔγωγε οἶμαι, πᾶν μᾶλλον πεπονθέναι ἂν δέξασθαι ἢ ζῆν ἐκείνως. Καὶ τόδε δὴ ἐννόησον, ἦν δ' ἐγώ. εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον καθίζοιτο, ἆρ' οὐ σκότους ἀνάπλεως

σχοίη τοὺς ὀφθαλμοὺς, ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου; Καὶ μάλα γ' ἔφη. Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκείνοις, ἐν ᾧ ἀμβλυώττει, πρὶν καταστῆναι τὰ ὄμματα, οὗτος δ' ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας, ἆρ' οὐ γέλωτ' ἂν παράσχοι, καὶ λέγοιτο ἂν περὶ αὐτοῦ, ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκει τὰ ὄμματα, καὶ ὅτι οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι; καὶ τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν καὶ ἀποκτείνειν, ἀποκτιννύναι ἄν; Σφόδρα γ', ἔφη. Ταύτην τοίνυν, ἦν δ' ἐγὼ, τὴν εἰκόνα, ὦ φίλε Γλαύκων, προςαπτέον ἅπασαν τοῖς ἔμπροσθεν λεγομένοις, τὴν μὲν δι' ὄψεως φαινομένην ἕδραν τῇ τοῦ δεσμωτηρίου οἰκήσει ἀφομοιοῦντα, τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς τῇ τοῦ ἡλίου δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω τὴν εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδον τιθεὶς οὐχ ἁμαρτήσει τῆς γ' ἐμῆς ἐλπίδος, ἐπειδὴ ταύτης ἐπιθυμεῖς ἀκούειν· Θεὸς δέ που οἶδεν, εἰ ἀληθὴς οὖσα τυγχάνει. τὰ δ' οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη, καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ. Πολιτ. Ζ', φιδ', κ.φ.ξ. — Τοσαῦτα μὲν οὖν περί τε τῆς τοῦ ἀγαθοῦ ἰδέας ὡς πρεσβυτάτης τῶν ἄλλων πασῶν καὶ τῆς λογικῆς ἀναφορᾶς αὐτῶν τῆς πρὸς ἀλλήλας. Ἀλλ' οὐκ ἄν τις ὀρθῶς περὶ αὐτῶν εἴποι ὅτι Πλάτων ὡς ἐγγενῆ δημιουργήματα αὐτοῦ γε

τοῦ ἀνθρωπικοῦ νοῦ αὐτὰς ὑπείληφε, ψιλά τινα ψυχῆς νοήματα κατὰ λογικὴν ἀφαίρεσιν ἀπολειπόμενα· καὶ γὰρ Πλάτων ἐν Παρμενίδῃ διαῤῥήδην πρὸς ταύτην τὴν γνώμην ἀντιλέγει (σ. ρλϐ΄.). Πολὺ δὲ πλέον εἴποι τις ἂν κατ' αὐτὸν τὰς ἰδέας ὄντα αὐθύπαρκτα κατ' ἀνθυπόστασιν. Εἶναι γὰρ ἔφη ἑκάστην ἰδέαν καθ' αὑτὸ ὄν, μονοειδές, τέλειον (Φαίδωνι σ. οε΄.), ὕλης οἱασοῦν καὶ τόπου ἀπηλλαγμένον, πάντων τε ἀδιαλείπτως εἰς ἄλληλα μεταϐαλλόντων, αὐτὸ μόνον ἀμετάϐολον παραμένον, ὡσαύτως ἀεὶ ἔχον. Ἁρμόσειε δ' ἂν καὶ κατὰ πάσης ἄλλης ἰδέας λεγόμενα ὅσα ἐν συμποσίῳ κατὰ τῆς τοῦ καλοῦ ἰδέας ὧδέ πως εἴρηται· « Πειρῶ δέ μοι, ἔφη (ἡ Διοτίμα), τὸν νοῦν προσέχειν ὡς οἷόν τε μάλιστα. ὃς γὰρ ἂν μέχρι ἐνταῦθα πρὸς τὰ ἐρωτικὰ παιδαγωγηθῇ, θεώμενος ἐφεξῆς τε καὶ ὀρθῶς τὰ καλά, πρὸς τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν, ἐξαίφνης κατόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν, τοῦτο ἐκεῖνο, ὦ Σώκρατες, οὗ δὴ ἕνεκεν καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν, πρῶτον μὲν ἀεὶ ὂν καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενον οὔτε φθῖνον, ἔπειτα οὐ τῇ μὲν καλόν, τῇ δ' αἰσχρόν, οὐδὲ τοτὲ μέν, τοτὲ δ' οὔ, οὐδὲ πρὸς μὲν τὸ καλόν, πρὸς δὲ τὸ αἰσχρόν, οὐδ' ἔνθα μὲν καλόν, ἔνθα δὲ αἰσχρόν, ὡς τισὶ μὲν ὂν καλόν, τισὶ δὲ αἰσχρόν· οὐδ' αὖ φαντασθήσεται αὐτὸ τὸ καλόν, οἷον πρόσωπόν τι οὐδὲ χεῖρες οὐδὲ ἄλλο οὐδὲν ὧν σῶμα μετέχει, οὐδέ τις λόγος οὐδέ τις ἐπιστήμη, οὐδέ που ὂν ἐν ἑτέρῳ τινί, οἷον ἐν ζώῳ ἢ ἐν γῇ ἢ ἐν οὐρανῷ ἢ ἔν τῳ ἄλλῳ, ἀλλ' αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν, τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου

μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον, γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων, μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδὲν (σ. σια'.) ». Ἐντεῦθεν ἄρα συνάγεται ὅτι μόνη ἡ ἰδέα ἐστὶ τὸ ὄντως ὂν καὶ ὁ κόσμος ὁ τῶν ἰδεῶν τὸ σύνολον παντὸς τοῦ ἀληθῶς ὄντος, ἔξω δὲ τούτου οὐδὲν κατ' οὐσίαν γε ἤτοι ἐνούσιον ὑπάρχει.

Πρὸς μὲν οὖν τὰ ὁρατὰ ἔχειν ἔφη τὰς ἰδέας ὡς παραδείγματα, τὰ δ' αὖ αἰσθητὰ πρὸς τὰς ἰδέας οἷον μιμήματα καὶ ὁμοιώματα ἢ εἰκόνες καὶ εἴδωλα· ὥςπερ οὖν καὶ ἐν Παρμενίδῃ εἰςάγεται Σωκράτης λέγων· «ἀλλ', ὦ Παρμενίδη, μάλιστα ἔμοι γε καταφαίνεται ὧδε ἔχειν· τὰ μὲν εἴδη ταῦτα ὥςπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει, τὰ δὲ ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα». ἀλλὰ καὶ ἐν Τιμαίῳ Τίμαιος εἰςάγεται δύο εἴδη τοῦ ὄντος διεξιὼν, «ἓν μὲν ὡς παραδείγματος εἶδος ὑποτεθὲν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὂν, μίμημα δὲ παραδείγματος δεύτερον, γένεσιν ἔχον καὶ ὁρατόν.» καὶ προςωτέρω τοῦ λόγου δύο γένη φησὶν εἶναι τοῦ ὄντος, «ἓν μὲν τὸ κατὰ ταὐτὰ εἶδος ἔχον, ἀγέννητον καὶ ἀνώλεθρον, ἀόρατον καὶ ἄλλως ἀναίσθητον, τοῦτο ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν, τὸ δὲ ὁμώνυμον ὅμοιόν τε ἐκείνῳ δεύτερον, αἰσθητὸν γεννητόν, γιγνόμενόν τε ἔν τινι τόπῳ καὶ πάλιν ἀπολλύμενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν (ζ) ». Εἶναι δ' ἔφη τῶν ἐπὶ μέρους ὄντων ἕκαστον τοῦτο, ὃ ἔστι, μεθέξει τινὶ καὶ κοινωνίᾳ τῆς ὁμωνύμου ἰδέας· ὥςπερ καὶ Σωκράτη ποιεῖ λέγειν ἐν Φαίδωνι πρὸς Κέβητα· « φαίνεται γάρ μοι, εἴ τί ἐστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν

(ζ) Παρμενίδ. σ. ρλβ', — Τίμαιον σ. μη'. καὶ νδ'.

ἄλλο καλὸν εἶναι, ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτω λέγω. τῇ τοιᾷδε αἰτίᾳ ξυγχωρεῖς; Ξυγχωρῶ, ἔφη. Οὐ τοίνυν, ἦδ᾽ ὅς, ἔτι μανθάνω, οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς ταύτας γιγνώσκειν, ἀλλ᾽ ἐάν τίς μοι λέγῃ, διότι καλόν ἐστιν ὁτιοῦν, ἢ ὅτι χρῶμα εὐανθὲς ἔχον ἢ σχῆμα ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τὰ μὲν ἄλλα χαίρειν ἐῶ, (ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι), τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως ἔχω παρ᾽ ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία τἴτε ὅπῃ δὴ καὶ ὅπως προςγενομένη· οὐ γὰρ ἔτι τοῦτο διϊσχυρίζομαι, ἀλλ᾽ ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεσαι καλά. τοῦτο γάρ μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνασθαι καὶ ἄλλῳ, καὶ τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἄν ποτε πεσεῖν, ἀλλ᾽ ἀσφαλὲς εἶναι καὶ ἐμοὶ καὶ ὁτῳοῦν ἄλλῳ ἀποκρίνασθαι, ὅτι τῷ καλῷ τὰ καλὰ γίγνεται καλά· ἢ οὐ καὶ σοὶ δοκεῖ; Δοκεῖ. Καὶ μεγέθει ἄρα τὰ μεγάλα μεγάλα καὶ τὰ μείζω μείζω, καὶ σμικρότητι τὰ ἐλάττω ἐλάττω. Ναί. (η) ». Μετὰ δὲ ταῦτα, εἴ τίς ποτ᾽ ἔροιτο, ἀλλὰ τίνων ὄντων ἰδέας ὁ Πλάτων τίθεται; Ἔσται αὐτῷ ἀπόκρισις ὅτι ἁπαξαπάντων τῶν ὁπωςδηποτοῦν ὑπαρχόντων. οὗ γὰρ ἂν μηδεμία ᾖ ἰδέα, τοῦτο μηδ᾽ ἂν εἶναι τὸ παράπαν οἷόντ᾽ εἶναι ἔφη. Καὶ Παρμενίδης δ᾽ ἐν τῷ ὁμωνύμῳ διαλόγῳ ποιεῖται λέγειν πρὸς Σωκράτη ὧδέ πως· « Ἦ (δοκεῖ σοι εἶναι) καὶ τὰ τοιάδε, οἷον δικαίου τι εἶδος αὐτὸ καθ᾽ αὑτὸ καὶ καλοῦ καὶ ἀγαθοῦ καὶ πάντων αὖ τῶν τοιούτων; Ναί, φάναι. Τί δ᾽; ἀνθρώπου εἶδος χωρὶς ἡμῶν καὶ τῶν οἷοι ἡμεῖς ἐσμὲν

(η) Φαίδ. σ. ρ΄.

πάντων, αὐτό τι εἶδος ἀνθρώπου, ἢ πυρὸς ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, φάναι, πολλάκις δή, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα, πότερα χρὴ φάναι ὥςπερ περὶ ἐκείνων, ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ καὶ πηλὸς καὶ ῥύπος ἢ ἄλλο τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρίς, ὃν ἄλλο αὐτῶν ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; οὐδαμῶς φάναι τὸν Σωκράτη, ἀλλὰ ταῦτα μέν γε, ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι, εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι μὴ λίαν ᾖ ἄτοπον. ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν· ἔπειτα ὅταν ταύτῃ στῶ, φεύγων οἴχομαι, δείσας μή ποτε εἴς τιν' ἄβυσσον φλυαρίαν ἐμπεσὼν διαφθαρῶ. Ἐκεῖσε δ' οὖν ἀφικόμενος, εἰς ἃ νῦν δὴ ἐλέγομεν εἴδη ἔχειν, περὶ ἐκεῖνα πραγματευόμενος διατρίβω. Νέος γὰρ εἶ ἔτι, φάναι τὸν Παρμενίδην, ὦ Σώκρατες, καὶ οὔπω σου ἀντείληπται φιλοσοφία ὡς ἔτι ἀντιλήψεται κατ' ἐμὴν δόξαν, ὅτε οὐδὲν αὐτῶν ἀτιμάσεις· νῦν δὲ ἔτι πρὸς ἀνθρώπων ἀποβλέπεις δόξας διὰ τὴν ἡλικίαν ». (θ) καὶ ὡς ἐν κεφαλαίῳ εἰπεῖν Πλάτων ἰσχυρίζεται ἰδέας εἶναι οὐ μόνον τοῦ ἀγαθοῦ καὶ καλοῦ καὶ τῶν παραπλησίων, ἀλλὰ καὶ κύκλου καὶ σφαίρας καὶ τραπέζης καὶ κλίνης καὶ φωνῆς καὶ χρώματος καὶ ἤχου καὶ ὑγιείας καὶ ἡσυχίας καὶ κινήσεως καὶ βραδύτητος καὶ σμικρότητος καὶ ὁμοιότητος καὶ ὀνόματος καὶ τῶν τοιούτων ἁπάντων, οὐ μὴν ἀλλὰ καὶ τοῦ κακοῦ καὶ τοῦ αἰσχροῦ (ι). Σαφῶς γὰρ Πλάτων ἐν πολιτείᾳ

(θ) Παρμεν. σ. ρλ'.

(ι) Ἐπιθ. Ῥιττερίου ἱστορ. τῆς Φιλοσοφ. τ. Β, 302, κ.φ.ξ.

φησὶν, ὅπου πολλὰ κοινῷ τινὶ ὀνόματι δηλοῦται, ἰδέαν χρὴ αὐτοῖς ὁμώνυμον ἅπασι τιθέναι. Πολιτ. Ι', σ. φ῀ς'. Καθάπερ οὖν καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ (κεφ. θ, § ϐ'.) ἑκάστῳ φησὶ τῶν εἰδῶν τῶν μερικῶν ὁμώνυμον ἰδέαν τὸν Πλάτωνα ἀποδιδόναι· «σχεδὸν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἴδη ἐστὶ τούτων, περὶ ὧν ζητοῦντες τὰς αἰτίας, ἐκ τούτων ἐπ' ἐκεῖνα προῆλθον». τὸ πλῆθος ἄρα τῶν ἰδεῶν ἀπέραντον προδέδεικται.

δ'. Ἐπίκρισις τῆς Πλατωνικῆς ἰδεολογίας.

Τῆς μὲν οὖν ἰδεολογίας τοῦ Πλάτωνος ὅ,τι μάλιστ' ἀληθές ἡ δόξα ἐστίν, ἥν περ τὸ πρῶτον ὁ Πλάτων ἔθετο ὅτι τὸ ἐν τοῖς οὖσι καθόλου τὸ ἀληθῶς ὂν ἐστι καὶ πολλῷ γε ἀληθέστερον τῶν καθ' ἕκαστον αἰσθητῶν. Πλάτων γὰρ πρῶτος εἰς ἐπίσκεψιν προὐϐάλετο ὅ,τί ποτ' ἐστὶ τὸ ὄντως ὂν καὶ ἡ οὐσία. Πότερόν ποτε τὰ καθ' ἕκαστον αἰσθητά ἐστι τὰ ὄντως ὄντα, καὶ εἴη ἂν ἄρα τὰ καθόλου ἄλλο μὲν μηθὲν ἢ ψιλά τινα νοήματα τοῦ ἀνθρωπικοῦ νοῦ κατ' ἀφαίρεσιν νοοῦντος, ἢ τὰ μὲν καθόλου τὸ ὡς ἀληθῶς γε ὄν ἐστι, τὰ δ' ἐπὶ μέρους αἰσθητὰ οἷον σκιαί τινες μόνον καὶ φάσεις ἐκείνων καὶ ὁμοιώματα ἀτελῆ; πότερον τά τε γένη καὶ εἴδη ἁπλοῖ ὅροι εἰσίν ἢ αἱ οὐσιώδεις ὑποστάσεις τῶν ἐπὶ μέρους αἰσθητῶν; Πλάτων οὖν ἀποφαίνεται ὅτι τὸ ὄντως ὂν καὶ ἡ οὐσία οὐ τὰ κατὰ μέρος αἰσθητά ἐστιν, ἀλλὰ τὰ εἴδη, οἷον τύποι τῶν πραγμάτων ὄντες. τὰ καθ' ἕκαστον ἄρα ὁρατὰ δοκεῖ αὐτῷ οἷον ἀπαυγάσματα εἶναι μερικὰ, κατὰ μόνας, τῶν ὁμωνύμων αὐτοῖς εἰδῶν ἤτοι τῶν

ἰδεῶν. Καὶ εἰκότως γε· τί δ' οὔ; Πῶς γὰρ ἂν εἶχεν ὁ ἀνατόμος φέρ' εἰπεῖν, ἐξ ὧν ἂν καὶ ὀλίγων γε δὴ νεκρῶν ἐπ' ἀκριβὲς τύχοι διερευνήσας, ἀσφαλῶς πάνυ τεκμήρασθαι πάντας ἀνθρώπους τῆς αὐτῆς μετέχειν ὀργανικῆς φύσεως, τούς τε νῦν ὄντας καὶ τεθνεῶτας καὶ τοὺς μέλλοντάς ποτε ἔσεσθαι, ὃ δὴ καὶ μάλα βεβαίως εἰώθεν ἀποφαίνεσθαι, εἰμή γε αὐτῷ πρότερον τοῦθ' ὑποθέσθαι ἐξῆν ὅτι ὁ ἀνθρωπικὸς ὀργανισμὸς οἷον τύπος τις τυγχάνει ὢν ἐπὶ πάντων ὁμοίως τῶν ἰδίᾳ ἀνθρώπων, ὅσων δὴ τὸ πλῆθος, ἰσχὺν ἔχων; Πῶς δ' αὖ οἷός τ' ἂν ἦν ἀπὸ τοῦ καθόλου εἴδους ὁρμώμενος τὸ ἰδίᾳ ὂν κρίνειν καὶ ἔστιν ὅτε τὴν φύσιν, φέρ' εἰπεῖν, ἀνθρώπου τινὸς ἰδίᾳ ὡς τερατολόγον καὶ ἀήθη ἐλέγχειν, εἰμή γε τὸ καθόλου εἶδος πρεσβύτερον ἦν καὶ μᾶλλον ὂν ἢ τὸ ἰδίᾳ; Ἀλλὰ γὰρ οἱ ἐμπειρικοὶ ὀνοματολόγοι λεγόμενοι, οἵπερ πλὴν τῶν ἰδίᾳ αἰσθητῶν οὐθὲν ἄλλο ἀληθῶς ὑπάρχειν ἰσχυρίζονται, τὰ καθόλου ἤτοι τοὺς εἰδητικοὺς τύπους παντάπασιν αἴροντες, αἴρουσιν ἅμα καὶ πᾶσαν ἐπιστήμην ὁμοίως. ὁμοφυΐας δὲ καὶ γένη καὶ εἴδη οὐδ' ἂν τολμήσειαν εἰπεῖν τὸ παράπαν. συνακόλουθον γὰρ ἂν εἴ τῇ θεωρίᾳ αὐτῶν, ἑκάστῳ τῶν ἰδίᾳ αἰσθητῶν, οἷον ἑκάστῳ γε ἵππῳ ἢ ἑκάστῃ τραπέζῃ καὶ τοῖς παραπλησίοις ἴδιον ὄνομα τιθέναι. Τὸ δ' αὐτὸ βούλεται ἡμῖν λέγειν καὶ Λώκκιος ὁ Ἄγγλος ὃς καὶ πλεῖστον ἁπάντων τῶν ὀνοματολόγων ἑαυτῷ συνᾴδων φαίνεται, ὅταν σκοπὸν κύριον τῶν καθόλου ὅρων μηθένα ἄλλον λέγῃ ἢ τὸ τὰς ὀνομασίας τῶν ὄντων συντόμως ἀποδιδόναι. Ἀλλ' εἰ μὲν τὰ καθόλου γένη τε καὶ εἴδη συντομίαι τινές εἰσι μόνον, ἀκριβείας, ὡς εἰκός, καὶ πάνυ ἐλλείπουσαι, μηδεμιᾶς δ'

αὐτοῖς ἀληθείας κατ' ἀνθυπόστασιν μέτεστι, μηδ' ἂν ἐπιστήμην φαῖμεν ἂν ἡμεῖς γε μηδεμίαν τὸ παράπαν ἐνδέχεσθαι, καὶ γὰρ πᾶσα ἐπιστήμη περὶ τὰ καθόλου μάλιστα πραγματεύεται, τῶν ἐπὶ μέρους ὄντων ἐν παραδείγματος μέρει ὡς ὑποτεταγμένων τοῖς ὁμωνύμοις εἴδεσι λόγον ποιουμένη (ια). Διὸ ὀρθῶς πάνυ ὁ Πλάτων ἐφιλοσόφησε, τὰ καθόλου εἴδη ἤτοι τὰς ἰδέας ἀληθεῖς τε καθ' ἑαυτὰς καὶ οἷον ἀναγκαίας προϋποστάσεις εἶναι ὑπειληφὼς τοῦ τε εἰδέναι ἐν γένει καὶ πάσης ἄλλης ἰδίᾳ ἐπιστήμης. Ἀλλ' ὅπερ ὄφελος τῇ φιλοσοφίᾳ προὐξένησεν ὡς ἀληθῶς ἀνθυφεστῶσαν τὴν τῶν ἰδεῶν φύσιν ἀποδεξάμενος, τοῦτ' αὖθις περιέκειρε κατὰ δύο τινὰ τοῦ ἀληθοῦς ἡττηθείς. Πρῶτον μὲν γὰρ οὐ μόνον τά τε γένη καὶ εἴδη, ὡς κυριωτάτους τύπους τῆς φύσεως, ἐντελεχεῖς οὐσίας εἶναι ὑπείληφεν, ἀλλὰ καὶ πάσας, ἁπλῶς εἰπεῖν, τὰς ἐννοίας καὶ ἰδιοτήτων καὶ καταστάσεων καὶ σχέσεων, ὃ δὴ καὶ εὐλόγως ἄν τις, οἶμαι, εἴποι πλημμελῆ παρέκβασιν οὖσαν θεωρίας αὐτῆς γε καθ' ἑαυτὴν ἀληθοῦς οὔσης. Ἔπειτα δὲ αἱ ἰδέαι ἐκεῖναι πάσης διαλεκτικῆς προόδου δι' ἑαυτῶν ἀνεπίδεκτοι καθίστανται. Ἔστι μὲν γὰρ ἐκ τοῦ διαλόγου Μένωνος μετρίως συναγαγεῖν ὅτι Πλάτων τὰς ἰδέας οὕτως ἀλλήλαις ὑποτεταγμένας οἴεται ὥστε ἀπὸ μιᾶς τινος αὐτῶν ὁρμωμένῳ πάσας τὰς λοιπὰς ἐφεξῆς διορᾷν ὑπάρχει· Ἀλλὰ τοιαύτη τις διαλεκτικὴ ἀνάπτυξις ἢ σύνθεσις τῶν ἰδεῶν πρὸς ἀλλήλας εὐοδωθείη ἄν, εἴπερ αἱ ἰδέαι εἰς ἀλλήλας μεταπίπτουσαι καὶ ἐν ἀλλήλαις τὸ εἶναι ἔχουσαι ἦσαν. ἀλλ' οὐκ εἰσίν· καθ' ἑαυτὰς γὰρ αὐτοτελεῖς καὶ ἀΐδιαι

(ια) Πρβλ. Φισχερίου τὴν μεταχρυστικὴν ἀπὸ τῆς ἐμπειρίας ὁρμωμένην. 1847. σελ. 19 κ. φ. ξ.

οὐσίαι τινές εἰσι, καὶ δὴ καὶ οἱασοῦν διαλεκτικῆς ἀναλύσεως ἢ συνθέσεως πάμπαν ἀνεπίδεκτοι. Διὸ καὶ ἣν πρώτην ἀρχὴν συνθέσεως τῶν ἰδεῶν πρὸς ἀλλήλας ὁ Πλάτων ἀνεβάλετο ἀποφῆναι, τὴν τοῦ ἀγαθοῦ ἰδέαν ὡς πρεσβυτάτην ἁπασῶν καὶ αἰτίαν πρώτην τοῦ τε εἰδέναι καὶ εἶναι, τοῦ ἰδεώδους καὶ οὐσιώδους θέμενος, ἔδει πάντη πάντως ἀλυσιτελὴς ἀποβῆναι.

§. κη'. Περὶ τῆς κατὰ Πλάτωνα φυσικῆς.

Καὶ ἥτις ἐστὶν ἡ κατὰ Πλάτωνα ὕλη.

Ἐν μὲν οὖν τῇ διαλεκτικῇ τέθειται ὡς δεδειγμένον ὅτι ἡ ἰδέα ἐστὶ τὸ μόνον ὄντως ὄν, ἐκτὸς δὲ τῶν ἰδεῶν οὐδὲν κατὰ ἀλήθειαν ὑπάρχει. Ἐντεῦθεν οὖν συνάγεται ὅτι οὐδεμιᾶς ὡς ἀληθῶς οὐσίας τὰ ὁρώμενα μετέχει. καὶ δῆλον τοῦτο ποιεῖ Πλάτων, πᾶν τὸ αἰσθητὸν ὡς τὸ μὴ ὂν ἀποφαινόμενος. Ἀφεκτέον μέντοι τούτου γε ἕνεκεν ὑπολαμβάνειν τὸν Πλάτωνα, οἷον δὴ τὰ πρόσθεν εἰπόντα τοῦθ' ἁπλῶς εἰπεῖν ἐθελῆσαι οἱασοῦν ὑπάρξεως τελέως ἀμοιρεῖν τὰ ἐν τῇ φύσει φαινόμενα. Οὐδὲν γὰρ τοιοῦτο ἔδοξε τῷ Πλάτωνι, πλὴν ὅσον μόνον βούλεται εἰπεῖν ὅτι οὐδεμία μὲν τοῖς αἰσθήσει ληπτοῖς οὐσία πρόσεστιν εἰλικρινής, ἀλλὰ τοιοῦτό τι μόνον οἷόν περ τὸ ὄν ἐστιν· ὡς δ' ἀκριβέστερον εἰπεῖν πᾶν τὸ ταῖς αἰσθήσεσι περιληπτὸν μεταξύ που τυγχάνειν ὂν τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος, γιγνόμενον μέν τι ἀεὶ, ὂν δ' οὐδέποτε οὐδαμῶς, ὥς που καὶ ἐν Τιμαίῳ φησὶ, τάδε λέγων· «Ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν διαιρετέον τάδε· τί τὸ ὂν ἀεὶ, γένεσιν δ' οὐκ ἔχον, καὶ τί τὸ γιγνό-

μενον μὲν ἀεὶ, ὂν δ' οὐδέποτε. τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δ' οὐδέ ποτε ὂν (α)». Τοῦτο δὴ τὸ αἰσθητὸν ἐνταὐτῷ ἀεὶ εἶναι ἔφη μετὰ τοῦ ἑαυτῷ ἐναντίου, ἐν ἑ τ έ ρ ῳ τ ι ν ὶ ἀεὶ ὄν, ἑτεροίαις δὲ φύσεσιν ἀεὶ μικτὸν καὶ δὴ καὶ οὐδέποτε αὐτὸ καθ' αὑτὸ ὄν, ὥςπερ ἔν τε συμποσίῳ καὶ ἀλλαχοῦ ὁρίζεται αὐτὸ ὡς τὸ ἀμφοτέρων μετέχον, τοῦ εἶναί τε καὶ μὴ εἶναι καὶ κυλινδούμενον μεταξὺ τοῦ τε μὴ ὄντος καὶ τοῦ ὄντος εἰλικρινῶς (β). Ἔστιν ἄρα τὸ ἐν ἑτέρῳ τινὶ, οἷόν που τὸ ἐν ἑτέρῳ καλὸν ἢ ἀγαθὸν καὶ τὰ παραπλήσια, οὐχ ἕν, ἀλλὰ πολλά. Τούτων δὴ τῶν πολλῶν καλῶν μῶν τι ἔστιν ὃ οὐκ αἰσχρὸν φανήσεται; καὶ τῶν δικαίων, ὃ οὐκ ἄδικον, καὶ τῶν ὁσίων, ὃ οὐκ ἀνόσιον; οὔκ, ἀλλ' ἀνάγκη, ἔφη, καὶ καλά πως αὐτὰ καὶ αἰσχρὰ φανῆναι, καὶ ὅσα ἄλλα τοιαῦτα. Ἐν τούτῳ δὴ τῷ ὁρατῷ κόσμῳ ἐκφαίνεται μὲν ἡ ἰδέα, ἀλλ' οὐκ εἰλικρινὴς, οὐδὲ παραμένουσα, ὡς δ' ἔπος εἰπεῖν, εὐπετῶς οἰχομένη συγκεχυμένη τε καὶ τεθολωμένη, οὐδ' ᾗ γε πέφυκεν ἑνοειδὴς, ἀλλ' εἰς πολλὰ ἀπεσχισμένη, παρωνύμως αὐτῇ καλούμενα. Τίς οὖν δὴ ἡ κυρία αἰτία τοῦ Σύμπαντος τοῦδε ἐστὶν, ἐν ᾧ γε ἡ λευκὴ αἴγλη τῆς ἡλιοειδοῦς ἰδέας τοσοῦτόν γε ἀτελῶς καὶ ἀμυδρῶς ἀνταυγάζεται; Αὐτὴν μὲν γὰρ τὴν ἰδέαν ἄτοπόν ἐστιν αἰτίαν θέσθαι τῶν αἰσθητῶν, οἱαςοῦν ὕλης ἀμοιροῦσαν, ἑαυτῇ δ' ὡςαύτως ἀεὶ ἔχουσαν. ἀνάγκη ἄρα δευτέραν τινὰ ἀρχὴν ὑπάρξεως εἰςενεγκεῖν, ἥν περ ἔχοντες ἱκανοὶ ἂν εἴημεν τὰ ὁρατὰ πάντα συλλαβεῖν, ᾗ πέφυκεν. εἶναι δὲ δεῖ αὐ-

(α) Τιμαίῳ. σ. κζ'. Α.
(β) Συμπόσ. σ. σια'. Πολιτ. Ε', σ. υοθ', υπ'.

τὴν, τοῦτο μὲν αὐτοτελῆ τε καὶ αὐτάρκη, καθ' ὅσον περ αἰτία μέλλει ὑπάρξεως εἶναι πάμπαν ἀλλοίας τῆς τῶν ἰδεῶν· τοῦτο δ' αὖ καὶ μὴ καθ' ἑαυτὴν μηδ' αὐτάρκη· καὶ γὰρ ἐν τούτῳ τῷ δεύτερα ὑπαρκτῷ μηδὲν ἄλλο ἢ αὐτὰς τὰς ἰδέας ἀνταυγάζεσθαι, εἰ καὶ κατὰ τρόπον πολυσχιδῆ καὶ ἀμυδρόν. ὡς δ' ἐν συντόμῳ εἰπεῖν εἰςαναγκάζει ἡμᾶς αὐτὸς ὁ λόγος καὶ δευτέραν ὑπόστασιν ὑπάρξεως παραλαβεῖν ἰδανικὴν μὲν οὔ, ἅτε διαστατήν τε καὶ ἐν τόπῳ εἶναι μέλλουσαν, ἀλλὰ ταῖς ἰδέαις σχηματιστὴν, πάνθ' ὁμοίως τὰ εἴδη ἐν ἑαυτῇ εἰςδέχεσθαι δυναμένην, ὕλην. Ἐπορίσατο δὲ ταῦτα ὁ Πλάτων ἐπ' ἀκριβὲς ἐν Τιμαίῳ μάλιστα (σ. μη' κεφξ.). Φησὶ δ' ἐν τῷ αὐτῷ τούτῳ διαλόγῳ ὅτι πρὸ τοῦ τὸν κόσμον τόνδε δεδημιουργῆσθαι ἦν τι πρότερον ὁρατὸν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, » ὃ παραλαβὼν ὁ δημιουργὸς εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας καὶ πρὸς τὰς ἰδέας ὡς παραδείγματα βλέπων τὸν κόσμον πάντ' ἐποίησεν. ἐκείνην δὲ τὴν πρώτην ὑπόστασιν, ἐξ ἧς γε ὁ κόσμος, βουλόμενος δηλοῦν οὔπω ὕλην ἀποκαλεῖ, ὄνομα, ὅπερ ὑστέρῳ χρόνῳ ὡς ὅρος τεχνικὸς παρὰ τοῖς φιλοσόφοις ἐν χρήσει καθέςηκεν (γ), παραβάλλει δὲ μόνον τὸ σωματοειδὲς ἐκεῖνο καὶ ὁρατὸν πρὸς ἥν γε ὕλην καὶ οἱ κοινοὶ δημιουργοὶ ἐν ταῖς τέχναις μεταχειρίζονται. τοῦτον δὲ τὸν τρόπον περὶ αὐτοῦ ἐν Τιμαίῳ λέγει· διασαφηνίζων γὰρ αὐτὸ φησὶν ὅτι

(γ) Εἰ καί τινες τῶν μεταγενεστέρων ὧν πρῶτος Ἀριστοτέλης ἐν τετάρτῳ τῶν φυσικῶν (β, σ. σθ', β, ια') ἀποδίδωσιν αὐτῷ τὸν ὅρον τοῦτον λέγων «ὅτι Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ ».

ἄμορφόν ἐστι καὶ ἀνόρατον καὶ οἷον πάντα τὰ εἴδη ἐν ἑαυτῷ δέχεσθαι, πανδεχές (δ). Ὁμολογεῖ δ' ἀμήχανον εἶναι ταύτην τὴν πρώτην ὕλην λόγῳ ὑποτυπῶσαι·

(δ) Ἐν Τιμαίῳ σ. μη'. « Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔστω μειζόνως τῆς πρόσθεν διῃρημένη· τότε μὲν γὰρ δύο εἴδη διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον. τὰ μὲν γὰρ δύο ἱκανὰ ἦν ἐπὶ τοῖς ἔμπροσθεν λεχθεῖσιν, ἓν μὲν ὡς παραδείγματος εἶδος ὑποτεθὲν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὂν, μίμημα δὲ παραδείγματος δεύτερον, γένεσιν ἔχον καὶ δρατόν. Τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο ἕξειν ἱκανῶς, νῦν δὲ ὁ λόγος ἔοικεν εἰςαναγκάζειν χαλεπὸν καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. Τίνα οὖν ἔχον δύναμιν καὶ φύσιν αὐτὸ ὑποληπτέον; τοιάνδε μάλιστα· πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτὸ, οἷον τιθήνην. καὶ σ. ν'. Δέχεταί τε γὰρ ἀεί τὰ πάντα καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰςιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς. Ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰςιόντων· φαίνεται δὲ δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον· τὰ δὲ εἰςιόντα καὶ ἐξιόντα τῶν ὄντων ἀεὶ μιμήματα, τυπωθέντα ἀπ' αὐτῶν τρόπον τινὰ δύςφραστον καὶ θαυμαςὸν, ὃν ἐςαῦθις μέτιμεν.— σ. νγ'. ἐνταῦθα ἀποκαλεῖ τὴν ὕλην Δεξαμενήν. σ. να'. Διὸ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ πάντως αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν μήτε γῆν μήτε ἀέρα μήτε πῦρ μήτε ὕδωρ λέγωμεν — ἀλλ' ἀνόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχὲς, μεταλαμβάνον δὲ ἀπορώτατά πῃ τοῦ νοητοῦ καὶ δυσαλωτότατον αὐτὸ λέγοντες οὐ ψευσόμεθα. — σ. νβ'. Τρίτον δ' αὖ γένος ὂν τὸ τῆς χώρας ἀεὶ, φθορὰν οὐ προςδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἁπτὸν λογισμῷ τινι νόθῳ, μόγις πιστὸν, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινὰ, τὸ δὲ μήτε ἐν γῇ μήτε που κατ' οὐρανὸν οὐδὲν εἶναι. — Ἀλλὰ καὶ ἐν Φιλήβῳ (σ. κγ' κεφξ.) τοιοῦτό τι ἀρχέγονον καὶ εὔπλαστον παραλαμβάνεται στοιχεῖον, ὅπερ Πλάτων ἐνταῦθα ἐπὶ τὸ Πυθαγορικώτερον τὸ ἄπειρον προςαγορεύει· τούτῳ δ' ἐναντίον ἐπάγεται τὸ πέρας ὅ ἐστιν ἡ ἰδέα ἢ τῷ ἀπείρῳ εἶδος καὶ κόσμον καὶ ἁρμονίαν παρέχουσα, ὥςπερ ὁ παρὰ τοῖς Πυθαγορείοις περαίνων ἀριθμός· τὸ δὲ ἰδίᾳ αἰσθητὸν ἔκγονόν ἐστι τῆς μίξεως τῶν δύο ἐκείνων στοιχείων. ἔπιθι και σελίδα χς', Γ, Δ.

μήτε γὰρ νοήσει περιληπτὴν εἶναι, ὥςπερ τὴν ἰδέαν, μήτε αἰσθήσει, ὥςπερ τὰ αἰσθητὰ, ἀλλὰ μετ᾽ ἀναισθησίας ἁπτὸν λογισμῷ τινι νόθῳ. Εἴ τις οὖν τούτοις ἀτενῶς τὴν διάνοιαν ἐπιστήσει, νοήσει πάντως ὅτι ὁ Πλάτων λόγον ποιεῖται ἐν Τιμαίῳ περὶ τῆς ὕλης, ὡς ἀγεννήτου καὶ ἤδη ἐξ αἰῶνος ὑπαρχούσης πρὸ τοῦ τὸν κόσμον ποιηθῆναι. προςτίθεται ἄρα τῇ τῶν ἰδεῶν οὐσίᾳ καὶ ἄλλη δευτέρα οὐσία, δευτέρα μόνιμος ἀρχὴ τοῦ ὑπάρχειν, ὃ δὴ καὶ ἐκ τοῦ ἐμφανοῦς ἀντιμάχεται πρὸς τὴν τῶν ἰδεῶν θεωρίαν, καθ᾽ ἥν γε ταῖς ἰδέαις μόνον τὸ ὄντως εἶναι ἀποδέδοται. Ταύτην δὲ τὴν ἀντίφασιν αὐτὸς μὲν Πλάτων οὐχ ὁμολογεῖ, ἰσχυρίζεται δὲ μάλιστα καὶ ἐν αὐτῷ τῷ Τιμαίῳ ὅτι μόνῃ τῇ ἰδέᾳ τὸ ὡς ἀληθῶς γε εἶναι πρόςεστιν. σ. κζ΄. καὶ διεξιὼν δὲ τὰ περὶ ἐκείνης τῆς πρώτης ὕλης ἥν γε καὶ δεξαμενὴν προςαγορεύει, ἀφομοιοῖ αὐτὴν πρὸς τὴν χώραν, ὃ δὴ καὶ ἐμφαίνειν μοι δοκεῖ ὅτι οὐδεμία κατ᾽ αὐτὸν τῇ ὕλῃ θετικὴ ὑπόστασις ὑπόκειται τόπον πληροῦσα. καὶ εἴη ἂν ἄρα κατά γε τοῦτον τὸν λόγον ἡ ὕλη τὸ ἁπλῶς διαστατὸν, εἶδός τι ἀΰλου ἐκτάσεως. ἀλλὰ πῶς ἂν ἔχοι τις ὑπολαβεῖν τοιαύτην τινὰ ὕλης οἱαςοῦν ἀμοιροῦσαν ὕλην, εἰ μηδεμίαν γε τὸ ἐπίπαν ἐνούσιον ὑπόστασιν εἶχε, τοῦτο δὴ τὸ ἁπλῶς οὐκ ὂν τῶν ἰδεῶν ἑκάστης δύναμιν ἔχειν τὰς ἰδέας μηδ᾽ ὁτιοῦν μονίμους ποιεῖν, μηδὲ καθαρὰς καὶ ἀμιγεῖς, ἀλλ᾽ οἷον οἰχομένας ἀεὶ καὶ τεθλασμένας καὶ ἠλλοιωμένας καὶ περιβεβρωσμένας, εἰς δὲ πλῆθος ἄπορον εἰδώλων ἀπεσχισμένας ἐν τοῖς περὶ τὴν φύσιν γιγνομένοις ἐκφαίνεσθαι; (*)

(*) Ἀλλὰ γὰρ ἐξέςω ἡμῖν τό γε νῦν ἔχον τοσόνδε μόνον

φανερὸν ἄρα ὡς οὐκ ἔστι λόγον τοῖς συμπεραίνουσιν ὑποσχεῖν ὡς ἄρα ταῖς ἰδέαις ὁ αἰσθητὸς ὑπαντιάζει κό-

εἰπεῖν, ὅτι ὃς ἂν τὰ Πλάτωνος ἱκανῶς παρ' ἑαυτῷ λάβῃ, καὶ τῷ τρόπῳ δὲ προσέτι τῆς φράσεως αὐτοῦ ἐς δέον οἰκειωθῇ, οὔτε ἄλλας τινὰς συχνὰς ἀντιφάσεις, εἰ δὲ βούλει, καὶ ἐπιπολαιότητας αὐτοῦ ἐξελέγξει, ἅς τινες ἐξ ὑπογυίου καὶ πάνυ θαῤῥαλέως εἰώθασιν ἐλέγχειν, οὔτε ἐν τούτῳ γε τῷ μέρει ἑαυτῷ ἀντιφάσκοντα τὸν Πλάτωνα εὑρήσει. Καὶ γὰρ ὅταν *οὐκ ὂν* ὁ Πλάτων λέγῃ, φανότερος ἡλίου καὶ ἄλλοθεν πολλαχόθεν ἡμῖν γίγνεται ὡς *οὔ τι οὐδὲν ἁπλῶς* νοεῖ καὶ παντελῆ ὄντος ἄρσιν θέλει, ἀλλ' *οὐκ ὂν* λέγει ὡς πρὸς *αὐτὸ τὸ ὄντως ὄν*· οὐ γὰρ εἶναι *ἁπλῶς* τὸ οὐκ ὄν φησιν, ἀλλ' εἶναί ΠΗι αὐτὸ ῥητῶς ἀλλαχοῦ διασαφεῖ, οὐκ ἄντικρυς τὸ οὐκ ὂν εἶναι λέγων· ὥστε τὴν ὕλην οὐκ ὂν λέγων, οὐ πᾶσαν πάντως οὐσίαν αὐτῆς ἀναιρεῖ, ἀλλὰ τοῦτο τὸ εἶναί ΠΗι τὸ οὐκ ὂν νοεῖ. ὑπόστασίς τις ἄρα γνοφώδης τε καὶ ῥοώδης μένει ἀεί. Πρὸς δὲ τούτοις ἀφέλειαν περὶ τὸ νοεῖν τὰ λεγόμενα ἐκφαίνουσί τινες μάλα γενναίαν, ὅσοι ἀκούοντες, ὅν περ ὡς ἔγγιστα ὅρον ὁ Πλάτων εἰς δήλωσιν τῆς ὕλης τίθεται, οὐκ ἔχων ἄλλως πως αὐτὴν ἀποκαλέσαι ἢ *χώραν* καὶ *τόπον* καὶ τὰ παραπλήσια, τοῦτον δὴ τὸν *τόπον* ὡς τὸν ἄλλως τὸν ἐν συνηθείᾳ λεγόμενον τόπον ἐκλαμβάνουσι· λανθάνει γὰρ αὐτοὺς ὡς οὗτος ὁ τόπος τοῦ Πλάτωνος οὐ *τὸ ἐν ᾧ γε τὰ αἰσθητά ἐστιν*, ὥστε ψιλήν τιν' *ἔκτασιν* αὐτὸν εἶναι οὐσίας ἁπάσης κενὴν, ἀλλ' ὁ ὅρος οὗτος δὴ ὁ παρὰ Πλάτωνι *τόπος* ἐν *τούτῳ* τῷ τόπῳ τῆς φιλοσοφίας αὐτοῦ τὸ ἐν ᾧ γε *τὰ εἴδη* ἐστὶ τῶν ὄντων, οὐκ *αὐτὰ τὰ αἰσθητά*. ὑπολείπεταί πή τις ἄρα οὐσία καὶ κατὰ τοῦτον τὸν λόγον νόθῳ τινὶ λογισμῷ περιληπτὴ, πᾶσιν, οἶμαι, φανή. Ἥκιστά γε ἄρα ἀνθρώπων ὁ δαιμόνιος Πλάτων πρὸς ἑαυτὸν ἀντιφάσκει, ἀλλὰ πολλῷ μᾶλλον ἡμεῖς γε ἀτελῶς αὐτὸν νοοῦμεν οἱ ἐπίγονοι.

σμος, οἷον κώλυμά τι καὶ φραγμὸς ἔνυλος, ἀνυπερβλήτως ἐνιστάμενος. καὶ αὐτὸς δὲ ὁ Πλάτων διεξέρχεται πολλάκις, ᾗγε ἑκάτερος ἑκατέρου τουτωνὶ τῶν δύο κόσμων ἔχεται, ὁ αἰσθητὸς τοῦ νοητοῦ ἢ ἰδανικοῦ ὡς εἴπερ δύο τινὲς αὐθύπαρκτοι, ἑκάτερος ἑκατέρου οὐσιωδῶς διάφοροι καὶ οἷον ἀλλήλοις ἀντίτυποι ἦσαν. Καὶ μὴν τὰς μὲν ἰδέας παραδείγματα λέγει, τὰ δ' αἰσθητὰ εἴδωλα τῇ τῶν ἰδεῶν μεθέξει ἀπεικασμένα. Ὁ αἰσθητὸς ἄρα κόσμος πάντῃ ἄλλος τις ἀναπέφανται, δεύτερος παρὰ τὸν νοητόν, καὶ ἐκ ταύτης μάλιστα τῆς ὑποθέσεως ὁ Ἀριςοτέλης ἤδη τοὺς πλείςους τῶν λόγων ὡς λαβὰς προχείρους πορίζεται, τὴν τῶν ἰδεῶν θεωρίαν ἀνασκευάζων. οὐκ ἄρα ὁλοσχερῶς τῷ Πλάτωνι προὐχώρησε τὴν ἐναντίωσιν ἐκείνην παντελῶς διαλῦσαι, ἐξ ἧς γε καὶ ὁ δυασμὸς ἢ διχασμὸς (dualismus) ἐν τῇ φιλοσοφίᾳ αὐτοῦ προῆλθεν. Βουλομένῳ δὲ αὐτῷ τὴν ἰδεολογίαν διασῶσαι μία μόνη ὑπεκφυγὴ τῆς ἀντιφάσεως ὑπελείπετο, εἴ που τῶν μὲν αἰσθητῶν τὴν ὕπαρξιν σὺν τοῖς Ἐλεάταις, οἷον ζοφώδεις δόξας καὶ ἀσαφεῖς, ψιλῆς οἰήσεως ἑκάστῳ φάσματα μάταια εἶναι ἀπεφαίνετο, τὰς δὲ διὰ τῶν αἰσθήσεων ἀντιλήψεις καὶ αὐτὰς δὲ τὰς αἰσθήσεις μηδὲν ἄλλο ἢ πλάνην καὶ ἀπάτην ἄντικρυς. καὶ εἴη ἂν τὸ δόγμα τοῦτο φιλοσοφίας κατὰ ψιλὴν οἴησιν ἰδεολογικῆς. Ῥιττέριος δὲ ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ τῆς φιλοσοφίας (Β, σ. 363 κ.φ.ξ.) καὶ πάνυ πεπεισμένος φαίνεται ὅτι οὕτως, ὥςπερ καὶ εἴρηται, περὶ τῶν αἰσθητῶν τῷ Πλάτωνι ἔδοξεν. Ἀλλ' εἰκότως γε ὁ Σελλέριος αὐτῷ ἠναντιώθη λέγων ὡς μηδαμοῦ τῶν Πλάτωνος συγγραμμάτων μηδεμίαν ἔχοι τις ἂν εὑρεῖν ῥῆσιν, οἵαν κυρῶσαι ἂν καὶ κατὰ βραχὺ τὴν ὑπόληψιν ἐκείνην. Πᾶν δὲ τοὐναντίον

φησὶν ὅτι ὁ Πλάτων τοῦ παντός γε δέων τὴν τῶν ἐνύλων ὕπαρξιν ὡς ἰνδάλματα λογίζεσθαι ἁπλᾶ τῆς δόξης ἑκάστου τῶν ἀνθρώπων, τὰς ἀπὸ τῶν αἰσθητῶν δόξας ἐκ τῆς σωματικῆς τοῦ ἀνθρώπου φύσεως καὶ τῆς συναρμογῆς τῆς ψυχῆς μετὰ τοῦ σώματος διαῤῥήδην παρῆγεν.

Περὶ τῆς φύσεως τοῦ Παντός.

Περὶ τῆς τῶν πάντων φύσεως ἓν μόνον σύγγραμμα κατέλιπεν ἡμῖν ὁ Πλάτων, τὸν ΤΙΜΑΙΟΝ, ὃν καὶ ἔοικε πρεσβύτης ἤδη τὴν ἡλικίαν ὢν συγγεγραφέναι (ε). Ὡς δ' ἐξάρχοντα τοῦ λόγου εἰςάγει ἐν τούτῳ τῷ διαλόγῳ οὐκέτι, ὡς ἐν τοῖς ἔμπροσθεν εἰώθει, τὸν Σωκράτη, ἀλλὰ τὸν Πυθαγορικὸν Τίμαιον τὸν Λοκρόν. Οὐ γὰρ ἂν εὖ εἶχεν, εἰ Σωκράτη περὶ τῆς τῶν ὅλων φύσεως λόγους διεξιόντα ἐποίει, ὃς οὐδὲν ἐφρόντιζεν ὅπως ἕκαστα τῶν ἐν τῇ φύσει γίγνοιτο, φανερῶς τῆς φυσικῆς θεωρίας ὡς ἀνωφελοῦς ὀλιγωρῶν. Καὶ μὴν εἰκότως γε ἄρα Πυθαγορικός τις εἰςάγεται τῶν τοιούτων πέρι τοὺς λόγους ποιούμενος, ἐπεὶ καὶ τὰ πλεῖστα τῶν ἐν Τιμαίῳ Πυθαγορικῆς ἂν φρενὸς εὑρήματα οὐκ ἀλλότρια φαίη τις εἶναι, ᾗ γε ὁ κόσμος οὗτος ὁ τῶν σωμάτων τὸ πρῶτον ξυνέστη καὶ ἡ ἐν αὐτῷ πανταχῇ διήκουσα ψυχὴ ζωὴν

(ε) Καὶ ὁ σοφὸς καὶ κατ' ἐξοχὴν ὀρθόνους Βοίκχιος ἐν τῇ ἀξιολογωτάτῃ αὐτοῦ πραγματείᾳ «περὶ τοῦ κατὰ Πλάτωνα κοσμικοῦ συστήματος» ὧδέ πως περὶ τούτου ἀποφαίνεται· «Δοκεῖ μοι Πλάτων, φησί, γηραιὸς ἤδη ὢν τὸν Τίμαιον συγγεγραφέναι ὡς συνέχειαν εἶναι τῆς πολιτείας· καὶ γὰρ Κριτίας, ὃς ἔτι μᾶλλον τοῦ Τιμαίου ἔχεται ἢ ὁ Τίμαιος τῆς πολιτείας ἀτελὴς τῷ Πλάτωνι κατελέλειπτο, οἷος καὶ ἡμῖν περιγέγονεν». σ. 149·

τε καὶ ἐναρμόνιον τάξιν τηροῦσα, ἥ τε τῶν ἰδίᾳ ψυχῶν προύπαρξις καὶ ὅσαι πλάναι αὐτῶν θεσπέσιαι καὶ ἐνταῦθα ὑμνοῦνται. καθ' ἓν δὲ μόνον ὁ Πλάτων τῆς τῶν Πυθαγορείων θεωρίας ἀφίςαται, καθ'ὅσονπερ οὗτος μὲν ἀκίνητον τὴν γῆν ἐν τῷ τοῦ σύμπαντος ἵςησι κέντρῳ, τὰς τῶν πλανητῶν σφαίρας περὶ αὐτὴν φέρεσθαι ποιῶν, οἱ δὲ τὸ κεντρικὸν πῦρ ἤτοι τὴν Ἑςίαν ἐν τῷ μέσῳ τοῦ κόσμου ἱδρῦσθαι ἔφασκον. πρὸς δὲ τούτοις αὐτῇ τῇ ὑποθέσει τοῦ Τιμαίου φύσει πως τὸ διαλεκτικὸν εἶδος ὑποχωρεῖ· οὐ γὰρ ὁμοίως τῷ νοητῷ ὁ περὶ φύσεως λόγος διαλεκτικῆς συζητήσεως δεκτικὸς ὑπάρχει. Ἐπεὶ γὰρ τὸ αἰσθητὸν πᾶν δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γίγνεται (ς), φανερὸν ὡς οὐκ ἔστι τὴν περὶ τῆς τῶν ὅλων φύσεως πραγματείαν ἐπιστήμην ἐναργῆ ἀναδεῖξαι, μηδὲν τῆς ἀληθείας ἀπολειπομένην, ἀλλὰ τὸ πιθανὸν ἔν γε τοῖς τοιούτοις στερκτέον, ὅπερ λόγου τε τοῦ ἀκριβοῦς φύσει καταδεέςερον ὂν φαίνεται καὶ διαλεκτικῆς διασαφήσεως τρόπον τινὰ ἀλλότριον.

Τῶν δ' οὖν περὶ τὴν φύσιν εἰς ἐπίσκεψιν ὁ Πλάτων ἐρχόμενος, δῆλός ἐστι κατὰ τὸν τοῦ αἰτίου καὶ αἰτιατοῦ λόγον τὰ καθ' ἕκαστον φαινόμενα ἀνερευνῶν, (ὃ δὴ τελεολογικῶς συζητεῖν τοῖς νῦν δὴ φιλοσοφοῦσι προςείρηται) κατὰ τἀναντία γε πρὸς τοὺς μηχανικῶς πως τὴν τῶν ὅλων φύσιν συστῆναι οἰομένους, οἷοι ἐγένοντο οἱ πρὸ αὐτοῦ φυσιολογήσαντες. Ἧι μὲν οὖν ἡ φύσις πέφυκε, στέρεσθαι πάντως ἔφη αὐτὴν ὁ Πλάτων, ἧς γε οὐσίας ἀληθοῦς μόναις ταῖς ἰδέαις προςιδιάζει· ᾗ δ' αὖ μεμόρφωται, ἅντε τις ὡς ὅλον μετὰ τῆς ἐν αὐτῇ βασι-

(ς) ἔπιθι Τίμαιον σ. κη', Α.

λευούσης ἁρμονίας θεωρῇ, ἄντε τὰ παντοῖα εἴδη τῶν ἐπὶ μέρους αἰσθητῶν σκοπῇ, οὐδὲν ἧσσον ὡς χώραν τοῦ ὄντος αὐτὴν δείκνυσθαι ἔφη ὡς ἔνι μάλιστα καλλίστην τε καὶ βελτίστην οὖσαν, καὶ δὴ καὶ ἀνάγκῃ μὲν τυφλῇ μηδεμιᾷ συνεστηκυῖαν, ἀλλὰ κατά τι τέλος ἄριστον οὕτω καὶ μὴ ἄλλως γεγονυῖαν. Μέμφεται δὲ ἐν Φαίδωνι (σ. ϡξ'.) καὶ τὸν Ἀναξαγόραν ὡς πρῶτον μὲν τὸ γενναῖον ἐκεῖνο, Νοῦν εἶναι τὸν διακοσμοῦντα καὶ πάντων αἴτιον εἰπόντα, εἶτα δὲ τὰς αἰτίας ἑκάστων ᾗ γέγονεν ἐπεκδιηγήσασθαι ἀναβαλλόμενον, τοῦ μὲν Νοῦ παντάπασιν ἐπιλαθέσθαι, ὡς τὰ ὄντα ᾗ ἄριστα καὶ βέλτιστα ἔχειν διατιθέντος, ἑαυτῷ δ' ἀντιφάσκοντα, ἄλλας τινὰς αἰτίας γενέσεως πέρι τῶν ὄντων δευτερευούσας, οἷον αἰθέρας καὶ ὕδατα αἰτιᾶσθαι καὶ ἄλλα πολλὰ καὶ ἄτοπα, νοῦ τε χωρὶς καὶ λόγου ὄντα. Τὰ δ' αὐτὰ δοκεῖ αὐτῷ καὶ ἐν Τιμαίῳ ὡς ἔστι καὶ ἐκ τοῦ ἔξωθεν εἴδους αὐτοῦ τεκμήρασθαι. καὶ γὰρ ἐν τῷ προοιμίῳ παραδίδωσιν ἡμῖν τὴν ἀφήγησιν ταύτην ὡς ἄγχιστα ἐχομένην τῶν ἐν πολιτείᾳ λόγων· εἰκότως γε· παρ' ὅσον καὶ ἐν Τιμαίῳ περὶ τῆς τοῦ ἀγαθοῦ ἰδέας λόγος γίγνεται, ὥσπερ καὶ ἐν τῇ πολιτείᾳ· ἐν ταύτῃ μὲν οὖν ἐπιτελέσεως πέρι τοῦ ἀγαθοῦ ἐν πολιτείᾳ διεξέρχεται, ἐν δὲ τῷ Τιμαίῳ καθ' ὅμοιον λόγον περὶ τῆς ἐν τῷ Σύμπαντι τετελεσμένης τοῦ ἀγαθοῦ ἰδέας, ὅπως ὁ κόσμος παραδείγματος ἀρίστου τε καὶ βελτίστου μίμημα ἐς τὸ δυνατὸν ἐντελῶς δεδημιούργηται. ποιητὴς γὰρ καὶ πατὴρ τοῦδε τοῦ παντὸς «ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅτι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ». πρὸς οὖν τὸ ἀεὶ κατὰ ταὐτὰ ὂν καὶ ἀίδιον ἤτοι τὰς ἰδέας βλέπων,

ἐποίησε τὸν κόσμον ὡς ἄριστόν γ' ἐνῆν κατὰ τὸ παράδειγμα τοῦ αὐτοζῴου. σ. κη', Α. κθ', Ε. λ', Δ.

Τὴν δὲ Δημιουργίαν τοῦ κόσμου ἢ κοσμοποιίαν διηγεῖται ἡμῖν ὁ Πλάτων ὡς ἐν χρόνῳ γεγενημένην. Πρὶν ἢ ὁ Δημιουργὸς τὸν πάντα Οὐρανὸν ἢ Κόσμον ἐποίησε, δύο τινὰ ἦσαν, αἱ ἰδέαι καὶ ἡ ὕλη ἢ τὸ Ὁρατὸν, αἱ μὲν ἀκίνητοι ἀεὶ κατὰ ταὐτὰ οὖσαι, τὸ δὲ οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ πλημμελῶς τε καὶ ἀτάκτως κινούμενον. Ἐξ ἀμφοῖν δὲ τούτοιν ἔμελλε τὸ Σύμπαν τόδε συστῆναι. ἐδέησεν οὖν μάλιστα καὶ τρίτου τινὸς τοῦ μεσολαβήσαντος, ᾧ δὴ καὶ ἡ κοινωνία τε καὶ συναρμογὴ ἀμφοῖν ἐκείνοιν εἰς ἄλληλα δυνατὴ ἐγένετο. Τοῦτο δὲ τὸ μεταξὺ ἰδέας τε καὶ ὕλης μεσολαβῆσαν ἐστὶν ἡ κατὰ Πλάτωνα Ψυχή, ἥ γε δὴ οὐ μόνον τὸ φρονοῦν ἐστιν, ἀλλὰ καὶ τὸ τῇ ὕλῃ ἁρμονίαν τε καὶ ζωὴν παρέχον (ἔπιθι καὶ Φαῖδρον σ. σμε' κεφξ. καὶ Φαίδωνα σ. ρε'.). Λογισάμενος γὰρ ὁ δημιουργὸς «εὕρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτε ἔργον, νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε Νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ Θεοῦ γενέσθαι πρόνοιαν». (Τιμαίου σ.λ'.)—

Τὴν δὲ δὴ ψυχὴν γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν σώματος οὖσαν, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου, ξυνεστήσατο ὁ δημιουργὸς ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ· « τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ

ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριςῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ ξυνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς θατέρου, καὶ κατὰ ταῦτα ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. καὶ τρία λαϐὼν αὐτὰ ὄντα ξυνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύςμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ. μιγνὺς δὲ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἓν πάλιν ὅλον τοῦτο μοίρας ὅσας προςῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην.—»Ἐπεὶ δὲ κατὰ νοῦν τῷ ξυνιστάντι πᾶσα ἡ τῆς ψυχῆς ξύστασις ἐγεγένητο, μετὰ τοῦτο πᾶν τὸ σωματοειδὲς ἐντὸς αὐτῆς ἐτεκταίνετο καὶ μέσον μέσῃ ξυναγαγὼν προςήρμοττεν. Ἡ δ' ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανὸν πάντῃ διαπλακεῖσα κύκλῳ τε αὐτὸν ἔξωθεν περικαλύψασα, αὐτή τε ἐν αὑτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου πρὸς τὸν ξύμπαντα χρόνον. Καὶ τὸ μὲν δὴ σῶμα ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δὲ ἀόρατος μὲν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας, ψυχὴ, τῶν νοητῶν ἀεί τε ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων».— Ἐπεὶ οὖν ὁ κόσμος κατὰ Πλάτωνα, οἷον ἄρτιόν τι, ὀργανικὸν, αὐτοκίνητον ὅλον, ζῷον ἔμψυχον ἔμελλεν εἶναι, ἀμήχανον ὅλως ἦν αὐτὸν γενέσθαι ἄνευ ψυχῆς ἐν αὐτῷ ὑπαρχούσης. Συμμίξας τοίνυν ὁ δημιουργὸς τῷ Νοητῷ (ideal) τὴν ὑλικὴν φύσιν, ἔπλασε πρῶτον τὴν τοῦ σύμπαντος κόσμου ψυχὴν, ἑκατέρας τῶν φύσεων οὕτως ἐς δέον μετειληχυῖαν ὥστε δεσμὸν ἀμφοῖν εἶναι οἰκεῖον. εἶτα λαϐὼν αὐτὴν ἐξέτεινεν ἀπὸ τοῦ μέσου ἀνὰ πᾶσαν τὴν περιφέρειαν τοῦ ὑπερφυοῦς σφαίρου, ὅν γε ὁ ὁρατὸς

ὕστερον γενόμενος κόσμος κατέσχεν καὶ ἐχάραξεν ἐπ' αὐτῆς τὰς περιφορὰς καὶ τροχιὰς τῶν μεγάλων κοσμικῶν σωμάτων καὶ τέλος ἐπ' αὐτῇ οἷον σέλματι περιετόρνευσεν τὸν κόσμον, ὃς παρ' αὐτῆς τῆς ἁπανταχῇ διηκούσης ψυχῆς κίνησίν τε καὶ τάξιν καὶ ζωὴν ἔλαβέ τε καὶ ἀεὶ λαμβάνει. Φανερὸν δὲ ὅτι ἡ διήγησις αὕτη, ὡς καὶ Πλάτων αὐτὸς ὁμολογεῖ ἐπὶ τὸ μυθικώτερον πεποίηται (ἐν Τιμαίῳ σ. κθ', Δ. ξθ', Β.)· ἥ τε ἐν χρόνῳ ἀλληλουχία τῶν κατὰ μέρος δημιουργήσεων τῷ μυθικῷ περικαλύμματι μόνῳ προςήκει. Οὐδὲ τοῦτο ἔχοι τις ἂν ἄρα μετ' ἀκριβείας εἰπεῖν, εἴπερ ὁ Πλάτων τὸν κόσμον ἐν χρόνῳ ἀρχήν τε καὶ γένεσιν λαβεῖν ἐδόξασεν, εἴτε καὶ μή. Εἰ δ' οὖν τις τὸ σαφῶς μυθῶδες τῆς ἀφηγήσεως ἀφέλοιτο, καταλίποι ἂν ὡς φιλοσοφικὰ δόγματα τοῦ Πλάτωνος ὡς ἐν συνόψει εἰπεῖν τάδε· ὅτι τὸ αἴτιον ὅπερ τὸν κόσμον πάντα κινεῖ καὶ ὁ σύνδεσμος τῆς ἐν αὐτῷ ἐπικρατούσης ἁρμονίας, ἄμφω τούτω ἡ παγκόσμιος ψυχή ἐστιν. αὕτη δὲ οὐθὲν ἄλλο ἐστὶν ἢ περίληψίς τις πάντων τῶν μαθηματικῶν λόγων, καθ' οὕς γε τὸ σύμπαν τόδε (ἀποστάσεις τε καὶ περιφοραὶ τῶν ἐν οὐρανῷ σωμάτων) διήρηταί τε καὶ κεκόσμηται, ἔτι δὲ ἡ τὸ πᾶν κινοῦσα δύναμις καὶ τέλος ἡ κατ' ἰδέαν νοητὴ ἑνότης καὶ συνείδησις τοῦ κόσμου, ὃς δι' αὐτῆς ζῷον ἔμψυχόν τε καὶ ἔννουν καθέστηκεν (ζ). ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν ἡ ψυχή ἐστιν ἡ ἐν τῷ αἰσθητῷ ὑπειςδεδυκυῖα ἰδέα, ἥ γε τοῦ λοιποῦ οὐ μόνον ἐν ἑαυτῇ ἐστὶν, ἀλλ' ἅμα καὶ ὡς ῥυθμίζων νόμος καὶ ψυχὴ κόσμου ἐντελεχείᾳ ὑπάρχοντος ἐκφαίνεται.

(ζ) Τίμ. σ. λζ', λ'.

Πλάτων οὖν ὥςπερ καὶ ἐκ τῶν ἄρτι λεχθέντων συνάγεται, τὸν κόσμον τόνδε ὡς ἐκ σώματος καὶ ψυχῆς συγκείμενον, φρενῆρές τε ζῷον καὶ ἔμψυχον ὑπείληφεν. ἐπιφημίζει δὲ αὐτὸν Θεὸν προςαγορεύων καὶ τέλειον ὡς τῆς νοητῆς οὐσίας μίμημα, ἐς ἀεὶ ἀγήρων τε καὶ ἄνοσον, δι' ἀρετὴν δὲ αὐτὸν αὐτῷ δυνάμενον ξυγγίγνεσθαι καὶ οὐδενὸς ἑτέρου προςδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὐτῷ· βίον τε διάγειν φησὶν εὐδαίμονα, θεὸν μακάριον ὄντα (σ. λδ'.). Εἰληφέναι δὲ καὶ τὸ σχῆμα τὸ πρέπον καὶ συγγενὲς ἤτοι τὸ σφαιροειδὲς, ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, κυκλοτερὲς, πάντων σχημάτων τελεώτατόν τε καὶ ὁμοιότατον αὐτὸ ἑαυτῷ ὂν, καὶ πάντα τὰ ἄλλα ἐν ἑαυτῷ περιειληφὸς (λγ', β.). Οἰκείαν δὲ τῷ σχήματι ἐσχηκέναι ἔφη καὶ τὴν κίνησιν, τὴν κύκλῳ περιαγωγὴν, ἣν δὴ τὴν αὐτὴν πάντῃ καὶ ἀεὶ εἰς ἑαυτὴν ἐπανιοῦσαν, ἐγγυτάτω νοῦ τε εἶναι καὶ φρονήσεως (λδ'. Α.). Ἐν μέσῳ δὲ τῷ κόσμῳ ἱδρῦσθαι ἔφη τὴν Γῆν ἀκίνητον (η). Κύκλῳ δ' αὐτῆς φέρεσθαι ἔφη τὰ λοιπὰ οὐράνια σώματα. πρώτην μὲν τὴν Σελήνην, δεύτερον δὲ τὸν ἥλιον, μετὰ δὲ τοὺς πέντε πλα-

(η) Ἐν Τιμαίῳ σ. μ, β. «Γῆν δὲ τροφὸν μὲν ἡμετέραν, εἱλλομένην δὲ περὶ τὸν διὰ παντὸς πόλον (ἤτοι τὸν ἄξονα) τεταμένον, φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας ἐμηχανήσατο, πρώτην καὶ πρεσβυτάτην θεῶν ὅσοι ἐντὸς οὐρανοῦ γεγόνασιν». — τὸ δὲ ῥῆμα εἴλλω καὶ ἀττικῶς εἵλλω δασυνόμενον σημαίνει τὸ συμπιλῶ ὥστε εἱλλομένην εἴη ἂν ταὐτὸν τῷ συμπιλουμένην καὶ οἱονεὶ συνεσφαιρωμένην (πρβλ. καὶ σ. ος'.) περὶ τὸν διὰ τοῦ παντὸς διήκοντα ἄξονα. περιάγεσθαι δὲ καὶ περιστρέφεσθαι δηλοῖ τὸ εἱλεῖσθαι κατὰ τὸν μεταγενέστερον ἑλληνισμόν. Δημιουργὸν δὲ τὴν Γῆν ὁ Πλάτων ἐκάλεσε νυκτός τε καὶ ἡμέρας, καθ' ὅσον ἠρεμοῦσα, τῇ ἑαυτῆς ἠρεμίᾳ τρόπον τινὰ ἀντίῤῥοπον ἑαυτὴν παρέχει πρὸς τὴν ἐξ ἀνατολῶν πρὸς δυσμὰς ἡμερησίαν τοῦ οὐρανοῦ ἀνακύκλησιν.

νήτας καὶ τελευταίαν τὴν τῶν ἀπλανῶν ἀστέρων σφαῖραν. ὅτι μὲν οὖν ὁ Πλάτων τὴν γῆν ἠρεμοῦσαν ἵστησι καὶ οὐχ ὥςπερ Γρούππιος ἐκ τοῦ ἐν τῷ Τιμαίῳ τόπου (σ. μ', Β.) παρορμηθεὶς διϊσχυρίσατο ὅτι περιστροφὴν τῇ Γῇ περὶ τὸν ἑαυτῆς ἄξονα προςένειμε, ἀποχρώντως καὶ πάνυ καλῶς ὁ δαιμόνιος Βοίκχιος ἀπέδειξεν (θ). Λόγος δέ τις παλαιὸς φέρεται (ι) ὡς Πλάτωνι ἤδη γηράσκοντι μετεμέλησε τὴν γῆν ἐν τῷ τοῦ κόσμου ὀμφαλῷ ἱδρύσαντι, ὡςὰν τοῦ τόπου τούτου, πρεσβυτάτου γε δὴ τῶν ἐν τῷ παντὶ, τιμιωτέρῳ τινὶ καὶ μὴ τῇ γῇ προςήκοντος· τιμιώτερον δὲ λέγων, δῆλος ἦν ὅτι οὐδὲν ἄλλο ἐνόει ἢ τὸ πῦρ τὸ κεντρικόν. ὁ δ' οὖν λόγος οὗτος οὐ πάνυ τι ἀπιθάνως ἠχεῖ· καὶ γὰρ Πλάτων ἐπὶ δυσμαῖς τοῦ βίου γενόμενος ἀεὶ μᾶλλον καὶ μᾶλλον τὰ τῶν πυθαγορείων προςίετο δόγματα.

Περὶ ψυχῆς.

Τὴν δὲ δημιουργίαν τοῦ ἀνθρώπου καὶ τῆς ἀνθρωπικῆς ψυχῆς ἀφηγεῖται ὁ Τίμαιος ὡς ἐφεξῆς (σ. μα', Δ. κεφξ.)· Ἐπεὶ ὁ δημιουργὸς τὸν κόσμον ἐποίησε, πάλιν

(θ) Ἐπιθι Βοικχίου, περὶ τοῦ κατὰ Πλάτωνα κοσμικοῦ συστήματος. ͵αωνδ'. — Γρουππίου, τὰ παρ' Ἕλλησι κοσμικὰ συστήματα. πρβλ. δὲ καὶ πολιτ. ι'. σ. χις'. κ.φ.ξ. καὶ Φαίδωνα ἐν σελ. ρθ', ἔνθα περὶ γῆς ὡς ἱσταμένης καὶ ἀκινητούσης ὁ λόγος γίγνεται.

(ι) Πλούταρχος ἐν βίῳ Νουμᾶ (ια') φησὶ περὶ τῶν Πυθαγορείων ὅτι τὸ κεντρικὸν πῦρ κατὰ τὸ μέσον τοῦ κόσμου ἐτίθεσαν, τὴν δὲ γῆν κύκλῳ περὶ τὸ κεντρικὸν πῦρ φέρεσθαι. «ταῦτὰ δὲ καὶ Πλάτωνά φασι πρεσβύτην γενόμενον διανενοῆσθαι περὶ τῆς γῆς ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεστώσης, τὴν δὲ μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προςήκουσαν». Πλούτ. Πλατ. ζητ. η'. «Θεόφραστος ἱστορεῖ, τῷ Πλάτωνι πρεσβυτέρῳ μεταμέλειν, ὡς οὐ προςήκουσαν ἀποδόντι τῇ γῇ τὴν μέσην χώραν τοῦ παντός.»

ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο· καὶ ἐποίησεν ἐξ αὐτῶν ἰσαρίθμους τοῖς ἄστροις ψυχάς. Ποιήσας δὲ ἐκέλευσεν εἱμαρμένον ἑκάστῃ ψυχῇ εἶναι, χρόνον τινὰ προςήκοντα ἐπὶ τοῦ τεταγμένου αὐτῇ ἄστρου οἰκήσασαν, καὶ τὴν τοῦ παντὸς φύσιν, οἷς γε ἡ θειοτάτη τοῦ σύμπαντος ἁρμονία νόμοις κυβερνᾶται μαθοῦσαν, εἰς σώματα ἐνσπείρεσθαι θνητὰ ἵνα αὐτὰ ἀμπισχομένας τὸ τῶν θνητῶν γένος ἀποτελέσειαν, ὅπερ ἐξ ἴσου τοῖς ἀθανάτοις ἐπάναγκες ἦν πρὸς τὴν τοῦ παντὸς ἁρμονικὴν τελειότητα. Ὅσαι μὲν οὖν ἂν τῶν ψυχῶν τούτων, ἐν ᾧ γε χρόνῳ ἐν τοῖς σώμασι κατασκηνοῦσιν, ἱκαναὶ γένωνται τῶν βιαίων παθῶν φόβου καὶ θυμοῦ καὶ τῶν τοιούτων ἐπικρατῆσαι, βίον ἁγνὸν καὶ ἄμεμπτον διαγαγοῦσαι, ταύτας ἔφη ὁ Πλάτων κελεῦσαι τὸν δημιουργὸν, ἐπειδὰν τὸ χρεὼν ἐπέλθῃ, τοῦ φθαρτοῦ ἀπαλλαγείσας σκηνώματος, εἰς τὴν τοῦ ξυννόμου οἴκησιν ἄστρου πορεύεσθαι καὶ τοὐντεῦθεν βίον μακάριον ὡς τὸ πρότερον βιοῦν. ὅσαι δ' αὖ τῶν τοιούτων πάντων σφαλῶσι, ταύτας ἀναγκάζεσθαι κατὰ τὴν δευτέραν γένεσιν ἐν τῷδε τῷ αἰσθητῷ κόσμῳ εἰς γυναικὸς σῶμα εἰςερπύζειν καὶ ἐὰν μὴ καὶ ἐν τούτῳ τῆς κακίας παύσωνται, ἀνάγκην εἶναι αὐταῖς εἰς θήρειόν τινα φύσιν καταβιβάζεσθαι (μϐ'. ϐ. Γ.). Ἀλλὰ καὶ ἐν Φαίδρῳ φησὶν ὁ Πλάτων τὰς ψυχὰς τὸ κατ' ἀρχὴν ἄνευ σώματος γεγονέναι, πλὴν ὅσον ἐν τούτῳ τῷ διαλόγῳ μὴ κατὰ βούλησιν τοῦ δημιουργοῦ, ἀλλὰ δι' οἰκείαν κακίαν καὶ ἀσθένειαν αὐτῶν ἀπὸ τοῦ θειοτάτου τόπου εἰς τὰ σώματα κατενεχθῆναι· ὅσαι μὲν γὰρ τῶν ψυχῶν διὰ τὸ ἀσθενείᾳ πρὸς τὰ σωματοειδῆ φέρεσθαι οὐχ οἷαί τε ἐγένοντο ταῖς ἱε-

ρωτέραις ψυχαῖς, θεοῖς καὶ δαίμοσι συνελαύνουσαι εἰς τὸν ὑπερουράνιον ἀναπτῆναι τόπον, ἔνθα δικαιοσύνη καὶ σωφροσύνη καὶ ἐπιστήμη καὶ πᾶν ἁπλῶς τὸ νοητὸν ὂν καὶ ἁγνὸν ὡς λευκὴ αἴγλη τὸν οὐρανὸν πάντα περιδέδρομεν, αὗται κακίας πλησθεῖσαι καὶ βαρυνθεῖσαι ἐπὶ τὴν γῆν κατέπεσον, σῶμα γήϊνον ἑκάστη λαβοῦσα, ὅπερ αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῷον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνητόν τ' ἔσχεν ἐπωνυμίαν (σ. σμϛ. κεφξ.).

Τῷ δ' οὖν δόγματι τῷ περὶ τῆς σχέσεως τῆς ψυχῆς πρὸς τὸ σῶμα ἕπεται εἰκότι γε λόγῳ καὶ τὸ περὶ τῶν μερῶν αὐτῆς ὡς πρὸς ἄλληλ' ἔχει. Φησὶ γοῦν Πλάτων ὡς ὅτε τῇ ἀρχῆθεν ψυχῇ τῇ ἁγνῇ τὸ σῶμα οἷον ὄχημα ἐδόθη, τῷ ἀθανάτῳ αὐτῆς εἴδει καὶ ἕτερον εἶδος ψυχῆς προςετέθη θνητόν, « δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω, θυμὸν δὲ δυςπαραμύθητον, ἐλπίδα δ' εὐπαράγωγον αἰσθήσει τε ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι »· ταῦτα ἀναγκαίως συγκερασθέντα τὸ θνητὸν γένος ἐποίησαν. (ἔπιθι Τίμαιον. σ. ξθ', γ.) Διαστέλλει δὴ οὖν τῆς ψυχῆς ὁ Πλάτων εἴδη δύο τὸ μὲν θ ε ῖ ο ν, τὸ δὲ θ ν η τ ὸ ν (ξθ', γ. οβ', δ.)· καὶ τὸ μὲν αὖ λ ο γ ι σ τ ι κ ὸ ν ἢ ν ο η τ ι κ ό ν, τὸ δὲ ἄ λ ο γ ο ν· «καὶ διὰ ταῦτα δὴ σ ε β ό μ ε ν ο ι μιαίνειν τὸ θεῖον, (περὶ θεῶν γεννητῶν ὁ Πλάτων λέγει ὅτι ποιοῦσι ταῦτα τῷ παραγγέλματι τοῦ ἀνωτάτου Δημιουργοῦ πειθόμενοι) ὅ,τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κε-

φαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. Ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν». Τοῦτο δὴ τὸ ἄλογον καὶ θνητὸν εἰς δύο αὖθις εἴδη ὑποδιαιρεῖται τὸ μὲν βέλτιον ὄν, τὸ δὲ φαυλότερον. τὸ μὲν οὖν βέλτιόν ἐστιν ὁ θυμὸς ἢ τὸ θυμοειδές, ὅπερ καθ' ἑαυτὸ μὲν ἐπιλογισμοῦ τε ἐνδεές ἐστι καὶ εἰκῆ δρῶν φαίνεται, φύσει μέντοι ἐπίκουρόν τέ ἐστι τῷ λογιστικῷ καὶ ὑπήκοον αὐτῷ γίγνεται, ὁρμήν τε ἔχει ἔμφυτον πρὸς πάντα τὰ καλὰ καὶ τὰ ἀγαθὰ (Τίμαιον. σ. ο'.). λέγει δὲ ὁ θεῖος Πλάτων ἐν Τιμαίῳ περὶ τῶν αὐτῶν αὐταῖς λέξεσιν ὡς ἑφεξῆς (σ. ο'.)· «Καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς (τῆς ψυχῆς τῆς θνητῆς), τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι (οἱ θεοὶ) τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ τ' ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. τὴν δὲ δὴ καρδίαν ἀρχὴν ἅμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος, τοῦ λόγου παραγγείλαντος, ὥς τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων στενωπῶν πᾶν, ὅσον αἰσθητικὸν ἐν τῷ σώματι τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον καὶ ἕποιτο πάντῃ καὶ

τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῷ. Τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προςδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες, ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι, τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πῶμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥαστώνην ἐν τῷ καύματι παρέχοι. διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν οἷον ἅλμα μαλακὸν, ἵν' ὁ θυμὸς ἡνίκα ἐν αὐτῇ ἀκμάζοι, πηδῶσα εἰς ὑπεῖκον καὶ ἀναψυχομένη, πονοῦσα ἧττον, μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύναιτο ὑπηρετεῖν.» Διὸ καὶ ἐν Φαίδρῳ τὸν θυμὸν ἐπὶ τὸ μυθικώτερον ἵππον ποιεῖ γενναιότερον τὴν φύσιν τοῦ ἑτέρου τῆς ξυνωρίδος, ἐφ' ἧς γε ἡ ψυχὴ ἡ ἀθάνατος ἐποχουμένη ἐπὶ τὴν ὑπερουράνιον αἴγλην τῆς ἀληθείας ἐλαύνει. Οὗ γὰρ ἂν συμμαχίας δέῃ ἢ τινος ἄλλου ἔργου, ὁ θυμὸς τῷ λογιστικῷ ὑπουργῶν, πρὸς πάσας μὲν ἐπιθυμίας, πρὸς πάσας δὲ ἡδονὰς τὰς διὰ τοῦ σώματος γενναίως πάνυ καὶ καρτερικῶς ἀντιμάχεται, δι' ὅπερ καὶ παραβάλλει αὐτὸν ὁ Πλάτων ἔστι μὲν οὗ τῆς πολιτείας πρὸς κύνα ποιμενικὸν, ἔςι δ' οὗ καὶ πρὸς αὐτὸ τὸ τῶν φυλάκων τῆς καλλίστης τῶν πόλεων γένος (πολιτείας Δ, σ. υμ', Δ.). Τὸ δὲ φαυλότερον μέρος ψυχῆς τῆς ἀλόγου ἐπιθυμίαις τε σωματικαῖς καὶ πάθεσι παντοίοις συμπεφυρμένον ἐστὶν, ὑπὸ λύπης τε καὶ ἡδονῆς καὶ πάσης ἄλλης φλυαρίας κρατούμενον, πείνης, δίψους, ἔρωτος ἡσσώμενον καὶ τῶν τοιούτων ἀεὶ μετὰ πτοήσεως γλιχόμενον, ὃ δὴ καὶ

ἐπιθυμητικὸν ἢ φιλοχρήματον, ᾗ πέφυκεν ἕξεως ἔχειν, προςείρηται. Ἐπεκδιηγεῖται δὲ καὶ περὶ τούτου ὁ Πλάτων ἐν τῷ Τιμαίῳ, ὡς ἐφεξῆς· « τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴ πέρ τι μέλλοι τὸ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅ,τι πόῤῥωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτα ἐνταῦθ' ἔδοσαν αὐτῷ τὴν τάξιν. Εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵνα ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτὸ, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα ἀπειλῇ, κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ χολώδη χρώματα ἐμφαίνοι, ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ· λοβὸν δὲ καὶ δοχὰς πύλας τε τὰ μὲν ἐξ ὀρθοῦ κατακάμ-

πτουσα καὶ ξυσπῶσα, τὰ δὲ ἐμφράττουσα συγκλείουσά τε, λύπας καὶ ἄσας παρέχοι, καὶ ὅτ' αὖ τἀναντία φάσματα ἀποζωγραφοῖ πραότητός τις ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα τῷ μήτε κινεῖν μήτε προςάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ φύσεως ἐθέλειν, γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη καὶ πάντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών τε καὶ εὐήμερον ποιοῖ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένην καθ' ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ ξυνιστάντες ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέστελλε γένος ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν, ἵνα ἀληθείας πῃ προςάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον ». Ἕκαστον οὖν τῶν τριῶν τῆς ψυχῆς μερῶν οἰκείῳ τόπῳ τοῦ σώματος ὁ Πλάτων ἐνοικίζει. τῷ μὲν οὖν Λογιστικῷ ἕδραν ἀπονέμει ἐν τῇ κεφαλῇ, τῷ δὲ θυμοειδεῖ περὶ τῇ καρδίᾳ μεταξὺ τῶν φρενῶν τε καὶ τοῦ αὐχένος, τὸ δὲ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατοικίζει (Τίμαιον. σ. ξθ'—οα'.). Ὥςπερ οὖν οἱ ἰδίᾳ ἄνθρωποι τῶν τριῶν τούτων, ὡς ἂν ἡμεῖς γε φαῖμεν, δυνάμεων ἄλλοι ἄλλων ἄλλως μετέχουσιν, οὕτω καὶ ἔθνη ὁλόκληρα· καὶ διαφέρουσί γε ἀλλήλων τὸ ἦθος, καθ'ὅσον μᾶλλον ἢ ἧσσον τῆςδε ἢ τῆςδε αὐτῶν ἕκαςον μεταλαγχάνει. « Γελοῖον γὰρ ἂν εἴη (φησὶν ἐν τετάρτῳ τῆς πολιτείας), εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐγγεγονέναι, οἳ δὴ καὶ

ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θρᾴκην τε καὶ Σκυθικὴν καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον, ἢ τὸ φιλομαθὲς, ὃ δὴ περὶ τὸν παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον, ἢ τὸ φιλοχρήματον, ὃ περὶ τούς τε Φοίνικας εἶναι καὶ τοὺς κατὰ Αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα ». (ια).

Πᾶσαι δὲ αἱ ἐν σώμασι συνειργμέναι ψυχαὶ, τὴν ἀρχῆθεν αὐτῶν φύσιν τὴν ἁγνὴν ἀναλαμβάνουσιν, ἐπειδὰν πρότερον τῇ ἑαυτῶν ἐπιμελείᾳ τελέως τοῦ σωματοειδοῦς ἀπαλλαγῶσιν. Ἐν πολλοῖς δὲ τῶν διαλόγων τοῦ Πλάτωνος ἐν Φαίδρῳ (σ. σμθ'.), Γοργίᾳ (σ. φκγ'.), Φαίδωνι (ρθ'.) καὶ πολιτείας δεκάτῳ (χιγ') πολὺς γίγνεται λόγος καὶ περὶ δικαιωτηρίου τινὸς ἐν Ἅδου, ἔνθα τὰς τῶν τεθνεώτων ψυχὰς ἀφικνουμένας δικάζεσθαι, καὶ ταῖς μὲν δικαίως καὶ ὁσίως τὸν βίον διελθούσαις ἀμοιβὴν εἶναι τὴν πρέπουσαν, ταῖς δ' αὖ κακῶς τε καὶ ἀνοσίως ἀνάγκην εἰς ἄλλα αὖθις σώματα καθείργνυσθαι παντοίαις τε πλάναις καὶ τιμωρίαις καθαίρεσθαι. Ἄξιον δ' ἡγοῦμαι μεταγράψαι ἐνταῦθα τὸ χωρίον ἐκ τοῦ δεκάτου τῆς Πολιτείας, ἐν ᾧ κάλλιστα καὶ θαυμασιώτατα ὁ μεγαλοπρεπὴς οὗτος μῦθος ἐκτίθεται.

« Ἃ μὲν τοίνυν, ἦν δ' ἐγὼ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλλ', ἔφη, καλά τε καὶ βέβαια. Ταῦτα τοίνυν, ἦν δ' ἐγὼ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα ἑκάτερον πε-

(ια) σ. υλε', Ε. φιλοχρήματον δὲ λέγει ἐνταῦθα ὡς τὸ δι' οὗ θεραπεύεται τὸ ἐπιθυμητικόν.

ριμένει. Χρὴ δ' αὐτὰ ἀκοῦσαι, ἵνα τελέως ἑκάτερος αὐτῶν ἀπειλήφῃ τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι. Λέγοις ἄν, ἔφη, ὡς οὐ πολλὰ ἄλλ' ἥδιον ἀκούοντι. Ἀλλ' οὐ μέντοι σοι, ἦν δ' ἐγὼ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρὸς, Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου· ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη, κομισθεὶς δ' οἴκαδε μέλλων θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω, ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι. Ἔφη δὲ, ἐπειδὴ οὗ ἐκβῆναι τὴν ψυχὴν, πορεύεσθαι μετὰ πολλῶν καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύ' εἶναι χάσματε ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα καταντικρύ· δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὓς, ἐπειδὴ διαδικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν ἔπραξαν. ἑαυτοῦ δὲ προςελθόντος εἰπεῖν, ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ καὶ διακελεύοιντο οἱ ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ. ὁρᾷν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχὰς, ἐπειδὴ αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἑτέρω ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς. καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥςπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν, καὶ ἀσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνᾶσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλή-

λας ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ᾽ ἐκείναις. διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ κλαούσας, ἀναμιμνησκομένας, ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλιετῆ), τὰς δ᾽ αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θέας ἀμηχάνους τὸ κάλλος. τὰ μὲν οὖν πολλά, ὦ Γλαύκων, πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ᾽ οὖν κεφάλαιον ἔφη τόδε εἶναι, ὅσα πώποτέ τινα ἠδίκησαν καὶ ὅσους ἕκαστοι, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις (τοῦτο δ᾽ εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου), ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἵτινες πολλῶν θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες ἢ στρατόπεδα καὶ εἰς δουλείας ἐμβεβληκότες ἤ τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας ἀλγηδόνας ὑπὲρ ἑκάστου κομίσαιντο, καὶ αὖ εἴ τινας εὐεργεσίας εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταὐτὰ τὴν ἀξίαν κομίζοιντο. τῶν δὲ εὐθὺς γενομένων καὶ ὀλίγον χρόνον βιούντων πέρι ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας καὶ γονέας καὶ αὐτόχειρας φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο. ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου, ὅπου εἴη Ἀρδιαῖος ὁ μέγας. ὁ δὲ Ἀρδιαῖος οὗτος τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον, γέροντά τε πατέρα ἀποκτείνας καὶ πρεσβύτερον ἀδελφόν, καὶ ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν, Οὐχ ἥκει, φάναι, οὐδ᾽ ἂν ἥξοι

δεῦρο. ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων· οὓς οἰομένους ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο, ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροῖ ἀνιέναι. ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι, διάπυροι ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν διαλαβόντες ἦγον, τὸν δὲ Ἀρδιαῖον καὶ ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλὴν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάπτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τε ταῦτα ὑπομένοιεν καὶ ὅτι εἰς τὸν Τάρταρον ἐμπεσούμενοι ἄγοιντο. ἔνθα δὴ φόβων, ἔφη, πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων τοῦτον ὑπερβάλλειν τὸν φόβον, μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα, ὅτε ἀναβαίνοι, καὶ ἀσμενέστατα ἕκαστον, σιγήσαντος, ἀναβῆναι. καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμωρίας τοιαύτας τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύταις ἀντιστρόφους. ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντο, ἀναστάντας ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ πορεύεσθαι, καὶ ἀφικνεῖσθαι τεταρταίους, ὅθεν καθορᾷν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθὺ, οἷον κίονα, μάλιστα τῇ ἴριδι προςφερῆ, λαμπρότερον δὲ καὶ καθαρώτερον, εἰς ὃ ἀφικέσθαι προελθόντας ἡμερησίαν ὁδὸν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα αὐτοῦ τῶν δεσμῶν τεταμένα· εἶναι γὰρ τοῦτο τὸ φῶς ξύνδεσμον τοῦ οὐρανοῦ,

οἷον τὰ ὑποζώματα τῶν τριήρων, οὕτω πᾶσαν ξυνέχον τὴν περιφοράν. (1) ἐκ δὲ τῶν ἄκρων τεταμένον Ἀνάγκης

(1) Παραπλησίως δὲ καὶ ὁ φρικτότατος Δάντης ὁ Ἀλιγέριος ὁ τὸ χριστιανικὸν ἦθος τῆς νέας ἀνθρωπότητος ἀπὸ τοῦ γενεθλίου ζόφου τῶν μέσων αἰώνων εἰς φῶς ἡλίου τελεσιουργήσας οὕτως, ὥςπερ ὁ θεῖος Πλάτων τὸ τῆς Ἑλλάδος δαιμόνιον ἤ, ὡς ἄντις δικαιότερον εἴποι, τὸν πολυσχιδῆ ἑλληνισμὸν εἰς θεσπεσίαν ἑνότητα καὶ ἁρμονίαν ἐκορύφωσε, καὶ ὁ Δάντης, λέγω, πρὸς τῇ ἐφ' ἑαυτοῦ ὑπαρχούσῃ πείρᾳ καὶ μαθήσει περὶ τοῦ συστήματος τοῦ κόσμου καὶ ἄλλαις γνώσεσιν ἀστρονομικαῖς εἰς τὴν ἱερὰν καὶ τραγικὴν μυθοποιΐαν προςεχρήσατο, τὰς μὲν ἀκοῇ δι' Ἀράβων ἴσως ἢ διὰ Μάρκου Πόλου τοῦ Ἑνετοῦ ἐμμέσως ἔχων, περὶ τοῦ δαιμονίᾳ αἴγλῃ ἀστράπτοντος ἀστερισμοῦ τῶν τεσσάρων ἀστέρων δίκην σταυροῦ μαρμαίροντος ἐν τῷ σμαραγδίνῳ οὐρανῷ τοῦ νοτίου ἡμισφαιρίου, τὰς δὲ καὶ ἐπινοίᾳ θαυμασίως ἀλληγορήσας. Ὁ δ' οὖν Πλάτων ᾧ μόνον τὸν Δάντην ὡς κατὰ Πλατωνικὴν γνώμην ποιητὴν ὄντα ἡμεῖς γε παραβάλλομεν (α), «ἄνωθεν διὰ παντὸς τοῦ ο ὐ ρ α ν ο ῦ κ α ὶ γ ῆ ς τ ε τ α μ έ ν ο ν φ ῶ ς ε ὐ θ ὺ — ξ ύ ν δ ε σ μ ο ν τ ο ῦ ο ὐ ρ α ν ο ῦ λέγων, οὐθὲν ἄλλο νοεῖ ἢ τὸν αἰγλήεντα κύκλον τ ὸ ν γ α λ α ξ ί α ν. Ἀριστοτέλης δὲ ἐν τῷ πρώτῳ τῶν μετεωρολογικῶν (κεφ. η'.) τούτου γε πέρι τοῦ φαεινοῦ κύκλου γνώμας τῶν παλαιτέρων τρεῖς οὔσας εἰςφέρει, πάσας ἀποδοκιμάζων καὶ τὴν

(α) Ὁ δὲ σοφὸς Κουσῖνος ἐνορᾷ τῇ εἰκόνι τοῦ Ἅιδου, οἵαν ὁ θεῖος Πλάτων ἐν Φαίδωνι παγκάλως ζωγραφεῖ τὴν πρώτην ἰ δ έ α ν ὑποκειμένην τοῦ Ἅιδου τοῦ Δαντείου. αὕτη δὲ ἡ εἰκασία ἀρέσκει καὶ τῷ πάντ' ἀξιαγάστῳ Μαρτίνῳ. ἄλλο μέντοι παράδειγμα ταπεινότερον τοῦ Δαντείου Ἅιδου ὁ Οὐϊλλεμαῖνος εἰς φῶς ἐκφέρει, ἡμεῖς δὲ ἄμφω ταῦτα (πρὸς δὲ τούτοις καὶ ἄλλα), ὡς τὸ ἐνδόσιμον τῷ Δάντῃ παρασχεῖν τοπάζομεν, ἀλλὰ μᾶλλον ὅπερ ὁ σοφὸς Οὐϊλλεμαῖνος ὑποδείκνυσιν, ὡς πολλῷ ἐγγυτέρω τῷ Δάντῃ τροφῇ τε καὶ παιδείᾳ γενόμενον.

ἄτρακτον, δι' οὗ πάσας ἐπιστρέφεσθαι τὰς περιφοράς· οὗ τὴν μὲν ἠλακάτην τε καὶ τὸ ἄγκιστρον εἶναι ἐξ ἀδά-

ἑαυτοῦ ἀντ' ἐκείνων εἰςάγων τετάρτην οὕτως· «τῶν μὲν οὖν καλουμένων Πυθαγορείων φασί τινες ὁδὸν εἶναι ταύτην οἱ μὲν τῶν ἐκπεσόντων τινὸς ἄστρων, κατὰ τὴν λεγομένην ἐπὶ Φαέθοντος φθοράν, οἱ δὲ τὸν ἥλιον τοῦτον τὸν κύκλον φέρεσθαί ποτέ φασιν. οἷον οὖν διακεκαῦσθαι τὸν τόπον τοῦτον ἤ τι τοιοῦτον ἄλλο πεπονθέναι πάθος ὑπὸ τῆς φορᾶς αὐτοῦ.—Οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον φῶς εἶναι τὸ γάλα λέγουσιν ἄστρων τινῶν· τὸν γὰρ ἥλιον ὑπὸ τὴν γῆν φερόμενον οὐχ ὁρᾶν ἔνια τῶν ἄστρων — ὅσοις δ' ἀντιφράττει ἡ γῆ ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου, τὸ τούτων οἰκεῖον φῶς φασὶν εἶναι τὸ γάλα. — Ἔτι δ' ἐστὶ τρίτη τις ὑπόληψις περὶ αὐτοῦ· λέγουσι γάρ τινες ἀνάκλασιν εἶναι τὸ γάλα τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον, ὥςπερ καὶ τὸν ἀστέρα τὸν κομήτην. — σχεδὸν δὲ ταῦτ' ἐστὶ τά γε μέχρι τοῦ νῦν παραδεδομένα παρὰ τῶν ἄλλων. ἡμεῖς δὲ λέγωμεν ἀναλαβόντες τὴν ὑποκειμένην ἀρχὴν ἡμῖν. εἴρηται γὰρ πρότερον ὅτι τὸ ἔσχατον τοῦ λεγομένου ἀέρος δύναμιν ἔχει πυρὸς, ὥστε τῇ κινήσει διακρινομένου τοῦ ἀέρος ἀποκρίνεσθαι τοιαύτην σύστασιν, οἵαν καὶ τοὺς κομήτας ἀστέρας εἶναί φαμεν. τοιοῦτον δὴ δεῖ νοῆσαι τὸ γιγνόμενον, ὅπερ ἐπ' ἐκείνων, ὅταν μὴ αὐτὴ καθ' αὑτὴν γένηται ἡ τοιαύτη ἔκκρισις, ἀλλ' ὑπό τινος τῶν ἄστρων ἢ τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων· τότε γὰρ οὗτοι φαίνονται κομῆται διὰ τὸ παρακολουθεῖν αὐτῶν τῇ φορᾷ — τὴν τοιαύτην σύγκρισιν — ὃ δὴ καθ' ἕνα συμβαίνει τῶν ἀστέρων, τοῦτο δεῖ λαβεῖν γιγνόμενον περὶ ὅλον τὸν οὐρανὸν καὶ τὴν ἄνω φορὰν ἅπασαν· εὔλογον γάρ, εἴπερ ἡ ἑνὸς ἄστρου κίνησις, καὶ τὴν τῶν ἁπάντων ποιεῖν τι τοιοῦτον καὶ ἐκριπίζειν. — ὥστ' εἴπερ καὶ περὶ τοῦ φαίνεσθαι κομήτας ἀποδεχόμεθα τὴν αἰτίαν ὡς εἰρημένην μετρίως, καὶ περὶ τοῦ γάλακτος τὸν αὐτὸν ὑποληπτέον τρόπον ἔχειν·

μαντος (2), τόν δὲ σφόνδυλον μικτὸν ἔκ τε τούτου καὶ ἄλλων γενῶν. τὴν δὲ τοῦ σφονδύλου φύσιν εἶναι τοιάνδε· τὸ μὲν σχῆμα οἵα περ ἡ τοῦ ἐνθάδε· νοῆσαι δὲ δεῖ

ὃ γὰρ ἐκεῖ περὶ ἕνα ἐστὶ πάθος ἡ κόμη, τοῦτο περὶ κύκλον τινὰ συμβαίνει γίγνεσθαι τὸ αὐτὸ, καὶ ἔστι τὸ γάλα, ὡς εἰπεῖν οἷον ὁριζόμενον, ἡ τοῦ μεγίστου διὰ τὴν ἔκκρισιν κύκλου κόμη — πρὸς δὲ τούτοις ἄστρων ὁ τόπος πλήρης ἐστὶ τῶν τε μεγίστων καὶ λαμπροτάτων, καὶ ἔτι τῶν σποράδων καλουμένων (τοῦτο δ' ἐστὶ καὶ τοῖς ὄμμασιν ἰδεῖν φανερὸν), ὥστε διὰ ταῦτα συνεχῶς καὶ ἀεὶ ταύτην πᾶσαν ἀθροίζεσθαι τὴν σύγκρισιν.» Ὁ δὲ θεῖος Πλάτων τὸν γαλαξίαν κύκλον ἐν τῇ ὑψίστῃ ἀψῖδι τοῦ τῶν ἀπλανῶν ἀστέρων χώρου τίθησι, κύκλον πυρὸς καὶ φωτὸς περὶ τὸν οὐρανὸν φερόμενον. τὸ γὰρ πῦρ φησι τὸ ἄπλετον ὁ Πλάτων καὶ τὸ φῶς πάντα τὸν οὐρανὸν ἐπιλαμβάνειν ἀπὸ τοῦ ἐσχάτου κύκλου τῶν ἀπλανῶν ἀστέρων καὶ διὰ πάντων τῶν ἑπτὰ κύκλων τῶν πλανητῶν διῆκον μέχρι τοῦ τελευταίου πλανήτου, τῆς σελήνης· μετὰ δὲ τὸ πῦρ, ὑπὸ τῇ σελήνῃ τὸν αἰθέρα ἄρχεσθαί φησι, τὸ τοῦ ἀέρος λεπτοφυέστατον· τὸν δ' ἀέρα ὑπὸ τὸν αἰθέρα αἰωρεῖσθαι μέχρι τῆς γῆς ἱκνούμενον· ἀλλ' ἀμοιβαδόν δοξάζει τό τε πῦρ μέχρι τῶν σπλάγχνων τῆς γῆς εἰσδύειν καὶ τὸν αἰθέρα διὰ τοῦ πυρὸς εἰς τὰ ἄνω ἀνίπτασθαι. τὸ δὲ γνήσιον καὶ ἄπλετον πῦρ καὶ τὸ φῶς ἐν τοῖς ὑψηλοτέροις τόποις τοῦ οὐρανοῦ κεχωρηκέναι, καθ' ὅσον καὶ αὐτὸ τὸ σῶμα τῶν ἀστέρων ἐκ πυρὸς κυρίως συνεστάναι ὁ Πλάτων λέγει.

(2) Ἀδάμαντα ὁ Πλάτων οὐ τὸν παρ' ἡμῖν ἄνθρακα νοεῖ τὸν πολυλαμπῆ· καὶ πάντες δὲ οἱ πρότερον γενόμενοι τοῦ Θεοφράστου ἀδάμαντα μέταλλον ἐκάλουν ἢ χάλυβα ἢ χαλκόν· τὴν δὲ πολυτίμητον λίθον ἀδάμαντα οἵαν γε τὴν παρ' ἡμῖν πρῶτος Θεόφραστος ἀποκαλεῖ. ὁ δὲ Πλάτων ἄλλο τι εἶδος νοεῖ μετάλλου σκληροτάτου καὶ μέλανος, συγγενοῦς δὲ καὶ συμ-

ἐξ ὧν ἔλεγε τοιόνδε αὐτὸν εἶναι, ὥςπερ ἂν εἰ ἐν ἑνὶ μεγάλῳ σφονδύλῳ κοίλῳ καὶ ἐξεγλυμμένῳ διαμπερὲς ἄλλος τοιοῦτος ἐλάττων ἐγκέοιτο ἁρμόττων, καθάπερ οἱ κάδοι οἱ εἰς ἀλλήλους ἁρμόττοντες· καὶ οὕτω δὴ τρίτον ἄλλον καὶ τέταρτον καὶ ἄλλους τέτταρας. ὀκτὼ γὰρ εἶναι τοὺς ξύμπαντας σφονδύλους, ἐν ἀλλήλοις ἐγκειμένους, κύκλους ἄνωθεν τὰ χείλη φαίνοντας, νῶτον συνεχὲς ἑνὸς σφονδύλου ἀπεργαζομένους περὶ τὴν ἠλακάτην· ἐκείνην δὲ διὰ μέσου τοῦ ὀγδόου διαμπερὲς ἐληλάσθαι. (3) τὸν μὲν οὖν πρῶτόν τε καὶ ἐξωτάτω σφόνδυλον πλατύτατον τὸν τοῦ χείλους κύκλον ἔχειν, τὸν δὲ τοῦ ἕκτου δεύτερον, τρίτον δὲ τὸν τοῦ τετάρτου, τέταρτον δὲ τὸν τὸν ὀγδόου, πέμπτον δὲ τὸν τοῦ ἑβδόμου, ἕκτον δὲ τὸν τοῦ πέμπτου, ἕβδομον δὲ τὸν τοῦ τρίτου, ὄγδοον δὲ τὸν τοῦ δευτέρου. καὶ τὸν μὲν τοῦ μεγίστου (τῶν ἀπλανῶν ἀστέρων) ποικίλον, τὸν δὲ τοῦ ἑβδόμου (τοῦ ἡλίου) λαμπρότατον, τὸν δὲ τοῦ ὀγδόου

μεμιγμένου φύσει τῷ χρυσῷ, ὡς ἔν τε τῷ Τιμαίῳ (σ. νθ΄.) δηλοῖ λέγων, «χρυσοῦ ὄζος διὰ πυκνότητα σκληρότατον ὂν καὶ μαλανθὲν, ἀδάμας ἐκλήθη"» καὶ ἐν τῷ πολιτικῷ (σ. τγ΄.), «τὰ ξυγγενῆ τοῦ χρυσοῦ τίμια καὶ πυρὶ μόνον ἀφαιρετὰ, χαλκὸς καὶ ἄργυρος, ἔστι δ' ὅτε καὶ ἀδάμας.» [τὸν δὲ διὰ καλλίτεχνον λειότητα καὶ πολυαύγειαν brillant καλούμενον αἰγλήεντα ἡμῖν ἀρέσκει ἀποκαλεῖν.]

(3) Οἱ ὀκτὼ σφόνδυλοι οἱ εἰς ἀλλήλους ἁρμόζοντες εἰσὶν οἱ ὀκτὼ οὐράνιοι κύκλοι οἱ ὁμόκεντροι, ἑπτὰ μὲν τῶν πλανητῶν, ὄγδοος δὲ ὁ τῶν ἀπλανῶν ἀστέρων. διὰ δὲ τούτων ἁπάντων ὁ τῆς Ἀνάγκης ἢ ὁ τῶν Μοιρῶν ἄτρακτος διαμπερὲς ἥκει, τουτέστιν ὁ ἄξων τοῦ κόσμου μέχρι τῆς γῆς ἐν τῷ μέσῳ μενούσης ἱκνούμενος.

(τῆς σελήνης) τὸ χρῶμα ἀπὸ τοῦ ἑβδόμου ἔχειν προςλάμποντος, τὸν δὲ τοῦ δευτέρου (τοῦ Κρόνου) καὶ πέμπτου (τοῦ Ἑρμοῦ) παραπλήσια ἀλλήλοις, ξανθότερα ἐκείνων (τοῦ ἡλίου καὶ τῆς σελήνης), τρίτον δὲ (τοῦ Διὸς) λευκότατον χρῶμα ἔχειν, τέταρτον δὲ (τοῦ Ἄρεως) ὑπέρυθρον, δεύτερον δὲ (τοῦ Κρόνου) λευκότητι τὸν ἕκτον (τῆς Ἀφροδίτης) ὑπερβάλλειν. (4) κυκλεῖσθαι δὲ δὴ στρεφόμενον τὸν ἄτρακτον ὅλον μὲν τὴν αὐτὴν φο-

(4) Εἴ τις τοὺς ἑπτὰ πλανήτας, ἀπὸ τῆς γῆς (ὡς ἐν Τιμαίῳ καὶ αὐτὸς ὁ Πλάτων) ὁρμώμενος, βούλοιτο ἀριθμῆσαι, οὑτωσὶ αὐτοὺς διατάσσοντα τὸν Πλάτωνα εὑρήσει· Σελήνην, Ἥλιον τε καὶ Ἀφροδίτην καὶ Ἑρμῆν, (*) εἶτα Ἄρη, Δία, Κρόνον. Εἴησαν δ' ἂν καὶ αἱ ἀποστάσεις τῶν πλανητῶν ἀπὸ τῆς γῆς, μονάδι τῆς ἀποστάσεως τῆς σελήνης σημανθείσης, ἡ μὲν τοῦ ἡλίου δυεῖν λελογισμένη, ἡ δὲ τῆς Ἀφροδίτης ἴση τρισὶν, τέσσαρσιν ἡ τοῦ Ἑρμοῦ μονάσιν, ἡ δὲ τοῦ Ἄρεως ὀκτώ, τοῦ Διὸς ἐννέα καὶ ἡ τοῦ Κρόνου ἑπτὰ καὶ εἴκοσι, τῆς γῆς κέντρου κοινοῦ πᾶσι τοῖς πλανήταις μενούσης. Τούτους δὴ τοὺς πλανήτας τοὺς ἑπτὰ, κύκλους φησὶν ὁ Πλάτων πέριξ τῆς γῆς γράφειν, ὧν ἑκάστῳ τὴν τοῦ γράφοντος πλανήτου χρόαν προςνέμει, ὡςὰν τῆς φορᾶς αὐτῶν οἷον ῥοῆς κατὰ τὸ συνεχὲς χρυσανθοῦς οὔσης. τῷ μὲν οὖν ἐσχάτῳ, τῷ τῶν ἀπλανῶν ἀστέρων κύκλῳ, ἀπὸ πρώτου αὐτοῦ ἀρχόμενος, χρόαν ποικίλην προςνέμει κατὰ τὰς μυριανθεῖς τῶν ἀστέ-

(*) Ὁ πολὺς ὅμιλος ὁ ἐν Ἑλλάδι καὶ οἱ νομεῖς ἄλλον μὲν πλανήτην ἡγοῦντο εἶναι τὴν Ἀφροδίτην ἢ τὸν ἕσπερον, ἄλλον δὲ τὸν φωσφόρον ἢ τὸν ἑωςφόρον· ὁ δὲ συγγραφεὺς τῆς ἐπινομίδος καὶ ὁ Τιμαίου τοῦ Λοκροῦ τὸν αὐτὸν εἶναι ἑωςφόρον τε καὶ ἕσπερόν φασιν, ὄνομα τοῦ ἀνακαλύψαντος οὐθὲν ὀνομάζοντες· διὸ ἄλλοι μὲν τοῖς Αἰγυπτίοις τὴν ἀνακάλυψιν ἀναγράφουσιν, ἄλλοι δὲ τῷ Πυθαγόρᾳ καὶ ἄλλοι τῷ Παρμενίδῃ.

ρὰν, ἐν δὲ τῷ ὅλῳ περιφερομένῳ τοὺς μὲν ἐντὸς ἑπτὰ κύκλους τὴν ἐναντίαν τῷ ὅλῳ ἠρέμα περιφέρεσθαι, (5) αὐτῶν δὲ τούτων τάχιστα μὲν ἰέναι τὸν ὄγδοον, δευτέρους δὲ καὶ ἅμα ἀλλήλοις τόν τε ἕβδομον καὶ ἕκτον καὶ πέμπτον· τὸν τρίτον δὲ φορᾷ ἰέναι, ὡς σφίσι φαίνεσθαι ἐπανακυκλούμενον τὸν τέταρτον· τέταρτον δὲ τὸν τρίτον καὶ πέμπτον τὸν δεύτερον (6)· ϛρέ-

ρων μαρμαρυγὰς, μάλιστα δὲ τῶν δίκην γάλακτος φαεινοῦ κύκλῳ τοῦ κόσμου κεχυμένων. Σὺ δέ γε διὰ μνήμης ἔχων τὴν τῶν πλανητῶν τάξιν, ὡς ἄρτι εἴρηται, πρὸς δὲ τούτοις ὅτι ὁ Πλάτων ἀπὸ τοῦ ἐσχάτου τοῦ τῶν ἀπλανῶν ἀστέρων κύκλου ὡς ἀπὸ πρώτου ἄρχεται ἀριθμεῖν, ἔπιθι τὰς χρόας αὐτῶν ἑκάστων ὡς ἐν τῷ κειμένῳ ἄνω ἔχουσιν.

(5) Ὁ ἄτρακτος ὅλος ὁ τῶν Μοιρῶν ἐστὶν, ὡς εἴρηται, ὁ οὐρανὸς κύκλησιν τὴν ἐν ἑαυτῷ ἔχων ἀπ᾿ ἀνατολῶν πρὸς δυσμὰς, τὴν ἡμερησίαν· οἱ δ᾿ ἄλλοι κύκλοι οἱ ἑπτὰ πρὸς τῇ ἡμερησίᾳ ἔχουσι καὶ φορὰν τὴν ἐναντίαν, τοῖς πλανήταις ἰδίαν, ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς περιτελλομένην.

(6) «Δευτέρους δὲ καὶ ἅμα ἀλλήλοις τόν τε ἕβδομον καὶ ἕκτον καὶ πέμπτον». δευτέρους τὴν ταχυτῆτα λέγει τὸν ἥλιον, τὴν Ἀφροδίτην καὶ τὸν Ἑρμῆν καὶ ἅμα ἀλλήλοις ἤτοι ἐγγὺς ἀλλήλων ὡς ἐν συστήματι ἰδίῳ ἰόντας. καὶ γὰρ ἀμφότεροι οὗτοι οἱ πλανῆται, τό γε ἀληθὲς, ἐσωτερικοὶ ἤτοι μεταξὺ τῆς τροχιᾶς τῆς γῆς καὶ τοῦ ἡλίου, θᾶσσον δ᾿ ἡμῶν τοὺς ἑαυτῶν κύκλους περὶ τὸν ἥλιον ἐπιτελοῦντες, ὁτὲ μὲν τοῦ ἡλίου ἡγούμενοι φαίνονται, ἄλλοτε δὲ ἀπολειπόμενοι, οὐ πόῤῥω πάνυ αὐτοῦ ἀφεστῶτες καὶ οἱονεὶ τὸν ἥλιον δορυφοροῦντες. ταῦτα δὴ τὰ φαινόμενα ὁ Πλάτων διασαφῆσαι ἐγχειρεῖ λέγων ὅτι ὁ ἥλιος, ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ἅμα ἀλλήλοις κύκλῳ περὶ τὴν γῆν στρέφονται, ἀλλ᾿ ἐν τῷ Τιμαίῳ λέγει ὡς ἡ Ἀφροδίτη καὶ ὁ

φεσθαι δὲ αὐτὸν ἐν τοῖς τῆς Ἀνάγκης γόνασιν. ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν, ἕνα τόνον· ἐκ πασῶν δὲ ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν. (7)

Ἑρμῆς τὴν ἐναντίαν τῷ ἡλίῳ καὶ τοῖς ἄλλοις πλανήταις εἰλήχασι δύναμιν ἤτοι κινήσεως ἀρχήν. ὥστε τῶν λοιπῶν πέντε πλανητῶν ἐκ δυσμῶν πρὸς ἀνατολὰς τὴν κύκλησιν ἐπιτελούντων, ἄμφω τούτω τὴν τῶν ἀπλανῶν ἀστέρων φορὰν εἰλήχασιν.

(7) Αἱ δὲ Σειρῆνες ὧν ἑκάστη ἐπ' αὐτοῦ τοῦ χείλους ἄνωθεν τῶν κύκλων ἑκάστου καθημένη, τὴν αὐτὴν ἀεὶ φωνὴν ἐπηχεῖ, τὴν πολυθρύλλητον τοῦ κόσμου ἁρμονίαν πᾶσαι ὁμοῦ συνᾴδουσιν, οἵαν περ καὶ οἱ περὶ τὸν Πυθαγόραν ἐδόξασαν ὑπάρχειν. ᾤοντο γὰρ ἀναλογίαν τινὰ πάντως εἶναι τῆς ἐναρμονίου τοῦ παντὸς διακοσμήσεως πρὸς τὴν παρ' ἑαυτοῖς ἐν χρήσει οὖσαν κλίμακα τὴν μουσικήν. τάς τε ἀποστάσεις τῶν οὐρανίων σωμάτων παραπλήσιον λόγον καὶ δύναμιν ἔχειν πρὸς τὰ διαστήματα τὰ μουσικά. ἔοικε δὲ καὶ Πλάτων ὥςπεροῦν καὶ οἱ Πυθαγόρειοι ὑπολαμβάνειν ὅτι καθ' ὅσον ἀπωτέρω οἱ κύκλοι τοῦ κέντρου τοῦ κοσμικοῦ ἀφίστανται ἤτοι τῆς γῆς μὲν κατὰ Πλάτωνα, τῆς δὲ ἑστίας τοῦ κεντρικοῦ πυρὸς κατὰ τοὺς Πυθαγορείους, κατὰ τοσοῦτον καὶ ὀξυτέραν φωνὴν ἀπηχοῦσιν, ὥστε τὴν ὀξυτάτην τῶν φωνῶν τὸν κύκλον τῶν ἀπλανῶν ἀστέρων ἀποτελεῖν τῆς ὅλης ἁρμονίας. παραπλησίως μὲν οὖν φησι καὶ ὁ συγγραφεὺς τῆς ψευδωνύμως τῷ Ἀριστοτέλει ἀποδιδομένης πραγματείας περὶ τοῦ κόσμου, (κεφ. ς'.) ὧδε λέγων· «Μία δὲ ἐκ πάντων (τῶν ἄστρων) ἁρμονία συνᾳδόντων καὶ χορευόντων κατὰ τὸν οὐρανὸν ἐξ ἑνός τε γίνεται καὶ εἰς ἓν ἀπολήγει, κόσμον ἐτύμως τὸ σύμπαν, ἀλλ' οὐκ ἀκοσμίαν ὀνομάσασα. καθάπερ δὲ ἐν χορῷ κορυφαίου κατάρξαντος συνεπηχεῖ πᾶς ὁ χορὸς ἀνδρῶν, ἔσθ' ὅτε καὶ γυναικῶν, ἐν διαφόροις φωναῖς ὀξυτέραις καὶ βαρυτέραις μίαν ἁρμονίαν ἐμμελῆ κεραν-

ἄλλας δὲ καθημένας πέριξ δι' ἴσου τρεῖς, ἐν θρόνῳ ἑκάστην, θυγατέρας τῆς Ἀνάγκης, Μοίρας λευχειμονούσας, στέμματα ἐπὶ τῶν κεφαλῶν ἐχούσας, Λάχεσίν τε καὶ

νύντων, οὕτως ἔχει καὶ ἐπὶ τοῦ τὸ σύμπαν διέποντος θεοῦ· κατὰ γὰρ τὸ ἄνωθεν ἐνδόσιμον ὑπὸ τοῦ φερωνύμως ἂν κορυφαίου προσαγορευθέντος κινεῖται μὲν τὰ ἄστρα ἀεὶ καὶ ὁ σύμπας οὐρανός.» — Α ὐ τ ὸ ς δὲ ὁ Ἀριστοτέλης ταύτην τὴν δόξαν, μέχρι τῆς δεκάτης ἑβδόμης ἑκατονταετηρίδος μετὰ Χριστὸν ἰσχύσασαν, ἐξελέγχει ἤδη ὡς ἄτοπον, εἰ καὶ ἀτελῶς, δι' ἣν καὶ αὐτὸς τότε ἀτελῆ ἐπιστήμην περὶ τοῦ κόσμου εἶχεν, οὑτωσὶ ἐν τῷ περὶ οὐρανοῦ (Β, κεφ. Θ'.) ἀποφαινόμενος· «Φανερὸν δ' ἐκ τούτων ὅτι καὶ τὸ φάναι γίγνεσθαι φερομένων ἁρμονίαν, ὡς συμφώνων γινομένων τῶν ψόφων, κομψῶς μὲν εἴρηται καὶ περιττῶς ὑπὸ τῶν εἰπόντων, οὐ μὴν οὕτως ἔχει τἀληθές. — Ὅσα μὲν γὰρ αὐτὰ φέρεται, ποιεῖ ψόφον καὶ πληγήν· ὅσα δ' ἐν φερομένῳ ἐνδέδεται ἢ ἐνυπάρχει, καθάπερ ἐν τῷ πλοίῳ τὰ μόρια, οὐχ οἷόν τε ψοφεῖν, οὐδ' αὖ τὸ πλοῖον, εἰ φέροιτο ἐν ποταμῷ. καίτοι τοὺς αὐτοὺς λόγους ἂν ἐξείη λέγειν, ὡς ἄτοπον εἰ μὴ φερόμενος ὁ ἱστὸς καὶ ἡ πρύμνα ποιεῖ ψόφον πολὺν τηλικαύτης νεώς, ἢ πάλιν αὐτὸ τὸ πλοῖον κινούμενον. τὸ δ' ἐν μὴ φερομένῳ φερόμενον ποιεῖ ψόφον· ἐν φερομένῳ δὲ συνεχὲς καὶ μὴ ποιοῦντι πληγὴν ἀδύνατον ψοφεῖν. ὥστ' ἐνταῦθα λεκτέον ὡς εἴπερ ἐφέρετο τὰ σώματα τούτων εἴτ' ἐν ἀέρος πλήθει κεχυμένῳ κατὰ τὸ πᾶν εἴτε πυρός, ὥσπερ πάντες φασίν, ἀναγκαῖον ποιεῖν ὑπερφυᾶ τῷ μεγέθει τὸν ψόφον, τούτου δὲ γινομένου καὶ δεῦρ' ἀφικνεῖσθαι καὶ διακναίειν. ὥστ' ἐπείπερ οὐ φαίνεται τοῦτο συμβαῖνον, οὔτ' ἂν ἔμψυχον οὔτε βίαιον φέροιτο φορὰν οὐθὲν αὐτῶν, ὥσπερ τὸ μέλλον ἔσεσθαι προνοούσης τῆς φύσεως, ὅτι μὴ τοῦτον τὸν τρόπον ἐχούσης τῆς κινήσεως οὐθὲν ἂν ἦν τῶν περὶ τὸν δεῦρο τόπον ὁμοίως ἔχον. ὅτι μὲν οὖν σφαιροειδῆ τὰ ἄστρα καὶ ὅτι οὐ κινεῖται δι' αὑτῶν, εἴρηται.»

Κλωθὼ καὶ Ἄτροπον, ὑμνεῖν πρὸς τὴν τῶν Σειρήνων ἁρμονίαν, Λάχεσιν μὲν τὰ γεγονότα, Κλωθὼ δὲ τὰ ὄντα, Ἄτροπον δὲ τὰ μέλλοντα. καὶ τὴν μὲν Κλωθὼ τῇ δεξιᾷ χειρὶ ἐφαπτομένην συνεπιστρέφειν τοῦ ἀτράκτου τὴν ἔξω περιφοράν, διαλείπουσαν χρόνον, τὴν δὲ Ἄτροπον τῇ ἀριστερᾷ τὰς ἐντὸς αὖ ὡσαύτως· τὴν δὲ Λάχεσιν ἐν μέρει ἑκατέρας ἑκατέρᾳ τῇ χειρὶ ἐφάπτεσθαι. Σφᾶς οὖν, ἐπειδὴ ἀφικέσθαι, εὐθὺς δεῖν ἰέναι πρὸς τὴν Λάχεσιν. προφήτην οὖν τινα σφᾶς πρῶτον μὲν ἐν τάξει διαστῆσαι, ἔπειτα λαβόντα ἐκ τῶν τῆς Λαχέσεως γονάτων κλήρους τε καὶ βίων παραδείγματα, ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν εἰπεῖν. Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγος. Ψυχαὶ ἐφήμεροι, ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου. οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. πρῶτος δ' ὁ λαχὼν πρῶτος αἱρείσθω βίον, ᾧ συνέσται ἐξ ἀνάγκης. ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου· θεὸς ἀναίτιος. Ταῦτα εἰπόντα ῥῖψαι ἐπὶ πάντας τοὺς κλήρους, τὸν δὲ παρ' αὑτὸν πεσόντα ἕκαστον ἀναιρεῖσθαι, πλὴν οὗ· ἓ δὲ οὐκ ἐᾷν. τῷ δὲ ἀνελομένῳ δῆλον εἶναι, ὁπόστος εἰλήχειν· μετὰ δὲ τοῦτο αὖθις τὰ τῶν βίων παραδείγματα εἰς τὸ πρόσθεν σφῶν θεῖναι ἐπὶ τὴν γῆν, πολὺ πλείω τῶν παρόντων. εἶναι δὲ παντοδαπά· ζώων τε γὰρ πάντων βίους καὶ δὴ καὶ τοὺς ἀνθρωπίνους ἅπαντας. τυραννίδας τε γὰρ ἐν αὐτοῖς εἶναι, τὰς μὲν διατελεῖς, τὰς δὲ καὶ μεταξὺ διαφθειρομένας καὶ εἰς πενίας τε καὶ φυγὰς καὶ εἰς πτωχείας τελευτώσας· εἶναι δὲ καὶ δοκίμων ἀνδρῶν βίους, τοὺς μὲν ἐπὶ εἴδεσι καὶ κατὰ κάλλη καὶ τὴν ἄλλην ἰσχύν τε καὶ ἀγωνίαν, τοὺς δ' ἐπὶ γένεσι καὶ

προγόνων ἀρεταῖς, καὶ ἀδοκίμων κατὰ ταὐτά, ὡσαύτως δὲ καὶ γυναικῶν. ψυχῆς δὲ τάξιν οὐκ ἐνεῖναι διὰ τὸ ἀναγκαίως ἔχειν ἄλλον ἑλομένην βίον ἀλλοίαν γίγνεσθαι· τὰ δ᾽ ἄλλα ἀλλήλοις τε καὶ πλούτοις καὶ πενίαις, τὰ δὲ νόσοις, τὰ δὲ ὑγιείαις μεμῖχθαι, τὰ δὲ καὶ μεσοῦν τούτων. ἔνθα δή, ὡς ἔοικεν, ὦ φίλε Γλαύκων, ὁ πᾶς κίνδυνος ἀνθρώπῳ, καὶ διὰ ταῦτα μάλιστα ἐπιμελητέον, ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας, τούτου τοῦ μαθήματος καὶ ζητητὴς καὶ μαθητὴς ἔσται, ἐάν ποθεν οἷός τ᾽ ᾖ μαθεῖν καὶ ἐξευρεῖν, τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον καὶ χρηστὸν καὶ πονηρὸν διαγιγνώσκοντα, τὸν βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι, ἀναλογιζόμενον πάντα τὰ νῦν δὴ ῥηθέντα καὶ ξυντιθέμενα ἀλλήλοις καὶ διαιρούμενα πρὸς ἀρετὴν βίου πῶς ἔχει, καὶ εἰδέναι, τί κάλλος πενίᾳ ἢ πλούτῳ κραθὲν καὶ μετὰ ποίας τινὸς ψυχῆς ἕξεως κακὸν ἢ ἀγαθὸν ἐργάζεται, καὶ τί εὐγένειαι καὶ δυσγένειαι καὶ ἰδιωτεῖαι καὶ ἀρχαὶ καὶ ἰσχύες καὶ ἀσθένειαι καὶ εὐμαθίαι καὶ δυσμαθίαι καὶ πάντα τὰ τοιαῦτα τῶν φύσει περὶ ψυχὴν ὄντων καὶ τῶν ἐπικτήτων τί ξυγκεραννύμενα πρὸς ἄλληλα ἐργάζεται, ὥστε ἐξ ἁπάντων αὐτῶν δυνατὸν εἶναι συλλογισάμενον αἱρεῖσθαι, πρὸς τὴν τῆς ψυχῆς φύσιν ἀποβλέποντα, τόν τε χείρω καὶ τὸν ἀμείνω βίον, χείρω μὲν καλοῦντα, ὃς αὐτὴν ἐκεῖσε ἄξει, εἰς τὸ ἀδικωτέραν γίγνεσθαι, ἀμείνω δὲ ὅστις εἰς τὸ δικαιοτέραν, τὰ δὲ ἄλλα πάντα χαίρειν ἐᾷν· ἑωράκαμεν γάρ, ὅτι ζῶντί τε καὶ τελευτήσαντι αὕτη κρατίστη αἵρεσις. ἀδαμαντίνως δὴ δεῖ ταύτην τὴν δόξαν ἔχοντα εἰς Ἅιδου ἰέναι, ὅπως ἂν ᾖ καὶ ἐκεῖ ἀνέκπληκτος ὑπὸ πλούτων τε καὶ τῶν τοιούτων κακῶν, καὶ

μὴ ἐμπεσὼν εἰς τυραννίδας καὶ ἄλλας τοιαύτας πράξεις, πολλὰ μὲν ἐργάσηται καὶ ἀνήκεστα κακὰ, ἔτι δὲ αὐτὸς μείζω πάθῃ, ἀλλὰ γνῷ τὸν μέσον ἀεὶ τῶν τοιούτων βίον αἱρεῖσθαι καὶ φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε καὶ ἐν τῷδε τῷ βίῳ κατὰ τὸ δυνατὸν καὶ ἐν παντὶ τῷ ἔπειτα· οὕτω γὰρ εὐδαιμονέστατος γίγνεται ἄνθρωπος. καὶ δὴ οὖν καὶ τότε ὁ ἐκεῖθεν ἄγγελος ἤγγελλε τὸν μὲν προφήτην οὕτως εἰπεῖν, καὶ τελευταίῳ ἐπιόντι, ξὺν νῷ ἑλομένῳ, συντόνως ζῶντι κεῖται βίος ἀγαπητὸς, οὐ κακός. μήτε ὁ ἄρχων αἱρέσεως ἀμελείτω μήτε ὁ τελευτῶν ἀθυμείτω. εἰπόντος δὲ ταῦτα τὸν πρῶτον λαχόντα ἔφη εὐθὺς ἐπιόντα τὴν μεγίστην τυραννίδα ἑλέσθαι, καὶ ὑπὸ ἀφροσύνης τε καὶ λαιμαργίας οὐ πάντα ἱκανῶς ἀνασκεψάμενον ἑλέσθαι, ἀλλ' αὐτὸν λαθεῖν ἐνοῦσαν εἱμαρμένην, παίδων αὑτοῦ βρώσεις καὶ ἄλλα κακά· ἐπειδὴ δὲ κατὰ σχολὴν σκέψασθαι, κόπτεσθαί τε καὶ ὀδύρεσθαι τὴν αἵρεσιν, οὐκ ἐμμένοντα τοῖς προῤῥηθεῖσιν ὑπὸ τοῦ προφήτου· οὐ γὰρ ἑαυτὸν αἰτιᾶσθαι τῶν κακῶν, ἀλλὰ τύχην τε καὶ δαίμονας καὶ πάντα μᾶλλον ἀνθ' ἑαυτοῦ. εἶναι δὲ αὐτὸν τῶν ἐκ τοῦ οὐρανοῦ ἡκόντων, ἐν τεταγμένῃ πολιτείᾳ ἐν τῷ προτέρῳ βίῳ βεβιωκότα, ἔθει ἄνευ φιλοσοφίας ἀρετῆς μετειληφότα. ὡς δὲ καὶ εἰπεῖν, οὐκ ἐλάττους εἶναι ἐν τοῖς τοιούτοις ἁλισκομένους τοὺς ἐκ τοῦ οὐρανοῦ ἥκοντας, ἅτε πόνων ἀγυμνάστους. τῶν δ' ἐκ τῆς γῆς τοὺς πολλοὺς, ἅτε αὐτούς τε πεπονηκότας ἄλλους τε ἑωρακότας, οὐκ ἐξ ἐπιδρομῆς τὰς αἱρέσεις ποιεῖσθαι. διὸ δὴ καὶ μεταβολὴν τῶν κακῶν καὶ τῶν ἀγαθῶν ταῖς πολλαῖς τῶν ψυχῶν γίγνεσθαι καὶ διὰ τὴν τοῦ κλήρου τύχην· ἐπεὶ εἴτις ἀεὶ, ὁπότε εἰς τὸν ἐνθάδε βίον ἀφικνοῖτο, ὑγιῶς φιλοσοφοῖ καὶ ὁ κλῆρος

αὐτῷ τῆς αἱρέσεως μὴ ἐν τελευταίοις πίπτοι, κινδυνεύει ἐκ τῶν ἐκεῖθεν ἀπαγγελλομένων οὐ μόνον ἐνθάδε εὐδαιμονεῖν ἄν, ἀλλὰ καὶ τὴν ἐνθένδε ἐκεῖσε καὶ δεῦρο πάλιν πορείαν οὐκ ἂν χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν τε καὶ οὐρανίαν. Ταύτην γὰρ δὴ, ἔφη, τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ ᾑροῦντο τοὺς βίους· ἐλεεινήν τε γὰρ ἰδεῖν εἶναι καὶ γελοίαν καὶ θαυμασίαν. κατὰ συνήθειαν γὰρ τοῦ προτέρου βίου τὰ πολλὰ αἱρεῖσθαι. ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη τήν ποτε Ὀρφέως γενομένην κύκνου βίον αἱρουμένην, μίσει τοῦ γυναικείου γένους διὰ τὸν ὑπ' ἐκείνων θάνατον, οὐκ ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι· ἰδεῖν δὲ τὴν Θαμύρου ἀηδόνος ἑλομένην· ἰδεῖν δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπίνου βίου αἵρεσιν, καὶ ἄλλα ζῶα μουσικὰ ὡσαύτως. εἰκοστὴν δὲ λαχοῦσαν ψυχὴν ἑλέσθαι λέοντος βίον· εἶναι δὲ τὴν Αἴαντος τοῦ Τελαμωνίου, φεύγουσαν ἄνθρωπον γενέσθαι, μεμνημένην τῆς τῶν ὅπλων κρίσεως. τὴν δ' ἐπὶ τούτῳ Ἀγαμέμνονος· ἔχθρᾳ δὲ καὶ ταύτην τοῦ ἀνθρωπίνου γένους διὰ τὰ πάθη ἀετοῦ διαλλάξαι βίον. ἐν μέσοις δὲ λαχοῦσαν τὴν Ἀταλάντης ψυχὴν, κατιδοῦσαν μεγάλας τιμὰς ἀθλητοῦ ἀνδρὸς, οὐ δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν. μετὰ δὲ ταύτην ἰδεῖν τὴν Ἐπειοῦ τοῦ Πανοπέως εἰς τεχνικῆς γυναικὸς ἰοῦσαν φύσιν· πόῤῥω δ' ἐν ὑστάτοις ἰδεῖν τὴν τοῦ γελωτοποιοῦ Θερσίτου πίθηκον ἐνδυομένην· κατὰ τύχην δὲ τὴν Ὀδυσσέως, λαχοῦσαν πασῶν ὑστάτην, αἱρησομένην ἰέναι· μνήμῃ δὲ τῶν προτέρων πόνων, φιλοτιμίας λελωφηκυῖαν, ζητεῖν περιϊοῦσαν χρόνον πολὺν βίον ἀνδρὸς ἰδιώτου ἀπράγμονος, καὶ μόγις εὑρεῖν κείμενόν που καὶ παρημελημένον ὑπὸ τῶν ἄλλων, καὶ

ειπεῖν ἰδοῦσαν, ὅτι τὰ αὐτὰ ἂν ἔπραξε καὶ πρώτη λαχοῦσα, καὶ ἀσμένην ἑλέσθαι. καὶ ἐκ τῶν ἄλλων δὴ θηρίων ὡςαύτως εἰς ἀνθρώπους ἰέναι καὶ εἰς ἄλληλα, τὰ μὲν ἄδικα εἰς τὰ ἄγρια, τὰ δὲ δίκαια εἰς τὰ ἥμερα μεταβάλλοντα, καὶ πάσας μίξεις μίγνυσθαι. ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥςπερ ἔλαχον, ἐν τάξει προςιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάςῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. ὃν πρῶτον μὲν ἄγειν αὐτὴν πρὸς τὴν Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς τοῦ ἀτράκτου δίνης, κυροῦντα, ἣν λαχὼν εἵλετο μοῖραν· ταύτης δὲ ἐφαψάμενον αὖθις ἐπὶ τὴν τῆς Ἀτρόπου ἄγειν νῆσιν, ἀμετάστροφα τὰ ἐπικλωσθέντα ποιοῦντα· ἐντεῦθεν δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον, καὶ δι' ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον, πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον διὰ καύματός τε καὶ πνίγους δεινοῦ· καὶ γὰρ εἶναι αὐτὸ κενὸν δένδρων τε καὶ ὅσα γῆ φύει. σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμὸν, οὗ τὸ ὕδωρ ἀγγεῖον οὐδὲν στέγειν. μέτρον μὲν οὖν τι τοῦ ὕδατος πᾶσιν ἀναγκαῖον εἶναι πιεῖν, τοὺς δὲ φρονήσει μὴ σωζομένους πλέον πίνειν τοῦ μέτρου· τὸν δὲ ἀεὶ πιόντα πάντων ἐπιλανθάνεσθαι. ἐπειδὴ δὲ κοιμηθῆναι καὶ μέσας νύκτας γενέσθαι, βροντήν τε καὶ σεισμὸν γενέσθαι, καὶ ἐντεῦθεν ἐξαπίνης ἄλλον ἄλλῃ φέρεσθαι ἄνω εἰς τὴν γένεσιν, ᾄττοντας ὥςπερ ἀστέρας. αὐτὸς δὲ τοῦ μὲν ὕδατος κωλυθῆναι πιεῖν· ὅπῃ μέντοι καὶ ὅπως εἰς τὸ σῶμα ἀφίκοιτο, οὐκ εἰδέναι, ἀλλ' ἐξαίφνης ἀναβλέψας ἰδεῖν ἕωθεν αὑτὸν κείμενον ἐπὶ τῇ πυρᾷ. **Καὶ** οὕτως, **ὦ Γλαύκων**, μῦθος ἐσώθη καὶ οὐκ

ἀπώλετο, καὶ ἡμᾶς ἂν σώσειεν, ἂν πειθώμεθα αὐτῷ, καὶ τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα· ἀλλ' ἂν ἐμοὶ πειθώμεθα, νομίζοντες ἀθάνατον ψυχὴν καὶ δυνατὴν πάντα μὲν κακὰ ἀνέχεσθαι, πάντα δὲ ἀγαθὰ, τῆς ἄνω ὁδοῦ ἀεὶ ἑξόμεθα καὶ δικαιοσύνην μετὰ φρονήσεως παντὶ τρόπῳ ἐπιτηδεύσομεν, ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς, αὐτοῦ τε μένοντες ἐνθάδε, καὶ ἐπειδὰν τὰ ἆθλα αὐτῆς κομιζώμεθα, ὥςπερ οἱ νικηφόροι περιαγειρόμενοι, καὶ ἐνθάδε καὶ ἐν τῇ χιλιετεῖ πορείᾳ, ἣν διεληλύθαμεν, εὖ πράττωμεν.»

Τούτων οὖν τῶν πολλῶν καὶ εἰς μῆκος τετραγῳδημένων, ἐν δὲ τοῖς καθ' ἕκαστον ἀμηγέπῃ ἀλλήλοις διαφωνούντων λόγων περί τε τῆς τῶν ψυχῶν μετὰ θάνατον τύχης καὶ τῶν μελλόντων ἐκεῖ ἔσεσθαι δικαιωτηρίων, ὅσον μὲν αὐτῶν ἐπὶ τὸ μυθικώτερον ὁ Πλάτων συνυφήνατο, ὅσον δὲ καὶ σπουδάζων ἐδογμάτισε, τοῦτο ἐργῶδες ἂν εἴη σαφῶς πάνυ διακρῖναι. τοσόνδε μέντοι περὶ αὐτῶν καὶ μάλ' εὐλόγως ἄν τις συνιέναι ἔχοι ὡς οὐ παντάπασι μυθώδη αὐτὰ λέγεται, ἀλλὰ κατά γε τὸ οὐσιωδέστερον μέρος σπουδῇ ἐπινενοημένα φιλοσοφήματα. Καὶ γὰρ οὐ μόνον ἀθανάτους εἶναι τὰς ψυχὰς ἐῤῥωμένως ἰσχυρίζεσθαι ὁ Πλάτων φαίνεται, ἀλλὰ καὶ εἶναί που αὐτὰς πρὸ τοῦ ἐν τῷδε τῷ σώματι ἐνδεδέσθαι καὶ ἀναμιμνήσκεσθαί γέ πως τῆς πρότερον ἕξεως, ἴσως δὲ καὶ τὰς πλάνας αὐτῶν, ἐκείνας δὴ τὰς ἀῤῥήτους, ἤτοι τὴν μετεμψύχωσιν οὐχ ἧσσον ἀληθεύειν ἐπέπειστο ἢ τὴν μετὰ θάνατον ἀντίδοσιν τῶν ἐνθάδε τοῖς ἀνθρώποις πεπραγμένων· ὥςπερ ἔστι τοῦτο καὶ ἐκ τοῦ προοιμίου συνεικάσαι οὗ γε λόγου Σωκράτης τῶν τοιούτων πέρι ἐν Γοργίᾳ διεξιὼν ουτωσὶ ποιεῖται· «Ἄκουε δὴ μάλα καλοῦ

λόγου (περὶ τοῦ ἐν Ἅιδου μέλλοντος δικαιωτηρίου φησίν), ὃν σὺ μὲν ἡγήσει μῦθον, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν». — εἶτα τελευτῶν ἐπάγει «ταῦτ᾽ ἔςιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι». (ιϐ). Τὸ γοῦν δόγμα ὅτι ἦσάν που καὶ πρότερον αἱ τῶν ἀνθρώπων ψυχαὶ συνάγεται καὶ ἐκ τοῦ ἀξιολογωτάτου τῶν τεσσάρων συλλογισμῶν, ὃς ἔσχατος κατασκευάζεται ἐν Φαίδωνι, ὅπου ὑπὲρ τῆς τῶν ψυχῶν ἀθανασίας ὁ λόγος γίγνεται. οὗτος δὴ ὁ συλλογισμὸς ὡς ἐφεξῆς ἔχει· ψυχὴν καὶ ζωὴν ἓν καὶ ταὐτὸν ἄμφω εἶναι λέγων· εἶναι γὰρ ψυχὴν πρὸς ζωὴν οἷόν περ πῦρ πρὸς θερμότητα· ὡς γὰρ οὖν τὸ πῦρ ἀμήχανον ἄλλως νοῆσαι ἢ θερμὸν, ὁμοίως ἂν καὶ τὴν ψυχὴν μὴ οὐχ ὡς ζωήν τι ἐν ἑαυτῷ ἀεὶ ἔχον. καθάπερ οὖν δὴ μηδὲν τῶν ὄντων οἷόν τ᾽ ἂν εἶναί φησι, τὴν τοῦ ἐναντίου φύσιν ἐν ἑαυτῷ ἅμα δέχεσθαι, οὕτω καὶ τὴν ψυχὴν μηδέποτ᾽ ἂν μηδαμῶς ἐν ἑαυτῇ δέξασθαι ἅμα τὴν ἑαυτῇ γε ἐναντίαν φύσιν οὖσαν, τὸν θάνατον. Αὐτόθεν ἄρα δῆλον ὡς ἀνάγκη ἡμῶν τὰς ψυχὰς προτοῦ τε ἐν τοῖςδε τοῖς σώμασιν ἐνδεδέσθαι ζῆν που ἄλλοθι καὶ ὕπαρξιν ἔχειν καὶ μετὰ τὴν λύσιν δ᾽ αὐτῶν ἀπὸ τοῦ ἑτέρου τὸν πάντα χρόνον ὡςαύτως βιώσεσθαι. εἰ μὲν οὖν μηδέποτε λήξουσι ζῶσαι, δῆλον ἄρα ὡς οὐδ᾽ ἀρχήν ποτ᾽ ἔσχον οὐδεμίαν οὐδέποτε. καὶ κατ᾽ ἀντίστροφον αὖ λόγον ἐκ τῆς προϋπάρξεως συμπεραίνεται καὶ ἡ εἰς πᾶν τὸ μέλλον ἀϊδιότης αὐτῶν. εἰ μὲν γὰρ ἡ τοῦ ἀνθρώπου ψυχὴ ἐκ μακαριωτέρου τινὸς βίου ἀσθενείᾳ τινὶ καταπτᾶσα εἰς τοῦτο τὸ σῶμα ὑπέδυ καὶ μὴ ἀνέκαθεν μηδ᾽ οὐσιω-

(ιϐ) σ. τκγ΄. Α.

δῶς γε τῷ σωματοειδεῖ συμπέφυρται, φανερὸν ἄρα ὡς οὐδ' ἐν τῷ ἐνθάδε βίῳ εἱμαρμένον αὐτῇ ἦν τὸ εἶναί τε καὶ ζῆν ὡς θνητόν τι ἂν καταστρέψαι.

Ἐν Φαίδωνι δὲ μάλιστα ἀνεβάλετο ὁ **Πλάτων** τὴν τῆς ψυχῆς ἀθανασίαν ἀποδεῖξαι, οἷον ἀρχὴν αὐτὴν καὶ βάσιν τιθέμενος τοῦ ἠθικοῦ καὶ πρακτικοῦ βίου. προσήκειν γάρ φησι τὸν ὡς ἀληθῶς γε φιλοσοφοῦντα ἐν παντὶ τῷ βίῳ περὶ μηδὲν ἄλλο σπουδάζειν ἢ ὅπως ἂν μάλιστα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος χωρίζειν δύναιτο καὶ τῶν περὶ τὸ σῶμα πάντων καθαρεύουσαν παρέχειν. δεσμὸν γὰρ οἷόν τινα ψυχῆς τὸ σῶμα ὑποληπτέον εἶναι, ἐμποδὼν αὐτῇ γιγνόμενον εἰς ἐργασίαν ἀληθῆ, τὴν τοῦ Ἀληθοῦς ζήτησιν καὶ κατά γε ἄνθρωπον ἐπίγνωσιν, ἥπερ ἀνθρώπῳ προςγίγνεται, ἐπειδὰν ἡ ψυχὴ αὐτοῦ πάντοθεν τοῦ σωματοειδοῦς ἑαυτὴν συναθροίσασα, ἐν γαλήνῃ τε καὶ ἠρεμίᾳ ὡς ποῤῥωτάτω τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ τοῦ ἄλλου θορύβου τῶν αἰσθήσεων καὶ τοῦ θυμοῦ ἑαυτὴν καταστήσῃ. οὕτω γὰρ ἄν τις σωφρονῶν φαίη αὐτὴν ὡς ἀληθῶς ὑπάρχειν βίον τε διάγειν ἑαυτῇ ὡς ἀληθῶς ἐμπρέποντα. ἀλλ' αὕτη μὴν ἡ ϛάσις καὶ πραγματεία τοῦ φιλοσόφου εὔλογος ἂν καὶ δικαία τότε φανείη, ἐπειδὰν ἡ ψυχὴ οὐσία τις καθ' ἑαυτὴν τοῦ σώματος ἐλευθέρα καὶ ὑπερτέρα εἶναι δειχθῇ, καὶ ὡς ἂν ἄλλως εἰπεῖν, ἐπειδὰν ἀθάνατος οὖσα φανῇ. ἐντεῦθεν ἄρα καὶ τὸ ἐξωτερικὸν σχῆμα τοῦ Φαίδωνος προῆλθεν. ἀνὴρ γὰρ φιλόσοφος ἐφ' ὑστάταις τοῦ βίου αὐγαῖς εἰσάγεται, ὁ Σωκράτης, τοὺς περὶ ἀθανασίας λόγους ἐν τῷ δεσμωτηρίῳ διεξιὼν, ὃς μετ' ἀξιαγάστου γαλήνης τε καὶ ἀνδρείας τὸν θάνατον ὡς λύσιν τε καὶ ἀπαλλαγὴν ἀπὸ τῆς ἐνδάδε ἀσθενείας καὶ ἀγνοίας ἀπεκδεχόμενος, κρά-

τιστον ἠθικὸν τεκμήριον παρέχεται ὡς ἀθάνατος ἡμῶν ἡ ψυχὴ ὑπάρχει μετὰ τὸν θάνατον καὶ ἀΐδιος. κυρίως δὲ ἀποδεικτικοὶ συλλογισμοὶ τέσσαρες τὸν ἀριθμὸν φέρονται οἵδε·

Πρῶτος μὲν ὁ ἐξ ἀναλογίας πρὸς τὸν καθόλου τῆς φύσεως νόμον ὁρμώμενος, καθ' ὃν τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίγνεται. εἰ μὲν γὰρ ἕκαστον τῶν ἐν τῇ φύσει ὄντων ἐκ τοῦ ἑαυτῷ ἐναντίου γίγνεται, καὶ ἡ ζωὴ ἄρα οὐδαμόθεν ἄλλοθεν γίγνεται ἢ ἐκ τοῦ θανάτου. δέον ἄρα καὶ τὴν ψυχὴν ἐκ τοῦ θανάτου αὖθις ἐγείρεσθαι. αὕτη δὴ ἡ τῶν ὄντων εἰς ἄλληλ' ἐπανακύκλησίς ἐστιν ἡ τὸ εἶναί τε καὶ ζῆν καθόλου παρεχομένη. σ. ο', γ—οδ', δ.

Δεύτερος δὲ συλλογισμὸς ὁ διὰ τῆς ἀναμνήσεως κατασκευαζόμενος ὧδε· ἐπεὶ πᾶσα μάθησις ἡμῖν ἐνθάδε γιγνομένη οὐθὲν ἄλλο κυρίως ἐστὶν ἢ ἀνάμνησις, ὥσπεροῦν τοῦτό γε ἐνθένδε συνάγεται ὅτι οἱ λόγοι οὐσίας τε πέρι τῶν ὄντων καὶ τῶν σχέσεων αὐτῶν πρὸς ἄλληλα οὐδαμόθεν ἄλλοθεν τῇ ψυχῇ οἷον ἐπείσακτοι γίγνονται, ἀλλ' ἢ ἐξ αὐτῆς γε ταύτης, ὡς ἔπος εἰπεῖν, ἐκλύονται (πρβλ. καὶ Μένωνα σ. πα'. κ. φ. ξ.), δῆλον ἄρα ὡς ἦν ποτε χρόνος ἄλλος ἤδη πρότερον, ἐν ᾧ γε ταῦτα πάντα εἰδότες ἦμεν, ὧν νῦν δὴ οὕτως ἀναμιμνησκόμεθα. δέον ἄρα τὴν ἡμετέραν ψυχὴν εἶναί που πρότερον πρὶν ἐν τῷδε τῷ σώματι ἐνδεθῆναι. σ. οβ', ε—οζ', α.

Τρίτος δὲ συλλογισμὸς ὁ τὴν τῆς ψυχῆς ἁπλότητα οἷον βάσιν ἔχων οὗτος· πᾶν ἁπλοῦν καὶ δὴ καὶ ἀσύνθετον οὐδ' ἂν ποτε διαλυθείη εἰς τὰ ἐξ ὧν γε μὴ ξυνετέθη· ἡ ψυχὴ δ' ἁπλοῦν, οὐ σύνθετον· ἀδιάλυτόν πού τι ἄρα πάντως ἡ ψυχὴ ὑπάρχει. σ. οη', β—π', ε.

τέταρτος συλλογισμὸς ὁ διὰ τῆς ἰδέας τῆς ζωῆς εὐοδούμενος ὧδε· ᾗ ἂν ψυχὴ ᾖ, ἐκεῖ καὶ ζωή· ψυχή τε ἄρα καὶ ζωὴ ἓν ἄμφω ἐστόν. οὐθὲν δὲ τῶν ὄντων τὸ ἐναντίον τῇ ἑαυτοῦ οὐσίᾳ ἐν ἑαυτῷ δέξαιτ' ἄν, οἷόν που τὸ πῦρ οὐδέποτ' ἂν δέξαιτο ἐν ἑαυτῷ τὸ ψυχρὸν, πῦρ τε ἅμα γιγνόμενον καὶ ψυχρόν, οὐδ' ἡ ψυχὴ ἄρα τὸν θάνατον. οὐ γὰρ ἄν ποτέ τι ἐναντίον τῇ τῆς ζωῆς ἰδέᾳ ὂν δύναιτ' ἂν ἐν ἑαυτῇ δέξασθαι κατ' οὐδένα τρόπον. ἀθάνατος ἄρα ἡ ψυχὴ οὕτω φαίνεται οὖσα. σ. ρϛ', α—ρζ', α.

Ἐπεὶ δὲ αὕτη ἡ σύνοψις οὐ πάνυ ἐπαρκὴς ἔσεσθαι ἡμῖν δοκεῖ τῇ τῶν Ἑλλήνων νεολαίᾳ, ὡς δυνατὸν πλεῖστα περὶ τῶν οὐσιωδεστάτων τῆς Πλατωνικῆς φιλοσοφίας προθυμησομένῃ πάντως γε ἀκοῦσαι, ἐπιχειρητέον ὀλίγ' ἄττα, ὥς γ' ἐν τῷ παρόντι τυγχάνομεν, κατὰ πολὺ τάχος εἰπεῖν πρὸς διασάφησιν ἑνὸς ἑκάστου τῶν λόγων, οἵπερ πρὸς ἀπόδειξίν τινος τῶν κρατίστων ζητημάτων φέρονται, ἅπερ τῆς ἀνθρωπικῆς ψυχῆς ἐγγύτατα παρ' ὅλον τὸν ἐνθάδε βίον θιγγάνει.

Τὴν τῆς ψυχῆς ἀθανασίαν βουλόμενος ὁ Πλάτων ἀποδεῖξαι ὁρμᾶται ἔκ τινος λόγου (τῶν Ὀρφικῶν ἴσως) παλαιόθεν ᾄδοντος, ὡς αἱ ψυχαὶ τῶν ἀνθρώπων εἰσὶν ἐν Ἅιδου, ἐνθένδε ἀφικόμεναι ἐκεῖ καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. εἰ ἄρα ἀληθές ἐστιν ὅτι αἱ τῶν ἀποθανόντων ψυχαὶ ἐξ Ἀΐδου ἱπτάμεναι, ἀῤῥήτως πως εἰς τὸ σωματοειδὲς εἰσερπύζουσαι, εἶδος ὁρατὸν περιτιθέμεναι, οὕτως αὖθις ἄνθρωποι γίγνονται, δῆλον ὡς αἱ ψυχαὶ κατὰ τὸν θάνατον τοῦ σώματος χωρισθεῖσαι, οὐχ ὥσπερ πνεῦμα ἢ

καπνὸς διασκεδασθεῖσαι ἀπόλλυνται, ἀλλ' εἰσί που ἐν Ἅιδου αὐταὶ καθ' αὑτὰς δύναμιν καὶ φρόνησιν ἔχουσαι. ὥστε τεκμήριον τοῦ ἀθανάτους εἶναι τὰς ψυχὰς ἔσται ἱκανὸν ἡμῖν, εἰ ἱκανῶς ἀποδειχθήσεται ὅτι οὐδαμόθεν ἄλλοθεν οἱ ζῶντες γίγνονται ἢ ἐκ τῶν τεθνεώτων. Πρὸς δὲ τοῦτο, φησίν, ἐπιστῆσαι χρὴ τὴν διάνοιαν πάντων πέρι τῶν ἐν τῷδε τῷ κόσμῳ παντοίας μεταβολὰς πάθη τε πασχόντων, οἷον ῥεῦμα ἀεὶ ῥεόντων καὶ ζώων πάντων καὶ φυτῶν καὶ ξυλλήβδην, ὅσα περ ἔχει γένεσιν ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνεται ἢ ἐκ τῶν ἐναντίων πάντα τὰ ἐναντία. πολλὰς δ' ὡς ἐν παραδείγματι ἐναντίων συζυγίας διελθών, παραβάλλει τέλος τὴν τοῦ ἐγρηγορέναι τε καὶ καθεύδειν συζυγίαν πρὸς τὴν τοῦ ζῆν καὶ τεθνάναι οὕτως· ἐκ μὲν γὰρ τοῦ ἐγρηγορέναι γίγνεσθαί φησι τὸ καθεύδειν καὶ μεταξύ τιν' ἀμφοῖν γένεσιν καταδαρθάνειν κεκλῆσθαι. καὶ τἀνάπαλιν, ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γένεσιν λαμβάνειν μεταξὺ, τὸ ἀνεγείρεσθαι. ὡσαύτως ἄρα ἔχειν φησὶ ζωῆς τε πέρι καὶ θανάτου· τὸ μὲν γὰρ τεθνάναι ἐναντίον τῷ ζῆν ὁμολογητέον εἶναι καὶ γίγνεσθαί γε δὴ ἐξ ἀλλήλων. τί γὰρ ἂν ἄλλο εἶναι τὸ γιγνόμενον ἐκ τοῦ ζῶντος ἢ τὸ τεθνηκός; ἀλλὰ καὶ ἐκ τοῦ τεθνεῶτος αὖ ἀναγκαῖον ἔφη ὁμολογεῖν ὅτι τὸ ζῶν γίγνεται. ἐκ τῶν τεθνεώτων ἄρα τὰ ζῶντά τε καὶ τοὺς ζῶντας γίγνεσθαι εἰκός. εἶναι ἄρα ἔφη τὰς ψυχὰς ἡμῶν ἐν Ἅιδου καθ' ἑαυτὰς τῶν σωμάτων πάμπαν ἀπηλλαγμένας· δῆλον ἄρα ὡς ἀθάνατοι ἡμῶν αἱ ψυχαὶ κατὰ τοῦτόν γε τὸν λόγον λεχθέντα. ἐντεῦθεν δὲ καὶ ἄλλον λόγον πορίζεται τόνδε· σαφὲς γάρ που τοῦτό γε ἤδη γέγονεν ὅτι τὸ ἀποθνήσκειν γένεσίς τίς ἐστι παραπλησία τῇ τοῦ καταδαρθάνειν, καὶ ἀνταποδιδομέν γε, ἔφη, πάντως τὴν ἐναντίαν γένεσιν, τὸ ἀναβιώσκεσθαι, ὅπως

μὴ ταύτῃ χωλὴ ἔσται ἡ φύσις. Εἰ γὰρ μὴ ἐξ ἀλλήλων πάντα ἐγίγνετο ἐν τῇ φύσει τὰ ἐναντία ἐκ τῶν ἐναντίων καὶ ταῦτα αὖ ἐκ τῶν ἑτέρων, ἀμφοῖν ταῖν γενέσεων οὕτως ἐπανακυκλουμένων καὶ παντοειδῆ ἐν διηνεκεῖ μεταλλαγῇ ὄντα τε πάντα καὶ δὴ καὶ θανάτους καὶ ἀναβιώσεις ἀνθρώπων παρεχομένων, ἀλλ' ἡ τῶν ὄντων εἰς ἄλληλ' ἐναλλαγὴ συνεποδίζετό πως καὶ ἐς τὸν πάντα αἰῶνα ἐν τῇ τῶν ἐναντίων φύσει ἐγκατέμενεν ἀργὴ, ἅτε δὴ ἀδυνατούσῃ αὖθις τὸ ἐναντίον ἀποδιδόναι, πάντα ἄρα τὰ ὄντα, φησὶν ὁ Πλάτων, τελευτῶντα ταὐτὸ σχῆμα ἂν ἔσχεν καὶ ταὐτὸ πάθος ἔπαθε καὶ ἐπαύσατο ἂν γιγνόμενα καὶ γένεσις ἄρα ὄντων μηδεμία μηδαμῶς ἂν ἦν. Εἰ, φέρ' εἰπεῖν, τὰ θερμὰ ἐψύχετο μὲν, ἀλλὰ μὴ αὖθις ἐθερμαίνετο, τὰ δ' ἀραιὰ συνεκρίνετο μὲν, ἀλλὰ μὴ αὖθις διεκρίνετο, δῆλον ἄρα ὡς πάντα τελευτῶντα ψυχρὰ καὶ πυκνὰ ἂν ἦν καὶ οὐδεμία ἂν ἄλλη γένεσις ἐν τούτοις οὐδαμῶς. Ὡσαύτως δὲ καὶ εἰ πάντες ἄνθρωποι θνήσκοντες μὴ ἀνεβιώσκοντο, τελευτῶντες πάντες ἂν ἀπέθανον καὶ ὁ ζῶν οὐδ' ἂν εἷς. — Ἀλλὰ περὶ τούτου τοῦ διπλοῦ συλλογισμοῦ ῥητέον πρῶτον ὅτι οὐ πᾶσαι αἱ συζυγίαι τῶν ἐν τῇ φύσει ἐναντίων ἀλλήλοις εἶναι δοκούντων, οὐδ' ἡ συζυγία τοῦ ἐγρηγορέναι τε καὶ καθεύδειν ἐπ' ἀκριβὲς ὁμοία που φανείη ἂν τῇ τοῦ ζῆν τε καὶ τεθνάναι· ἐν ἐκείνῃ μὲν γὰρ ἠρέμα μετάβασίς τις γιγνομένη σκοπεῖται καὶ οἱονεὶ ὑποχώρησις ὁμοίου εἰς ὅμοιον καὶ τούτου αὖ εἰς ἄλλο ὅμοιον, διὰ πολλῶν τε ὁμοίων εἰς ἄλλο, ὃ τελευτῶν δοκεῖ τῷ ἐξ οὗ γε ὥρμητο πρώτῳ ἐναντίον ὂν, οὐκ ὄν. ἔντασις γὰρ ἀκμαία τῶν ἐν τῷ σώματι δυνάμεων, ἐλάσσονος γιγνομένης τῆς ἀνέσεως διὰ συνεχῆ ἐκείνου ἀντίδρασιν, χρόνον τινὰ τὸ ἐγρηγορέναι παρέχεται. τοῦ δὲ σώματος διὰ τὰς συνεχεῖς λειτουργίας κοπωθέντος, ἄρχεται ἡ ἔντασις κατὰ

σμικρὸν καθυφίεσθαι, τῆς φύσεως τὴν ἐναλλὰξ ῥαΐαν διασωζούσης· ταύτην δὲ τὴν ὕφεσιν ἔκλυσις ὑποδέχεται ἀεὶ μείζων εἰς νυσταγμὸν καὶ ὕπνον βαθὺν ῥίπτουσα. γενομένης οὖν οὕτω τῆς ἀνέσεως κατὰ τὸ δέον, ἠρέμα αὖθις ἄρχεται οἷον ἀπομερμήρισμά τι ὑπανατέλλον, εἶτα ἔγερσις, ἐγρήγορσις, ὁλοσχερὴς δυνάμεων ἀνάληψις, ἀκμαία αὖθις ἐνέργεια ἐξ ὁμοίων δι' ὁμοίων εἰς ὅμοια γιγνομένη. ὡς δ' ἐνί γε λόγῳ δηλῶσαι ἡ τοῦ ἐγρηγορέναι τε καὶ καθεύδειν συζυγία μεταβολήν τιν' ἐμφαίνει ἀπὸ καταστάσεως ἄλλης εἰς ἄλλην κατάστασιν ὄντος μένοντος τοῦ αὐτοῦ ἀναλλοιώτου. οὐ ταὐτὸν δὲ ἐν τῇ συζυγίᾳ τοῦ ζῆν τε καὶ τεθνάναι συμβαίνει· ἑτεροίωσις γὰρ ἐν αὐτῇ καὶ τῆς δισσῆς φύσεως μόνωσις γίγνεται, οἷα δὴ τῆς ψυχῆς πάμπαν τοῦ σώματος χωριζομένης, ᾧ συνθέτῳ γε δὴ ὄντι διαλύεσθαι προσήκει καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, εἰς ἄλλα τε ὄντα αἰσθητὰ μεταβάλλειν. ὥστ' οὐκ ἂν πλέον, οἶμαι, ἔχοι τις ἂν εἰπεῖν περὶ τοῦ θανάτου, ὅμοιον αὐτὸν εἶναι τῷ ὕπνῳ ἢ ὅσον μυθολόγοις τε καὶ ποιηταῖς προσήκει. Ὁ μὲν γὰρ διάλυσίς τις τυγχάνει οὖσα ὄντος διφυοῦς τοῦ τε σώματος καταστροφὴ, ὁ δὲ ὕπνος ἀνάπαυσις ὄντος κατὰ τὰ αὐτὰ ὡσαύτως κἀν τούτῳ μένοντος, ᾗ καὶ πρότερον συμπεφυκὸς ὑπῆρχεν. οὐδ' αὖ τὴν ἐγρήγορσιν δίκαιός τις ἂν εἴη ὁμοίαν λέγων τῇ ἀναβιώσει· ἐγρήγορσις μὲν γὰρ οὐδὲν ἄλλο τυγχάνει οὖσα ἢ ἰσχύος ἀνάληψις καὶ ἀνάῤῥωσις, πόνου ἀπαλλαγῇ, τοῦ αὐτοῦ διφυοῦς ὄντος γιγνομένη, ἀναβίωσις δὲ σύνοδός τις τῶν ἀῤῥήτων ψυχῆς μετὰ σώματος. πρὸς δὲ τούτοις δύο τινὲ φύσει ἐναντίω ἀλλήλοιν λεγέσθω, ὧν γ' ἂν θἄτερον μὴ οἷόν τε εἴη τὴν θατέρου φύσιν ἐν ἑαυτῷ δέχεσθαι, οἷόν που τὸ ἄπειρον πέφυκε πρὸς τὸ πέρας ἔχον καὶ τὸ ἄναρχον πρὸς τὸ ἀρχὴν λαβὸν, ἀθάνατόν τε ὁμοίως πρὸς θνη-

τὸν, ἐν οἷς γε δή φαμεν καὶ τὸ τεθνάναι πρὸς τὸ ζῆν ὡςαύτως ἔχον ἐναντίως ἑκατέρῳ ἑκάτερον· Γένεσις δέ τινων ἐξ ἄλλων, ἐναντίων ἐξ ἐναντίων εἰς ἓν καὶ ταὐτὸν ξύνοδος πάντως ἔσται τῶν γε ἀλλήλοις ἐναντίων, κἂν ὁ θεῖος Πλάτων μηδαμῶς ἡμῖν βούληται τοῦτο συγχωρῆσαι.

Τὸ τοιόνδε ἄρα βουλοίμεθ' ἂν ἐνταῦθα, ὡς δυνατὸν, σαφῶς δηλῶσαι, ὅτι ὅμοιον ἀεὶ ἐξ ὁμοίου καὶ δι' ὁμοίων εἰς ὅμοιον γίγνεται, διὰ μακρᾶς δὲ ὁδοῦ ὁμοίων εἴς τι ὅμοιον περιΐσταται, ὃ διὰ τὸ πολλὰ ὅμοια μεσολαβῆσαι διάφορόν πως, ἔστι δ' ὅτε καὶ ἐναντίον δοκεῖ εἶναι τῷ ἐξ οὗ τὸ πρῶτον ὥρμητο. εἴ τις οὖν τὴν συνεχῆ ὁδὸν τῇ διανοίᾳ ἐπέλθοι, δι' ἧς γε ἀπὸ τοῦ πρώτου εἰς τὸ ἔσχατον ἀφίκετο ἐκεῖνο τὸ ἐναντίον εἶναι δοκοῦν, εὑρήσει πάντως ὅτι δι' ὁμοίων ἀεὶ διελθὸν εἰς τὸ ἔσχατον τέλος ἐγένετο. ἵνα δὲ μή τι μάτην λέγειν δόξωμεν εὐθὺς ἐν προοιμίοις προαγγελτικώτερον λέγομεν ὅτι ὡςπεροῦν αἱ ἰδέαι διὰ τὴν ἐν ἑαυταῖς οὖσαν ὁμοιότητα ἀλλήλαις ἐπιπλέκονται μὲν ἀλλ' οὐκ ἐξ ἀλλήλων γίγνονται μετουσιούμεναι, ὥςτε καὶ εἰς τοῦτο περιελθεῖν ἐκ τῶν ἐναντίων αἱ ἐναντίαι γίγνεσθαι, οὕτω καὶ ἐν πᾶσι τοῖς περὶ τὴν φύσιν ὅμοια ὁμοίοις δι' ὁμοιότητ' ἀλλήλοις ἐπιπλέκεται, οὐ μέντοι ἐξ ἀλλήλων εἰς ἄλληλα μετουσιοῦται, ὥστε καὶ τἀναντία ἐκ τῶν ἐναντίων γίγνεσθαι συγχωρεῖν, ἀλλ' ἀϊδίως τὰ εἴδη μένει. Ἀλλ' ὁ θεῖος Πλάτων πολύς ἐστι λέγων ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίγνεσθαι. ἑκάστης δὲ συζυγίας ἐν τῷ μεταξὺ δύο γενέσεις εἶναι οἷον μεταβάσεις καὶ, ἁπλῶς εἰπεῖν, μετουσιώσεις ἑκατέρου ἐφ' ἑκάτερον. εἰ οὖν ἐθελήσαιμεν συζυγίαν τινὰ α β ἀποκαλέσαι, τὴν μὲν μετάβασιν ἀπὸ τοῦ α εἰς τὸ β διὰ τοῦ γ γίγνεσθαι ἐροῦμεν, τὴν δ' ἀντίςροφον ἀπὸ τοῦ β εἰς τὸ α διὰ μέσου τοῦ δ τε-

λουμένην. ἀλλ' ἐὰν αὖθις ἀφ' ἑκατέρας τῶν μεταξὺ γενέσεων ὁρμηθῶμεν, δύο ἄλλας συζυγίας εὐχερῶς ἀποτελέσομεν, μεταξὺ δ' αὖ ἑκατέρας τῶν συζυγιῶν γενέσεις ἄλλας δύο καὶ οὕτως ἂν ἐπὶ πάντα τὰ ἐν τῷ κόσμῳ ὄντα οἷοί τε εἴημεν ἐπελθεῖν. φύσει γάρ που τὰ ὄντα ἀλλήλων πάντα ἔχεται, εἴτε ἀληθέστερον λέγοντι, καθ' ὁμοιότητα εἴτε, ὥς τοῖς ἀνθρώποις ἐνίοτε δοκεῖ, κατ' ἐναντιότητα. Τοῦτο δ' οὖν οἷόν πέρ φαμεν καὶ φανότατον παντὶ λογιζομένῳ ἀνδρὶ καθίσταται, ὡς εἴπερ τὰ ἐναντία ἐκ τῶν ἐναντίων ἐγχωρεῖ γίγνεσθαι, πολλῷ γ' ἂν εὐχερέστερόν τις εἴποι καὶ τὰ ἀνόμοια καὶ διάφορα ἐκ τῶν διαφόρων τε καὶ ἀνομοίων. καὶ τὰ εἴδη ἄρα ἐξ ἄλλων εἰδῶν γίγνεσθαι προσήκει. καὶ τῶν εἰδῶν ἄρα ἀνακύκλησις κατ' ἀνάγκην οὖσα εἰς ἄλληλα φανεῖται. Πᾶν δὲ ὅ ἐπὶ τῶν πολλοῖς ὁρατοῖς κοινῶν ἤτοι τῶν εἰδῶν τῶν ὁρατῶν γίγνεται, μεθέξει τινὶ αὐτῶν γε τῶν ἰδεῶν πάντως γίγνεται. εἰ γὰρ καὶ τὰ φαυλότατα τῶν αἰσθητῶν, οἷόν που ἡ θρὶξ ἐστι καὶ ὁ πηλὸς καὶ ὁ ῥύπος καὶ τὰ παραπλήσια μεθέξει τινὶ τῆς ἀμερίστου οὐσίας ἤτοι τῶν ἰδεῶν γίγνεται, καὶ τὸ τῶν ὁρατῶν ἄρα εἰδῶν πάθος τῆς εἰς ἄλληλα μεταπτώσεως ὁμοίου τινὸς πάθους μεθέξει κατὰ τ ὰ π α ρ α δ ε ί γ μ α τ α συμβαίνοντος πάντως γενήσεται. ἀνακύκλησίς τις ἄρα ἔσεται καὶ οἷον μετουσίωσις καὶ αὐτῶν τῶι ἰδεῶν εἰς ἀλλήλας ; οὔκουν δὴ ἑκάστῃ γε τῶν ἰδεῶν καθ' ἑαυτὴν τῶν ἄλλων χωρὶς ὑπόστασίν τε καὶ μονὴν ἀΐδιον ἔχειν φανεῖται. Ἔχε δέ μοι σύ γε τοῦτο διὰ μνήμης.

Πρὸς δὲ τούτοις εἰρήσθω μοι καὶ τόδε· ὅτι μυρίαν πλάνην ὁ Πλάτων τὰς ψυχὰς πάσχειν δέχεται, εἶδος ἄλλο ἐξ ἄλλου εἴδους ἀμειβούσας, τῆς τε πλάνης μηδέποτε κυρίως ἀποληγούσας. ἡ μὲν οὖν ἐκ παλαιτάτων αἰώνων παρ' ἀνθρώποις ἕωθεν ἀρξαμένη ἐπίσκεψις τῶν

ἐν τῇ φύσει γιγνομένων ἔμελλέ ποτε κατ' ἀνάγκην λογικὴν εἰς τόδε τὸ δόγμα περιελθεῖν, ὅτι πάντα τὰ αἰσθητὰ, εἴδους ὥς γ' ἐδόκει καὶ ὕλης ἀδιακρίτως ἔχειν, εἰς ἄλληλ' ὁμοίως ἐπανακυκλεῖται. αὕτη δὴ ἡ τῶν ὄντων εἰς ἄλληλ' ἀνακύκλησις, αἰώνων προϊόντων, ἔμελλέ ποτε γεννῆσαι τὴν πρώτην ἰδέαν ζωῆς καὶ ψυχῆς παγκοσμίου, ἣν οὔτε ὁ Πυθαγόρας οὔτε ὁ Φιλόλαος, οὔτε ὁ Ἐμπεδοκλῆς, σχολῇ γε πρῶτος ὁ Πλάτων, ὥς τινές φασιν, εἰς μέσον ἤνεγκεν. αὕτη δὲ ἡ παγκόσμιος ψυχὴ ὡσαύτως εἰς ἑαυτὴν ἀνακυκλουμένη, διὰ δὲ πάντων ἥκουσα, πάντα ζωπυροῦσα, συνῳδὰ πάνυ τῇ καὶ πρότερον σκοτεινῶς νομιζομένῃ μετεμψυχώσει ἥρμοστο· τὸ δὲ περὶ μετεμψυχώσεως δόγμα ἔωθεν εἰς Ἑλλάδα εἴτε διὰ Φρυγῶν, τῶν γε Ὀρφικῶν ἴσως καλουμένων, εἴτε διὰ τῶν Πυθαγορείων καὶ Αἰγυπτίων εἰσήχθη. ὥστε ἡ περὶ μετεμψυχώσεως ἰδέα, ἐσχατολογία δόξειεν ἄν που εἶναι περὶ ψυχῆς πανθεϊστικὴ, ἐκ τῆς τῶν ὄντων εἰς ἄλληλ' ἀνακυκλήσεως κατὰ σμικρὸν προελθοῦσα. ὁ δ' οὖν Πλάτων πολλαχοῦ τῶν ἑαυτοῦ διαλόγων φανερός ἐστι προθυμούμενος, ὅσα περ ἔξωθεν παρ' Ἕλλησιν ἐκ παλαιοῦ εἰσκομισθέντα βαθείας τινὸς σοφίας δόγματα καὶ μυστήρια θρησκευτικὰ τῷ χρόνῳ κατέστη, τῇ ἑαυτοῦ φιλοσοφικῇ θεωρίᾳ συμβιβάσαι, ὥσπερ οὖν πρὸ αὐτοῦ καὶ οἱ Πυθαγόρειοι ταὐτὸν ἁμωσγέπως ἐποίησαν. πῶς οὖν καὶ ταύτην τὴν ἄληκτον πλάνην τῶν ψυχῶν ὁ Πλάτων ἀκολούθως τῇ ἑαυτοῦ θεωρίᾳ γίγνεσθαι λέγει; ἐνδοῦνται, ἔφη, αἱ ψυχαὶ «εἰς τοιαῦτα ἤθη, ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ·—οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβημένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι.» τουτέστιν ὅσοι μὲν τῆς ψυχῆς τὴν φαυλοτάτην μοῖραν, τὸ ἐ π ι θ υ μ η τ ι κ ὸ ν θεραπεύουσιν,

οὗτοι διὰ τὸν τοῦ ὁμοίου ἔρωτα μετὰ θάνατον εἰς ζῷον εἰςερπύζουσι κατ' ἐξοχὴν τὸ ἦθος ἔχον, ὅ ἐκεῖνοι διὰ βίου ἤσκησαν. (Φαίδ. σ. πβ'.). τὴν δ' αὖ Αἴαντος τοῦ Τελαμωνίου ψυχὴν λέοντος βίον ἑλέσθαι φησὶν ὕστερόν ποτε, τὴν δ' Ἀγαμέμνονος ἀετοῦ διαλλάξαι βίον, τὴν δὲ τοῦ γελωτοποιοῦ Θερσίτου πίθηκον ἐνδυθῆναι (πολιτ. ί. σ. χιθ'.), καὶ ταύτας πάσχειν τὰς πλάνας αὐτὰς πάντως φησὶν εἴτε διὰ τὴν ἄγαν θεραπείαν τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς εἴτε διὰ τὴν ἄγαν αὐτοῦ φαυλότητα. τὴν δὲ δὴ τοῦ Ὀρφέως ψυχήν ποτε γενομένην κύκνου βίον ἑλέσθαι φησὶ καὶ κύκνον γενέσθαι, ἀηδόνος δὲ τὴν Θαμύρου, κύκνου δὲ αὖ ψυχὴν ἀνθρώπου γίγνεσθαι καὶ ἄλλα ζῷα μουσικὰ ὡσαύτως φησὶ διὰ τὴν αὐτήν που αἰτίαν τῆς εὐμουσίας, ἀτελοῦς τινος θεραπείας τοῦ λογιστικοῦ καὶ ἀθανάτου μέρους τῆς ψυχῆς. Πολιτ, ί, σ. χιθ', κ' φ. ξ·

Εὐλόγως μὲν οὖν ἄν τις ἰσχυρίσαιτο ὅτι ἔρωτι τῆς ἑαυτῇ ὁμοφυοῦς οὐσίας τὴν ψυχὴν τρέφεσθαί τε καὶ σώζεσθαι ὁ Πλάτων δοξάζει. ἔρωτι μὲν τῶν καλῶν καὶ ἐφέσει τὰ καλὰ λαμβάνειν καὶ αὐτοῦ γε δὴ τοῦ καλοῦ ἀεὶ γνησιώτερον μετέχειν· ἔρωτι δὲ καὶ ἐφέσει τῶν ἀληθῶν τε καὶ δικαίων τἀληθῆ καὶ δίκαια λαμβάνει, καὶ αὐτοῦ δέ γε τοῦ ἀληθοῦς, ἥπερ φύσεως ἔχει, μετέχει· τούτων δὲ μετέχουσα καὶ αὐτοῦ γε τοῦ ἀγαθοῦ, τῶν ἀφθάρτων μετέχει καὶ αἰδίων καὶ ἀθανάτων, τούτῳ δὴ τῷ τρόπῳ ἀθάνατος καὶ αὐτὴ καθίσταται. ἐὰν δὲ ψευδεῖ, αἰσχρῷ καὶ κακῷ ἔρωτι διακναιομένη, πρὸς τὰ ἐναντία τούτων ἀμούσως τε καὶ ἀλογίστως φέρηται, δῆλον ὅτι τοῦ φθαρτοῦ καὶ ἀεὶ μεταβλητοῦ καὶ ζοφώδους ὀρέγεται, οὗ δέ γε ὀρέγεται, τούτου καὶ τυγχάνειν νόμος παντί. ἐφέσει ἄρα τοῦ ὁμοίου καὶ ἕξει τὴν μετεμψύχωσιν γίγνεσθαι τὸν Πλάτωνα ἑρμηνεύειν δοκῶ.

ο μὲν οὖν κύκνος διὰ τὴν τῆς ᾠδῆς ἔφεσιν καὶ ἕξιν ἄνθρωπος ἀοιδὸς καὶ ποιητὴς γίγνεται, καὶ τἀνάπαλιν ὁ ἀοιδὸς καὶ ποιητὴς κύκνου βίου αἵρεσιν διὰ τὸ ᾠδικὸν εἶναι τὸν κύκνον ποιεῖται. ἀλλὰ δυοῖν τρόποιν θατέρῳ γίγνεσθαι ταῦτα ὑποληπτέον· ἤτοι ψυχῆς ἀοιδοῦ δι' ὁμοίου ἔφεσιν ψυχῇ κύκνου ὑπεκχωρούσης καὶ ἄλλοσέ ποι ἰούσης ἢ εἰς κύκνου ψυχὴν ἑαυτὴν μεταβαλλούσης, ἕν δὲ καὶ ταὐτὸν μετ' αὐτοῦ ἀποτελούσης. ἀρχῆθεν γὰρ ἡ μὲν ἄνθρωπον ἀοιδὸν εἰδοποίησεν, ἡ δὲ κύκνον ᾠδικὸν, ἑκατέρα ἑκατέρας δηλονότι διάφορος οὖσα ἐξ ἀρχῆς τὴν φύσιν· ἀλλ' εἰ μὲν τῇ τοῦ κύκνου ψυχῇ ἡ τοῦ ἀοιδοῦ ἀνθρώπου ὑπεκχωρεῖ, πρὸς τῷ ἄτοπον εἶναι τοῦτο, τὸ ὅμοιον ὁμοίῳ ὑπεκχωρεῖν, οὐθὲν ἡμῖν τὸ παράπαν σαφὲς ποιεῖ οὗ γε χάριν ἕνεκα ἀθανασίας πέρι ἀνθρώπου ψυχῆς ἡ παροῦσα ζήτησις καὶ πραγματεία ὑπάρχει, ὅ τί ποτ' αὐτό γε τὸ ὑπεκχωροῦν, αὐτὴ δὴ ἡ τοῦ ἀοιδοῦ ψυχὴ καὶ ὅποι γίγνεται. Εἰ γὰρ τοῦ Θερσίτου ἡ ψυχὴ διὰ τὴν τοῦ γελωποιοῦ πιθήκου ἕξιν τῇ τοῦ πιθήκου ψυχῇ ὑπεκχωρεῖ, τούτου γε ἡμῖν μάλιστα μέλει ἀθανασίας πέρι τοὺς λόγους ποιουμένοις, ὅ τι ποτὲ αὐτοῦ γε τοῦ Θερσίτου η ψυχὴ, ὑπεκχωρήσασα ὅπῃ, ἐγένετο. περὶ δὲ τούτου ἡμῖν ὁ λόγος οὗτος, ὡς λέγω, οὐθὲν λέγει τὸ παράπαν. εἰ δ' αὖ λέγοιμεν ὅτι Θερσίτου ψυχὴ τῇ τοῦ πιθήκου συνελθοῦσα εἰς αὐτὴν ἀφανίζοιτο, ἀπὸ ἀνθρώπου τὸ πρῶτον πίθηκον νῦν δὴ εἰδοποιοῦσα, τὸ ἑαυτῆς εἶδος εἰς ἄλλο εἶδος ἀμείψασα, δῆλον ὅτι ταὐτὸν πάθος πάθοι ἂν καὶ οὗ γε μεθέξει τὸ εἶδος αὕτη καὶ ἔσχε τὸ πρότερον καὶ νῦν ἔχει τὸ δεύτερον. μετείληχε γάρ φαμεν κατὰ Πλάτωνα αὐτὸν ἡ ψυχὴ τῶν ἰδεῶν, τῆς γε οὐσίας τῆς ἀμερίστου καὶ κατὰ ταύτην δὴ τὴν μέθεξιν πάντως εἰδοποιεῖται, ὥςπερ αὖ καὶ τῆς οὐσίας τῆς περὶ

τὰ σώματα μεριστῆς μετέχει, οἷον ἐκμαγείου οὔσης ταύτης αὐτῶν τῶν ἰδεῶν.

Εἰς τοῦτο ἄρα ἡμῖν ὁ λόγος ἀμφοτέρωθεν ἥκει, ὡς εἴπερ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίγνεται, πολλῷ δὴ πρότερον τὰ ἀνόμοια καὶ ἑτεροῖα ἐξ ἑτεροίων τε καὶ ἀνομοίων γίγνοιτ᾽ ἄν. εἰ δὲ καὶ τοιαύτη τις ψυχῶν δι᾽ ὧν τὸ περὶ ἑκάστην φύσιν τῶν ζῴων σῶμα πάντως, οἶμαι, κατὰ Πλάτων᾽ αὐτὸν εἰδοποιεῖται, εἰς ἀλλοειδῶν ζῴων ψυχὰς μετάβασις ὑπάρχοι, οἵαν περ ἄρτι εἰρήκαμεν, ὁποτερῳοῦν τῷ τρόπῳ αὐτὴν φαῖμεν γίγνεσθαι, οὐθὲν ὅλως ἀθανασίας πέρι ψυχῆς ἡμῖν διασαφεῖ. Εἰ μὲν γὰρ καθ᾽ ὑπεκχώρησιν γίγνοιτο, ἀσαφές που ἂν καὶ ἄλυτον ἀπολείποι τὸ ζητούμενον, ζητεῖται δὲ ὅ, τί ποτε καὶ ὅπου δὴ τουτὶ γίγνεται τὸ ἑκάστοθ᾽ ὑπεκχωροῦν. Εἰ δ᾽ αὖ κατὰ σύμμιξίν τιν᾽ εἰς ἕν καὶ ἀφάνισιν γίγνοιτο, ἀνακύκλησιν καὶ οἷον φραγμῶν κατάλυσιν τῶν εἰδῶν καὶ εἰς ἄλληλ᾽ ἄμειψιν ἐμφαίνοι ἂν καὶ τῶν ἰδεῶν δ᾽ ὡσαύτως· τὴν γὰρ ψυχὴν ὁ Πλάτων οἷον πρώτην τινὰ θλάσιν ἐκλαμβάνει καὶ ἀνταύγειαν τῆς ἡλιοειδοῦς αἴγλης τῶν ἰδεῶν, ἔστι δ᾽ οἷ (ἐν τῷ Σοφιστῇ) καὶ αὐταῖς ταῖς ἰδέαις καὶ τῷ εἰλικρινῶς γε ὄντι συγκαταλέγει. καταλύει τοίνυν ὁ λόγος οὗτος ὁ πρὸς ἀθανασίαν ψυχῆς τῷ θείῳ Πλάτωνι εἰρημένος, ὅ,τι μάλιστα θαυμασιώτατον ἐν φιλοσοφίᾳ ὁ Πλάτων ἔθετο τὸ ἀμετάβλητον καὶ παραμόνιμον τῶν ἰδεῶν καὶ δὴ καὶ τῶν εἰδῶν τῶν κοσμικῶν, ὡς ἄν τις δίκαιος ἦν εἰκάσαι, τὸ εἰς ἄλληλ᾽ ἀνέκλυτον.

Ὅσοι γὰρ πρότερον τοῦ Πλάτωνος ἐφιλοσόφησαν, τούτων, οἱ μὲν ἀνακύκλησιν τῶν αἰσθητῶν εἰς ἄλληλ᾽ ἀέναον ἐδέξαντο, οὐδενὸς τὸ παράπαν μένοντος, πλὴν πυροειδοῦς τινος οὐσίας καὶ ταύτης ἴ σ ω ς ῥεούσης, πάντ᾽ ἀναλυούσης, πάντ᾽ ἐκ νέου γεννώσης, ἄνω μὲν

ὁδὸν, κάτω δὲ ὁδὸν ἀεὶ ἰούσης. οἱ δὲ τεσσάρων μενόντων ἀνειδέων τε καὶ ἀσχηματίστων, τά τε κατὰ μέρος αἰσθητὰ καὶ τὰ εἴδη πάντα εἰς ἄλληλ' ἀμείβεσθαι ἐτόπαζον. οἱ δὲ καὶ ἀπείρων σχημάτων μενόντων, ἄλλῃ καὶ ἄλλῃ ἐπιπλοκῇ τούτων δὴ τῶν πρώτων σχημάτων τῶν ἀνειδέων τὰ εἴδη πάντα γίγνεσθαι ᾤοντο, καὶ ἀπόλλυσθαι δ' αὖ πάντα τῇ διαλύσει αὐτῶν τούτων τῶν ἀ τ ό μ ω ν. ἄλλοι δὲ τὰ μὲν εἴδη ἀφροντίστως πως ἐδέξαντο, τῇ δ' εἰς ἀριθμοὺς ἀναλύσει τῶν τε σχημάτων τῶν γεωμετρικῶν καὶ τῶν λόγων τῶν μουσικῶν τὸν νοῦν ἐπιστήσαντες καὶ πάντα τὰ ὄντα ἀριθμοὺς καὶ πάθη ἀριθμῶν εἶναι ἀποφήναντες, τῶν εἰδῶν ἄφνω καὶ κατὰ τὸ δοκοῦν ἐξ ὑπαρχῆς ὑποστρέψαντες ἥψαντο, οὐθὲν δ' ἴδιον φυσιολογήσαντες, ἀνακύκλησιν ὄντων καὶ οὗτοι πρότερον Ἐμπεδοκλέους παρ' ὀθνείας μούσης λαβόντες ἐπὶ τὸ ἠθικώτερον ἤσκησαν, τὴν μετεμψύχωσιν. ἄλλοι δ' αὖ ἓν τὸ ὂν ἅπαν εἰπόντες, πρὸς τὰ εἴδη οὐδ' ἐπέβλεψαν ὅλως. μόνον οὐ πάντες ἐπὶ τὸ πανθεϊστικώτερον ἐφάνησαν φιλοσοφοῦντες καὶ ὁ τὸν Ν ο ῦ ν πάντων αἴτιον ἐπιφημίσας, ὡς οἰκείας οὔσης αὐτοῖς τῆς ἀρχῆθεν φυσιολατρείας. ἀμάραντον τὸ κλέος τοῦ Πλάτωνος καὶ ἄφθαρτον, ἀΐδιον τὸ κῦρος τῆς τε διανοίας καὶ συναισθήσεως τοῦ θείου ἀνδρός. ἕ ν α μὲν οὖν λ ό γ ο ν ξυνὸν εἶπον πάντως οἱ πρόσθεν, ἓ ν δὲ τὸ ἐ ὸ ν ἅπαν, ἕνα δὲ Ν ο ῦ ν ὕμνησεν ὁ Ἀναξαγόρας καὶ ὁ Σωκράτης τὸ θ ε ῖ ο ν. ἀλλ' οὗτος ὁ νοῦς καὶ τὸ θεῖον τοῦ Σωκράτους σύνολόν τι ἔκ τε τῶν φυσικῶν, φαμεν, δυνάμεων καὶ νόμων καὶ τῶν πρόσθεν Θεῶν εἰς ἓν ἐπὶ τὸ ἠθικώτερον ἀπαρτισθὲν, ἄθροισμα οὐσιωδῶς γε ἦν πανθεϊστικόν. πρῶτος ὁ Πλάτων ἐν ἕλλησιν, ὡς λέγω, πρῶτος ἐν τῇ ἀνθρωπαϊκῇ φυλῇ ἁπάσῃ Θεὸν ἐπιστημονικῶς ἔθετο ἕνα, καὶ Θεϊστὴς ἐν πᾶσιν ἐκείνοις μόνος ὤφθη, τὰς ἰδέας μο-

νήν τε ἐχούσας καὶ οὐσίαν ἑκάστην καθ' ἑαυτὴν, οἷον φραγμὸν θέμενος ἀνυπέρβλητον, ὡς ἐγῷμαι, καὶ ἐς ἀεὶ ἐμποδὼν μένοντα τοῖς πανθεϊστικῶς φιλοσοφεῖν προαιρουμένοις. ταύτης δὲ τῆς δαιμονίου ἰδεολογίας ὁ Ἀριστοτέλης τὸ ἐμ:ειρικόν, φαμεν, βρῖθος καὶ τὸ οὐσιῶδες κῦρος παραβλέψας καί που ἄντικρυς διαβαλὼν, ὡς ἐξ ὑπογυίου τε καὶ εἰκῇ αἰτοάνθρωπος, αὐτοΐππος λεχθὲν εἰπὼν, ὀλιγώρως δέ πως αὐτῆς καὶ ἐκτόπως ἁψάμενος, ἐκτόπως δὲ λέγω τὸ μεταξὺ τῆς ἰδέας καὶ τοῦ αἰσθητοῦ τὴν τῆς κινήσεως ἀρχὴν ζητῆσαι, ἀνεπαρκῆ αὐτὴν ἀνεπαρκῶς πάνυ ἐξήλεγξε. (*) *τὰς*

(*) Ἴσως μὲν οὖν ἄν τις λόγον ἔχειν οἴοιτο λέγειν ὡς ἀρχὴν τῆς κινήσεως τὴν ψυχὴν μεσολαβεῖν διαῤῥήδην φάναι τὸν Πλάτωνα τήν τε παγκόσμιον καὶ τὴν ἀνθρωπικὴν, αὐτὸν τὸν Πλάτωνα ἐπιμαρτυρόμενος, ὅς ἐν δεκάτῳ τῶν Νόμων (σ. ωϟϛ'·) « τὴν δυναμένην αὐτὴν αὐτὴν κινεῖν κίνησιν » τὴν ψυχὴν ὁρίζεται, καὶ, ὥσπερ αὐτόθι ἔτι πρότερον εἴρηκε (σ ωϟέ· κ. φ. ξ'·), κινήσεων πασῶν ἐῤῥωμενεστάτην τε εἶναι καὶ πρακτικὴν διαφερόντως τὴν ἑαυτὴν κινοῦσαν λέγει, χίλια ἐπὶ μυρίοις ἕτερα κινοῦσαν, κινήσεως ἀρχὴν πρώτην ἁπάσης· οὐκ ὀρθῶς μέντ' ἂν ἐκεῖνος οὕτως ὑπὲρ Πλάτωνος πρὸς Ἀριστοτέλη ἀπολογήσαιτο· καὶ γὰρ αὐτὴν τὴν ψυχὴν ὁ Πλάτων τῆς γε ἰδέης μετέχειν φησὶ τῆς κινήσεως (τῆς τακτικῆς δηλονότι κινήσεως) καὶ τῆς ζωῆς, οὐκ αὐτὸ τὸ πρώτως κινοῦν καὶ κινήσεως ἀρχὴν κυρίως γε καὶ οὐσιωδῶς τὴν ψυχὴν λέγων. Διὸ δὴ καὶ αὖθίς φαμεν ἐκτόπως τὸν Ἀριστοτέλη τὴν τῆς κινήσεως ἀρχὴν μεταξὺ τῆς ἰδέας καὶ τοῦ αἰσθητοῦ ζητῆσαι, ἐξόν γ' αὐτῷ μόνον ἐν ταῖς ἰδέαις αὐτὴν ζητῆσαι.

Περὶ δὲ τοῦ ὅπως τοῖς συνωνύμοις αἰσθητοῖς ἡ μέθεξις γίγνεται τῆς ἰδέας καὶ ὅσων ἄλλων ἀποριῶν ὁ Ἀριστοτέλης τῷ Πλάτωνι ἐπεγείρει περὶ τῶν ἰδεῶν οὐ προστιθέμεθα, ᾗπερ προσχαίρω ἀπολογίᾳ ὁ σοφὸς Σελλέριος εὐφυέστατ' ἀνθρώπων ποιεῖται τὴν ἑαυτοῦ ἀντίληψιν βουλόμενος κυρῶσαι, περὶ τῆς κατὰ Πλάτωνα δεξαμενῆς ὡς μηδεμίαν ὑπόστασιν ὑλικὴν ἐχούσης, τούτων πέρι εἰσαῦθις τὰ ἡμῖν δοκοῦντα ἐροῦμεν ἀφέλειάν τε δεξόμεθα καὶ τρόπον τινὰ αὐτάρκειαν τῆς διανοίας τῶν πάλαι καὶ Πλάτωνος αὐτοῦ περὶ τὴν ἔρευναν ἄλλων τε πέρι τῶν ἐν τῇ φύσει γιγνομένων καὶ τῶν σχέσεων τῶν κοσμικῶν σωμάτων πρὸς ἄλληλα, καθ' ἥνπερ ἀναλογίαν καὶ τὴν σχέσιν δοκοῦμεν τῶν ἰδεῶν πρὸς τὰ αἰσθητὰ αὐτάρκως πως

δὲ κατηγορίας αὐτὸς ἔθετο, τάς τε τῶν πρόσθεν (οὐ τοὺς «καθόλου λόγους» Ἀρχύτου τινὸς, λέγω, περιπατητικοῦ γε γενομένου, ἀλλὰ Πλάτωνος αὐτοῦ) παραλαβὼν, τὰς δ' ἄλλας αὐτὸς ὡς ἔτυχεν, διερευνήσας. τούτων δὴ τῶν κατηγοριῶν ἡ ἑρμηνευτικὴ πραγματεία λέξεων μὲν κατακορὴς, νοῦ δὲ καὶ διανοίας παντάπασι κενὴ δι' αἰώνων διελθοῦσα, ἐπιστημονικὸν βρῖθος καὶ λογικὴν διασκευὴν ὀψέποτε λαβοῦσα, ἔμελλέ ποτε κατ' ἀνάγκην εἰς πανθεϊσμὸν νοερὸν ἀπολήξειν, καὶ ἀπέληξε παρὰ Γερμανοῖς τοῖς μετὰ τὸν Κάντιον. τήν γε μὴν ἰδεολογίαν τοῦ Πλάτωνος ὡς ποιητικωτέρας φρενὸς εὕρημα ἐπιπολῆς μετῆλθον οἱ φιλοσοφοῦντες καὶ ἐπιπολῆς ἄλλοι ἄλλως ἢ ἐθαύμασαν ἢ ἐπέκριναν, τῶν Γερμανῶν συχνοὶ, τὰς ἰδέας ταῖς κατηγορίαις διὰ πλημμελῆ ἕξιν καὶ ἀπροσεξίαν ἀνταλλάσσοντες καὶ λογικήν τινα καὶ ἐνούσιον ἐξ ἀλλήλων παραγωγὴν, εἰς ἀλλήλας τε καὶ εἰς μίαν κατ' οὐσίαν σύμμιξιν καὶ ἀνάλυσιν ἀπροσέκτως πάνυ ἐπιζητοῦντες, τοιαύτην δὲ διαλεκτικὴν ἀβελτηρίαν τε καὶ ἀτοπίαν παρὰ Πλάτωνι, ὡς εἰκὸς, μὴ εὑρίσκοντες, ἑτοίμως πάνυ τὸν Πλάτωνα ἀνεπιστημοσύνης περὶ τὰς ἰδέας μέμφονται καὶ ἑαυτοὺς οὕτω φανεροὺς ποιοῦσιν, μηδ' ὁπωστιοῦν τὴν τῶν ἰδεῶν δύναμιν ἐννοήσαντας. ἄλλο μὲν γάρ εἶναί φαμεν ἡμεῖς γε τὸ ἐπὶ πᾶσιν ὁμοίως κοινὸν, πᾶν δὲ ἄλλο τὸ κοινὸν ἐπὶ πᾶσι τοῖς ὁμοίοις. τὸ μὲν γὰρ σχέσιν τινὰ εἶναι τῶν ὄντων πρὸς ἄλληλα πέρας ἐχόντων πρὸς πέρας ἔχοντα, ἐν αὐτῷ δέ γε τῷ ὄντι ὡς ἀπείρῳ εἰς οὐδένειαν ἰοῦσαν, οἷον δὴ μηδ' αὐτῷ τῷ ἀνθρωπίνῳ λογισμῷ εἰς ἔσχατον τέλος

τὸν Πλάτωνα εἰρηκέναι. τὴν γὰρ περὶ τὰ φυσικὰ τοῦ Πλάτωνος πραγματείαν εὐχερῶς ἄν τις καὶ ἄλλων τοιούτων ἐλλείψεων μεστὴν ἀποφήνειε, πρός γε τὴν νῦν ἐπιστήμην οὖσαν περὶ αὐτὰ αὐτὴν βασανίζων.

ἀναγκαίαν οὖσαν. τὸ δὲ ποιότητα εἶναι, μὴ ὅτι γε τὴν καθόλου κατηγορίαν αὖθις λέγω, εἰς ποιότητά τινα ἀναφορὰν ἔχουσαν, ἐξ ἀϊδίου ἐν τῷ παντὶ γεγονυῖάν τε καὶ οὖσαν καὶ ἐσομένην ἐπὶ αἰῶνα τὸν ἀΐδιον. ἔτι δὲ τὸ μέν φαμεν τῷ ἡμετέρῳ νῷ συμβεβηκέναι, καθ' ὅσον περ ὄν ἐστι κατὰ μέρος σχέσιν πρὸς τὰ ἄλλα τὰ κατὰ μέρος ἔχων, οἷς ἐπίσης κοινῇ συμβεβηκέναι ἐκεῖνο, ὡς σχέσις ἁπλῆ, οὐχ ὡς οὐσίαν τινά τι ἔχον, πλεονεκτεῖν δέ γε τῶν ἄλλων τὸν ἐν ἡμῖν νοῦν τῷ δύνασθαι νοεῖν αὐτὰ οὕτως ἔχειν. τὸ δ' αὖ ἐνὶ ἑκάστῳ τῶν ἐπὶ πᾶσι τοῖς ὁμοίοις κοινῶν οἷον ὑπόστασίν τιν' εἶναί φαμεν, καθ' ἑαυτὴν τῷ ὄντι ὑπάρχουσαν, ἑκάστης τῶν ἄλλων χωρὶς, μονὴν ἀΐδιον ἔχουσαν. ὅταν, φέρ' εἰπεῖν, ἓν λέγω καὶ πολλά, πέρας τε καὶ ἄπειρον, σχέσεις τινὰς τῶν ὄντων πρὸς ἄλληλα λέγω, ὥσπερ ὡς νοῦν ἔχων νοῶ. ὅταν μέντοι ζῷον λέγω, φυτὸν, ὀρυκτὸν καὶ τὰ ἑκάστῳ τούτων μυρία μυριαχῶς ὑποτεταγμένα εἴδη· οὐκέτι σχέσιν τινὰ ἁπλῆν λέγω, ἀλλά τι κατ' ἀνθυπόστασιν ἐντελεχείᾳ ὄν, ὅπερ νοῶ. τὰς μὲν οὖν σχέσεις ἁπάντων ὁμοίως γέ φαμεν τῶν ὄντων πρὸς ἄλληλα κατηγορίας λέγομεν, τὰς δὲ ἀρχῆθεν ἐν τῷ παντὶ ποιότητας, εἴδη δυνάμει, ἐνεργείᾳ καὶ ἐντελεχείᾳ κατὰ σμικρὸν προσαγορεύομεν. Ἐπεὶ δὴ οὖν ὁ θεῖος Πλάτων ἅς γε κατηγορίας ἐτύγχανεν εἰδὼς καὶ τὰς ἄλλας τὰς μερικωτέρας τῶν ὄντων σχέσεις τὰς πρὸς ἄλληλα ταῖς ἰδέαις πως ἐπιπλέκων φαίνεται, οὐ διακριδὸν τὰς φύσεις ἀλλήλων διαστέλλων καὶ τοῦτον τὸν τρόπον αὐτὰς, ὡς ἔπος εἰπεῖν, διαβάλλων (τοῦτο δὲ ἐνθένδέ ποθεν αὐτῷ συμβῆναι δοκῶ ὅτι πρῶτον μὲν ἐκ τῶν Σωκρατικῶν ὁρισμῶν ἤτοι τῶν καθόλου λόγων ὥρμητο, ὑστέρῳ δὲ χρόνῳ καὶ κοσμολογικὴν δύναμιν ταῖς ἰδέαις περιῆψε)· διὰ τοῦτο ὡς πρὸς μὲν τὰς κα-

τηγορίας τὰ Παρμενίδη ἀμυδρῶς πως δόξαντα μᾶλλον προςιέμεθα, καθαπεροῦν καὶ ἀλλαχοῦ ἤδη διὰ μακροτέρων εἰρήκαμεν, ὡς πρὸς δὲ τὰ εἴδη Πλάτωνα γεραίρομεν. οἱ μὲν γὰρ περὶ τὸν Παρμενίδην τὰς ὕστερον κατηγορίας κληθείσας οὔ φασιν εἶναι, τ ὰ ς ἰ δ έ α ς τὸ παράπαν ἀγνοοῦντες, εἰ καὶ ὑπὸ Πλάτωνος, ὡς γιγνώσκοντες αὐτὰς ποιοῦνται· ὁ δὲ Πλάτων τὰς ἰδέας τίθεται, ἃς ἀγαμένως πάνυ δεχόμεθα. Καὶ γὰρ εἴπερ αἱ κατηγορίαι σχέσεις τινές εἰσι πάντως τῶν ὄντων πρὸς ἄλληλα, ἃς ὁ νοῦς νοεῖ, οὐδεμίαν ὑπόστασιν τῷ λόγῳ τῷ ἐποπτικῷ φανοῦνται ἔχουσαι ἐν αὐτῷ γε τῷ εἰλικρινῶς ὄντι. εἰ δ' οὖν ὁ Πλάτων εἶναί πως τὸ οὐκ ὂν φησι καὶ τοῦτο τὸ οὐκ ὂν ἄρσιν λέγει ἥκιστα τοῦ ὡς ἀληθῶς γε ὄντος, ἀλλὰ μόνου τοῦ τῇδε ἢ τῇδε ὄντος, ταῦτα δὲ ἕνεκα τῆς μεριστῆς οὐσίας χάριν γίγνεσθαι πάντως, δῆλον ὅτι πάντα τὰ ἐκ ταύτης τῆς πρὸς ἀλλήλω σχέσεως τοῦ ὄντος καὶ τοῦ οὐκ ὄντος πως ποριζόμενα ὑπόστασιν μὲν οὐδεμίαν φανεῖται ἔχειν κατὰ Πλάτωνα, πλὴν ὅσον τὸ διαλέγεσθαι παρασκευάζειν μόνον περὶ τῶν ἐν τῷ κόσμῳ γιγνομένων τε καὶ οἰχομένων. εἰ δ' οὖν μηδεμίαν ὑπόστασιν ἔχει ταῦτα τὸ ἓν καὶ τὰ πολλὰ, τὸ σμικρὸν καὶ μέγα, οὐ τῶν παραδοξοτάτων ἂν φανείη ὅτι Πλάτων μὴ ὅτι τούτων γε μόνων, 'λλὰ καὶ αὐτοῦ τοῦ μὴ ὄντος ἄντικρυς καὶ τοῦ κακοῦ ἰδέας τίθεται; ἀλλ' ἡ ἀπορία αἴρεται, οἶμαι, ἄρδην, εἴ τις ἂν οὕτω πως ταῦτα νοεῖν ἐθέλοι· τίθεσθαι μὲν γὰρ ἰδέαν φάσκων τὸν Πλάτωνα τοῦ μὴ ὄντος, σχολῇ μέντοι ὡς ἀληθῶς γε ὄντος, ἀλλὰ τοῦ μὴ ὄντος π ω ς ἤτοι τοῦ ἄλλως, τοῦ τῇδε ἢ τῇδε καὶ μάλα ὄντος. ὡςαύτως ἰδέαν τοῦ κακοῦ τιθέμενον, ἥκιστά γε πάντων τὸ κακὸν αὐτὸ ὂν λέγειν, ὅπερ ᾧ ἂν κατάσχῃ ὄλεθρον προςάγει αὐτό τε ὄλεθρος ὂν, μηδὲν ὂν, ἀλλὰ το π ρ ό ς

τι κακὸν νοεῖν αὐτὸν πάντως φατέον, πρὸς δὲ ἄλλο τι μηδαμῶς κακὸν ὄν, ἀλλ' ἄλλο τι τῶν τῇδε ἢ τῇδε ὄντων· μηδαμοῦ γὰρ τὸ πᾶν ἔρημον εἶναι ὄντος τὸν Πλάτωνα δοξάσαι ὑποληπτέον, ἀλλὰ τὰ εἴδη κατὰ συνοχὴν τὸ πᾶν ἐπ' ἄπειρον πάντη ἐπιλαμβάνειν, ἕκαστον τὸ ἴδιον εἶναι ἔχον, οἵαςοῦν μετουσιώσεως ἀπαθὲς, καίπερ τοῖς ἄλλοις δι' ὁμοιότητα ἐπιπλεκόμενον.

Ἡ δὲ λογικὴ σύνθεσις καὶ διαλεκτικὴ τῶν ἰδεῶν κατασκευὴ δι' ἀλλήλων τε καὶ ἐξ ἀλλήλων οὐχ ὡς φιλοσοφίας ὄργανον τὴν λογικὴν ἁπλῶς ἂν ἀποτελέσειεν, ὥς μοι φαίνονται δοξάζοντές τε ἅμα καὶ θηρῶντες οἱ τὴν Πλατωνικὴν ἰδεολογίαν, ὡς ἄρτι εἴρηται, ἐπικρίνοντες σοφοὶ τὰ νῦν, ἀλλ' ἀποτελέσειεν ἂν αὐτὴν ὡς μέρος ὂν τῆς φιλοσοφίας, πρὸς δὲ τῇ λογικῇ τήν τε ὀντολογίαν καθόλου καὶ τὴν κοσμολογίαν πᾶσαν. διὰ δὴ τοῦτο καὶ ὁ θεῖος Πλάτων ἐν Φιλήβῳ τὴν ἀρίθμησιν τῶν εἰδῶν ὅλων ὡς ἀμήχανόν τι τὸ μέγεθος ἔργον σαφῶς πάνυ ὑπολαμβάνων φαίνεται.

Οὕτως οὖν ἡ τοῦ Πλάτωνος ἰδεολογία ἔσχατός τίς μοι δοκεῖ φραγμὸς καὶ ἀνυπέρβλητος πάμπαν εἶναί τε καὶ ἔσεσθαί γε δὴ ἀεὶ τοῖς καθ' ὁντιναοῦν τοῦ τρισσοῦ πανθεϊσμοῦ φιλοσοφεῖν προαιρουμένοις. εἰ μὲν γὰρ τὰ αἰσθητὰ καθ' ὕλην εἰς ἀλληλ' ἀνακυκλεῖται, τῶν εἰδῶν μέντοι ἕκαςον, τῶν ἄλλων χωρὶς, διὰ παντὸς παραμένει διὰ τὰς ἐν τῷ παντὶ ἀρχῆθεν και ἐξ ἀϊδίου ἐνούσας ποιότητας, εἰ καὶ ὅμοιον ὁμοίῳ, ἰδέα ἰδέᾳ ἢ εἶδος εἴδει ἁπλοῦν ἁπλῷ, νοητὸν μὲν νοητῷ, αἰσθητὸν δὲ αἰσθητῷ, νοητόν τε αὖ αἰσθητῷ καὶ αἰσθητὸν νοητῷ τῷ τῆς ὁμοιότητος νόμῳ ἐπιπλεκόμενα διὰ βραχυτέρας ἢ μακροτέρας ὁδοῦ ὁμοίων, τόν τε νοερὸν καὶ τὸν αἰσθητὸν κόσμον ἀποτελεῖ. διασαφήσεως γὰρ καὶ τελεώσεως αἱ τοῦ Πλάτωνος ἰδέαι πάντως δέονται.

Ἀλλ' οὐχ ἧσσον ὁμολογητέον μοι ἐνταῦθα ὅτι καὶ αὐτὸς ὁ δαιμόνιος Πλάτων πολυχρονίῳ ἕξει ἐκ τῆς ἀνέκαθεν φυσιολογίας καὶ φυσιολατρείας αὐτῷ προσγενομένῃ λεληθότως πως ὑπενδοῦναι ἔοικε, λόγον ἀθανασίας πέρι ψυχῆς εἰς μέσον ἐνεγκὼν, ὃν ὤφειλε πρότερον παντὶ σθένει καταλύσας, οὕτως ἀσφαλέστερόν τι, περὶ τοῦ ζητουμένου εἰπεῖν ἐπιχειρῆσαι. ἐκ τῶν ἐναντίων γὰρ τὰ ἐναντία γίγνεσθαι εἰπὼν, λόγον ἐκ τῆς πανθεϊστικῆς τῶν ὄντων ἀντιλήψεως παρέλαβεν πρὸς ἀπόδειξιν δόγματος κυριώτατά γε Θεϊστικοῦ. ὅσοι γὰρ Δημιουργὸν τῶν ἁπάντων χωρὶς ἕνα ὑπέρτατον γεραίρουσιν, ἀθανασίαν ψυχῆς λέγοντες, οὔ τοι ψυχῶν ἀνακύκλησίν τινα νοοῦσιν ἀπὸ κύκνου ψυχῆς εἰς ἀνθρώπου, ἀπὸ δ' ἀνθρώπου εἰς λέοντος ἢ πιθήκου καὶ τῶν τοιούτων, ἀλλ' ἀθανασίαν ψυχῆς ἀθρώπου λέγομεν, ἐπειδὰν ἐπιεικῶς τοῦτο δειχθῇ ὅτι ἀνθρώπου ἡ ἀνθρώπου ψυχὴ ἀεὶ μένει, δίκην διδοῦσα ἢ ἀντίδοσιν λαμβάνουσα, οἷά περ ἀνθρώπῳ προσήκει, τῶν ἐν ἀνθρώποις καὶ αὐτῇ γε ἀνθρώπῳ πεπραγμένων. ὥστε εἴ τινι μέλει ἀθανασίας πέρι ψυχῆς γνησίας ἄξιόν τι λόγου εἰπόντι ἀνύσαι, τοῦτό γε πρῶτον φροντισάτω, φροῦδον τὸν κ υ ρ ι ώ τ α τ ο ν λόγον τὸν ἐν Φαίδωνι εἰσαγόμενον ἀποδεῖξαι ὡς οὐθὲν κῦρος τὸ παράπαν ἔχοντα. ἐν ὅσῳ γὰρ ἂν οὗτός γε ὁ λόγος, ᾧ Πλάτων διὰ προτέραν ἕξιν πλείστην ὅσην μοῖραν προσνέμει, κῦρος καὶ μονιμότητα φαίνηται ἔχων, ἡ καθ' ἡμᾶς τῆς ψυχῆς ἀθανασία τετέλεσται, οὐχ ὑπάρχει.

Ὑπομνηστέον δέ μοι καὶ τάδε. ὅτι ἐν μὲν τῷ Γοργίᾳ ὁ Πλάτων, τὴν πολιτείαν πονηρῶν σοφιστῶν εὐφυέστατ' ἀνθρώπων κερτομῶν, νουθετικὸν λόγον περὶ τῆς ἐν Αἴδου μετὰ θάνατον τύχης τῶν ἀνθρωπίνων ψυχῶν διηγούμενος, τριχῇ τὰς ψυχὰς φαίνεται διαιρῶν εἰς ἑ-

σχάτως πονηρὰς καὶ δι' ἀνοσιότητα καὶ πονηρίαν ἐσχάτην ἀνιάτους, ἃς ὁ ἐν Αἴδου ἀμείλικτος κριτὴς εἰς κρίσιν ἐλθούσας εὐθὺ τοῦ ταρτάρου ἀτίμως ἀποπέμπει ὅπως τιμωρίαν ἀνατλήσοιντο τὴν προσήκουσαν οὐκ ἐπὶ βελτιώσει τῇ ἑαυτῶν, ἅτε πάμπαν ἀνιάτως ἔχουσαι, ἀλλ' ἵνα ἐν Αἴδου ἐν τῷ δεσμωτηρίῳ ἀνηρτημένα παραδείγματα φοβερὰ τοῖς ἄλλοις τοῖς ἧσσον πονηροῖς τον ἀεὶ χρόνον ἔσοιντο, τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχουσαι. τὰς δὲ ἐναντίας τούτων τὰς ἐν φιλοσοφίᾳ ἀδόλως τε καὶ καθαρῶς καὶ ὁσίως τὸν βίον διαγαγούσας εἰς μακάρων νήσους ἀγάμενος ἀποπέμπει. καὶ ἄλλας δὲ ἧσσον πονηρὰς ψυχὰς λέγει ἰάσιμα ἁμαρτήματα ἁμαρτούσας καὶ δίκην ἐπ' ὠφελείᾳ τῇ ἑαυτῶν καὶ βελτιώσει διδούσας. πλάνην δὲ ψυχῶν εἴδη ἄλλα ἐξ ἄλλων εἰδῶν ἀμειβουσῶν ἤτοι ἀνακύκλησιν πανθεϊστικὴν, τὴν μετεμψύχωσιν οὐκ αἴσθοιτό τις ἂν ἐν τούτῳ τῷ διαλόγῳ φανερῶς εἰρημένην, εἰ μὴ ὅσον ἂν ὑποταπάσειεν ἁπλῶς, ἀλλὰ τίσιν καὶ ἀμοιβὴν εἰς τέλος ἔσχατον ἑκατέραν ἰοῦσαν τελέαν τε διαλλαγὴν ἐπὶ τὸ Θεϊστικώτερον εὑρήσει. Ἐν δὲ τῷ Φαίδρῳ πάλιν ἐναργέστατα τοιαύτην πλάνην τῶν ψυχῶν καὶ παλινδρομίαν ὁ Πλάτων διατραγῳδεῖ παραπλησίως πως ἐνιαχοῦ τῷ Πινδάρῳ, ὧν ἔνια οἱ Αἰγυπτιολόγοι οὐ πάμπαν ἀτόπως, οἶμαι, ὡς ἐξ Ἀγύπτου προελθόντα εἰκάζουσιν (ἔπιθι καὶ τὸ ἡμέτερον προοίμιον). Ἐν δὲ δὴ τῷ Φαίδωνι ἀμφότερα τὰ σχήματα, ὡς καὶ ἐν τῷ πρόσθεν εἰρήκαμεν, ἀναμὶξ ἀλλήλοις ἀπαντᾶται, ἥ τε ἀλλοειδῶν ψυχῶν εἰς ἀλλοειδεῖς παλίντροπος πορεία, περὶ ἧς ἤδη διελάβομεν, καὶ ἡ εἰς τέλος ἔσχατον ἰοῦσα τίσις ἢ ἀντίδοσις τῶν ἐνθάδε αὐταῖς βεβιωμένων, ἣ δὴ καὶ πολλῷ καταφανεστέρα τῆς ἄλλης, τῆς παλινδρομίας περὶ τὸ τέλος τοῦ διαλόγου λέγεται ὧδε· καὶ γὰρ ὅσοι

μὲν ἂν δόξωσι τοῖς ἐν Αἴδου δικασταῖς «ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τοιαῦτα τυγχάνει ὄντα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν.» τὸ γὰρ κακόν ἐστιν ὀλέθριον πάντως καὶ ἡ κακία ὄλεθρος καὶ θάνατος ἔσχατος, ὅπως αὖ σωτήριόν ἐστι τὸ ἀγαθὸν καὶ ἡ ἀγαθότης σωτηρία καὶ ζωὴ τοῦ ἀληθοῦς, καὶ τοῦ καλοῦ. πᾶσα ψυχὴ ἄρα ἐσχάτως κακὴ γιγνομένη καὶ δὴ καὶ οὐθὲν μόριον τοῦ ἀληθοῦς, οὐδὲ τοῦ καλοῦ ἐν ἑαυτῇ οἵα τε οὖσα σώζειν, ἀπόλλυται ἄρδην καὶ ἀπολλυμένη, εἰς τὸν μελαντειχῆ καὶ ἀφανῆ τάρταρον ῥίπτεται, ὅθεν οὔποτε ἐκβαίνει. (*) κλέος ἀμάραντον

(*) Ταῦτα δ' ἀμηγέπῃ διαφωνεῖν ἔοικε πρὸς ἃ ἐν δεκάτῳ τῆς πολιτείας (σ. χή. Ε. κ. φ. ξ.) περὶ ψυχῆς ἀποφαίνεται, μηδὲ τὸ οἰκεῖον καὶ ἔμφυτον αὐτῇ γιγνόμενον κακὸν δύναμιν ἔχειν λέγων μαραίνειν τε αὐτὴν καὶ διολλύναι, οὕτως ἀθάνατόν τι χρῆμα τὴν ψυχὴν εἶναι φύσει καὶ ἀνώλεθρον πάντῃ. ἀλλὰ ταῦτα λέγοντα ἴσως ἂν τοιόνδε τι ἐν νῷ ἔχειν αὐτὸν εὐλόγως εἰκάσαιμεν ὅτι πᾶν κακὸν τοῦ θυμοειδοῦς καὶ ἐπιθυμητικοῦ ἤτοι τοῦ θνητοῦ μορίου τῆς ψυχῆς οἷόν τ' ἂν εἴη ἅπτεσθαι, τοῦ δὲ λογιστικοῦ οὐ μήποτε ἅψηται μηδαμῶς. τὸ δὲ λογιστικὸν μάλιστά ἐστιν αὐτῆς γε τῆς ἰδέας τῆς ζωῆς μετέχον, ᾧ τε ἂν κατάσχῃ ἄλλῳ ζωὴν ἀεὶ παρέχον, θάνατόν τε καὶ ὄλεθρον παντάπασιν ἀνίσχυρον ἐλέγχον. ἐπικρατεῖν μὲν οὖν αὐτὸ κακίας προσιούσης αὐτίκα ὑποληπτέον, ἐὰν ἁγνόν τε ὂν διατελῇ καὶ δι' ἁγνότητα κραταιὸν, κατὰ σχολὴν δὲ καὶ μάλα μόγις, ἐὰν μοχθηρᾷ ἕξει τύχῃ πάντοθεν τῷ γεώδει πεφυρμένον, τίσιν ἐπίμοχθον διδὸν ἀνάγκῃ τε θείᾳ καθαιρόμενον, εἰς δὲ τὸν ἄνω τόπον τὸν καθαρὸν δι' αἰώνων ποτὲ σωζόμενον. τὴν δὲ ἐσχάτην κακίαν καὶ μοχθηρίαν, οἷον δὴ ἀθρόαν δι' ἀμέλειαν καὶ ἀνανδρίαν τῇ ψυχῇ πάντοθεν τοῦ σώματος ἐπεισρέουσαν φυγαδεύειν τὸ λογιστικὸν ὑποληπτέον φάναι ἂν τὸν Πλάτωνα δοκῶ καὶ ἐν τῷδε τῷ βίῳ πρότερόν ποτε οὕτως, ὥστε τὸν ἐν Αἴδου δικαστὴν μηθὲν μόριον τῆς ἀθανάτου μοίρας ἐν τῇ προσιούσῃ ψυχῇ εὑρίσκοντα εὐθὺ ταρτάρου τὸ λοιπὸν, ὡς παντάπασι θνητὸν ἀτίμως ἀποπέμπει. ἀλλὰ γὰρ

καὶ ἀπὸ ταύτης τῆς ἀληθοῦς ἐξ ἴσου καὶ μεγαλοπρεποῦς θεωρίας τῷ θείῳ Πλάτωνι αὐξάνεται. Οὗτοι μὲν οὖν δή εἰσιν οἱ τὴν κατωτάτω ἐσχατιὰν τῆς κακίας κακῶς τε καὶ αἰσχρῶς νεμόμενοι καὶ ἀπολλύμενοι. οἱ δὲ οὐρανίᾳ αἴγλῃ καὶ χαρμονῇ ἐν ὑψίστοις ἀγαλλόμενοι, οἳ ἂν δόξωσι « διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥς περ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ΕΠΙ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.» (Φαίδ. σ. ριδ΄.) καὶ ἐν ἄλλοις δὲ ἀξιολογωτάτοις τῶν Πλάτωνος διαλόγων, ἔν τε πολιτείᾳ καὶ ἐν Τιμαίῳ ἀμφότερα τὰ δόγματα αὖθις ἀναφαίνεται ἀλλήλοις κεκραμένα, ἥ τε μετεμψύχωσις καὶ ἡ ἐσχάτη τίσις τῶν ψυχῶν μετὰ θάνατον ἢ δικαίωσις. ὅπερ οὖν λέγω, φανότατον νῦν δὴ γίγνεται ὅτι ὁ Πλάτων διὰ παλαιόθεν ἕξιν φυσιολατρικὴν δύο δόγματα τά γε ἀλλήλοις ἐναντιώτατα ὄντα, ἑαυτὸν λανθάνων εἰς ἓν βίᾳ πως συνάπτει, ὧν θἄτερον ἐκ διαμέτρου ἀντίκειται τῇ ὅλῃ πραγματείᾳ αὐτοῦ καὶ διατριβῇ

δίκαιός τις ἂν εἴη πάντως εἰπεῖν, ὡς εἴπερ ἡ ἐσχάτη κακία ἀναγκάζει πως τὸ λογιστικὸν τῇ θνητῇ τῆς ψυχῆς μοίρᾳ ὑπεκχωρεῖν, ἥ τὴν πονηρίαν ἔχει, τὸ δ᾽ αὖ λογιστικὸν μάλιστα ὡς τὴν κατ᾽ ἐξοχὴν ψυχὴν αἴτιον ζωῆς ὁ Πλάτων εἶναι λέγει, συμβαίη ἂν ἄρα τὴν ἐσχάτην κακίαν οἷον δὴ τὸ λογιστικὸν καὶ ἅμα τούτῳ τὴν τῆς ζωῆς ἀρχὴν ἀπελαύνουσαν θανάτου πρόξενον γίγνεσθαι τοῖς ἐσχάτως πονηροῖς, ὅπερ Πλάτων διαρρήδην ἐν τῷ αὐτῷ τούτῳ τόπῳ ἀρνεῖται. ἀλλὰ γὰρ τούτου αὐτὸς ὁ Πλάτων ἡμῖν ὑπόλογος μενέτω ὁ τὴν ψυχὴν αἴτιον τῆς ζωῆς ἀποφηνάμενος.

περὶ τῶν ἰδεῶν. καί μοι δοκοῦσιν ἄνδρες ἐν φιλοσοφίᾳ τε ὁμοίως καὶ θεολογίᾳ ἐπιστημονικῇ τὰ πρῶτα φέροντες παρὰ Γερμανοῖς δι' ὁμοίαν τινὰ ἕξιν πανθεϊστικὴν ῥήσεις τινὰς τοῦ ἱεροῦ εὐαγγελίου, μάλιστα δὲ Παύλου τοῦ ἀποστόλου οὐθὲν ἄλλο κυρίως δηλούσας ἢ τὴν διὰ πάντων ἥκουσαν πρόνοιαν τοῦ ἑνὸς Θεοῦ, ὡς πανθεϊστικῆς τινος ἐννοίας ἄντικρυς ἐχομένας ἐκλαμβάνουσι, καὶ περὶ τοῦ Πλάτωνος δὲ οἱ αὐτοὶ ἀποφαίνονται ὅτι τὰ περὶ ἀθανασίας τῆς ψυχῆς δόγματα καὶ οὕς γε λόγους πρὸς ἀπόδειξιν αὐτῆς ποιεῖται κατὰ πάντα τῇ περὶ τοῦ εἰδέναι θεωρίᾳ αὐτοῦ συνᾴδουσιν. Εἰκότως γε οὗτοι τὸν πανθεϊσμὸν, ᾧ οὕτως οἰκείως εἶχον, ὡς οὐδ' ὁπωςτιοῦν ἀπᾴδοντα αἰσθάνονται πρὸς τὴν Θεϊςικὴν τοῦ Πλάτωνος πραγματείαν ἤτοι τὴν ἰδεολογίαν.

Γιγνώσκειν μὲν γὰρ τὴν ψυχήν φησιν ὁ Πλάτων τὸ ὂν τὸ ἀληθὲς ἤτοι τὰς ἰδέας, ἐπειδὰν πρότερον τῆς τῶν αἰσθήσεων τύρβης καὶ τῶν αἰσθητῶν, ὡς δυνατὸν, μονωθεῖσα, καθαρὰ καθαραῖς αὐταῖς ἐπιβάλῃ. ἀλλ' ἅπτεσθαί γε δὴ αὐτῶν πάλιν λέγει αὐτὴν οὐκ ἄλλως ἢ ὡς ἰδεῶν, ἑκάστης αὐτῶν, καίπερ ταῖς λοιπαῖς ἐπιπλεκομένης, καθ' ἑαυτὴν, τῶν τε συνωνύμων αὐτῇ αἰσθητῶν καὶ τῶν ἄλλων ἰδεῶν χωρὶς οὔσης διακριδὸν ἀεὶ, μηδέποτε δ' ἄλλης εἰς ἄλλην μεταβαλλούσης, ὡς ὁ λόγος ἐθέλει σημαίνειν, ἐκεῖνος δὴ ὁ ἐκ τῶν ἐναντίων τἀναντία γίγνεσθαι λέγων. τοῦτον δὲ τὸν νόμον οὔ φαμεν οὐδ' ἡμεῖς γε οὕτως ἁπλῶς τὸν Πλάτωνα ἐκδέξασθαι ὡς ὁ παρ' οὗ αὐτὸν φανερῶς παρέλαβεν, ὁ Ἡράκλειτος ἔθετο, ἀρκούντως ἔχειν αὐτὸν οἰόμενος πρὸς διασάφησιν τῶν πάντων. ὁ δ' οὖν Πλάτων τοῖς περὶ τὸν Παρμενίδην τὸν νοῦν ἐπιστήσας καὶ τὴν πραγματείαν αὐτῶν ἐν πολλοῖς προσιέμενος, ἥκιστα δ' ἅμα αἱρούμενος τοῦ αἰσθητοῦ τούτου κόσμου παντάπασιν ἀπο-

στῆναι, τὸ τῆς φιλοσοφίας οὕτω παρὰ τοῖς ἀνθρώποις διαβάλλων, ὡς ἀδύνατον τῇ ἀληθείᾳ πάμπαν οὖσαν λόγον τινὰ περὶ τῶν ἐν ὀφθαλμοῖς καθ' ἡμέραν γιγνομένων τε καὶ οἰχομένων ἀποδιδόναι, τοῦ αἰσθητοῦ γε κόσμου πέρι τὸ τοῦ Ἡρακλείτου δόγμα αὐτοῖς ἀντέταξε καὶ διασχίσαι πως οὕτως εἰς πολλὰ τὸ Ἓν ἠξίωσε καὶ κινῆσαί πως ἱστάμενον τὸ Ὂν τοῦ Παρμενίδου καὶ τῇ μίξει δ' αὐτῶν τούτων τῇ πρὸς ἄλληλα τὴν τοῦ κόσμου γένεσιν κατασκευάσαι. ἤρεσε δὴ οὖν αὐτῷ τὸ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίγνεσθαι καὶ ἐξ ἀνάγκης γε δοκῶ, ἐπεὶ εἰδῶν παραμονίμων τὸν αἰσθητὸν κόσμον ἀπηξίωσε, μόνῳ τῷ νοητῷ αὐτὰ ἀποδεδωκώς. Λανθάνειν οὖν φαμεν ἡμεῖς γε πλὴν τῶν πρόσθεν καὶ ἄλλους τινὰς ἄνδρας ἐπίσης σοφοὺς, ἱκανῶς οἰομένους Πλάτωνα τὸν νόμον ἐκεῖνον περὶ τῶν ἐναντίων πρὸς τὴν ἑαυτοῦ ἰδεολογίαν συμβιβάσαι, πρῶτον μὲν ὅτι ὁ Πλάτων, ὥςπερ εἴρηταί μοι ἤδη, τοῦ διαλέγεσθαι ἕνεκα καὶ τοῦ ἔχειν λέγειν χάριν περὶ τῶν ἐν ὀφθαλμοῖς συμβαινόντων εἶναί πως τὸ οὐκ ὂν καὶ τὰ πολλὰ εἶπε, γένεσίν τε ἀλλήλων εἶναι τῶν πραγμάτων ἐκ τῶν ἐναντίων εἰς τἀναντία τῇ μίξει αὐτῶν τῇ πρὸς ἄλληλα τελουμένην, σχολῇ γε μέντοι τούτοις ἅπασιν ἀλήθειάν τε καὶ βεβαιότητα προςένειμε. διὸ καὶ μὴ ἔχων ταῦτα τῇ περὶ τῶν ἰδεῶν πραγματείᾳ συνῳδὰ ἀποφῆναι καθ' ἣν γ' ἑκάστη ἐξ ἀϊδίου εἰς ἀΐδιον χρόνον καθ' ἑαυτὴν μένει, οὐδεμιᾷ μετουσιώσει ὑποκειμένη, εἰς ἄπορόν τι καὶ ἀσαφὲς προςφεύγει, τὴν μῖξιν ἐκείνην τὴν ἐν τῷ κόσμῳ οὐκ εἰς νοῦν ἀλλ' εἰς τυφλῶς δρῶσάν τινα Ἀνάγκην ἀποδιδοὺς, ἧς βουλόμενόν φησι τὸν Νοῦν ἐπικρατῆσαι μὴ οἷόν τε γενέσθαι ὁλοσχερῶς ἐπικρατῆσαι. διὸ οὐ μόνον Νοῦν αἴτιον εἶναι τοῦ κόσμου ἔθετο ἀλλὰ καὶ Ἀνάγκην τυφλήν. καὶ ταῦτα ἠναγκάσθη εἰπεῖν

διὰ τὸν Ἡράκλειτον ἤτοι τὴν ἔλλειψιν εἰδῶν ἐν τῷ κόσμῳ τῷ ὁρατῷ. τοῦτο τοίνυν τὸ σχῆμα, ὅπερ καθ' ἕξιν πολυχρόνιον παρέλαβε μυρία πράγματα αὐτῷ παρέχει, τὴν ἰδεολογίαν σφόδρα διαβάλλον, ἥπερ οὐθὲν κῦρος οἷά τε ἦν πρότερον λαβεῖν πρὶν ἢ αὐτοῦ γε τούτου τοῦ Ἡρακλειτείου δόγματος παντάπασι κατισχῦσαι, εἴδη διακριδὸν ἀλλήλων οἷ ο ν σ έ λ μ α τοῦδε τοῦ κόσμου τοῦ αἰσθητοῦ θεμένη. σκέψασθαι δὴ οὖν τοὺς ἄνδρας οὐχ ἧσσον καὶ τόδε προσήκει, εἴπερ καλῶς ὁ θεῖος Πλάτων ἐποίησε τὸ σχῆμα τοῦτο τῷ λόγῳ ἁρμόσας, ᾧ περ κέχρηται τὴν τῆς ψυχῆς ἀθανασίαν βουλόμενος ἀποδεῖξαι· εἰ μὲν γὰρ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίγνεσθαι φιλεῖ καὶ γένεσίς τίς ἐστιν ἐν τῷ μεταξὺ ἑκατέρου εἰς ἑκάτερον, ἀνάγκη πᾶσα καὶ τὴν τῆς ψυχῆς κατάστασιν, σώματος χωρὶς ἐν Αἴδου οὔσης, γένεσίν τινα καὶ οἷον μετάβασιν εἰς ἄλλην αὖθις γένεσιν ὑπολαμβάνειν. ἥκιστά γε ἄρα μόνιμόν τι ἡ ψυχὴ φανεῖται οὖσα, χωρὶς τοῦ σώματος καθ' ἑαυτὴν καὶ ἀλήθειάν τινα ὅλως ἔχουσα, ὡς ἀπὸ γενέσεως εἰς ἄλλην γένεσιν μετάβασις ἁπλῆ οὖσα· καὶ τοῦτο συνᾴδειν μὲν τῇ περὶ μετεμψυχώσεως δόξῃ πάντως πᾶς ἂν ὁμολογήσειεν, ἣν δὴ καὶ Πλάτων διὰ τοῦτον τὸν λόγον δέχεταί γε ἴσως πολλαχοῦ, τελέως μέντοι ἀπᾴδειν πρὸς πολλῷ οὐσιωδέστερα μέρη τῆς φιλοσοφίας αὐτοῦ. Διὰ τοῦτο καὶ ἐν τοῖς ἔμπροσθεν ἤδη εἰρήκαμεν ὅτι οὗτος ὁ πρῶτος λόγος τῶν πρὸς ἀθανασίαν ψυχῆς ὑπὸ τοῦ Πλάτωνος φερομένων ἐκ τοῦ ἐμφανοῦς πρὸς τ ὴ ν ἰ δ ε ο λ ο γ ί α ν ἀντιμάχεται, οἵαν τε οὖσαν διασωθῆναι μόνον, ἐπειδὰν καὶ εἴδη ἤτοι ἀρχῆθεν ποιότητας δέξηται δ υ ν ά μ ε ι ὁρατάς, ἀλλήλαις μέν πως τῷ τῆς ὁμοιότητος νόμῳ ἐπιπλεκομένας, ἑκάστην δὲ χωρὶς ἀΐδιον μενούσας, μηδ' αὖ γένεσιν ἀλλήλων εἶναι ὡς ὁ τἀναντία ἐκ τῶν ἐναντίων γίγνεσθαι λέγων δέχεται.

Τέλος δὲ λεκτέον μοι ἀνυποστόλως πάνυ τόδε ὅτι ὁ λόγος ἐκεῖνος, εἰ μή γε οἱ ζῶντες ἐκ τῶν τεθνεώτων γίγνοιντο, πάντες ἂν οἱ ζῶντες εἰς τοὺς τεθνεῶτας τελευτῷεν, δηλοῖ μοι ὅτι Πλάτων οὔ τοι πάμπαν τὰς ψυχὰς τῆς Ὁμήρου μούσης ἀπήλλαξεν, ἀλλὰ τοῦ σωματοειδοῦς πως μετέχειν αὐτὰς ὑπείληφε καὶ τῶν προσόντων αὐτοῦ οὐ μόνον ἐν Φαίδωνι, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ἄλλοις διαλόγοις. ἐν μὲν γὰρ τῷ Τιμαίῳ φησὶ τὸν Δημιουργὸν τῇ τε τοῦ κόσμου ψυχῇ μόριόν τι πάντως τῆς τοῦ σωματοειδοῦς ἀρχῆς ἐγκαταμῖξαι, πολλῷ δὲ πλέον γε μόριον αὐτῆς, ὡς εἰκὸς, ταῖς μελλούσαις ἀνθρώπων ἔσεσθαι ψυχαῖς, καὶ ταῦτα τῇ ἀ θ α ν ά τ ῳ γε μοίρᾳ αὐτῶν (οὐ τῇ θνητῇ), ἃς ἰσαρίθμους τοῖς ἄστροις τοῖς ἀπλανέσιν (οὐ τοῖς πλανήταις, ὡς ὁ σοφὸς Μαρτῖνός φησι καὶ τὴν διπλῆν πορείαν τῶν ἀνθρωπίνων ψυχῶν διπλῷ γένει ψυχῶν κἂν τοῖς πλανήταις ἀρχῆθεν ἑκατέρῳ ἑκατέραν χωρίσας προςνέμει (*)) διελὼν, «ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς εἰς ὄχημα, τὴν τοῦ παντὸς φύσιν ἔδειξεν.» κινήσει τε κυκλοτερεῖ τῇ περὶ νοῦν καὶ φρόνησιν μάλιςα οὔσῃ, τῶν ἀπλανῶν ἀστέρων, ἀπὸ ἀνατολῶν πρὸς δυσμὰς τὸ εἰδέναι γίγνεσθαι ἔφη τῇ παγκοσμίῳ ψυχῇ (ὥςπου καὶ Ἀναξαγόρᾳ τῷ Νῷ τὸ γιγνώσκειν ὡς οὐκ ἀλλότριον τῆς ἐν τῷ παντὶ κινήσεως ὂν, προςιδιάζειν ἔδοξε καὶ Διογένει τῷ Ἀπολλωνιάτῃ ὡςαύτως)· καὶ αὐτῇ δὲ τῇ ἀνθρωπικῇ ψυχῇ παραπλησίᾳ κινήσει τὸ εἰδέναι γίγνεσθαι τ ῇ π ε ρ ι φ ο ρ ᾷ, ᾗπερ τὸ νοεῖν ἄτικρυς ἀπεικάζει. καὶ Ἀρι-

(*) Ὠκημένους ἄρα ὁ θεῖος Πλάτων τοὺς πλανήτας ἔοικεν ὑπολαμβάνειν. Καὶ γὰρ τὰς τῶν ἀνθρώπων ψυχὰς πρῶτον μὲν εἰς τοὺς ἀπλανεῖς ἀστέρας, δευτέρῳ δὲ χρόνῳ ἀπὸ τούτων εἰς τοὺς πλανήτας ὑπὸ τοῦ Δημιουργοῦ ἐνσπείρεσθαί φησιν. ὅτι δὲ καὶ ἡ σελήνη ὑπὸ ζῴων οἰκεῖται ἐδίδαξαν ἤδη πρότερον ὅ,τε Ἀναξαγόρας καὶ ὁ Φιλόλαος.

στοτέλης δὲ ἐν τῷ περὶ ψυχῆς (Α, κεφ. β'. καὶ γ'.) λέγει ὅτι « ὁ Τίμαιος (τοῦ Πλάτωνος) φυσιολογεῖ τὴν ψυχὴν κινεῖν τὸ σῶμα· τῷ γὰρ κινεῖσθαι αὐτὴν καὶ τὸ σῶμα κινεῖν διὰ τὸ συμπεπλέχθαι πρὸς αὐτό. συνεστηκυῖαν γὰρ ἐκ τῶν στοιχείων (ὥςπερ καὶ τῷ Ἐμπεδοκλεῖ ἔδοξε) καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς, ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας ἔχῃ καὶ τὸ πᾶν φέρηται συμφώνους φοράς, τὴν εὐθυωρίαν εἰς κύκλον κατέκαμψεν· καὶ διελὼν ἐκ τοῦ ἑνὸς δύο κύκλους δισσαχῇ συνημμένους πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φορὰς τὰς τῆς ψυχῆς κινήσεις. » εἰ καὶ Ἀριστοτέλης δριμύτερον καὶ προθυμότερον, καθάπερ καὶ ἄλλα τῶν Πλάτωνος, καὶ ταῦτα περὶ τῆς ψυχῆς ἐν Τιμαίῳ λεχθέντα ἀποδοκιμάζει, ὡς μᾶλλον σώματι πρέποντα ἢ ἀσωμάτῳ γέ τινι, οἷόν περ ἡ ψυχή ἐστιν, ὁμολογητέον μέντοι ὅτι καὶ λόγον ἔχει, καί περ τοῦ Πλάτωνος ἐπὶ τὸ μυθικώτερον ἐκεῖνα διεξελθόντος. οὐ γὰρ ἄν τις ὀρθῶς εἴποι περὶ τούτων τῶν μύθων τῶν παγκάλων ὅτι ψιλῆς τινος τέρψεως χάριν καὶ καλλονῆς ἕνεκα αὐτοὺς ὁ θεῖος Πλάτων ταῖς ἑαυτοῦ δόξαις καὶ θεωρίαις συνυφαίνει, ἀλλ' οἷον συμβόλοις καὶ ἀλληγορίαις κέχρηται πρὸς τὸ αἰσθητοτέραν τε καί πως ἐνεργεστέραν αὐτὴν τὴν θεωρίαν ἀπεργάζεσθαι. ἔστι δ' ὅτε οἱ μῦθοι οὗτοι καὶ τὴν πρώτην ἀρχὴν ἡμῖν εἰς φῶς φαίνουσιν, ἐξ ἧς γε καὶ ἡ θεωρία αὐτὴ αὐτῷ τὸ πρῶτον ἐπῆλθεν. Καὶ ἐν Σοφιςῇ δέ φησιν (σ. σμη'.) « ὡς τὸ γιγνώσκειν εἴπερ ἔςαι ποιεῖν τι, τὸ γιγνωσκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν. τὴν οὐσίαν δὴ κατὰ τὸν λόγον τοῦτον γιγνωσκομένην ὑπὸ τῆς γνώσεως, καθ' ὅσον γιγνώσκεται κατὰ τοσοῦτον κινεῖσθαι διὰ τὸ πάσχειν, ὃ δή φαμεν οὐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν. » καὶ ἐν Φαίδρῳ δὲ (σ. σμέ.) ἀποφαί-

νεται τὴν ψυχὴν κινήσεως ἀρχὴν εἶναι καὶ ἀθάνατον, ὡς ἀεικίνητον. ἀεικίνητον γὰρ τὸ ὑφ' ἑαυτοῦ κινούμενον· «ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις λέγων οὐκ αἰσχυνεῖται. πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον, ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ αὐτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ ἑαυτὸ κινοῦν ἢ ψυχὴν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη.» ἐν δὲ τῷ αὐτῷ τούτῳ διαλόγῳ ἀποδίδωσιν ὁ Πλάτων τῇ ψυχῇ καὶ τὸ θ ν η τ ὸ ν αὐτῆς μόριον, διχῇ διαιρούμενον εἴς τε τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικὸν πρὶν ἢ αὐτὴν τῇ κάκῃ καὶ φαυλότητι, ὡς εἰκὸς, αὐτῶν γε τούτων τῶν θνητῶν εἶξασαν, οὐρανόθεν εἰς γῆν καταπεσεῖν καὶ οὕτω σώματος τοῦδε τοῦ ἀνθρωπείου μετασχεῖν. ἐν δὲ δὴ τῷ Φαίδωνι δοκεῖ μοι, τόπον τε ἐχούσας αὐτὰς, τοῦ γε σώματος χωρὶς, ὑπειληφέναι καὶ τὸν ἀριθμὸν ὡρισμένας, οὐδὲ πάνυ πολλὰς, ὡς πρός γε τὸ πᾶν εἰπεῖν, οὔσας. Ὧδε γὰρ λέγων, «εἰ ἀποθνήσκοι μὲν πάντα, ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι, μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ' οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι καὶ μηδὲν ζῆν;» δῆλός μοί ἐστι ταῦτά γε λέγων, περὶ τῶν ψυχῶν δεδιέναι, μὴ ἐπιλίπῃ ἄρα ὁ ἀριθμὸς αὐτῶν. οὐδὲν δὲ διαφέρει, εἰ ἔπειτ' ἐπάγει τάδε· «εἰ γὰρ ἐκ μὲν τῶν ἄλλων (τῶν αἰσθήσει ληπτῶν λέγων) τὰ ζῶντα γίγνοιντο, τὰ δὲ ζῶντα θνήσκει, τίς μηχανὴ μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι;» Οὐ γὰρ ἂν κατά γε τὴν ἑαυτοῦ θεωρίαν περὶ τῆς ὕλης, ἄλλοτ' εἰς ἄλλα μεταβαλλούσης τῆς αὐτῆς, δίκαιος ἂν εἴη μεριμνᾷν μὴ ἡ ὕλη οὐκ ἐξαρκέσειεν αὐτῷ εἰς διηνεκῆ

γένεσιν τῶν ζώντων· ἐπίσης γὰρ ἂν διασωθείη ἡ ἐς ἀεὶ γένεσις ἐν ὕλῃ ζώντων, ἄντε ψυχαὶ, δὸς εἰπεῖν, καιναὶ εἰς τὴν ὕλην ἐνσπαρῶσιν, ἄντε αἱ πάλαι ποτὲ ἐνθάδε βιώσασαι αὖθις καὶ αὖθις εἰς ἀεί. τὰ γὰρ σώματα τῶν δεῦρο ποτὲ βιωσάντων οὐκ ἂν μείνειεν, οὐδὲ κατ' αὐτόν γε τὸν Πλάτωνα δηλονότι, τὸν πάντα χρόνον λείψανα ἄχρηστα καὶ ἀδιάπλαστα πρὸς νέαν ζωὴν, οὐδ' οἱ τῶν Αἰγυπτίων τεταριχευμένοι νεκροὶ, ὥστε καὶ φοβεῖσθαι μήποθ' ἡ ὕλη καταναλωθεῖσα εἰς γένεσιν ζώων τέλος ἐπιλίποι. φανερὸς οὖν ὁ Πλάτων ἐστί μοι ἐνταῦθα περὶ τῶν ψυχῶν φροντίζειν, μήποτε καὶ ἐπιλίπῃ ὁ ἀριθμὸς αὐτῶν. τὰς αὐτὰς γὰρ ψυχὰς εἶναι τὸν ἀεὶ χρόνον ὁ Πλάτων ἀριφανῶς δοξάζει, (*) οὐχ ὥσπερ ὁ σοφὸς Σελλέριος ὑπολαμβάνει. οὐ μόνον ἄρα ἐν Τιμαίῳ καὶ Φαίδρῳ καὶ ἐν τῇ πολιτείᾳ ὁτὲ μὲν διαμυθολογῶν, ὁτὲ δὲ παραβολαῖς χρώμενος καὶ εἰκόσι τὴν ψυχὴν τῶν τοῦ αἰσθητοῦ γνωρισμάτων οὐ πάνυ τι ἀπηλλαγμένην ὑπείληφεν, ἀλλὰ καὶ ἐν Φαίδωνι, ἔνθα ζητητικώτερον μακροὺς λόγους περὶ αὐτῆς ποιεῖται, οὐ πάμπαν ὕλης ἄμοιρον ἀπέφηνε τὴν ψυχὴν τόπον τε καὶ ἀριθμὸν ὡρισμένον καὶ ἄλλα πάθη τοῦ ὁρατοῦ αὐταῖς ἀποδιδούς. Καὶ εἴ γε μόνος ὁ Πλάτωνος νοῦς τοῦτό γε τὸ πάθος πέπονθεν· ἰάθη ἆρά γε

(*) Τοῦτο δὲ ἔκ τε ἄλλων πολλῶν τόπων Πλατωνικῶν τρανῶς μαρτυρεῖται, οὐχ ἧσσον δὲ καὶ ἐκ τοῦ δεκάτου τῆς πολιτείας (σ. χιά.) ἔνθα περὶ τῆς ἀνθρωπίνης ψυχῆς τὸ πρόσθεν δειχθὲν οὑτωσὶ συγκεφαλαιοῦται· «ὁπότε μηδ' ὑφ' ἑνὸς ἀπόλλυται κακοῦ, μήτε οἰκείου μήτε ἀλλοτρίου (ἀπὸ τοῦ σώματος), δῆλον ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι, εἰ δ' ἀεὶ ὂν, ἀθάνατον. — τοῦτο μὲν τοίνυν οὕτως ἐχέτω. εἰ δ' ἔχει, ἐννοεῖς ὅτι ἀεὶ ἂν εἶεν αἱ αὐταί. οὔτε γὰρ ἄν που ἐλάττους γένοιντο μηδεμιᾶς ἀπολλυμένης, οὔτε αὖ πλείους· εἰ γὰρ ὁτιοῦν τῶν ἀθανάτων πλέον γίγνοιτο, οἶσθ' ὅτι ἐκ τοῦ θνητοῦ ἂν γίγνοιτο, καὶ πάνττα ἂν εἴη τελευτῶντα ἀθάνατα.»

τανῦν ἡ τῶν ἀνθρώπων διάνοια τοῦ νοσήματος τούτου παντάπασιν; — εἶεν.

Δεύτερον δὲ λόγον περὶ ψυχῆς, ὡς ἀϊδίου οὔσης πρὸς ἀρχὴν, φέρεται ὁ Πλάτων τὴν ἀ ν ά μ ν η σ ι ν. ἐν Φαίδρῳ μὲν γάρ φησιν (σ. σμθ΄.) ὅτι ψυχὴ εἰς ἀνθρώπου σχῆμα ἥκει μόνη, ἥ ἂν πρότερόν ποτε τύχῃ ἰδοῦσα τὴν θείαν τῆς Ἀληθείας λαμπηδόνα, ἧς ἐν τῷδε τῷ βίῳ ὕστερον ἀναμιμνήσκεται. ὅταν γὰρ μανθάνειν τι οἱ ἄνθρωποι λέγωμεν, ἀ ν ά μ ν η σ ι ς ἡμῖν γίγνεται ἐκείνων «ἅ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ καὶ ὑπεριδοῦσα, ἃ νῦν εἶναί φαμεν καὶ ἀνακύψασα εἰς τὸ ὂν ὄντως.» Πρὸς δὲ ταύτῃ τῇ προανθρωπείῳ θέᾳ τῆς Ἀληθείας τὴν μνήμην ἄνθρωπος ὢν ὕστερον, ὅ γε φιλόσοφος μάλιστα διὰ παντὸς τοῦ βίου ἔχων κατὰ δύναμιν, τῶν δ' ἀνθρωπίνων σπουδασμάτων ἐξιστάμενος « καὶ πρὸς τῷ θείῳ γιγνόμενος, νουθετεῖται μὲν ὑπὸ τῶν πολλῶν ὡς παρακινῶν, ἐνθουσιάζων δὲ λέληθε τοὺς πολλούς.» ὁμοίως δέ πως ἀποφαίνεται καὶ ἐν Μένωνι (σ' πά.), ἐν οἷς καὶ τάδε, « ἅτε γὰρ τῆς φύσεως ἁπάσης σ υ γ γ ε ν ο ῦ ς οὔσης, φησὶ, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκάμνῃ ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον ἐστίν.» Καὶ ἐν Φαίδωνι λέγει ὧδε. « ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀ ν ά μ ν η σ ι ς τυγχάνει οὖσα καὶ κατὰ τοῦτον (τὸν λόγον) ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι, ἃ νῦν ἀναμιμνησκόμεθα· τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψυχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι· ὥστε καὶ ταύτῃ ἀθάνατόν τι ἔοικεν ἡ ψυχὴ εἶναι.» Παραπλησίως δὲ καὶ ἐν τῷ Τιμαίῳ (σ. μά.) διηγεῖται, ἐπεὶ ὁ

δημιουργὸς τὰς ψυχὰς θεσπεσίου τινὸς κρατῆρος ἐξελε καθαράς, ἔνειμέ τε ἑκάστην πρὸς ἕκαστον τῶν ἄστρων καὶ ἐν τούτῳ τῷ τόπῳ ἔδειξεν αὐταῖς τὴν τοῦ παντὸς φύσιν, πρὶν ἐξ Ἀνάγκης εἰς τοὺς προσήκοντας ἑκάσταις πλανήτας τούς τε ἄλλους καὶ τὴν γῆν καὶ τὴν σελήνην σπαρείσας, σώμασιν ἀνθρωπίνοις ἐνδεθῆναι, καὶ εἰς ταύτην τὴν προανθρώπειον μάθησιν τοῦ ἀληθοῦς ἀναφορὰν πάντως ἔχειν φησὶ τὴν ἐν τῷ ἐνθάδε βίῳ λεγομένην μάθησιν, ἀληθῶς δὲ ἀνάμνησιν οὖσαν. ἔτι δὲ πρὸς τούτοις τὸν δημιουργὸν ὁ Πλάτων εἶπε πρὸς τὰς ἰδέας βλέποντα ποιῆσαι τὸ πᾶν καὶ δὴ καὶ τήν τε ψυχὴν τὴν παγκόσμιον καὶ τὰς ψυχὰς τὰς ἀνθρώπων τῷ ἑαυτοῦ γε νόμῳ τ ῷ τ ο ῦ β ε λ τ ί σ τ ο υ, πρός γε τὰς ἰδέας βλέποντα, τῆς ἀμερίστου οὐσίας μοῖραν λαβόντα καὶ τῇ περὶ τὰ σώματα μεριστῇ τῆς δ ε ξ α μ ε ν ῆ ς συγκαταμίξαντα· ὥστε δοκεῖ μοι τὰς ἰδέας συμφύτους τρόπον τινὰ ὑπειληφέναι καὶ ἐνδογενεῖς τῇ τοῦ ἀνθρώπου ψυχῇ εἶναι. καὶ γὰρ ἅμα ἐνδεθείσας τὰς ψυχὰς ἐν σώματι θνητῷ, κατ' ἀρχὰς μὲν, ἐν ὅσῳ γε δὴ χρόνῳ οἱ ἄνθρωποι νήπια καὶ παιδία φαίνονται, διὰ τὸ σφοδρὸν ῥεῦμα τῆς αὔξης καὶ τροφῆς θορύβου πλησθείσας, ἄνους τε γίγνεσθαι ἔφη καὶ οὐκ ἔχειν εἰδέναι, ᾗ γε ἕκαστα τῶν ὄντων πέφυκε καὶ τὰ καθόλου. γενομένου δ' αὐταῖς τοῦ προσήκοντος χρόνου, τῆς πρεπούσης γαλήνης μετασχούσας, ἔμφρονας τοὺς ἔχοντας αὐτὰς ἀποδεικνύναι. Διὸ λέγει ἐν Φαίδωνι « ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ᾗ ἔχει (ἤτοι τὰς ἰδέας ἑκάστων τῶν ὄντων). καίτοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη ἐνοῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιεῖν. ἔπειτα ἐάν τις ἐπὶ τὰ διαγράμματα ἄγῃ ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦθα σαφέστατα κα·

τηγορεῖ, ὅτι τοῦτο οὕτως ἔχει.» οὐδ' ἐν τούτῳ ἄρα ἤρκεσε τῷ Πλάτωνι ἡ τοῦ Σωκράτους μετριότης, ὅς τῇ ἐπακτικῇ χρώμενος μεθόδῳ, ἀπὸ τῶν τοῖς πᾶσι γνωστῶν ὁρμώμενος, τοὺς καθόλου λόγους αὐτῶν οὐ τὰ εἴδη κυρίως, εἰ μὴ ὅσον γε κατὰ συμβεβηκὸς, ἐξηκρίβου (*), κἆτα τὰ ἀγνωστότερα πρὸς ἐκείνους οἷον βασανίζων κατ' ἀναλογίαν διωρίζετό τε αὐτὰ καὶ ἐπεγίγνωσκε. [μὴ ταὐτιζέτω δέ τις τά γε τοιαῦτα, καίπερ παραπλήσια δοκοῦντα τοῖς λόγοις, ἐξ ὧν Πλάτων ὁρμηθεὶς τὴν ἰδεολογίαν ἔθετο. ἄλλη γάρ που ἡ θεωρία τοῦ εἶναι τὰς ἰδέας χωριστὰς ἢ ἀχωρίστους τῶν αἰσθητῶν, καὶ ἄλλη, ᾗ γε εἰδέναι τὰς ἰδέας πεφύκαμεν, περὶ οὗ ἰδιαίτατα ἐνταῦθα ὁ λόγος γίγνεται. Ὃς γὰρ ἂν ἄμφω τούτω ταὐτὰ ἀλλήλοιν εἶναι ἀποφαίνηται, ἀναχρονισμῷ περιπίπτει δυςφορήτῳ, δόγμα ἀπὸ τῆς μετὰ Κάντιον φιλοσοφίας αὐτῷ γε τῷ Πλάτωνι εὐθέως ἀποδιδοὺς, οὗ τὴν πρώτην ἀμυδρὰν ὀνειροπόλησιν ὁ Πλάτων παρὰ τοῖς Ἐλεάταις διαῤῥήδην ἀπεδοκίμασεν.] Σωκράτης δὲ πολὺς ἦν τὴν ἑαυτοῦ μαιείαν εἰρωνικῶς ἐγκωμιάζων, ᾗ τοὺς εὐφυεστάτους τῶν νέων λόγους καλοὺς καὶ ἀληθεῖς περὶ τῶν ὄντων ἐγκυμονοῦντας ἐμαιεύετο καὶ ἐποίει αὐτοὺς ἀφ' ἑαυτῶν τίκτειν τὰ ζητούμενα. τοῦτο δὲ ἐνέφαινεν οὐδὲν ἄλλο, οἶμαι, πλὴν ὅτι ἡ ψυχὴ θορύβου τε καὶ ταραχῆς τῆς περὶ τὰ αἰσθητὰ χωρὶς ἑκάστοτε γιγνομένη, φύσει πως ἁπτικὴ γίγνεται τοῦ Ἀληθοῦς, ἐπειδὰν αὐτῇ εἰλικρινεῖ εἰλικρινὲς αὐτὸ παρατεθῇ. ὁ δὲ θεῖος Πλάτων ἐπὶ τὸ μυθικώτερον ταυτηνὶ τὴν μαιείαν εἰς προανθρωπείου ἐπιστήμης ἀνάμνησιν με-

(*) Οὐ γὰρ ταὐτὸν δύναται τὸ παρὰ Ξενοφῶντι εἶδος τῷ παρὰ Πλάτωνι Ἀριστοτέλει καὶ τοῖς ὕστερον.

τέβαλεν. Ὅτι δὲ τοῦτο τὸ πάθημα τῆς ἀναμνήσεως συγγενές πώς ἐστι τῷ τῆς μαιείας, αὐτὸς ὁ Πλάτων δηλοῖ, παραπλησίως εἰςάγων Σωκράτη ἀκολούθῳ τινὶ τῶν Μένωνος ἐν Μένωνι (σ. πά. Ε. κ. φ. ξ.) διαλεγόμενον περὶ τῆς ἀναμνήσεως, ὥςπερ ἐν Θεαιτήτῳ (σ. ρμζ΄, Γ. κ. φ. ξ.) πρὸς Θεαίτητον περὶ τῆς μαιείας· διαφέρουσι μέντοι ἀλλήλων, ὡς λέγω, καθ' ὅσον ἡ μὲν μαιεία οὐδ' ὁτιοῦν τῆς εἰωθυίας μεθόδου τῆς ἐπακτικῆς καὶ τῆς ἐμπειρίας ἀλλοτριοῦται, ἡ δὲ ἀνάμνησις ψυχῆς ἐμμέλεια μετ' ἐνθουσιάσεως Πλατωνικῆς, τῇ δὲ προϋπάρξει τῶν ψυχῶν εὖ μάλα ἡρμοσμένη ἐντρύφησις, πέρα που τῆς πείρας ἐνθένδε ἀναπτᾶσα ἐσκήνηται, τῶν δεῦρο πάντων ὡς οὐδενὸς ἀξίων καταφρονοῦσα. Ἀλλὰ γὰρ ἀνάμνησις γίγνοιτ' ἂν οὐθενὶ, οἶμαι, ἄλλῳ τρόπῳ ἢ συνόδῳ τινὶ τοῦ ὁμοίου τῷ ὁμοίῳ. λήθη δὲ δὴ τοὐναντίον ἐστὶ χωρισμὸς τοῦ ὁμοίου ἀνομοίου ἐμπεσόντος, ἀπὸ τοῦ ὁμοίου. νόμος δὲ τοῦ εἶναι ἑκάστῳ γε τῶν ὄντων ἀναλλοίωτος ὅδε· ὅμοιον ὁμοίου ἐν κοινωνίᾳ εἶναι καὶ ταύτῃ δὴ τῇ κοινωνίᾳ ζῆν τε πᾶν ὁμοίως καὶ ὑπάρχειν· ἄλλως δὲ μηδαμῶς ἐγχωρεῖν οἶμαι. νόμος δ' οὗτος ἔν τε τοῖς αἰσθητοῖς ἰσχύων καὶ τοῖς νοητοῖς ἅπασιν ἁπάντῃ. μόνωσις γὰρ καὶ χωρισμὸς ὁμοίου δι' ἀνομοίου παντελῆ ἀδράνειαν καὶ ἀργίαν παρασκευάζει. Ἐὰν δέ τινος τὸ εἶναι ἐξ αὐτοῦγε τοῦ δρᾶν τεκμαιρώμεθα μόνου, πάσης δὲ δράσεως αὐτὸ κωλυόμενον, παντάπασιν ἀργὸν ἀναγκάζηται μένειν, οὐκ εὐλόγως ἂν λέγοιμεν λέγοντες ὡς ἐν τούτῳ τῷ χρόνῳ τῆς ἀδρανείας τε καὶ ἀργίας ὑπάρχειν ἐκεῖνο ὅλως. Εἰ μὲν οὖν τὴν ψυχὴν τὸ νοοῦν εἶναί φαμεν καὶ ἅπτεσθαί γέ πως τοῦ νοητοῦ καὶ ταύτῃ τῇ ἐπαφῇ καὶ εἶναι καὶ ἐκφαίνεσθαι, ἡμᾶς τε αὐτῆς τὴν ὕπαρξιν οὕτω τεκμαίρεσθαι, πῶς ἂν ἔχοιμεν λέγειν αὐτὴν ἀν-

θρώπου εἶδος ἅμα ἐνδυομένην δια την ἀθρόαν τοῦ γεώδους ῥύμην τε καὶ κατάκλυσιν παντάπασι τοῦ νοητοῦ χωρὶς γίγνεσθαι, λήθῃ τε τῶν πάντων παντελεῖ τὸ πρῶτον συνέχεσθαι, εἶτα δ' ἐν οὕτως ἑτερογενεῖ οὐσίᾳ, καὶ κατ' αὐτὸν τὸν Πλάτωνα ἑαυτῇ ἐναντίᾳ, χρόνον οὐκ ὀλίγον μονωθεῖσαν, πάλιν αὖθις ἔρωτα τοῦ ὡς ἀληθῶς γε ὄντος, τοῦ νοητοῦ, πῶς ἂν λέγοιμεν αἴφνης αὐτῇ ἐντηκόμενον ἐφέσει τε ποιεῖν αὐτὴν καὶ μεθέξει τούτου τοῦ ὁμοίου καὶ νοήσει ἁλωτοῦ ἀναβιώσκεσθαι καὶ ἀνάμνησιν ἑαυτῆς τε λαμβάνειν καὶ ὧν περ πρόςθεν εὖ καὶ σαφῶς ἐν καθαρῷ τινι τόπῳ καὶ μακαρίῳ ἐτύγχανεν εἰδυῖα; δυοῖν οὖν θἄτερον κατὰ λογικωτάτην ἀνάγκην παραδεκτέον ἢ τὸ βρέφος ἅμα γεννώμενον, ψυχὴν δ' ἔχον ἤδη τοὺς λόγους ἑκάστου γε τῶν ὄντων εἰδυῖαν, φιλόσοφον εὐθὺς ἀρχῆθεν γεννᾶται· ἢ ἐκεῖνο δὴ τὸ πρόςθεν ὂν νοήμον τε καὶ φρόνιμον ὄν, ὅπερ θεσπέσια ὅσα παρ' ἑαυτῷ εἰλήφει, τὴν ὑπερουράνιον τοῦ Ἀληθοῦς αἴγλην ἤδη ἄντικρυς θεασάμενον τῇ εἰςροῇ τε καὶ πλήσμῃ τοῦ φθαρτοῦ κατὰ τὴν γένεσιν παντάπασί γε ἐξεχώρησε καὶ ἐκχωρῆσαν ἐξηφάνισται, τῷ ἀναλλοιώτῳ νόμῳ τοῦ εἶναι τοῖς οὖσιν ἀκολουθῆσαν καθ' ὅν γε δή φαμεν πᾶν ὂν ἵνα ᾖ καὶ τὸ εἶναι ἔχειν λέγηται, ἐν κοινωνίᾳ δεῖν αὐτὸ πάντως εἶναι τοῦ ἑαυτῷ γε ὁμοίου καὶ ταύτῃ δὴ τῇ κοινωνίᾳ ἐνεργεῖν καὶ τῇ ἐνεργείᾳ τὴν ἑαυτοῦ ὕπαρξιν ἐκφαίνειν. ἄλλως γὰρ ἂν μηδ' ὁπωςτιοῦν ἐγχωρεῖν μήτε ἐν τῷ φυσικῷ κόσμῳ, μήτε ἐν τῷ νοητῷ· σαφῆ πᾶσιν οἶμαι λέγειν. ἀλλὰ τοσόνδε μόνον ἐν τῷ παρόντι ῥητέον ὅτι ἥτε μαιεία τοῦ Σωκράτους καὶ ἡ τοῦ Πλάτωνος ἀνάμνησις εἰλικρινέστατα ἐκείνου μὲν γονιμότητα τῆς ψυχῆς μαρτυρεῖ, οἵαν περ καὶ τοῖς ἄλλοις εἰλικρινῶς ἀπεδίδου, τοῦ δὲ Πλάτω-

νος ἐκ παιδὸς βαθύνοιαν καὶ, ὡς ἔπος εἰπεῖν, οἰκειότητα πρὸς τὸ μελετᾷν τε τὰ ὄντα καὶ τὴν οὐσίαν αὐτῶν τὴν ἀληθῆ ἀναζητεῖν, ἥτις ἕξις αὐτῷ ὕστερον καταστᾶσα, ἐπιλανθάνεσθαι αὐτὸν ἐποίει ὅπως τὸ πρῶτον παρ' ἑαυτῷ τὰς ἰδέας εἴληφεν, ἅς πρότερον δῆλον ὅτι οὐκ εἶχεν.

Ἡ δ' οὖν ἀνάμνησις οὐκ ἄλλος λόγος δεύτερος καθ' ἑαυτὸν κῦρος ἔχων πρὸς τὸ ζητούμενον προτείνεται, ἀλλὰ τοῦ πρόσθεν δόγματος ἐχόμενος φαίνεται, ὡς Πλάτων αὐτὸς ὁμολογεῖ. ὅτι μὲν οὖν ἡ ψυχὴ ὄν ἐστι καὶ ἁπλοῦν ἐξ ἀϊδίου τε ἦν καὶ ἐς τὸν ἀΐδιον χρόνον οὐ παύσεται οὖσα, ἅτε ἀλήπτου φρενὶ ἀνθρωπίνῃ γε ὄντος, ὅπως ποτέ τι ἐξ οὐσίας τὸ ἀρχῆθεν μὴ οὔσης, ὃν ἐν χρόνῳ ἐγένετο, ὅπως τ' αὖ οὐσίαν τι ἔχον εἰς τὸ μηδὲν ἀφανιεῖται· τούτου γε πέρι ἐνταῦθα ἡ ζήτησις ἡμῖν οὔπω προβέβληται. ἀλλ' ὅτι ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίγνεται καὶ δὴ καὶ πάντως τὰ ἀνόμοια ἐκ τῶν ἀνομοίων, τά τε εἴδη κατά γε τοῦτον τὸν λόγον ἀναμφηρίστως εἰς ἄλληλα μεταπίπτει, αἱ δὲ ψυχαὶ τῶν ἀνθρώπων μυρίαν πλάνην πλανῶνται, εἶδος ἐξ εἴδους ἀμείβουσαι καὶ ἐν ἄλλῳ εἴδει οὖσαι τῆς πρώην τύχης καὶ γνώσεως ἀναμιμνήσκονται, ὧν ποτε ἔτυχον ἐπὶ καθαροῦ τινος καὶ μακαρίου τόπου εἰλικρινῆ τὴν αἴγλην τῆς ἀληθείας θεασάμεναι, τούτων γε τὰ οὐσιωδέστατα πρὸς αὐτὴν τὴν ἰδεολογίαν τοῦ Πλάτωνος ὡς οὐ πάνυ συνῳδὰ ὄντα ἀποδείκνυμεν.

Τρίτος δὲ λόγος περὶ ψυχῆς ὡς ἀθανάτου τε οὔσης καὶ ἀϊδίου ἐστὶν ὁ ἐκ τῆς συγγενείας αὐτῆς πρὸς τὸ ὂν τὸ ἁπλοῦν π ι θ α ν ῶ ς πορίζόμενος. πᾶν γὰρ ἁπλοῦν ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον, οὐδ' ἂν ἐξ ἑνὸς ἑτέρου συντεθείη, εἰς ὃ ἂν καὶ φόβος τις εἴη μή-

ποτὲ αὖθις καὶ διαλυθῇ. ἁπλοῦν δὲ ἡ ψυχὴ τεθείσθω καὶ ἀειδὲς μηδαμῶς κατά γε ἄνθρωπον ὁρατόν τε καὶ σύνθετον. ἀδύνατον ἄρα εἴη ἂν τὴν ψυχὴν διαλυθῆναί ποτε εἴς τι ἕτερον ἢ συντεθεῖσθαί ποτε ἐξ ἑτέρου. τοῦτο γὰρ τὸ πάθημα σύννομόν ἐστι τῷ συνθέτῳ, ὡς ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι. τὸν πάντα ἄρα αἰῶνα ἡ ψυχὴ μενεῖ οἷόν περ ἦν καὶ ἔστιν ἀεὶ ἁπλοῦν καὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχον. ἀθάνατον ἄρα, εἰ δὲ βούλει, καὶ ἄναρχον κατ' οὐσίαν γε ἡ ψυχὴ ὑμνηθήσεται, εἴπερ ἁπλῆ πρότερον φαίνεται.

Δεδόσθω πρῶτον μὲν ὅτι ἔκ τε τοῦ Φαίδωνος καὶ ἐκ τῶν λοιπῶν τοῦ Πλάτωνος διαλόγων τοιόνδε τι ἐπιεικῶς συνάγεται, ὅτι ὅπερ οἱ ἄνθρωποι ψυχὴν ἀποκαλοῦμεν, τοῦτό γε ὁ Πλάτων ὄντως ἁπλοῦν εἶναι ὑπείληφε. δεδόσθω δὲ καὶ ὅτι ὀρθῶς τὸν ὁρισμὸν ἑκατέρου ἀποδίδωσι, τοῦ μὲν ἁπλοῦ, ὥςπερ τοῦ Παρμενιδείου ὄντος, τὴν φύσιν ἀεὶ κατὰ ταὐτὰ καὶ ὡςαύτως ἔχειν λέγων, ὁπότε αὐτὸς ὁ Πλάτων ἀλλαχοῦ τὸ μὲν νοεῖν κίνησίν τινα καὶ ἐνέργειαν, τὸ δὲ νοεῖσθαί τε καὶ γιγνώσκεσθαι πάθημά τι ἄντικρυς εἶναι ἀπεφήνατο, καὶ δὴ καὶ τὸ ἁπλοῦν, τοῦτο δὴ τὸ νοητόν, ὁτὲ μὲν ἠρεμεῖν καί, ὡς ἔπος εἰπεῖν, τὰ ἑαυτοῦ πράσσειν, ὁτὲ δὲ τῷ ἐπιβάλλοντι ἑαυτῷ αἴτιον κινήσεως καὶ ἐνεργείας τῆς γε τοιαύτης γίγνεται δρῶν, ἑαυτῷ δὲ πάθους καὶ πάσχει νοούμενον. τοῦ δ' αὖ συνθέτου ἱκανῶς ἆρά γε τὴν ἰδέαν ἔστησεν, ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχειν εἰπών; πῶς γὰρ ἂν τὸ πᾶν νόμῳ ἐμπέδῳ συντεθείη καὶ κόσμος ἂν γένοιτό ποτε ὅλως, οὕτω τοῦ αἰσθητοῦ ἔχοντος, μηδεμίαν τε μονὴν καὶ στάσιν ἐνδιδόντος; φροῦδον γὰρ ἂν τὸ πᾶν οἴχοιτο καὶ ἄκοσμον, εἰ μὴ φραγμός τις τῇ ῥύμῃ ἐμ-

ποδῶν τὰ εἴδη, ἀεὶ τὰ αὐτὰ ὄντα, γίγνοιτο. ἀνοηταίνουσιν οἱ πανθεϊσταί, νὴ τὴν σεπτὴν Ἀλήθειαν, ἔτι καὶ νῦν κἂν τὰ πάντα διατείνωνται εἰδέναι. ὑποτεθείσθω δὲ προσέτι ὅτι μόνον τὸ νοητὸν ἁπλοῦν ἐστιν, ἡ δὲ ὕλη οὐκ εἰς ἁπλοῦν τι τέλος λήγει, ὅπερ δεξαμενὴν ἤδη καὶ Πλάτων αὐτὸς ἀπεκάλεσε, λογισμῷ τινι καίπερ νόθῳ περιληπτόν. τί δ' αὖ περὶ τοῦ ὁρατοῦ, καθ' ὅ γε ὁρατὸν ἐναντίον εἶναι φῶμεν τῷ ἀοράτῳ, ὡς ἀοράτῳ, καὶ τὸ μὲν ὁρατὸν σύνθετον, ἁπλοῦν δὲ τὸ ἀόρατον; εἶεν. φέρε δὴ τούτων πάντων οὕτω τεθειμένων, τίνι ποτὲ λόγῳ ὁ θεῖος Πλάτων τὴν ψυχὴν οἷον ἁπλοῦν τι εἶναι ἀποδείκνυσιν; ἁπλοῦν γάρ τί φησι φανότατα εἶναι ἑκάστου τῶν ὄντων ἡ ἰδέα ἤτοι αὐτὸ τὸ καλὸν, αὐτὸ τὸ ἴσον καὶ τὰ παραπλήσια, ὡςαύτως γὰρ ἀεὶ καὶ κατὰ ταὐτὰ καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται· σύνθετον δὲ αὖ ἕκαστον τῶν πολλῶν καλῶν, τῶν πολλῶν ἀγαθῶν, ἀνθρώπων ἢ ἵππων ἢ ἱματίων ἢ ἄλλων ὡντινωνοῦν τοιούτων, πάντων ὁρατῶν. καὶ τοῦ μὲν ἁπλοῦ καὶ ἀοράτου εἰλικρινῶς εἰλικρινοῦς αὐτή γε ἡ ψυχὴ ἐπιλαμβάνεται, τοῦ δὲ συνθέτου καὶ ὁρατοῦ τὸ σῶμα αἰσθάνεται. ἀλλὰ γὰρ κοινωνεῖν τινί φαμεν ἄλλο ἄλλῳ συγγενὲς ὂν συγγενεῖ καὶ ἡ ψυχὴ πάντως τῷ ἁπλῷ καὶ νοητῷ ὡς συγγενεῖ. καὶ οὐ μόνον τὸ κοινωνεῖν δύναται τῷ ἁπλῷ ἡ ψυχὴ, ἀλλ' ἐὰν μὴ καθ' ἑαυτὴν γένηται, πάντοθεν τοῦ σωματοειδοῦς ἑαυτὴν συναθροίσασα, καὶ τελέως ἀπαλλάξασα, ἀλλὰ τὸ σωματοειδὲς διὰ τῶν αἰσθήσεων κατὰ τὴν ζήτησιν τοῦ ἁπλοῦ καὶ τῆς ἰδέας ἐπεισρεύσῃ, τότε «ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ, ὥςπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη.» ὥστε γαλή-

νην τε ἡ ψυχὴ λαμβάνει καὶ φρόνησιν, ὅταν αὐτῷ τῷ καθαρῷ καὶ ἀεὶ ὄντι καὶ ἀθανάτῳ καὶ ὡςαύτως ἔχοντι ὡς συγγενὴς συγγενεῖ ἐπιβάλλῃ· καὶ τούτῳ συνδιαιτωμένη, αὔξεταί τε καὶ ἀγάλλεται, τοῦ δεινοῦ ἰλίγγου καὶ τοῦ πλάνου πεπαυμένη. διὰ ταῦτα τοίνυν φαίνεται ψυχὴ μὲν τῷ ἁπλῷ συγγενὴς οὖσα καὶ ὁμοειδὴς, τὸ δὲ σῶμα τῷ ἐναντίῳ. ἔτι δὲ πρὸς τούτοις, ἐπεὶ ἁπλοῦν αὐτό γε τὸ θεῖον καὶ ἀθάνατόν ἐστι, τούτῳ θέμις τὸ ἄρχειν ἀποδιδόναι καὶ ἡγεμονεύειν τοῦ συνθέτου καὶ ἀνθρωπίνου καὶ θνητοῦ. ἀλλὰ τίς οὐκ ἂν ὁμολογήσειε τὴν μὲν ψυχὴν τοῦ σώματος ἄρχειν τε καὶ ἡγεμονεύειν, τούτῳ δὲ αὐτήν γε τὴν φύσιν προςτάσσειν ἐκείνῃ τε δουλεύειν καὶ ἄρχεσθαι ὑπ' ἐκείνης; καὶ κατὰ τοῦτον ἄρα τὸν λόγον ἡ ψυχὴ θεῖόν ἐστι καὶ ἁπλοῦν. καὶ δέξαιντ' ἂν ἴσως οἱ ἀκράτως φιλοσοφοῦντες, ὃ ἐγκώμιον μὲν τοῦ νοητοῦ ὁ Πλάτων ἐκ τῶν πρόςθεν λεχθέντων πορίζεται, ὡς μόνῳ τῷ νοητῷ προςῆκον, ἣν δὲ πολυώνυμον μομφὴν ἐπιμέμφεται τῷ τλήμονι ὁρατῷ, πάσης ταύτης τῆς Πλατωνικῆς κατηγορίας ἄξιον εἶναι τὸ σωματοειδές; ὅτι μὲν γὰρ τὸ νοήσει καὶ λογισμῷ ληπτὸν, αὐτὸ δὴ τὸ ἁπλοῦν, θεῖόν ἐστι καὶ ἀθάνατον καὶ νοητὸν καὶ μονοειδὲς καὶ ἀδιάλυτον καὶ ἀεὶ ὡςαύτως κατὰ ταὐτὰ ἔχον ἑαυτῷ, τούτων τὰ πλεῖστα πᾶς ἂν εὖ φρονῶν προθύμως, οἶμαι, ὁμολογήσειεν· ὅτι δὲ τῷ ὁρατῷ ἀνθρωπίνῳ τε συμβέβηκεν εἶναι καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ (ὥς γε ὁ Πλάτων ἄμφω νοεῖ τὸ μὲν πολυειδὲς κατὰ τοῦ αὐτοῦ λεγόμενον, τὸ δὲ διαλυτὸν οἷον φθαρτὸν ὂν) καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ, μῶν τούτων γε ἁπάντων τὴν αἰτίαν φήσει τις ἔχειν τὸ ὁρατὸν, ὅς ἂν μὴ ἐν τῷ Πλάτωνος αἰῶνι καθείρξας πως ἑαυτὸν φιλοσοφῇ; ἓν γὰρ μόνον τούτων ἁπάντων

τῷ ὁρατῷ ἰδιάζει, τὸ ἀνοήτῳ εἶναι· ἀνόητον γαρ μοναχῇ ἐστιν οὕτως, ὅτι νοῦν τε καὶ φρόνησιν τὸ ταλαίπωρον οὐκ ἔχει. πάντων δὲ τῶν ἄλλων ἀναίτιον πάμπαν ἀπολύει αὐτὸ ἡ νῦν δὴ ἡμῖν ὑπάρχουσα ἐπιστήμη ἡ περὶ τὴν φύσιν, ὀρθῶς γε νοουμένη. τοῦ δέ γε ἕνεκα ταῦτα οὕτω φαμὲν, τὰ τοῦ θείου Πλάτωνος εἰς τὴν νῦν δὴ ἐπιστήμην περὶ τὰ φυσικὰ ἕλκοντες καὶ ἀναχρονισμῷ περιπίπτοντες; ἵνα ἀναχρονισμῷ ἴσως οὐ πάμπαν ἀσυγγνώστῳ δόξοντι ἀνδρὶ, ὅς ἂν τὴν ἱστορικὴν ἀξίαν ἑκάστου τῶν πρώην φιλοσοφημάτων πρὸς τὸ μέτρον τὸ ὑπάρχον κρίνειν βούληται, ἄλλον ἀναχωρισμὸν καταλύσωμεν πολλῷ βλαβερώτερον, ᾧ συχνούς γε τῶν Πλάτωνος ἑρμηνευτῶν περιπίπτοντας ὁρῶμεν σχήματ᾽ ἄττα σχολαστικὰ ταῖς ἐννοίαις αὐτοῦ περιάπτοντας καὶ ἐν τούτοις τοῖς σχήμασιν ὡς ἐν Περγάμῳ Κρόνου ἀπορθήτῳ ἐντρυφῶντας, μεστοὺς λήθης τῶν ἔξω πάντων πολλαχοῦ φαινομένους. Οὗτος δ᾽ οὖν ὁ λόγος ὁ τοῦ Πλάτωνος, καίτοι πολλῶν τῶν ἐν τῷ μεταξὺ πλημμελῶς πως πρὸς τὴν νῦν ἐπιστήμην λεχθέντων, ἐπιεικῶς αὐτῷ, καὶ οὕτως ἔχων, εὐοδοῦται. ἀλλ᾽ ἀκηράτοις τε καὶ ἀθεσφάτοις κάλλεσι τῷ θείῳ συγγραφεῖ κεκόσμηται, ὧν τὸ ἠθικὸν κῦρος πᾶσα ψυχὴ συναίσθησιν γνησίως ἠθικὴν ἐν ἑαυτῇ θάλπουσα, νοῦν τε τὸ νοῆμον τοῦ ἀνοήτου σώματος διαστέλλοντα, προθυμότατα εἰς τὸν αἰῶνα ὑμνήσει, τοῦ θεσπεσίου Πλάτωνος τὸ θεσπέσιον πτέρωμα μακαρίζουσα. εἰ δ᾽ οὖν τις ἐθελήσειε καὶ τὸ λογικὸν κῦρος τοῦ λόγου δηλῶσαι, τοσόνδε μόνον φανείη ἂν εἰλικρινῶς ἀποδεικνύων. ὅτι τὸ ἁπλοῦν ὂν καθόλου ἀδιάλυτόν ἐστιν ὅλως, ἀδιάλυτον δ᾽ ὂν ἀνώλεθρόν τε καὶ ἀΐδιον ὑπάρχει. καὶ ἡ ψυχὴ ἄρα, οἷον δὴ ὁμοιοτάτη τῷ ἁπλῷ δειχθεῖσα, ἐγγυτάτω τοῦ ἀνωλέθρου καὶ ἀϊδίου μὴ ὅτι γε πρὸς

τελευτὴν ἔσεται μόνον, ἀλλὰ καὶ πρὸς ἀρχὴν, εἴ τις ἐθελήσειεν ἅμα ἄμφω λαβεῖν. ἀλλὰ καὶ πᾶν τὸ σύνθετον κυρίως ἄφθαρτον ὅλως ἐστὶ καὶ πάμπαν ἀνώλεθρον κατά γε τὰς πρώτας καὶ ἐσχάτας ὑποστάσεις, οὐ τὸν ὄχλον τῶν χημικῶν στοιχείων λέγω ἀλλὰ τὰς ἐξ ἀϊδίου ἐν τῷ παντὶ ἐνεργείᾳ οὔσας ποιότητας, ἁπλᾶς δηλονότι οὔσας. τοῦτό γε δὴ ἀμφιβολίας πάσης ἐκτὸς, εἴπέρ τι καὶ ἄλλο ὑπάρχει· ἴσως δὲ καὶ οὐθὲν ἐναργέστερον τῷ ἀνθρωπίνῳ γε νῷ ἔφθη γενόμενον οὕτως ὅτι οὔτε τι ἐξ ὄντος εἰς τὸ μηδὲν ἀπόλλυται, οὔτε τι αὖ οὕτως ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι μεταβαίνει. οὐδ' ἐπ' ἄπειρον τὸν Ἡρακλείτου ῥοῦν ῥεῖ τε καὶ διαῤῥεῖ τὰ αἰσθητὰ πάντα, ἀλλὰ, τῶν εἰδῶν μενόντων καὶ ἐν τοῖς αἰσθητοῖς, ὁ κόσμος στάσιν τε καὶ σύνθεσιν πάντως λαμβάνει. Περὶ ψυχῆς οὖν ὁ λόγος οὗτος λεγόμενος ἱκανὸς ἂν δόξειε μόνοις τοῖς πνευματικοῖς πανθεϊσταῖς καὶ ὅσοις τὴν ἐν ἡμῖν ψυχὴν δέχονται εἶναι κατὰ μετάληψιν οἱανδήποτε ψυχῆς τινος ἢ Νοῦ παγκοσμίου· τούς γε μὴν ψυχῶν εἴδη καὶ μερικὰς ψυχὰς αὐθυπάρκτους δεχομένους, οὐδ' ὁπωστιοῦν ὁ λόγος οὗτος ἐν ἡσυχίᾳ καθίστησιν· ἐπεὶ οὐθὲν ὅλως ψυχῆς τε πέρι ἀνθρωπικῆς ἰδίᾳ λέγει, σχολῇ γε δὴ καὶ περὶ ψυχῆς ἑνὸς ἑκάστου τῶν ἀνθρώπων. ὥστε οὐράνιον μὲν ὅσον κῦρος ὁ λόγος λαμβάνει πρός τε ἄλλα ζητήματα καὶ πρὸς ἀθανασίαν ψυχῆς ἀνθρώπων, ἐπειδάν τις αὐτὸν ἐν ἄλλῃ τινὶ σχέσει λόγων ἄλλων ἄλλως θῆται, οὐκ ἀναμὶξ, καθάπερ προείρηται, οὐδ' ἑτεροζήλως γε πρὸς τὸ ἀόρατον ὡς μόνον ἁπλοῦν ἀποβλέπων, ἀλλὰ πρὸς ἄμφω ἅμα, τό τε ὁρατὸν καὶ τὸ ἀόρατον, ἔτι δὲ καὶ πρὸς τὴν ἀνθρωπικὴν ἰδίᾳ γε ψυχὴν αὐτὸν ἀναφέρων, ὡς οὐσίαν τε αὐτοτελῆ οὖσαν, εἶδός τε αὐτοτελὲς ἔχουσαν διὰ τὸ νοῦν αὐτὴν ἔχειν,

ἐλευθέραν τε βούλησιν καὶ ἱερὰν συναίσθησιν μόνην, ἁπάντων τῶν ἄλλων ζῴων χωρὶς, πολλῷ δέ τοι μᾶλλον τῶν ἁπλῶς αἰσθητῶν καὶ σωματοειδῶν, ἀνοήτων γε πάντων ὄντων· καὶ ὡς ἐν ἄλλαις λέξεσιν εἰπεῖν, ἡ μὲν μείζων πρότασις τοῦ συλλογισμοῦ γενικεύσεως προςδεῖται, ἡ δὲ ἐλάσσων μερικεύσεως οὕτως· πᾶν ὂν ἀνώλεθρόν ἐστιν ὁμοίως, τό τε κατ' ἐξοχὴν μετὰ τοῦ εἴδους αὐτοῦ καὶ πᾶν μερικὸν μετὰ τοῦ εἴδους αὐτοῦ τοῦ μερικοῦ· ἡ ψυχὴ ὂν φαίνεταί γε οὖσα μερικὸν καὶ τὸ εἶδος αὐτῆς ὡςαύτως μερικόν· καὶ ἡ ψυχὴ ἄρα ἀνώλεθρόν ἐστι καὶ τὸ εἶδος αὐτῆς ἐπίσης ἀνώλεθρον. εἶδος δὲ λέγοντες, οὔ τι ὁρατὸν ἀεὶ καὶ παχυλὸν νοοῦμεν, ἀλλά τι καὶ ἀόρατον καὶ νοητὸν πάντως. φανερὸν δὲ ὅτι ἑκατέρα τῶν προτάσεων τούτου τοῦ ἁπλουστάτου συλλογισμοῦ ἀκριβεστάτης καὶ ἐπιστημονικωτάτης ἀποδείξεως χρήζει καθ' ἅπερ ἱκανῶς ἔν γε τῷ παρόντι ὑπηνιξάμεθα. Τοσόν δε δὲ μόνον αὖθις ἐνταῦθα λέγομεν, ὅτι ὃς ἂν μὴ εἶδος ἕκαστον θῆται καθ' ἑαυτὸ, τῶν ἄλλων χωρὶς, ἐπ' ἀΐδιον χρόνον ὑπάρχον, καίπερ τοῖς ἄλλοις ἐπιπλεκόμενον, ἑκάστοις δὲ τοῖς εἴδεσι μηδεμίαν οὐσίαν ἰδίαν ἀποδιδῷ, μηδὲ λέγῃ ὅτι ὂν οὐκ ἐνδέχεται νοεῖν τὸ παράπαν ἄνευ εἴδους, μηδ' αὖ εἶδος ἄνευ ὄντος, ἀντὶ δὲ τούτων τὰ μὲν εἴδη εἰς ἄλληλα ἀναλύειν τε καὶ συμμίσγειν ἐπιχειρῇ, γένεσιν εἰδῶν ἐξ ἀλλήλων ποιῶν καὶ ὡς εἴδη μόνον αὐτὰ, καὶ αὐτὸς ἀγνοῶν τῇ ἀληθείᾳ ὅ,τι λέγει, ἀλλὰ μὴ ὡς ἐν οὐσίας μέρει τίθηται, ἀχώριστα δὲ τῶν αἰσθητῶν τὰ εἴδη λέγῃ καὶ ταῦτα ὀρθότατά γε λέγων, ἄλλα εἴδη ἀόρατα ἀλλήλων χωρὶς ὑπάρχοντα μὴ λέγῃ, ἀλλήλοις τ' ἐπιπλεκόμενα καὶ αἰσθητοῖς εἴδεσιν ὡςαύτως διὰ τὸν τῆς ὁμοιότητος Νόμον τοῦ κόσμου ἑνός γε ὄντος ἕνα πάντως ὄντα, τέλος δὲ εἶδος εἰδῶν ἁπάντων χωρὶς,

προνοίᾳ δὲ κυριεῦον μηδὲν γεραίρῃ, ἴστω οὗτος σαφῶς πάνυ καὶ εἰλικρινῶς, εἰ μήπω καὶ αὐτὸς τοῦτό γε ἔνδον συνήσθετο, ὅτι θεὸν, ψυχὴν, ἀθανασίαν αὐτῆς, τίσιν τε ἐν Αΐδου καὶ ἀντίδοσιν τῶν ἐνθάδε αὐτῇ πεπραγμένων καὶ τὰ παραπλήσια ἔ ν γ ε φ ι λ ο σ ο φ ί ᾳ λέγων, κενὰ ῥήματα λέγειν μηδεμίαν ἔννοιαν τὸ ἐπίπαν ἔχοντα. ἐπεὶ μηδὲ ἓν ο ὕ τ ω ς ὑπάρχειν τούτων γε, ὡς τὰ ῥήματα δηλοῖ, εἰλικρινῶς ἐν διανοίᾳ πέπεισται. ἥκιστα δέ γε προςήκειν οἶμαι ἄνδρα φιλοσοφοῦντα ἄλλα μὲν ἐν νῷ ἔχειν, ἄλλα δὲ τῇ γλώσσῃ λέγειν πρὸς ἀνθρώπων δόξας ἀποβλέποντα, ἀλλ' ἀναφανδὸν ὡς ἄνδρες εἰλικρινεῖς ὁμολογείτωσαν ὅτι οὔτε θεὸν νομίζουσιν εἶναι οὔτε ψυχὴν οὔτε ἀθανασίαν ψυχῆς γε ἀνθρωπικῆς, ἐὰν μὴ τὰ πρόςθεν πάντα τιθῶνται καὶ κατά γε τὰ οὐσιωδέστατα τῷ Πλάτωνι ἕπωνται. οἱ δ' οὖν πανθεϊσταὶ αὐταρέσκῳ μειδιάματι τὰ χείλη ἱλαρύνοντες, τὴν σεμνὴν τῶν πρόςθεν ὀνομάτων ἔννοιαν εἰρωνικῶς κατιλλώπτουσί καὶ ἀλαζόνες τε καὶ γόητες ἐν φιλοσοφίᾳ οὕτω καταφωρῶνται.

Ῥητέον δέ μοι καὶ τόδε, ὡς εἴπερ ἡ ψυχὴ τῷ ἁπλῷ ὁμοιοτάτη κατὰ Πλάτωνα ἐφάνη, δῆλον ὅτι καθ' ἕν γε μόνον τῶν τριῶν αὐτῆς μερῶν τοῦτ' ἐφάνη, τουτέστι τ ὸ λ ο γ ι σ τ ι κ ό ν· τοῦτο γὰρ καὶ μόνον τῷ ἁπλῷ ὁμοιότατόν ἐστι κατὰ Πλάτωνα αὐτόν. πῶς οὖν ἔχοι τις ἂν ταῦτα τῇ ἑτέρᾳ θεωρίᾳ συνῳδὰ ἀποδεῖξαι, ἄλλοθί τε καὶ ἐν Φαίδωνι ἐναργῶς εἰρημένῃ ὅτι τίσις ἔσεταί τίς που ταῖς ψυχαῖς μετὰ θάνατον καὶ ἀντίδοσις τῶν ἐνθάδε ἑκάστῃ πεπραγμένων, τοῦ λογιστικοῦ, ἐν ὅσῳ περ ἂν αὐτό γε τοῦτο λ ο γ ι σ τ ι κ ὸ ν ᾖ, ἀεὶ τοῦ αὐτοῦ μένοντος, μήτε τινὸς ἁμαρτίας καὶ δὴ καὶ τίσεως, μηδ' αὖ ἄλλης τινὸς παρὰ τὴν ἑαυτοῦ γε φύσιν τὴν ἀ ν α γ κ α ί αν ἀρετῆς καὶ δὴ καὶ ἀντι-

δόσεως δεκτικοῦ ὄντος; διαστέλλειν γὰρ δεῖ τὴν κατὰ Πλάτωνα ψυχολογίαν τῆς γε καθ' ἡμᾶς οὔσης. Πλάτων μὲν γὰρ τὴν ψυχὴν εἰς τρεῖς μοίρας διεῖλε, τὴν μὲν ἀθάνατον, ἀμφοτέρας δὲ τὰς ἄλλας θνητὰς, ἡμεῖς δὲ μ ί α ν φ ύ σ ι ν αὐτὴν δοξάζομεν εἶναι δ υ ν ά μ ε ι ς ἔχουσαν τρεῖς κυρίως. (*)

Πρὸς δὲ τούτοις ὅπερ γέρας ταῖς ἀγαθαῖς καὶ ὁσίαις τῶν ψυχῶν ἐν τῷ ἄλλῳ βίῳ ἀποδίδοται, εὐδαιμόνως τε καὶ μακαρίως διάγειν πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν

(*) Ἴσως οὖν εἴποιεν ἄν τινες καὶ πάνυ εὐλόγως ὅτι ὁ Πλάτων τὴν ψυχὴν, ἐφ' ὅσον χρόνον πλανᾶται εἴτε τρισχιλίων ἐτῶν εἴτε μυρίων, δίκην τε διδοῦσα καὶ ἁγνιζομένη, εἶδός τι σωματοειδὲς περὶ ἑαυτὴν ἔχειν δοξάζει, τοῦ τε θυμοειδοῦς ἅμα καὶ ἐπιθυμητικοῦ αὐτῇ συμπεφυκότων. Ἀλλ' ἡμεῖς γε ἄλλον λόγον ἐνταῦθα ζητοῦμεν, ὅπως ποτὲ τὸ μὲν θυμοειδὲς καὶ ἐπιθυμητικὸν ἤτοι τὸ θνητὸν τῆς ψυχῆς μόριον, ἄλογον φύσει ὄν, ἁμαρτίᾳ περιπίπτειν δύναιτο; καὶ πάλιν ὅπως ποτὲ δυνατόν ἐστι τὸ λογισικὸν, ὡς λογιστικὸν ἁμαρτάνειν τε καὶ δὴ καὶ συγκυκλεῖσθαι καὶ συμφύρεσθαι, ἀναίτιον ὂν ἀναιτίῳ ὄντι, τῷ θυμοειδεῖ τε ἅμα καὶ ἐπιθυμητικῷ, τίσιν καὶ δίκην ἑκάτερον ἀδίκως τῇ ἀληθείᾳ διδόν; ταύτας δὲ καὶ ἄλλας παραπλησίας λαβὰς παρέχει ἡ τῆς ψυχῆς διαίρεσις, ἥνπερ ὁ Πλάτων ποιεῖται εἰς τρία μέρη ἀλλήλων χωρὶς μένοντα. [ἀνάλεξαι μέντοι πάντως καὶ τὰ ἐν τετάρτῳ τῆς πολιτείας (σ. υλς.) λεγόμενα.] Ἔνιοι δὲ τῶν νέων Πλατωνικῶν καὶ τῶν νῦν δὴ ἑρμηνευτῶν οὐκ οἶδ' ὅπως ἰσχυρίζονται ὅτι ὁ Πλάτων τὸ πάμπαν ἄϋλον καὶ ἀσώματον τῆς ψυχῆς, ὥς τι ἰδανικὸν καὶ εἰς ἀεὶ ἀνέφικτον αὐτῇ τέλος προτίθεται, εἶδος δέ τι σώματος ἰδανικωτέρου τε καὶ εὐπειθεστέρου καὶ ταῖς τελέως ἡγνισμέναις ψυχαῖς ἀποδίδωσιν. οὕτω γοῦν εἶχεν ἄν τις εἰπεῖν ὅτι ἀντίδοσις αὐταῖς γίγνοιτο τῶν πόνων τε καὶ μόχθων τῶν καλῶν εἰκότως· ἐπεὶ αὐτῷ γε τῷ λογιστικῷ χωρὶς ὄντι οὐδεμία κυρίως ἀντίδοσις προσήκει τὴν ἑαυτῷ ἀναγκαίαν οὖσαν φύσιν οἵαπερ ἦν ἀρχῆθεν τηρήσαντι. ἀλλὰ ταύτην τὴν δόξαν οὐκ εὐλόγως τῷ Πλάτωνι οἱ σοφοὶ ἀποδιδόασιν. τὴν γὰρ ψυχὴν ὁ Πλάτων καὶ ὃ νῦν δὴ πνεῦμα ἀποκαλοῦμεν, ὕλης τινός, φαμεν, ἀεὶ ἡμμένην ὑπολαμβάνει, οὐ μὴν ἑαυτῷ γε συνειδὼς τοῦτο ποιοῦντι ἀλλ' ἑαυτὸν καὶ πάνυ λανθάνων.

ἀνθρωπείων ἁπάντων ἀπηλλαγμένας, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ θεῶν διαγούσας, τοῦτό γε ἀντιμάχεταί πως πρὸς τὸν πρῶτον τῶν ἐνταῦθα λεχθέντων λόγων. εἰ μὲν γὰρ συμβαίνει καὶ δι' ὅσου γε δὴ χρόνου εἴτε τρισχιλίων ἐτῶν εἴτε μυρίων ψυχάς τινας μακαρίας γίγνεσθαι καὶ τῆς τῶν θεῶν ὁμιλίας ἐς τὸν πάντα αἰῶνα ἀξιοῦσθαι, δῆλον ὡς μακραιώνων περιόδων ἐπανακυκλουμένων, ἐπιλείψουσιν αἱ ψυχαὶ ἐν τῷδε τῷ κόσμῳ· τελευτῶσαι γὰρ ἔσονται πᾶσαι μακάριαι, σώματός τε ἀπηλλαγμέναι πᾶσαι, καὶ ποῦ ἡμῖν τότε γένος τὸ ἀνθρώπειον; Ἢ ἔχοιμεν ἂν ἴσως ἀσφαλῶς εἰπεῖν θἄτερον μᾶλλον τὸν Πλάτωνα δοξάσαι, οἷον αὖ ἀλλαχοῦ φησιν, εἱμαρμένον εἶναι καὶ ταύταις ταῖς μακαρίαις ψυχαῖς κατά τιν' ἀνάγκην ἀδαμαντίνην πάλιν αὖθις εἰς σώματα ἐνσπείρεσθαι καὶ αὐτοῖς ὡς ἐν σήμασιν ἐνδεῖσθαι; ἀλλ' εἴπερ, φανερὸν ἄρα ὡς ἐπειδὰν αὖθις ψυχὴ μακαρία ἐν σώματι ἐμπορπηθεῖσα, ὑφ' ἡδονῶν γοητευθῇ ἥσσων τε ἑαυτῆς γένηται διὰ πλήσμην τοῦ πολεμίου καὶ ζόφον τῆς εἱρκτῆς, τίσιν αὖθις τῶν πλημμελημάτων δῆλον ὅτι δώσει καὶ οὐδὲν θαυμαστὸν εἴποτε ἡ πρώην ἤδη ποτὲ σὺν πόνοις τε καὶ μόχθοις ἀφάτοις ἁγνισθεῖσα θεοῖς τε συνοικισθεῖσα ψυχὴ, εἰς σῶμα λέοντος εἰσερπύσει καὶ ὄνου καὶ λύκου, ἱέρακός τε καὶ ἰκτίνου. τλήμων ἄρα ἡ ψυχὴ ἄληκτόν τινα πλάνην, περιπετείας δυσαναοχέτους, πτώσεις τε καὶ ἀναβάσεις τὸν ἀΐδιον χρόνον πάσχουσα. ἀδιάλλακτος τραγῳδία καὶ ἐν αὐτοῖς τοῖς ὕμνοις καὶ ἐγκωμίοις τῆς ἄκρας μακαριότητος. ἀναμνηστέον μέντοι ὅτι ὁ θεῖος Πλάτων πρὶν τοῦ Χριστοῦ ἀνέλαμψεν (*).

(*) Τὸ δὲ περὶ τοῦ Πλάτωνος βεβαίως πάνυ ἀποφαίνεσθαι, ὡς πλανᾶσθαι τῶν ψυχῶν δοξάζοντος μόνας τὰς μήπω τῆς ὑψίστης καὶ τελεω-

Ὁ λόγος οὗτος ὁ τρίτος καὶ κατὰ Πλάτων' αὐτὸν ἐς τὸ πιθανὸν μόνον καὶ τὸ εἰκὸς ἐξικνεῖται· οὐ γὰρ ταὐτὸν τῷ ἁπλῷ ὄντι ἤτοι ταῖς ἰδέαις τὴν ψυχὴν ἀποφαίνεται εἶναι. ἐπεὶ παντάπασί γ' ἂν τοῦτο ἀντιφατικὸν πρὸς ἄλλην δόξαν τοῦ Πλάτωνος ἀποβαίη, ἄλλο μέν τι τὸ ἁπλοῦν ἤτοι τὴν ἰδέαν εἶναι προειπόντος, ἄλλο δὲ τὴν ἀνθρωπικὴν ψυχήν. Διὸ εὐπερισκέπτως καὶ ἀντίφασιν εὐλαβούμενος περὶ τῆς ψυχῆς ὁ Πλάτων λέγει μόνον ὅτι ὁμοιοτάτη τῷ ἁπλῷ ὑπάρχει. ἐπεὶ οὖν ὁμοιοτάτη τῷ ἁπλῷ ἡ ψυχὴ ἀναπέφανται, ἀνωλέθρου ὄντος τοῦ ἁπλοῦ, ὁμοιότατόν τι ἄρα καὶ τῇ ψυχῇ συμβήσεται τῷ ἀνώλεθρόν τε καὶ ἄφθαρτον ἐπὶ χρόνον ἀΐδιον μένειν. ὁ λόγος οὗτος ἄρα ἐπὶ τὸ εἰκὸς μόνον ἐξικνεῖται, ὥςπερ καὶ ἡ ὀλίγῳ προςωτέρω τοῦ λόγου γιγνομένη παρὰ τοῦ Κέβητος ἀντίληψις δηλοῖ.

τάτης γνώσεως καὶ ἀρετῆς ἠξιωμένας, ὡςὰν τὰς ἁγνισθείσας ἤδη τὸν ἀΐδιον χρόνον μακαριότητός που μενούσας ἀπολαύειν ἁπλῶς τε καὶ σαφῶς εἰπόντος· ἔτι δὲ ὅτι διαῤῥήδην τὴν αὐτὴν λέγοι ψυχὴν κατὰ πᾶσαν τὴν πλάνην παραμένειν, ἤθη πολλὰ Πρωτέως δίκην ἄλλ' ἐξ ἄλλων λαμβάνουσαν, ὡς εἴπερ αἱ τῶν ὑποδεεστέρων ζῴων ψυχαὶ μηδὲν ἄλλο εἴησαν τὸ κατ' ἀρχὴν ἢ αὗται αἱ τῶν ἀνθρώπων πεπτωκυῖαι· (πρόσεχε ᾧ λέγω· οὐ γὰρ τηνάλλως εἰρήκαμεν τὰ ἐν τῷ πρώτῳ τῶν τεσσάρων λόγων·) ταὐτά τε περὶ τοῦ Πλάτωνος ἀποφαίνεσθαι καὶ ὅτι κατὰ τὸ ἑκάστοτε ἦθος, ἢ μᾶλλον εἰπεῖν, κατὰ τὴν κατάστασιν ὑφαίνεσθαι λέγοι τὴν ψυχὴν καὶ τὸ σῶμα τὸ περὶ ἑαυτήν· ταῦτα, οἶμαι, οὐ πάνυ εὐλόγως τῷ Πλάτωνι ὑπό τινων ἑρμηνευτῶν ἀποδίδοται, οὐδ' ἐκεῖνό γε τὸ ἔργον τοῦ ὑφάντου, ὃ ὁ Κέβης λέγει, τιμιώτερόν πού τι φανείη ἂν τῆς κοινῇ νοουμένης μετεμψυχώσεως, ἀλλ' ἴσως καὶ πολλῷ ταπεινότερον τῷ ἐμβριθέστερον τὴν τῆς ψυχῆς φύσιν καὶ κατὰ τὴν πάλαι ἀντίληψιν παρ' ἑαυτῷ λαβόντι. ἐπεὶ μυρίῳ που διαφέρειν οἶμαι τὸ τὴν ψυχὴν τὸ σῶμα εἰδοποιεῖν λέγειν, οἷόν περ ὁ Πλάτων ἀληθῶς λέγει, τῆς φορτικῆς καὶ ἀγροίκου δόξης, ἣν ὁ εὖ καὶ καλῶς περὶ λόγους πεπαιδευμένος ἤδη νεανίσκος, ὁ Κέβης οὐχ ὡς ἰδίαν, ἀλλ' ὡς ἀλλοτρίαν εἰς μέσον φέρει ὅτι ἡ ψυχὴ ὅλον τὸ σῶμα τὸ περὶ ἑαυτὴν ὑφαίνεται.

Ἀλλ' οὗτοι δὴ οἱ τρεῖς λόγοι οἱ μέχρι τοῦδε ὁπωςδήποτε εὐοδωθέντες ὁλοσχερῶς ἤδη ἐπελάβοντο τῆς ζητουμένης ἀϊδιότητος τῆς ψυχῆς οἱ μὲν δύο πρῶτοι πρὸς ἀρχὴν μόνον, ὁ δὲ τρίτος πρός τε ἀρχὴν ἅμα καὶ πρὸς τελευτήν. ἀλλ' ὁ θεῖος Πλάτων εὖ μάλα προῄσθετο ὅτι ἀνὴρ φυσιολόγος καὶ περὶ τὰ ἐν τῇ φύσει ὄντα τε καὶ γιγνόμενα μάλιστα σπουδάζων, ἥκιστά γε τούτοις τοῖς δι' εἰκότων ἢ ὑποθέσεων τὰς ἀποδείξεις ποιουμένοις λόγοις πεισθείη, ἀλλὰ λιπαρῶς τοιόνδε τι μάλιστα ζητήσειεν, ὅπως τόδε τὸ σύμπαν, ὁ πολυειδὴς οὗτος κόσμος γίγνοιτο, ὅπως τε φθειρόμενος καὶ αὖθις γιγνόμενος φαίνοιτο. εἰς ἀγῶνα τοίνυν διπλοῦν ὁ Πλάτων ἔοικεν ἀποδυόμενος πρός τε τοὺς εἰλικρινῶς φυσιολογοῦντας καὶ πρὸς ἄλλους ἄνδρας ἐξόχους, οἳ κρατίστην μὲν πρότερον μοῖραν τῷ Νῷ προςνείμαντες, οὕτως εἶτα τῆς ἐν ἔθει φυσιολογίας ἐφρόντισαν ὥστ' ἐπιλανθάνεσθαί πως ἑαυτῶν ἐπὶ τέλους φαίνονται, τῇ τῶν φυσιολόγων πραγματείᾳ ὁλοσχερῶς ἑαυτοὺς παραδιδόντες. Διὸ οὗτος ὁ λόγος οὐσιωδέστατός τε καὶ διαλεκτικώτατος πάντων τυγχάνει ὢν τῶν πρόσθεν λεχθέντων, καθ' ὅσον περ αὐτὸν τὸν Πλάτωνα ἡμῖν ἐνδείκνυσι κατὰ κράτος ὁμόσε τοῖς φυσιολόγοις χωροῦντα, ὅπλα ἐξ αὐτῆς γε αὐτῶν τῆς πραγματείας λαμβάνοντα. ἡ δὲ μετάβασις εἰς τοῦτον τὸν Πλατωνικώτατον τῶν πρόσθεν λεχθέντων λόγων χαριέντως πάνυ καὶ ὑπολαθανόντως γίγνεται διὰ Σιμμίου τε ἅμα καὶ Κέβητος τῶν Θηβαίων, ὧν ὁ μὲν Σιμμίας τὸν περὶ ἁρμονίας λόγον ἐπεισάγει καὶ εὐχερῶς τε καὶ ὁλοσχερῶς ἡσσώμενος τὸ κοῦφον προελέγχει τῆς τῶν φυσιολόγων ἐν γένει πραγματείας καὶ τὴν ἧσσαν αὐτῶν τὴν ὕστερον προοιμιάζεται ὑπὸ τοῦ μέλλοντος εἰρήσεσθαι λόγου τοῦ Πλατωνικοῦ. ὁ δὲ δὴ

τοῦ Κέβητος λόγος μικτός τις φαίνεται τὴν φύσιν ὤν, ἐκ τοῦ νοητοῦ μὲν γένεσίν πως λαμβάνων, εἰς δὲ τὰ ὁρατὰ καὶ φυσικὰ καταστροφήν τε καὶ φθοράν, ὥςπερ καὶ ἡ ὅλη πραγματεία τοῦ Ἀναξαγόρου διφυὴς, ὡς πάντες ἴσασιν, ἐγένετο. ἔτι δὲ ἐναντίος ἐστὶν ὁ λόγος τῷ τοῦ Σιμμίου λόγῳ, καθ' ὅσον ὁ μὲν Σιμμίας ἁρμονίαν εἶναί φησι τὴν ψυχὴν τῶν κατὰ τὸ σῶμα ἐντεταμένων καὶ δὴ καὶ ὑστέραν τε καὶ ἀρχομένην ὑπὸ τῶν μερῶν ἐξ ὧν συνήρμοσται, ὁ δὲ τοῦ Κέβητος τὴν ψυχὴν τὸ σῶμα ὑφαίνεσθαι λέγων, προτέραν τε αὐτὴν λέγει καὶ ἄρχουσαν τοῦ σώματος. αὕτη δὴ οὖν ἐστιν ἡ σχέσις, δοκῶ, ἄλλη δ' οὐδεμία, ἡ ἐναντιότης τούτων γε τῶν λόγων πρὸς ἀλλήλους, δι' ἣν Σιμμίας τε καὶ Κέβης ἀλλήλοις ἑταῖροί τε καὶ πολῖται ὄντες, εἰςάγονται ἄμφω αὐτοὺς ἅμα ὑποτείνοντες τῷ Σωκράτει. Λεκτέον οὖν τινα πρότερον περὶ ταύτης τῆς ἁρμονίας, εἶτα δὲ περὶ τῆς τοῦ Κέβητος ἀντιλήψεως.

Πρῶτον μὲν οὖν δοκῶ τοῦτον τὸν περὶ ἁρμονίας λόγον κοινῇ προεληλυθέναι ἔκ τε τῶν ἐν Θήβαις Ὀρφικῶν καὶ ἐκ τῶν Πυθαγορείων ἅμα, μᾶλλον δέ που ἐκ τῶν Ὀρφικῶν ἐπὶ τὸ Θηβαϊκώτερον διεσκευασμένων, ἐν οἷς, ὡς ἔοικε, καὶ τὰς τοπικὰς παραδόσεις συγκατέμισγον. Οὗτος δὴ ὁ λόγος κατ' οὐσίαν ὑπὸ τοῦ Σιμμίου εἰςάγεται τόνδε τὸν τρόπον λέγοντος· «καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥςπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν καὶ ξυνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν, κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα. εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον ὅτι, ὅταν χα-

λασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην, ὥςπερ καὶ αἱ ἄλλαι ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις καὶ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν, ἕως ἂν ἢ κατακαυθῇ ἢ κατασαπῇ. ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ σώματι ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλλυσθαι.» τρεῖς ἀντιλήψεις ὁ Σωκράτης ποιεῖται τούτου τοῦ λόγου πρῶτον μὲν οὖν ὑποδείκνυσιν, ὡς εἴπερ ἡ ψυχὴ ἁρμονία καὶ κρᾶσίς τίς ἐστι τῶν ἐν τῷ σώματι τεταμένων, φανερὸν ὡς οὐκ ἦν αὐτὴν πρότερον ὑπάρχειν τῶν ἐξ ὧν γε συντέθειται, ἁρμονία οὖσα. οὐ γὰρ ἄν τις εἰκότως γε λέγοι ἁρμονίαν πρότερον συγκειμένην εἶναι πρὶν ἐκεῖνα ἡρμόσθαι, τὴν λύραν καὶ τὰς χορδὰς καὶ τοὺς φθόγγους, ἐξ ὧν ἔδει αὐτὴν συντεθῆναι· ἀλλὰ πρότερον ταῦτα πάντα γίγνεσθαι ὑποληπτέον, τελευταῖον δὲ πάντων τὴν ἁρμονίαν αὐτὴν συνίστασθαι καὶ πρῶτον ἀπόλλυσθαι. ἀλλὰ ταῦτα ἄντικρυς μάχεται πρὸς ἐκεῖνον τὸν λόγον, ὅς λέγει μάθησιν εἶναι μηδὲν ἄλλο ἢ ἀνάμνησιν, ἧς περ πρότερόν ποτε ἀλλαχοῦ ἐπιστήμης εἴχομεν τῶν ὄντων. οὗτος δ' αὖ ὁ λόγος ἐκείνῳ ἕπεται τῷ ἱερῷ τῶν Ὀρφικῶν λόγῳ ὅτι ἦσάν ποτε ἡμῶν αἱ ψυχαὶ ἐν Αἴδου κἀκεῖθεν δεῦρο εἰς σώματα συνείργονται καὶ ἐνθένδε αὖθις ἐκεῖσε πορεύονται καὶ αὖθις ἔρχονται. ὥστε εὐθὺς ἐξ ἀρχῆς ἡ περὶ ἁρμονίας δόξα, τῶν Ὀρφικῶν, ὡς εἴρηται, οὖσα, μαχομένη ἀναπέφανται πρὸς τὴν πρώτην δόξαν, ἣν ὡσαύτως τῶν Ὀρφικῶν προσειρήκαμεν, καὶ τοῦτον τὸν τρόπον τοὺς Ὀρφικοὺς ἑαυτοῖς ἀντιφάσκοντας ἀπέδειξεν, ὅπερ ὁ Σιμμίας οὐκ ἐδέξατο, ἀλλ' ἄσμενος

τοῦτον τὸν περὶ ἁρμονίας λόγον, ὡς δι' εἰκόνος ἀπατηλὸν γενόμενον ἀνέθετο, τὸν περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως, ὡς δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εὐοδωθέντα προελόμενος. (*) εἶτα ὁ Σωκράτης οὔπω τὸν ἔλεγχον ἀνίησιν, ἀλλὰ δευτέραν ἀντίληψιν τοῦ λόγου ἐσωτερικὴν ἐπάγει, τήνδε· εἴπερ γὰρ ἡ ψυχὴ ἁρμονία τις εἴη, τρία τινὰ συμβαίη ἂν πάντως τάδε· πρῶτον μὲν τὴν ψυχὴν μηδέποτε μηδαμῶς τοῦ σώματος ἡγεῖσθαι, ἀλλ' ἀεὶ αὐτῷ ἕπεσθαι. καὶ γὰρ ἁρμονίᾳ ἢ ἄλλῃ τινὶ συνθέσει οἱᾳδήποτε οὕτω πως ἔχειν προςήκει, ὡς ἂν ἐκεῖνα ἔχῃ, ἐξ ὧν ἂν συγκέηται. τοῦτο δὲ ἐκ μὲν τῆς πρώτης ἀντιλήψεως ἤδη συναγόμενον, ἐν δὲ ταύτῃ τῇ δευτέρᾳ προαγγελτικώτερον λεγόμενον, οὐχ οὕτως ἔχειν ἀποδείξει προσωτέρω τοῦ λόγου, ὁπότε τὴν τρίτην ἀντίληψιν ποιήσεται. δεύτερον δὲ εἴπερ ἁρμονία τις ἡ ψυχὴ εἴη, πάσας ἂν τὰς ψυχὰς συμβαίη μηδ' ὁπωςτιοῦν ἐξ ἴσου ψυχὰς εἶναι, ἀλλὰ τὴν μὲν, ψυχὴν ἐπὶ πλέον τε καὶ μᾶλλον, τὴν δ' ἐπ' ἔλασσον καὶ ἧσσον, οἷόν που συμβαίνει καὶ τῇ ἁρμονίᾳ, « ἂν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων, εἰδ' ἧττόν τε καὶ ἐπ' ἔλαττον ἧττόν τε καὶ ἐλάττων. » ἀλλὰ γὰρ οὐ πᾶσι φανὸν τοὐναντίον περὶ ψυχῆς ἀληθεύειν μηδὲ « κατὰ τὸ σμικρότατον μᾶλλον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς ἐπὶ πλέον καὶ μᾶλλον ἢ ἐπ' ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτο εἶναι, ψυχήν ; » εἰ δὲ μὴ καὶ οὕτω τὴν ὑπόθεσιν ψευδῆ ἐλεγχθεῖσαν κα-

(*) Ἀξία δὲ μνήμης μάλιστά μοι δοκεῖ ἐνταῦθα εἶναι, ἣν περ ῥῆσιν ὁ θεῖος Πλάτων διὰ στόματος Σιμμίου λέγει, μάλα γενναῖον βάθος φαίνουσαν τήνδε· « ἐῤῥήθη γάρ που (φησὶν ὁ Σιμμίας) οὕτως ἡμῶν εἶναι ἡ ψυχὴ καὶ πρὶν εἰς σῶμα ἀφικέσθαι, ὥςπερ αὐτῆς ἔστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. » οὐ τ ῆ ς ἰ δ έ α ς τὴν ἐπωνυμίαν ἐνταῦθα νοεῖ, ἀλλ' εἴπερ ἐστι τί, φησιν, οὐσίαν ἔχον, ᾧ καὶ ὄνομα ψυχὴν τίθεμεν, δῆλον ὡς τοῦτό γε ἀρχῆθεν ἦν ἐξ ἀϊδίου, οὐσία γε οὖσα.

ταλιπεῖν ἐθελήσομεν, ἀλλὰ τῆς ἁρμονίας ἀεὶ ἀνθεξόμεθα, ὁμολόγημα ἡμῖν ἔσται ἄρα τοιόνδε τι καὶ πάνυ ἀλλόκοτον· «μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον, μηδὲ ἧττον μηδ' ἐπ' ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι» τ ὴ ν ψ υ χ ή ν. τούτου δὲ τεθέντος, δέον ἡμᾶς καὶ τόδε ὁμολογῆσαι, ὡς εἴπερ ἡ ψυχὴ ἁρμονία τις τυγχάνει οὖσα, πάσας ἂν τὰς ψυχὰς ὁμοίως ἀγαθὰς εἶναι, μηδεμιᾷ δὲ μηδενὸς τῶν ζῴων κακίας μηδ' ἂν σμικρόν τι μετεῖναι ὅλως· τῆς γὰρ κακίας ἀναρμοστίας τινὸς πάντως οὔσης, ἀδύνατον ψυχὴν ἁρμονίαν γ' οὖσαν, ἀναρμοστίαν ἅμα ἐν ἑαυτῇ δέξασθαι· ἀλλὰ καὶ τοῦτο παντάπασί γε τοῦ ἀληθοῦς ἀπολειπόμενον ἐλέγχεται.

Ἐκ δὴ οὖν ταύτης τῆς δευτέρας ἀντιλήψεως συνάγεται, ὡς ἐν κεφαλαίῳ εἰπεῖν τάδε· ὡς εἴπερ ἁρμονίαν τινὰ εἶναι τὴν ψυχὴν βουλοίμεθα λέγειν, ἀναγκαζοίμεθ' ἂν ἅμα ὁμολογεῖν καὶ τάδε· πρῶτον μὲν τὴν ψυχὴν τῷ σώματι ἕπεσθαι, εἶτα δὲ μὴ πάσας τὰς ψυχὰς ἐξ ἴσου ψυχὰς εἶναι, πάσας τε ἀγαθὰς ὁμοίως ἂν φαίνεσθαι· καὶ ταῦτα, ὁπότε τἀναντία γε τούτων ἀληθείας ἐχόμενα φαίνεται, ὅτι ἡ ψυχὴ τοῦ σώματος ἡγεῖται, πᾶσαι δὲ αἱ ψυχαὶ ἐξ ἴσου ψυχαί εἰσιν, οὐ μέντοι γε πᾶσαι ὁμοίως ἀγαθαὶ φαίνονται, ἀλλ' ἡ μὲν νοῦν τε ἔχει καὶ ἀρετὴν καὶ ἀγαθή ἐστιν, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ κακή ἐστιν. ἐνταῦθα μὲν οὖν περὶ πολλῶν ὁμοίως ψυχῶν οὐσῶν ὁ λόγος ἐγένετο.

Τρίτην δ' ἀντίληψιν ἀμφοῖν ταῖν πρόσθεν παραπλησίαν, ἄμφω τε κατά γε οὐσίαν ἐν ἑαυτῇ περιειληφυῖαν, ἡμῖν δὲ διὰ τὸ σχῆμα αὐτῆς πολὺ μᾶλλον ἔν γε τῷ παρόντι διαφέρουσαν ἐπάγει ὁ Σωκράτης τῷ Σιμμίου λόγῳ τήνδε· ἡ ψυχὴ ἄρχει τε καὶ ἡγεμονεύει τῶν ἐν τῷ σώματι πάντων· τούτῳ δὲ τοὐναντίον τι συμβαίνει ὑστέρᾳ γε οὔσῃ τῇ ἁρμονίᾳ τῶν ἑαυτῆς μερῶν,

τρόπον τινὰ ὑπ᾽ ἐκείνων ἄρχεσθαι· ἄρχει δὲ αὖ ἡ ψυχὴ πλειστάκις οὐκ ἐθελόντων τῶν κατὰ τὸ σῶμα παθημάτων, ἀλλὰ καὶ σφόδρα ἀρχῆθεν ἐναντιουμένων, ὅπερ ἀδύνατον ὡσαύτως τῇ ἁρμονίᾳ συμβαίνειν· καὶ γὰρ ἐκ θελόντων καὶ μάλα γε τῶν μερῶν αὐτὴ συνίςασθαι πέφυκε, σχολῇ γε πρὸς ἑαυτὴν διαφωνούντων. ἡ δ᾽ οὖν ψυχὴ τὸ ἑαυτῆς πᾶν δι᾽ ἐναντιάτητος τῶν ἐν τῷ σώματι ἐπιτελοῦσα, ἐναντία τὴν φύσιν ὑπάρχει τῷ σώματι. ἐναντία δέ γε οὕτως οὖσα, πῶς ἂν αὖ ἁρμονία τῶν ἐν τῷ σώματι ἡρμοσμένων φανείη; Αὕτη οὖν ἡ ἀντίληψις καὶ πρὸ τοῦ Ἀριστοτέλους ἤδη εὐχερῶς τε καὶ ὁλοσχερῶς τὸν περὶ ἁρμονίας λόγον ἀνασκευάζει, ὅς ἔμελλέ ποτε παρά τισι τῶν μεταγενεστέρων φιλοσόφων καὶ πολλοῖς γε τῶν νῦν δὴ νωχελέστερόν πως φιλοσοφούντων αὖθις ἐπεγερθῆναι διὰ τὸ κοῦφον ἅμα καὶ ἐπαγωγὸν, οὗπερ φιλοσοφικὴ τῶν ὄντων ἐπίσκεψις μετέχει, τῆς μὲν πείρας τῶν ὁρατῶν ἁμηγέπη ὑπερτέρα οὖσα, ἀλλ᾽ οὐ πόῤῥω πάνυ αὐτῶν διὰ δειλίαν τε καὶ ὄκνον ἰοῦσα, ταύτῃ δὲ τῇ ἁρμονικῇ ἑνότητι τοῦ τε σώματος καὶ τῆς ψυχῆς πρὸς ἄλληλα, οἷον εὑρήματι φρενὸς ἀτεχνῶς δαιμονίας πάνυ στέργουσα, ὡς τοῦ μὲν σώματος περιφερείας τινὸς οὔσης, τῆς δὲ ψυχῆς τὸ κέντρον τρόπον τινὰ τοῦ ἀνθρωπικοῦ ὄντος ἀποτελούσης. ταυτηνὶ τὴν κούφην ἀντίληψιν ὁ θεῖος Πλάτων, ὡς λέγω, ἄρδην ἤδη περισείσας ἀνεσκεύακεν, πλὴν ὅσον ἡ ψυχὴ οὐκ ἐναντία τῷ σώματι φαίνεται, ἀλλ᾽ «ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη,» ὅπως καὶ αὐτὸς ὁ Πλάτων λέγει. τοῦτο γὰρ ἀληθὲς ὂν ἐξαρκεῖ· οὐ γὰρ φύσει ἑκατέρῳ γε ἑκάτερον ψυχή τε καὶ σῶμα ἐναντίον ὂν φαίνεται, ἀλλὰ τροφῇ τε καὶ ἕξει κακῇ ἀλλήλοις ἐναντία γίγνεται. Διὸ ἡ πρώτη ἐναντιότης ἡ ἐν τούτοις ἐγειρομένη σχολῇ γε εἰς τὴν φύσιν αὐτῶν τὴν

ἀναίτιον ἀνοιστέα ἐστιν, ἀλλ᾽ εἰς τὴν κακὴν αἵρεσιν, ἥνπερ ἡ ψυχὴ ἐλευθέραν βούλησιν ἔχουσα ποιεῖται, ἀμελῶς καὶ πλημμελῶς ἀρχῆθεν δι᾽ ὄκνον βιοῦσα. ἄρχειν δὲ δή τί φαμεν ἑτέρου, πειθήνιόν τε αὐτὸ ἑαυτῷ παρασκευάζειν, ἐπειδὰν πρότερον τὸ ἄρχον τὸ ἀρχόμενον δι᾽ ὁμοίων ὅμοιον ἑαυτῷ ἀπεργάσηται. ἀνομοίου δὲ καὶ ἐναντίου ἀνόμοιον ἄρχειν οἴεσθαι καὶ ἐναντίον, μὴ πολλὴν ἀμέλειαν φιλοσοφούντων ἐλέγχῃ καὶ νῦν δὴ παγίως ταῦτά γε ἰσχυρίζεσθαι αἱρουμένων. εἶεν· ἀλλὰ τοῦτό γε ὁ θεῖος Πλάτων τὸ περὶ τὴν ἁρμονίαν θαυμαστῶς ὡς καταπολεμήσας, πεπροοιμίασταί τι ἅμα τῷ μέλλοντι λεχθήσεσθαι αὐτῷ λόγῳ οὐ πάνυ, οἶμαι, λυσιτελές· ἄλλο μὲν γὰρ εἶναι ἐν τῷ παρόντι φησὶ τὴν ψυχὴν, ᾽νόμοιον καὶ ἐναντίον τῷ σώματι καὶ δὴ καὶ τῶν ἐν αὐτῷ παθῶν τῶν τῆς ζωῆς χωρὶς ὄν· τούτου δ᾽ αὖ ἐπιλανθάνεταί πως πάλιν δι᾽ ἕξιν ἴσως ἐπὶ τοῦ ἑχομένου λόγου, ὃν ἐρεῖ τὴν τοῦ Κέβητος ἔνστασιν καταπαλαίων ἥτις, ὡς ἀληθεῖ λόγῳ εἰπεῖν, οὐδεμίαν γε ἰσχὺν φανεῖται ἔχουσα, πλὴν ὅσον σαφῶς καὶ ἀνυποστόλως ἀνατυποῦσα τὰ πρόσθεν λεχθέντα, ὡς μήπω δύναμιν ἔχοντα ἐναργῶς ἀποδεῖξαι ὅτι ἡ ψυχὴ ἀΐδιος πρὸς τελευτὴν ἔσοιτο τὸν πάντα αἰῶνα, ἀφορμὴν τῷ Πλάτωνι παρέχει τὸν περὶ γενέσεως καὶ φθορᾶς λόγον τὸν ἑαυτῷ δοκοῦντα εἰπεῖν κατὰ τἀναντία πρὸς ἁπάντων τῶν πρόσθεν τὴν πραγματείαν μᾶλλον ἢ ἧσσον φυσιολογικὴν γεγενημένην.

Διηγεῖται οὖν πρότερον ὁ Σωκράτης, μᾶλλον δ᾽ εἰπεῖν, ὁ Πλάτων περὶ ἑαυτοῦ, τὸν πλοῦν ὃν ἔπλευσε, νέος ἔτι ὢν, κατὰ ζήτησιν τῶν αἰτίων τῶν περὶ τὴν φύσιν πάντων, ὅπως ποτὲ τὸ πᾶν τόδε ἐγένετο καὶ γίγνεταί γε δὴ καὶ ἐναλλὰξ ἀπόλλυται, οἷς τισι νόμοις, αἷς δέ ποτ᾽ ἀνάγκαις λογικαῖς πειθόμενον. θαυμαστὸν γὰρ

πρᾶγμα καὶ πάγκαλον καὶ ἀτεχνῶς θεῖον ἐδόκει αὐτῷ τά γε τοιαῦτα εἰδέναι, τὰς αἰτίας δηλονότι ἑκάστων, ᾗ γε ἕκαστα ἔστι καὶ γίγνεται καὶ ἀπόλλυται καὶ τὸ ὅλον ὡσαύτως. λόγον δὴ οὖν ἐν πᾶσι φύσει τε καὶ ἕξει ἀνιχνεύων, λόγου δὲ τὴν πραγματείαν τῶν τηνικαῦτα φυσιολόγων ἔν γε τοῖς κυριωτάτοις τῇ ἀληθείᾳ πάμπαν ἄμοιρον ὁρῶν, τηνάλλως δόξας τῆς τῶν ὅλων φύσεως πέρι φύρουσάν τε ἀλλήλαις καὶ ξυγκυκῶσαν, αἰτίας δὲ ἐπιπολῆς τινας οὔσας ἐπιπολῆς γιγνομένων ὁρατῶν καὶ ἀπολλυμένων αἰτιωμένην, ἀρχῶν δὲ προτέρων τινῶν καὶ λόγων καθολικωτέρων οὐδ᾽ ὁπωστιοῦν φροντίζουσαν· οὕτω δὴ ὁ Πλάτων οὗ γε μάλιστ᾽ ἐφίετο ἀτευκτῶν ἀνησυχίας τε καὶ ἀδημονίας τὴν ἑαυτοῦ γενναίαν ψυχὴν ὑποπιμπλαμένην ἤρξατο αἰσθάνεσθαι, μὴ οὐδεὶς τούτων γε πέρι λόγος καὶ οὐδεμία αἰτία τὸ ἐπίπαν οὐχ ὑπάρχῃ, ὁπότε συνέβη αὐτῷ τὰς Ἀναξαγόρου βίβλους πάντων ἀκοῦσαι καθ᾽ Ἑλλάδα ἐπαινούντων, Νοῦν φασκούσας εἶναι διακοσμοῦντα τὸ Σύμπαν τόδε καὶ κυβερνῶντα, Νοῦν ἁπάντων αἴτιον διδασκούσας· αὐτὸ δὴ τοῦτο, ὅπερ καὶ ὁ Πλάτων περιῄει τῇ διανοίᾳ πάντοσε ζητῶν, τοῦτο ἔσπευσε μαθεῖν παρὰ τῷ Ἀναξαγόρᾳ, ὡς τάχιστ᾽ ἐν χερσὶ τὰς βίβλους αὐτοῦ λαβὼν καὶ πανταχοῦ νοῦν καὶ λόγον κατὰ τὰ προηγγελμένα αἴτιον παντὸς ἀναζητῶν καὶ διὰ τὸν τοῦ ἀρίστου καὶ βελτίστου λόγον οὕτως ἔχειν ἕκαστον δεικνύναι τῶν ὄντων, ᾗ γε καὶ ἔχει καὶ περὶ τοῦ γίγνεσθαι δὲ καὶ ἀπόλλυσθαι ὁμοίως τὸν αὐτὸν λόγον, εἰ δὲ μὴ οὕτως αὐτὰ ἔχοι, ὡς ἔχει, χεῖρον ἂν ἔχειν καὶ αἴσχιον ἐλέγχειν, τηλικοῦτον τὸ μέγεθος πρᾶγμα ἀναζητῶν, ἀφέλειαν ἔτι καὶ νεότητα τῆς φιλοσοφίας ἐμφαῖνον, οὐχ οἷός τε ἦν, ὡς εἰκὸς εὑρεῖν, ὅπερ οὔτ᾽ αὐτὸς ὁ Πλάτων οὔτε ἄλλος τις τῶν ὕστερον ἀναλαμψάντων ἀν-

θρῶν ὁλοσχερῶς εὗρεν, οὐδέ γε ὁ καθ' ἡμᾶς Ἀλέξανδρος ὁ Οὐμβόλδος ἤλπισεν ἐπὶ πάντων τῶν ἐν τῇ φύσει ἢ γοῦν ἐπὶ τῶν πλειόνων ἀνευρεῖν. ὅσοι δὲ τῶν μακαρίων ἀνδρῶν τοῦθ' ἱκανώτατα εὑρηκέναι δοκοῦσι, Νοῦν πάντων τῶν ἐν τῷ ὁρατῷ κόσμῳ αἴτιον καὶ λόγον τὸν βέλτιστον καὶ ἄριστον, οὗτοι οὐθὲν ἄλλο, οἶμαι, τοῦ εἰλικρινοῦς ἢ καὶ προςποιήτου ζήλου καὶ ἤθους ἐπαυρίσκονται ἢ νουθέτησιν παρὰ τῶν σωφρόνων, τολμημάτων οὕτως αὐτοῖς ἀνεφίκτων καὶ διὰ τὸ λίαν ἀνεπαρκὲς παντάπασι γελοίων καὶ ἐπιβλαβῶν, ὡς φρονιμώτατα δύνανται ἀπέχεσθαι. ὅπερ ἄρα ὁ Πλάτων διακαῶς ἐπόθει, τούτου εἰκὸς ἦν μηδὲ παρὰ τῷ Ἀναξαγόρᾳ τυχεῖν, ᾧπερ τούτου γε ἕνεκεν ἀνακολουθίαν δριμύτερον ἐπιμέμφεται. πολλῆς μέντοι ἄλλης ὠφελείας ἔτυχε παρ' αὐτῷ, οἵας περ ἀνὴρ τυγχάνει, ὅς ἂν τὰ τῶν ἄλλων ἐπιλεγόμενος φιλοπονήματα καὶ διὰ πάντων τῶν ἀπαντώντων λόγων γενναῖόν τι αὐτὸς, καθ' ἑαυτὸν φραζόμενος ἐπιζητεῖ, πολλῶν καὶ σοφῶν λόγων ἔμπειρος ἤδη πρότερον γενόμενος. εὗρε τοίνυν ὁ Πλάτων εἰ μὴ παρ' αὐτῷ τῷ Ἀναξαγόρᾳ ἀμέσως, ἀλλ' ἐν ἑαυτῷ, ὅπερ ἐζήτει, ὅσα γε τἀνθρώπεια ἱκανῶς, τοιόνδε που καὶ ἴσως ὧδε. οὐ τό γε ἐν διηνεκεῖ ῥοῇ ὂν, μηδεμίαν στάσιν ἐνδιδὸν, ἄλλοτε δ' ἄλλο εἶδος ἀλλάσσον καὶ διὰ τοιαύτην ἐνδελεχῆ ἀλλαγὴν τὰς αἰσθήσεις ἐξαπατῶν, ἴλιγγον καὶ σκότον αὐταῖς παρέχον, ἐπιστήμης δὲ καὶ νοῦ παντάπασιν ἀπέχον, ἄξιον ἂν εἴη αἴτιον ἄλλου τινὸς ἀσφαλὲς ὑμνεῖν οὔτε αὐτῶν τούτων τῶν γιγνομένων τε καὶ οἰχομένων οὔτε τῶν ἄλλως ἡμῖν μονίμως ἐναπολειπομένων, εἰ καὶ ἔστιν οὗ καὶ ὅτε τά γε τοιαῦτα μέχρι τινὸς ἱκανὰ αἴτια φαίνεται. τῆς φυσιολογικῆς ἄρα πραγματείας τοῦτο μόνον παραληπτέον ὅτι τα ἐν τῇ φύσει πάντα καὶ αἱ αἰσθήσεις, δι' ὧν αὐτὰ

λαμβάνομεν, ἄμφω ἀπατηλά πώς ἐστιν, οὐδέποτε μένοντα, ἀλλ' ἀεὶ ἄληκτον φορὰν φερόμενα. ἄλλοι δέ τινες τὰ ὄντα πάντα ἓν εἶναι, ὡς ἔπος εἰπεῖν, χρησμολογοῦντες καὶ τοῦτο δὴ τὸ ἕν ὂν ἐν ἀδρανείᾳ ἱστάντες, ἄχρηστόν πως πρὸς τὰ γιγνόμενα ἀποφαίνουσι καὶ περὶ τοῦδε τοῦ κόσμου οὐδὲ σμικρόν τι λέγειν τὸ παράπαν οἵους τε εἶναι ἑαυτοὺς ἀποδεικνύουσιν, οὐδ' ὅπως αὐτοί τέ εἰσι καὶ τἆλλα ὄντα τε καὶ γιγνόμενα νοοῦσιν. ἀφεκτέον τοίνυν τῆς πραγματείας ταύτης, ὡς ἥκιστά γε φιλοσοφικῆς οὔσης, ἀλλὰ καὶ πᾶσαν φιλοσοφίαν κατ' οὐσίαν γε ἀναιρούσης. τίνας γὰρ ἂν λόγους ἄξιον λέγειν περὶ ὄ ν τ ο ς ἑ ν ὸ ς μηδὲν δρᾷν ἐθέλοντος μηδὲ νοεῖν τὸ παράπαν; προσεκτέον τοίνυν τὸν νοῦν μᾶλλον τῷ Σωκράτει, ὃς παρὰ τὰ ἐπίῤῥυτα καὶ ἀπόῤῥυτα αἰσθητὰ καὶ ἐν τῷ κλύδωνι αὐτῶν λόγου τινὸς ὡς στερεμνίου ἐπελαμβάνετο· εἶτα ἐπὶ τούτου τοῦ λόγου, ὡς ἐπὶ σχεδίας ὀχούμενος, εἰς τὸ ἐρισμάραγον πέλαγος τῆς σοφιστικῆς φυσιολογίας καὶ τερθρείας ἔπλει εἰς ζήτησιν τοῦ Ἀληθοῦς καὶ μένοντος. καὶ πολλὰ αὐτῷ οὕτως εὐωδοῦτο ἄξια οὐ τοῦ τυχόντος λόγου. ὅσων δὲ τῶν καθόλου οὕτως ἐτύγχανεν, οὐχ ὅπως εἰς ἓν πάντα συγκυκᾷν ἐφιλοτιμεῖτο, ἀλλὰ πολλὰ αὐτὰ εἶναι εἴα ὡς εὕρισκεν, οὐκ ἀδρανὲς αὐτῶν ἕκαστον οὐδ' ἄχρηστον ἀποδεικνύων, ἀλλ' ἓν ἕκαστον πρὸς πολλὰ ὡς χρήσιμον καὶ πάνυ κατέτριβεν. προσαπτέον τοίνυν τούτοις γε τοῖς καθόλου ἴδιά τινα, ἅπερ ὁ Παρμενίδης τῷ ἑαυτοῦ ὄ ν τ ι προσένειμε καὶ ἰ δ έ α ς αὐτὰ ὀνομαστέον, πολλὰς μὲν οὔσας ἀλλήλων ἑκάστην χωρὶς, ἑαυτῇ μέντοι ὡσαύτως καὶ κατὰ ταὐτὰ ἀεὶ ἔχουσαν, ἀΐδιον πρός τε ἀρχὴν καὶ πρὸς τελευτὴν ἀναλλοίωτον, οἷον σέλμα ἔμπεδον, περὶ ὃ εἱλεῖται σύμπαντος τοῦ κόσμου οὐσία ἡ ῥέουσα. ἀπὸ τῶν ἰδεῶν τοίνυν ὁ Πλάτων ὁρ-

μώμενος, ὡς ἀπὸ πρώτης ἀρχῆς βεβαίου καὶ ἄλλην ἀρχὴν τιθέμενος ἐναντίαν, δ ε ξ α μ ε ν ῆ ς τρόπον τὰ οἱονπερεὶ ἐκμάγματα ἐκείνης δεχομένην, γενέσεώς τε πέρι καὶ φθορᾶς ἄλλον λόγον καὶ ἄλλην αἰτίαν καινὴν ἑαυτῷ γε ἰδίᾳ δοκοῦσαν πειρᾶται εἰςαγαγεῖν, ἀφορμὴν ἀπὸ τοῦ λόγου τοῦ Κέβητος ἑαυτῷ παρασκευάσας. ἕκαστον οὖν τῶν ἐν τῷ Σύμπαντι εἶδος ἐχόντων, ὁρατῶν τε καὶ ἄλλως νοητῶν, οὗγε φερώνυμόν ἐστι, τοῦτο τὸ εἶδος ἔχειν φησὶ κατ' οὐδένα ἄλλον τρόπον ἢ τῷ ὁμωνύμου τινὸς ἰδέας χωρίς που οὔσης ἀϊδίου μετέχειν καὶ ταύτῃ δὴ τῇ μεθέξει γίγνεσθαι, οἷόν περ γίγνεσθαι πᾶν ὁμοίως. τῷ καλῷ ἄρα τὰ καλὰ γίγνεσθαι καλά φησι καὶ τῷ ἀγαθῷ τἀγαθὰ, τῷ τε ἴσῳ τὰ ἴσα ἴσα καὶ πάντα τὰ λοιπὰ ὡςαύτως. τῷ δὲ καλῷ τὰ καλὰ οὐδεπώποτ' ἂν γίγνοιτο αἰσχρὰ, οὐδὲ τὰ ἀγαθὰ τῷ ἀγαθῷ κακά· ἀνόσιον γὰρ καὶ λέγειν ταῦτα. καὶ γὰρ εἰ καλὸν καὶ αἰσχρὸν ἀλλήλοιν ἀντιάσαιτον, δυοῖν θἅτερον αὐτίκα συμβήσεται ἢ τὸ καλὸν τὸ αἰσχρὸν ἀποστραφὲν οἰχήσεται, τὴν ἑαυτοῦ ἕδραν αὐτῷ καταλιπὸν ἢ τὸ αἰσχρὸν οὐ τολμήσει τῷ καλῷ πλησιάσαι ὅλως. ἐν δὲ τῷ αὐτῷ καλὸν καὶ αἰσχρὸν ἅμα ἀλλήλοις συνοικεῖν ἀνόσιον καὶ λέγειν. οὐ μόνον ἄρα αὐτὸ τὸ καλὸν οὐδεπώποτ' ἂν δέξαιτο ἐν ἑαυτῷ τὸ ἐναντίον, τὸ αἰσχρὸν, τὸ δ' ἀγαθὸν τὸ κακὸν καὶ τὰ παραπλήσια, ἀλλ' οὐδ' ἐν τοῖς παρ' ἡμῖν ὁρατοῖς σύνοδος ἔσται ἅμα τῶν ἀλλήλοις ἐναντίων, ἀλλ' ἢ ὑπεκχωρήσει ἕτερον ἑτέρῳ ἢ προςιόντος θατέρου θἄτερον ἀπολεῖται (*). ἐν δὲ τού-

(*) Ἄλλος γὰρ λόγος, εἴπερ ἕκαστον τῶν ὑπ' οὐρανὸν ὁρατῶν καλῶν, ἀγαθῶν καὶ τῶν παραπλησίων πρὸς μέν τι τῶν ὄντων καλόν ἐστι, πρὸς ἄλλο δ' αὖ αἰσχρὸν, ὡςαύτως πρὸς μὲν τ ὸ ἀγαθὸν, πρὸς δὲ τ ὸ κακόν. νόει δὴ ταῦτα ἱκανῶς. τὸ γὰρ αὐτό φαμεν ἑ α υ τ ῷ ἢ π ρ ὸ ς τὸ α ὐ τ ὸ κα ἐν τοῖς αἰσθητοῖς ἀμήχανον καλὸν ἅμα εἶναι καὶ αἰσχρὸν, ἢ ἀγαθὸν ἅμα καὶ κακὸν καὶ τὰ τούτοις παραπλήσια.

τῳ τῷ τόπῳ ὁ θεῖος Πλάτων συνειδὼς ἑαυτῷ ἀντιφάσει περιπεπτωκότι πρὸς τὸν πρῶτον τῶν τεσσάρων λόγων, εἰςάγει τινὰ ὡς ἐν παρόδῳ τὴν ὁμήγυριν ὑπομιμνήσκοντα ὧδε· «πρὸς θεῶν, οὐκ ἐν τοῖς πρόςθεν ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο, ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι, ὅτι τοῦτο οὐκ ἄν ποτε γένοιτο. Καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κεφαλὴν καὶ ἀκούσας, Ἀνδρικῶς, ἔφη, ἀπεμνημόνευκας· οὐ μέντοι ἐννοεῖς τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν γὰρ ἐλέγετο ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα γίγνεσθαι, νῦν δὲ, ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον οὐκ ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν, οὔτε τ ὸ ἐ ν τ ῇ φ ύ σ ε ι. τότε μὲν γὰρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία ἐλέγομεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν δὲ περὶ ἐκείνων αὐτῶν, ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν τὰ ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι γένεσιν ἀλλήλων δέξασθαι. Καὶ ἅμα βλέψας εἰς τὸν Κέβητα εἶπε. Ἆρα μήπου, ἔφη, ὦ Κέβης, καὶ σέ τι τούτων ἐτάραξεν, ὧν ὅδε εἶπεν; Ο ὐ δ' α ὖ, ἔφη ὁ Κέβης, ο ὕ τ ω ς ἔ χ ω. κ α ί τ ο ι ο ὔ τ ι λ έ γ ω, ὡ ς ο ὐ π ο λ λ ά μ ε τ α ρ ά τ τ ε ι.» (*). Οὐδὲν

(*) Ἡ ἁπλοϊκὴ καὶ καλὴ τῶν γνησίων Ἑλλήνων γλῶσσα παραπλησίας φράσεις διὰ τοῦ μορίου π ά λ ι ν κατασκευάζει, οὗ τινος ἡ χρῆσις ἀντιστοιχεῖ πρὸς τὴν τοῦ α ὖ παρὰ τοῖς πάλαι. δηλώσειεν οὖν ἂν ἕλλην ἁπλοῦς (οὐ λόγιος) τὴν Πλατωνικὴν φράσιν ὧδε· « ἐγὼ δὲν λέγω ὅτι δὲν μοῦ ζαλίζουν τὸν νοῦν πολλὰ, ἀλλὰ πάλι σὰν τέτοια πράμματα νὰ μὴ καταλαβαίνω; » οὗτός ἐστιν ὁ νοῦς τῆς ἄνω φράσεως, οὐχ ὃν οἱ σοφοὶ ἑρμηνευταὶ ἀποδιδόασιν.

θαυμαστὸν εἴπερ ὁ Κέβης τὴν τοῦ ἀνωνύμου ἀπορίαν οὕτως εὐκόλως παρέρχεται, ἐπεὶ καὶ ἄλλα πολλὰ ἐν τῷ πρόςθεν λόγῳ εὐκολώτερον τοῦ προςήκοντος ἐνέδωκεν· ἀλλὰ πολλῷ θαυμαστότερόν μοι δοκεῖ ὅτι αὐτὸς ὁ θεῖος Πλάτων οὕτως ἐν τούτῳ τῷ τόπῳ ἔχει ὡς οὐδαμοῦ ἄλλοθι αὐτὸν ἔγωγε πρὸς ἑαυτὸν ᾐσθόμην ἔχοντα. Σύνοιδε μὲν γὰρ ἑαυτῷ ἀντίφασιν πάντως, ἀλλὰ πειρώμενος αὐτὴν διαλῦσαι οὐ πολύ τι φαίνεται ἀνύων. καὶ γὰρ ἄλλο τι ἐν τῷ πρόςθεν εἰρηκέναι οἴεται εἰπὼν ὡς ἐκ τῶν ἐναντίων τἀναντία πράγματα γίγνεται καὶ ἄλλο τι ἐνταῦθα, λέγων ὅτι τὸ ἐναντίον εἴτε τὸ ὁπωςδήποθ' ἡμῖν αἰσθητόν, εἴτε τ ὸ ἐ ν τ ῇ φ ύ σ ε ι, ὅ ἐςιν ἡ ἰδέα, τὸ νοητὸν οὐκ ἄν ποτε τὸ ἑαυτῷ ἐναντίον ἢ ἐν τῷ αὐτῷ ἢ ἐν ἑαυτῷ δέξαιτο. ὡς δὲ περὶ ἀμφοῖν ἅμα εἰπεῖν, τοιόνδε τί πού φησιν· πᾶν πρᾶγμα δύναται μὲν εἰς τὸ ἐναντίον ἑαυτῷ πρᾶγμα μεταβάλλειν, ὡς προείρηται, ἀλλ' ἐπειδὰν ἐναντίον τῷ προτέρῳ γένηται, οὐκέτι ἀμφότερον ἂν εἴη ἅμα, ἀλλὰ τὴν ἑτέραν τῶν φύσεων ἔχει μόνην. ἀδύνατος γάρ ἐστιν ἡ ἐν τῷ αὐτῷ μέθεξις ἐναντίων ἀλλήλαις ἰδεῶν. ἀλλὰ γὰρ ὅταν γίγνεσθαί τι ἐξ ἑτέρου λέγω, κατὰ πᾶσαν ἀνάγκην σύνοδον ἀμφοῖν εἰς ταὐτὸ νοῶ, ἄλλως οὐκ ἐγχωρεῖ τὸ παράπαν· σύνοδον ἄρα τῶν ἐναντίων ἀλλήλοις πραγμάτων ὁ Πλάτων εἶπε πρότερον εἰς ταὐτὸν ἀναμφηρίστως, ὅπερ νῦν δὴ ὡς πάμπαν ἀδύνατον ἐλέγχει. εἰ δὲ καὶ περὶ τῶν ἰδεῶν λέγει ὅτι « αὐτὰ ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι γένεσιν ἀλλήλων δέξασθαι, » προθυμεῖται μὲν πάνυ σοφῶς αὐτὰς τῆς εἰς ἀλλήλας γενέσεως καὶ δὴ καὶ παντελοῦς καταλύσεως διασῶσαι, οὐ μέντοι ἀσφαλῶς γε διασώζει. εἰ γὰρ ἐξ ἀλλήλων γένεσιν τῶν παρ' ἡμῖν ἐναντίων δεξαίμεθα, τῶν αἰσθητῶν, δεξαίμεθ' ἂν κατὰ πᾶσαν ἀνάγκην καὶ τῶν ἰδεῶν γένεσιν ἐξ ἀλλήλων, αὐ-

τον τὸν Πλάτωνα ἐπιμαρτυρόμενοι, ὡς ἐν τῷ πρώτῳ τῶν λόγων ἱκανῶς εἴρηταί μοι. πᾶς γὰρ ὁ τὰ εἴδη γεραίρων διὰ τὸν αὐτόν που λόγον γεραίροι ἂν αὐτὰ καὶ ἐπὶ τῶν αἰσθητῶν· καταλύων δ' αὐτὰ ἐπὶ τῶν αἰσθητῶν, καταλύει τρόπον τινὰ τὰ ὀστᾶ καὶ τὸ οἷον σέλμα, ἐφ' ᾧ γε ὁ αἰσθητὸς οὗτος κόσμος ἑδράζεται. καταλύει δ' ἅμα καὶ τὴν κοινὴν ἁρμογὴν τῷ τε αἰσθητῷ καὶ νοητῷ κόσμῳ οὖσαν· ἄλλον τε δὴ νόμον ἐξ ἀνάγκης δέχεται ἄλλως ἐν τῷ νοητῷ κόσμῳ ἰσχύοντα, ἄλλον δὲ νόμον ἄλλως ἐν τῷ αἰσθητῷ, καὶ ἡ ἀληθὴς ἁρμονία ἀμφοτέρων τῶν κόσμων ἡ πρὸς ἀλλήλους διὰ παντὸς οὕτως οἴχεται, ἀντ' αὐτῆς δὲ ἄλλη τις μυθική, φρενὶ δ' ἀνθρώπῳ ἄληπτος εἰςάγεται, οἵα περ ἡ Πλατωνικὴ πάντως ἐστίν. ἐνθυμητέον δὲ ὅτι αὕτη ἡ ἐπίκρισις εἴδη ἐν ἑκατέρῳ τῷ κόσμῳ ὄντως ὄντα δεχομένη, σχεδόν τι οὐδὲ ἓν κοινὸν ἔχει πρὸς τὴν Ἀριστοτέλους. ἡ δ' οὖν ἀντίφασις ἡ ἐν τῷ πρόςθεν φανεῖσα, εἴπέρ ποτε καὶ νῦν παγίως μένει. Τὸ δὲ τοιαῦτα τινὰ αὐτῷ τῷ Πλάτωνι ἔν γε τοῖς τοιούτοις λόγοις εὐεξέλεγκτα συμβαίνειν ἐπικυροῖ μου αὖθις τὸν ἐξ ἀρχῆς λεχθέντα λόγον ὅτι ἑτερογενεῖς ὁ Πλάτων λόγους παραλαβὼν, βίᾳ πως ἀλλήλοις συνέμιξε, πανθεϊστικὴν τῶν ὄντων ἀνακύκλησιν τῇ ἑαυτοῦ ἰδεολογίᾳ ἐπιπλέξας, τροφῇ τε ἐκ παίδων καὶ ἕξει μακρᾷ ἐν λόγοις φυσικοῖς καὶ φυσιολατρικοῖς εἰς τοιαύτην ἀντίφασιν παραχθείς. φέρε δὴ οὖν νῦν ἴδωμεν ὅπως ποτὲ τὸν πρόςθεν λόγον τῷ περὶ ψυχῆς λόγῳ ἐφαρμόζων, τὴν ἀθανασίαν αὐτῆς ἡμῖν βούλεται ἀποδεῖξαι. σμικρὸν δ' ἄνωθεν σαφηνείας ἕνεκα τὸ σχῆμα ἀναλάβωμεν. Τῷ καλῷ, φησὶ, τὰ καλὰ γίγνεται καλὰ, τῷ δὲ καλῷ τὰ καλὰ οὐδὲ θέμις λέγειν αἰσχρὰ πώποτε γίγνεσθαι, πρὸς δὲ τῷ ἀνοσίῳ παντάπασί γ' ἠλίθιον φαίνεται ὂν καὶ ἄλογον. ἐπεὶ οὐ μόνον ὁπόταν

τὸ αἴσχρον ἐναντίον ὂν τῷ καλῷ ἀντιάσῃ, θἅτερον θατέρῳ ὡς ἐναντίον γε ἐναντίῳ ὑπεκχωρεῖ ἢ θατέρου προσιόντος θἅτερον ἀπόλλυται, ἀλλὰ καὶ ὁπόταν ἄλλο τι, αὐτῷ μὲν τῷ καλῷ ἐναντίον οὔ, αἴσχους δέ πως μετέχον προσέλθῃ, ταὐτόν που ἑκάτερον πείσεται. φαμὲν τί που ζωὴ εἶναι πάντως, τόγε ἐναντίον τῷ θανάτῳ ὄν· ψυχὴ δέ γε ὅ ἂν κατάσχῃ τί ἥκει φέρουσα ἐπ' αὐτὸ, ἄλλο τι ἢ ζωήν; ζωὴν πάντως, ὥς γε πάντες ὁρῶμεν. πῶς οὖν ἡ ψυχὴ ζωῆς οὕτως ἀχώριστος οὖσα, ζωὴν ἀεὶ ἐπιφέρουσα, δέξαιτ' ἂν τὴν ἐναντίαν ἰδέαν, οὗ γε μετέχει τε καὶ φέρει, τὸν θάνατον; οὐ μὴ δέξεταί γε δὴ οὐδέποτε οὐδαμοῦ οὐδαμῶς θάνατον ἡ ψυχή. ἀθάνατος ἄρα οὕτως ἡ ψυχὴ ἀναπέφανται, εἴπερ θάνατον μὴ δέχεται. ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητὸν αὐτοῦ, ὡς ἔοικεν, ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιὸν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. ἀθάνατον ἄρα ἡ ψυχὴ καὶ δὴ καὶ ἀνώλεθρον.

Ἀθάνατον οὖν τὴν ψυχὴν ὁ θεῖος Πλάτων εἶναί φησι διὰ τὸ ἀρχῆθεν τῆς ἰδέας τῆς ζωῆς μετέχειν. σύννομον γὰρ τῇ ἰδέᾳ τήν τε κίνησιν ἔλεγεν εἶναι καὶ τὴν ζωὴν (*). τὴν τ' αὖ νόησιν καὶ τὸν νοῦν κίνησίν τινα

(*) Ποτέρως ἆρα ὁ Πλάτων τὰς ἰδέας κινήσεώς τε καὶ ζωῆς μετέχειν λέγει, ὥς τινος συμβεβηκότος οὔσης αὐτῆς ταῖς ἰδέαις ἢ ἐν ἰδέαις καὶ τὴν τῆς κινήσεως ἰδέαν ἐναρίθμιον εἶναι, ἐν δὲ τῇ ἐπιπλοκῇ καὶ τῇ εἰς ἀλλήλας συναρμογῇ τῶν ἄλλων ἰδεῶν, συναρμοζομένην καὶ τὴν τῆς κινήσεως ἰδέαν, ζωῆς ἐκείναις μεταδιδίναι; τοῦτο γὰρ διασαφήσεως ἔτι δεόμενόν ἐστιν. ἥκιστα γὰρ ἂν ἐν πολλοῖς παρὰ Πλάτωνι τῶν νοῦν τῶν λεγομένων ἀμέσως ἐξ αὐτῆς τῆς φράσεως πορίζεσθαι δυναίμεθα. τοῦτο δὲ δι' ἄλλα τε πολλὰ ἡμῖν τε καὶ Αὐτῷ συμβαίνει καὶ διὰ τὸ Σωκράτη τοὺς περὶ τῶν ὄντων λόγους ποιούμενον εἰσάγειν. ἀναγκάζεται γάρ πως τὸ ἦθος τηρεῖν καὶ τὸν τρόπον, ᾧ Σωκράτης ὡς τὰ πολλὰ ἐκέχρητο πρός τε τοὺς σοφι-

ωσαύτως εἶναι· τὸ γὰρ νοεῖν τε καὶ γιγνώσκειν τὸ ὂν κυκλοτερεῖ κινήσει γίγνεσθαί φησι φανερῶς ἔν τε τῇ παγκοσμίῳ ψυχῇ καὶ τῇ ἀνθρωπίνῃ ὁμοίως. ταῦτα δ' ἔοικεν εἰρηκέναι ὅτι τήν τε κίνησιν τὴν τακτικὴν καὶ τὰ ἐν τῷ Σύμπαντι ὡς ἐν μεγαλοκόσμῳ, ὅσα τε τοιαῦτα ἐν αὐτῷ γε τῷ ἀνθρώπῳ ὡς μικροκόσμῳ γίγνεται οὔτε τῶν ἄλλων τῶν κατὰ τὴν ψυχὴν συμβαινόντων κατ' οὐσίαν γε διάφορα ὑπείληφεν εἶναι οὔτε αὐτοῦ γε τοῦ νοεῖν, ὡς ἄρτι εἴρηται. διὸ τὸ Πᾶν ζῷον ἔμψυ-

στὰς καὶ τοὺς ἄλλους ἀνθρώπους διαλεγόμενος, ἥκιστά γε δογματικῶς τὰ μὴ καλῶς ἔχοντα τῶν πρόσθεν καταλύων, ἀντ' αὐτῶν δὲ ἄλλα καινὰ εἰσηγούμενος, ἀλλὰ τῇ εἰρωνείᾳ ἐν πᾶσι τοῖς τοιούτοις χρώμενος. φύσις δὲ κυριωτάτη εἰρωνείας ἐστὶ καὶ αὕτη, μηδ' ὁτιοῦν τῶν ἐν ἔθει ὄντων ἀφίστασθαι, ἀλλ' ἐν αὐτοῖς καὶ δι' αὐτῶν ἄλλα ἑρμηνεύοντα ἐκ τοῦ πλαγίου εἰσηγεῖσθαι. ἔτι δὲ καὶ Πλάτων αὐτὸς πρακτικώτατατος ἀνθρώπων τοῖς καλῶς δρῶσιν φαίνεται. ἐπανορθοῦν τε τὰ ἐν ἔθει ὑπάρχοντα ἐπιχειρεῖ, οὐ μὴν αὐτὰ παντάπασί γε καταλύειν· οὐδὲ ἄντικρυς δογματίζων, ἀλλὰ τοῖς ὑπάρχουσί πως λόγοις ἄλλην ἔννοιαν καινὴν ἀνθυποβάλλων, τὴν ἑκάστοθ' ἑαυτῷ βέλτιον ἔχειν δοκοῦσαν. οὐχ ἧσσον τοίνυν καὶ ἐπὶ τοῦ προκειμένου κίνησίν τε καὶ ζωὴν ταῖς ἰδέαις προςνέμων, ἑρμηνείας τινὸς πάντως χρήζει. ἐνιαχοῦ μὲν γὰρ ἰδέαν κινήσεως προϋποτίθεται, ἐνιαχοῦ δὲ ζωῆς ἰδέαν, ἐνιαχοῦ δ' αὖ ἄμφω τήν τε κίνησιν καὶ ζωήν, ὡς ἴδια ταῖς ἰδέαις ἀποδίδωσιν.

Μνημονευτέον δὲ ἐν τούτῳ καὶ ἄλλην τινὰ ἀπορίαν, οὕτω πως τεθεῖσαν· εἴπερ γὰρ ὁ Πλάτων κίνησιν ὅπως δήποτε ταῖς ἰδέαις προςνέμει, ἀνάγκη αὐτῷ καὶ γένεσιν αὐταῖς ἀποδιδόναι καὶ γίγνεσθαί γε αὐτὰς ἄλλας ἐξ ἄλλων λέγειν, ὅπερ πρὸς τὴν ἑαυτοῦ περὶ τῶν ἰδεῶν δόξαν παντάπασί γε ἀντιμάχεται. ἀλλὰ γὰρ τὸ ὅπως δήποτέ τινος χρῆζον, ἐὰν διὰ πληρούντων κινῆται, γένεσιν οἷόν τ' εἶναι πάσχειν φαμὲν καὶ ἀλλοίωσιν. ὃ δ' αὔταρκες ἀρχῆθέν ἐστι καὶ αὐτοτελές, οἵανπερ τὴν ἰδέαν ὁ Πλάτων λέγει, δι' ὧν ἂν κινῆται, ἅτε οὐδενὸς χρῆζον, οὐδεμίαν οὐδέποτε γένεσιν οὐδ' ἀλλοίωσιν πείσεται οὐδαμῶς. οὐδ' αὖ αὐτήν γε τὴν ἰδέαν φαίη τις ἂν εὐλόγως κινεῖσθαι, ἀλλὰ τὸ χρῆζον αὐτῆς πρὸς αὐτὴν ὁρμᾶται, καὶ διὰ τοῦτο κινήσεως αἴτιον ἡ ἰδέα φαίνεται εἶναι.

χον εἶναι ἔφασκε καὶ θεὸν ἐπεφήμιζε, τὴν δὲ ψυχὴν αὐτοῦ, ἅςπερ δυνάμεις ἡμεῖς γε τὰ νῦν καὶ νόμους φυσικοὺς ἀποκαλοῦμεν, πολλῷ καλλίω τε καὶ βελτίω τῆς ἀνθρωπικῆς ὑπελάμβανε δι' ἄλλον λόγον οὐδένα ἢ διὰ τὸ θεσπέσιον κάλλος τῶν ἐν σμαραγδίνῳ οὐρανῷ μαρμαρυγῶν, τήν τε ἐναρμόνιον τῶν ἄστρων κύκλησιν θαυμάζων καὶ πάντα τὸν διάκοσμον, ὡς τάχους τε πέρι καὶ χώρου πρὸς ἄλληλα ἔχει, ἀλλήλοις κατὰ θέμιν τε καὶ εἱμαρμένην ἐπιδρῶντα, καὶ ἄλλα τοιαῦτα τῆς γε φύσεως τῆς ψυχῆς παντάπασιν ἀλλότρια ὄντα (ἔπιθι Φίληβον, Τίμαιον καὶ ἄλλοθι). καὶ τὸ ἀναμάρτητον δὲ τῆς φύσεως ὁ θεῖος Πλάτων πολλῷ πρεσβύτερον τῆς ἐλευθέρας ἡγεῖται βουλήσεως καὶ αἱρέσεως τῆς ἡμετέρας ψυχῆς, δι' ἣν πλεονεκτεῖν τε ἡμεῖς νῦν δή φαμεν αὐτὴν τῆς ἄλλης φύσεως πάντως καὶ ἁμαρτίᾳ ἅμα περιπίπτειν. ἐκ γὰρ τοῦ ἁμαρτάνειν φαυλότητα τοῦ ἀνθρωπείου εἴκασεν ἁπλῶς, τὸ περὶ τὴν ἐλευθέραν βούλησιν καὶ αἵρεσιν κράτιστον γνώρισμα ψυχῆς ὄν, ἀσαφὲς οἷον ἐν σκότῳ Εἱμαρμένης τυφλῆς καὶ Ἀνάγκης φυσικῆς καταλιπὼν, ὥς που καὶ ὁ σοφὸς Μαρτῖνός φησιν, εἰ καὶ πέρα πως τοῦ μετρίου.

Διὰ ταύτην δὴ οὖν τὴν αἰτίαν ὅτι τὸ ἐν τῇ φύσει ἀναμάρτητον, καίπερ τυφλὸν, ἀθέλητον, ἀνάγκῃ φυσικῇ ὑπεῖκον, ὡς ἅγιον καὶ ἱερὸν καὶ τῷ θείῳ προσῆκον, νοῦ τε καὶ ἐπιστήμης ἴδιον τῆς κατ' ἐξοχὴν ἐγκωμιάζει, παράδοσίν τε παλαίφατον περὶ ψυχῆς παγκοσμίου πάνυ ἀτελῆ τελειώσας, ἔμψυχόν τε καὶ ἔννουν θεὸν ἄντικρυς τὸ σύμπαν τόδε ἑώρτασεν. ἀλλόκοτον γὰρ καὶ πάμπαν ἄτοπον δοκεῖ μοι Πλάτωνα πρῶτον οἴεσθαι τὴν περὶ τῆς παγκοσμίου ψυχῆς ἔννοιαν δογματίσαι. οὐδὲ γὰρ τοὺς περὶ τὸν Φιλόλαον καὶ τοὺς ἄλλους Πυθαγορικοὺς ἢ τοὺς περὶ Ἐμπεδοκλέα τὴν

δόξαν υποθέσθαι ἡμεῖς γέ φαμεν πρώτους, ἀλλὰ πολλῷ τε πρεσβυτέραν καὶ ἐξ Ἀσίας εἰς τοὺς Ἕλληνας κομισθεῖσαν ἐν σχήματι ἱερατικῷ πολλῷ πρὶν ἢ τὴν παρὰ τοῖς Ἴωσι φυσιολογίαν ἀνατεῖλαι, ἥνπερ τῶν πρῴην δογμάτων ἐν πολλοῖς ἀφεστηκυῖαν δικαίως ἄν τις εἴποι. οὗτοι δὴ οἱ παλαίτατοι τῶν φυσιολόγων καὶ ἀνθρώπου ψυχὴν ὀνομάζοντες, οὐθὲν ἄλλο ἐνόουν ἢ δύναμίν τινα τῇ ἀρχεγόνῳ ὕλῃ συμπεφυκυῖαν κινήσεώς τε οὖσαν ἀρχὴν καὶ ζωῆς ὡςαύτως. χρόνῳ δ' ὕστερον ἀεὶ ἐπὶ τὸ πνευματικώτερον κλίνοντες οἱ φιλοσοφοῦντες, ἀπέδοντο τῇ ψυχῇ ἐκείνῃ κατὰ σμικρὸν καὶ τὰς ἄλλας δυνάμεις τε καὶ ἐνεργείας τὰς ὄντως ψυχικάς. ὥστε νοῦν μὲν ταὐτὸν ἔλεγον τῇ ψυχῇ καὶ ψυχὴν ταὐτὸν τῇ ζωῇ, ἐν οἷς καὶ Δημόκριτος, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ ψυχῆς. τὰς γὰρ τῶν πρόσθεν δόξας περὶ ψυχῆς ἀφηγούμενος περὶ Δημοκρίτου λέγει ὅτι ἐδόξασε, «τοῦτο (τὴν ψυχὴν) εἶναι τῶν πρώτων καὶ ἀδιαιρέτων σωμάτων (τουτέστι τῶν ἀτόμων), κινητικὸν δὲ διὰ μικρομέρειαν καὶ τὸ σχῆμα· τῶν δὲ σχημάτων εὐκινητότατον τὸ σφαιροειδὲς λέγει· τοιοῦτον δ' εἶναι τόν τε νοῦν καὶ τὸ πῦρ.—Ἀναξαγόρας δ' ἔοικε μὲν ἕτερον λέγειν ψυχήν τε καὶ νοῦν, ὥςπερ εἴπομεν καὶ πρότερον, χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει, πλὴν ἀρχήν γε τὸν νοῦν τίθεται μάλιστα πάντων· μόνον γοῦν φησὶν αὐτὸν τῶν ὄντων ἁπλοῦν εἶναι καὶ ἀμιγῆ τε καὶ καθαρόν. ἀποδίδωσι δ' ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γινώσκειν καὶ τὸ κινεῖν, λέγων νοῦν κινῆσαι τὸ πᾶν.» (Ἀριστ. ἐν τῷ περὶ ψυχ. Α, κεφ. βον.) καὶ Ἀναξαγόρας δὲ καὶ Πλάτων, καίπερ τὰ περὶ τῆς ἀνθρωπίνης ψυχῆς ἐπὶ τὸ τελεώτερον διασκευάσας, ὥςπερ τὰ περὶ τῆς παγκοσμίου, ἔτι δὲ Ἀριστοτέλης τε καὶ ἄλλοι συχνοὶ διὰ συχνῶν αἰώνων τὰ περὶ τὴν ψυχὴν συμβαίνοντα

καὶ αὐτὴν δὲ τὴν ψυχὴν οὐ πάνυ καλῶς τῶν περὶ τὴν ζωὴν συμβαινόντων καὶ αὐτῆς γε τῆς ζωῆς ἑκάτερα ἑκατέρων διαστέλλουσιν (*). *Ὥστε οὐ πρῶτοι οἱ στωϊκοὶ ψυχὴν καὶ ζωὴν εἰς ταὐτὸν ἄμφω συνῆψαν, ὥς τινές φασιν, ἀλλὰ καὶ οὐδεὶς τῶν πρότερον φιλοσόφων ἐπ' ἀκριβὲς ἑκάτερον ἑκατέρου ἐχώρισαν. ἔνθεν τοι πολλὴ σύγχυσις καὶ ἀτοπία τοῖς ἀξιολογωτάτοις αὐτῶν συνέβαινε, περί τε τῆς ἄλλης φύσεως καὶ τῆς ἀθανασίας τῆς ψυχῆς τοὺς λόγους ἑκάστοτε ποιουμένοις· καὶ γὰρ ἀλλοτριώτατα τοῦ ἀμφισβητουμένου πράγματος, τῆς ψυχῆς, ὡς οὐσιωδεστάτους λόγους αὐτοῦ γε τούτου ἐκ παντὸς τρόπου προὐθυμοῦντο διασώζειν* (**). *πρῶτος ὁ Γαληνός, εἰ καλῶς γε νῦν μέμνημαι, ὥςπερ τὰς αἰσθήσεις τῶν ζωϊκῶν λειτουργιῶν ἐπιστημονικώτερον πάντων τῶν πρώην ἐχώρισεν, οὕτω καὶ τὴν ψυχήν,*

(*) Διὸ ὅταν, φέρ' εἰπεῖν, ἐν Φιλήβῳ, (σ.λδ'.) ὁ Πλάτων λέγῃ, «τὸ δὲ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δ' αὖ τὴν κίνησιν ὀνομάζων α ἴ σ θ η σ ι ν, οὐκ ἄπο τρόπου φθέγγοιτ' ἄν,» οὐχ ὑποληπτέον αὐτὸν αἴσθησιν λέγειν ἄλλο μηδὲν ἢ ὅ,τι οἱ ὕστερον ἀκριβολογούμενοι ἀ ν τ ί λ η ψ ι ν λέγουσιν, ἐπεὶ ὁ Πλάτων ἐν τῇ ψυχῇ καὶ τὰς τῆς ζωϊκῆς δυνάμεως ἐκφάνσεις περιλαμβάνει. τοῦτο δ' ἔστω ἀφορμή τις σμικρὰ εἰς τὸ ἀκριβέστερον διαστέλλειν πράγματα καὶ ὀνόματα παλαιὰ τῶν νεωτέρων. αἴσθησιν γὰρ ὁ Πλάτων λέγων, ἔχοι ἂν ὅ,τι τε ἡμεῖς ἀντίληψιν λέγοντες, σημαίνειν, ἀλλ' ἅμα τι καὶ ἀντιλήψεως ὑποδεέστερον, ὃ ἡμεῖς γε αὖ αἴσθησιν ἀποκαλοῦμεν. διὰ τὸν αὐτὸν δέ που λόγον, τὴν πρὸς ἀλλήλας σύγχυσιν ζωϊκῶν ἐκφάνσεων καὶ ψυχικῶν, καὶ τὴν σιτίων τε καὶ ποτῶν ἐπιθυμίαν (αὐτόθι, σ. λέ, γ'.) οὐ τῷ σώματι, μᾶλλον δὲ τῇ ἐμφύτῳ ὁρμῇ αὐτοῦ, ὡς ὤφειλεν, ἀποδίδωσιν, ἀλλὰ διὰ τῆς μνήμης τῇ ψυχῇ.

(**) Ἄξιον δὲ μνήμνης καὶ τόδε φαίνεταί μοι ὅτι οἱ θεωρητικώτατοι τῶν φιλοσόφων, εἰ καὶ μὴ ἱκανῶς παρ' ἑαυτοῖς τὴν διαφορὰν εἰληφότες ἦσαν τῆς τε φύσεως καὶ τοῦ νοῦ καὶ τοῦ ὃ ἡμεῖς γε πνεῦμα εἰώθαμεν ἀποκαλεῖν, ὅμως δὲ ἐναντιώτατά γε αὐτὰ ἐν ταῖς ἑαυτῶν ζητήσεσι πρὸς ἄλληλα εὐπετῶς πάνυ καὶ προχείρως ἀπεκάλουν.

η ἕδραν τὸν ἐγκέφαλον ἀπένειμεν, ἐπιστημονικῶς τῆς ζωϊκῆς δυνάμεως διέστειλεν, ἥν περ ὡς ζωϊκόν τι ῥευστὸν λεπτότατον διὰ παντὸς τοῦ σώματος κεχυμένον ἐξέλαβεν. οὕτω μέμνημαι. Δῆλος δὴ οὖν μοι καὶ ὁ Πλάτων ἐστὶν ὅτι ψυχὴν καὶ ζωὴν ἀπρὶξ ἀλλήλων ἐχομένας ὑπείληφε, τήν τε ψυχὴν αἰτίαν οὖσαν τῆς ζωῆς οὕτως ἀπέφηνεν. ἀλλ' εἰ μέν τινι τῶν ὄντων, ἵνα ἔμψυχον ᾖ, ἀνάγκη πᾶσα ζωῆς μετεῖναι, οὐ τούτου γε ἕνεκεν ἀναγκαῖον καὶ πᾶν τὸ ζωῆς μετειληφὸς ψυχὴν ἔχειν ὥστε αἰτίαν ζωῆς τὴν ψυχὴν εἶναι. τεκμήριον δέ· τὰ ψυχῆς γὰρ λογικῆς πάμπαν στερόμενα, ζωῆς καὶ μάλα εὐμοιροῦντα ὁρῶμεν, οἷά περ τὰ ὑποδεέστερα τῶν ζῴων γένη ἐστὶ, τὰ μαλάκια λέγω καὶ ὀστρακόδερμα, τὰς χελώνας καὶ τὰ παραπλήσια, οἷς περ ζωϊκὴ μὲν δύναμις λιπαρῶς πάνυ ἐμπεφυκυῖα φαίνεται καὶ κατατομῇ λεπτῇ μάλα μόγις ἀπογλισχραίνεται, ψυχῆς δὲ τὸ παράπαν μόριον οὐθὲν μετέχει. ἄλλο ἄρα ψυχή ἐστι καὶ πᾶν ἄλλο ζωὴ, παντάπασί γε ἀλλήλων διάφορα φανέντα.

Τέλος δὲ οὐδὲν κοινὸν ζωῇ τε καὶ ψυχῆς ἀθανασίᾳ ἤτοι ἀϊδιότητι, ὡς ἀληθῶς εἰπεῖν ὑπάρχει, ὥςπερ αὖ οὐδὲν κοινὸν θανάτῳ τε καὶ ὀλέθρῳ. καὶ γὰρ θάνατον αὐτὸς ὁ θεῖος Πλάτων ὁριζόμενος (Φαίδ. σ. ξδ'. Γ. καὶ σ. ξζ'. Δ.), οὐδὲν ἄλλο εἶναι λέγει ἢ λύσιν καὶ χωρισμὸν ψυχῆς ἀπὸ σώματος, ἥκιστά γε πάντων ὄλεθρον λέγει. εἰ μὲν οὖν ὁ θάνατος μηδ' ὁπωςτιοῦν ὄλεθρος φαίνεται ὤν, καὶ τοὐναντίον ἄρα τοῦ θανάτου ἡ ζωὴ οὐκ ἔσθ' ὅπως σωτηρία τε ὄντος καὶ ἀϊδιότης φανεῖται οὖσα, ὁπότε γε αὐτὴ τοῦ εἶναι δεῖται ὅλως, ὅπως ἂν καὶ παρ' ἡμῖν νῦν δὴ ἀκήρατος ἀποβῇ· κινδυνεύει γὰρ παρὰ τοῖς νῦν φυσιολόγοις κίνδυνον τὸν ἔσχατον μὴ δόξα τις ἀπατηλὴ, ἀληθείας μηδὲν μετέχουσα, ἐξελεγχθῇ.

Διὰ δὴ τοῦτον τὸν λόγον καὶ διὰ τὸν ἄλλον τὸν τούτῳ συγγενῆ ὅτι ὁ Πλάτων ψυχὴν ζωῆς οὐκ ἐπ' ἀκριβὲς, ὡς ὤφειλε, διαστέλλει, ἀλλὰ ψυχὴν ζωῆς ὡς αἴτιον καὶ ἀρχὴν τοπάζει, ὁ λόγος οὗτος δὴ ὁ τέταρτος ὁ πρὸς ἀθανασίαν ψυχῆς τῷ Πλάτωνι θαυμαστῶς ὡς λεχθεὶς οὐ πολλήν τιν' ἰσχὺν πρὸς ἡμᾶς γε νῦν δὴ ἔχων δέδεικται· καὶ γὰρ ἀπὸ παλαιᾶς πλάνης δῆλον ὅτι ὥρμηται. ὁ δὲ πρὸ τούτου λόγος ὁ τρίτος μέχρι τοῦ πιθανοῦ μόνον ἐξικνούμενος, δύναμιν ἔχει πρὸς τὸ ζητούμενον ἄλλην κατ' ἄλλην σχέσιν καὶ ἄλλως λεγόμενος. ὁ δὲ δεύτερος μυθικώτερός τέ ἐστι καὶ ἄγχιστα τοῦ πρώτου ἐχόμενος, πρὸς ἀθανασίαν ψυχῆς ἀνθρωπικῆς, ὡς εἴδους μένοντος, ἀμφοῖν ὅλως ἐναντίοιν φαινομένοιν.

Πᾶσι δὲ τούτοις τοῖς τέσσαρσι λόγοις οἷον βάσις κοινὴ δοκεῖ μοι εἶναι ἥδε· τὸ Σύμπαν τόδε τοσόνδε ἐστὶν, ὅσον ἐστὶν, οὔτε τι πλέον γιγνόμενον οὔτε ἔλασσον· οὐ γὰρ ἀνυστόν. διχῇ δὲ διείληπται, τὸ μὲν αὐτοῦ ὁρατὸν ὂν ἤτοι αἰσθητὸν, τὸ δὲ ἀόρατον ἤτοι νοητόν. ἑκάτερον δ' αὖθις, τοσόνδε μένον ὅσον περ ἦν. μῖξις δὲ ἑκατέρου πρὸς ἑκάτερον, εἰ δὲ βούλει, τοῦ ἀπείρου πρὸς τὸ περατοειδὲς, γένεσις ἦν καὶ ὁ γιγνόμενος κόσμος ἅπας, χωρισμὸς δὲ ἀλλήλων ἡ λεγομένη φθορὰ καὶ ὁ θάνατος· μέση δὲ ἀμφοῖν τούτοιν τοῖν ἐσχάτοιν γένεσις ἡ ψυχὴ, ἥ τε παγκόσμιος καὶ ἡ ἀνθρωπική. ὅπως δὲ ὁ ἄλλος κόσμος γέγονε καὶ τὰ μεγάλα σώματα οἱ ἀστέρες οἵ τε δεδεμένοι καὶ οἱ πλανώμενοι, οὕτω καὶ ὁ ἄνθρωπος ἀεὶ γίγνεται ψυχῆς μεσολαβούσης, τὸ μὲν αὐτῆς θνητὸν, τὸ ἐγγυτάτω ὂν τοῦ ὁρατοῦ, τὸ δὲ ἀθάνατον, τὸ ἐγγυτάτω τοῦ νοητοῦ. ἑκάτερον δὲ τῶν μερῶν ἀΐδιόν τε καὶ ἄναρχον ἦν, τὸ μὲν πρὸς τῷ νοητῷ τροφήν τε καὶ δίαιταν ἔχον ἀρχῆθεν, τὸ δὲ πρὸς τῷ αἰσθητῷ φυρόμενόν τε διηνεκῶς καὶ ἀλ-

λοιούμενον. ὅπως δὲ τὰ μεγάλα τῆς φύσεως ὄντα ἐξ ἀλλήλοις ἐναντίων ἡρμόσθη, οὕτω καὶ τὰ περὶ αὐτὰ πάντα ἐξ ἐναντίων, ἐναντία τὰ πολλὰ ἀλλήλοις ὄντα. μέχρι γὰρ τούτου τοῦ νόμου ἐξίκοντο τῇ διανοίᾳ οἱ πάλαι πάντες, τοῦ τῶν ἐναντίων, πυκνόν τε καὶ ἀραιόν, θερμόν τε καὶ ψυχρὸν, φιλίας τε καὶ νείκη, ἁρμονίας καὶ ὅσα ἄλλα τοιαῦτα εἰς μέσον φέροντες καὶ ἐξ ἐναντίων πάνθ' ἡρμόσθαι δογματίζοντες· ὅπως δὲ ταῦτα οἷόν τε ἦν εἰς ἄλληλ' ἁρμόζεσθαι, τούτου γε πέρι ἀφελῶς ἀμεριμνοῦντες· ἐξ ἐναντίων δὲ γίγνεσθαι τὰ ἐναντία ἀεὶ ἔφασκον καὶ δὴ καὶ Πλάτων αὐτὸς, ἐκ τῶν τεθνεώτων τὰ ζῶντα καὶ τἀνάπαλιν εἰπών. εἰ δὲ καὶ τῶν κοσμικῶν ὄντων τῶν ἀστέρων, τῶν πλανητῶν γένεσίς τε ταὶ φθορὰ συχνὴ ἐγίγνετο, οὐθὲν ἂν ἐκώλυε καὶ περὶ τούτων εἰπεῖν ὡς ἐκ τῶν τεθνεώτων τὰ ζῶντα γίγνοιτο καὶ τἀνάπαλιν· ὁ αὐτὸς γάρ που λόγος ἄστρου τε πέρι καὶ ἀνθρώπου, τοῦ μὲν ἐν μεγάλῳ, τοῦ δ' ἐν σμικρῷ τε καὶ ἀτελεστέρῳ ὄντος. Δέον δ' ἑκάτερον τῶν ἐναντίων ἴσον ἑαυτῷ μένειν οὔτε πλέον ἔχειν οὔτε ἔλασσον ἑκάτερον ἑκατέρου. οὗτος ὁ πρῶτος λόγος. Ἀλλὰ τὸ μὲν ἀθάνατον τῆς ψυχῆς πρὸς τῷ θείῳ εἴρηται εἶναι ἀρχῆθεν, τὸ δὲ θνητὸν πρὸς τῷ γεώδει, ὁ δ' ἄνθρωπος καθ' εἱμαρμένην ἓν ἐξ ἀμφοῖν ἥρμοσται καὶ τῷ μὲν γεώδει βαρυνόμενός τε καὶ ζοφούμενος τυφλὸς κάτω φέρεται καὶ γῆς ἐπιλαμβάνεται, τῇ δὲ θείᾳ μοίρᾳ ἀναπτερούμενος, οὗπερ ἔτυχέ ποτε θεασάμενος, τοῦ θείου ὡς συγγενοῦς ἀναμιμνήσκεται. οὗτος δὲ δὴ ὁ δεύτερος λόγος ὁ περὶ τῆς ἀναμνήσεως, ἀμέσως τοῦ πρώτου ἐχόμενος, ὡς αὐτὸς ὁ Πλάτων πολλαχῶς ἐμφαίνει. ἑκατέρῳ δὲ τῶν τῆς ψυχῆς μερῶν οἰκεῖον τῇ ἑαυτοῦ φύσει συμβήσεται μετὰ τὴν διάλυσιν τοῦ ἀνθρώπου, τῷ μὲν οἷον δὴ ὁμοιοτάτῳ γε ὄντι τῷ θείῳ καὶ ἁπλῷ καὶ ἡγεμονικῷ,

ὁμοιότατόν τι τῇ τοῦ θείου καὶ ἁπλοῦ καὶ ἡγεμονικοῦ τύχῃ πάντως συμβήσεται, τῷ δὲ συνθέτῳ δὴ καὶ γεώδει, ὅ,τι αὖ περὶ τὰ σύνθετα ἐπὶ γῆς ὁρῶμεν συμβαῖνον. οὗτος ὁ τρίτος λόγος. τοῦ Παντὸς τοῦδε ὡς τὸ δραστικώτατον ὕμνηται παρὰ τῶν πάλαι ἀεὶ ἢ τὸ πῦρ ἢ ὁ αἰθὴρ ἤ τι παραπλήσιον, διὰ λεπτότητα λαμπρόν τε ὂν καὶ διαφανὲς ἢ καὶ πάμπαν ἀόρατον. τοῦτό ἐστι τὸ κίνησίν τε καὶ ζωὴν ἤτοι γένεσιν τοῖς αἰσθητοῖς παρέχον, καὶ τούτου οὐδ᾽ ὁ θεῖος Πλάτων, ἀφέςηκε, θεῖον, νοητόν, ἀόρατον ἀποκαλῶν. ἡ δ᾽ οὖν ψυχή, ὡς εἴρηται, τούτου τοῦ θείου μετέχουσα, μετέχει πάντως καὶ τῶν ἰδίων αὐτῷ γε ὄντων, τῆς δραστικότητος καὶ κινήσεως, ὥστε ζωῆς αἰτία καθίστασθαι. ἀλλ᾽ εἴπερ τοῦτο αὐτῇ συμβαίνει, τίνι ποτὲ τρόπῳ θανάτῳ αὐτὴ ληφθήσεται, ὁπότε αὐτῆς ἡ φύσις ἐςὶν ἡ τὸ ζῆν τοῖς ἐμψύχοις πᾶσι παρέχουσα; οὗτος ὁ τέταρτος καὶ τελευταῖος λόγος. Πάντες δὲ ὁμοίως πρὸς ἀθανασίαν ψυχῆς ἀκαίρως τανῦν ἑλκόμενοι, οὐ πολλήν τιν᾽ ἰσχὺν φαίνονται ἔχοντες, ὥςπου κατὰ πολὺ μὲν τάχος, ἀλλ᾽ οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἄνευ προτέρας τινὸς μελέτης τοῦ πράγματος ἐτολμήσαμεν ὑποδεῖξαι, ἐκ τῶν εἰδῶν μὲν αὐτοὶ ὁρμώμενοι καὶ πρὸς τοὺς καταλύοντας αὐτὰ πανθεϊστὰς ἀντιμαχόμενοι, τοῖς δ᾽ ὁμοδοξοῦσι τῶν πολιτῶν τοῖς νεωτέροις τὰ πάλαι φυλάσσεσθαι παραινοῦντες, τὸ δ᾽ ἐνδέον αὐτοῖς ἄλλοθέν ποθεν προθυμεῖσθαι ἀποπληροῦν, ὡς καὶ ἡμεῖς ἀλλαχοῦ ἐκ τῶν ἐνόντων αὖθις προθυμησόμεθα, ἔνθα καὶ ἀνάλυσιν τοῦ ὅλου Φαίδωνος ποιησόμεθα. νῦν γὰρ μόνων τῶν τεσσάρων λόγων ἡψάμεθα, ἐξ ὧν τὸ διαλεκτικὸν μέρος τοῦ διαλόγου ἀπαρτίζεται, οὓς ὁ Πλάτων ἔτεινεν εἰς ἀπόδειξιν τοῦ ζητουμένου· καὶ οὐχ ὅτι ἰσχυροτέρους τούτων λόγους ἔν γε τῷ παρόντι ἔχων, σιγῇ παρῆλθεν, εἰς ἄλλον χρόνον

ἐν ἄλλῳ πονήματι, τῷ Φιλήβῳ, ὥς φασιν, ὑπερθέμενος τὸ ἐλλεῖπον κῦρος οἷον κορωνίδα τῆς παρούσης ὑποθέσεως τῆς φιλοσοφικῆς ἐπιθεῖναι· τοιαῦτα γὰρ λέγειν παντάπασί γε ἄτοπόν μοι φαίνεται· ἀλλὰ τὸν Φαίδωνα συγγράφων, ὧν περ λόγων τότ' ἐτύγχανεν εὐπορῶν, τούτοις καὶ ἐχρήσατο, ἐκ τῶν ἐνόντων τὸ προκείμενον ἔργον τέλεον προθυμούμενος ἀποφῆναι. εἰ δὲ πολλῷ βεβαιοτέραν τὴν περὶ ἀθανασίας πίστιν ἐν ταῖς ἡμετέραις ψυχαῖς οἱ ἄλλοι λόγοι οἱ ἠθικοὶ ἐνεργάζονται, θαυμασιώτατα τῷ Πλάτωνι εἰρημένοι, πρὸς δὲ τούτοις καὶ ὅλη ἡ κατασκευὴ τοῦ διαλόγου, εἰς ἄκρον καλλίτεχνος οὖσα, τοῦτο αὐτήν γε τὴν φύσιν τοῦ πράγματος μᾶλλον ἡμῖν ἐλέγχει ἢ πρόθεσιν τοῦ Πλάτωνος προλελογισμένην. καὶ γὰρ ὑψηλῇ συναισθήσει καὶ ἕξει θρησκευτικῇ μᾶλλον ἁλωτόν ἐστι τὸ ζητούμενον ἢ διανοίᾳ τε καὶ φιλοσοφίᾳ καθόλου. ἔτι δὲ βάθος τε ἅμα καὶ πτέρωμα μάλα γενναῖον ψυχῆς θείας τοῦ θείου Πλάτωνος ἁπλῶς τε καὶ εἰλικρινῶς ἐκφαίνει. καθάπερ γὰρ καὶ ἀλλαχοῦ εἴρηταί μοι, τῆς τοῦ Πλάτωνος ψυχῆς ἡ λυρικὴ διάχυσις κατὰ πάντα ὑπερτέρα ἐπιλάμπει τῶν κατ' αὐτὸν ἀνθρώπων, ὁμοιοτάτη τῇ τοῦ νέου ἀνθρώπου φαινομένη, ἣν παρενόησαν μέν πως οἱ νέοι λεγόμενοι ῥωμαντικοί, ἐνθουσιαστικώτερον ἅμα καὶ μαλακώτερον πάθος ἐπιτηδεύσαντες, ἐπηνώρθωσαν δὲ ἄλλοι ἄνδρες, ὡς ἀληθῶς τόν τε νοῦν καὶ τὸ ἦθος καλῶς πάνυ ἡρμοσμένοι, εἰ καὶ ὑπερβολῇ ἐναντίᾳ καὶ οὗτοι ἐνιαχοῦ κεχρημένοι δοκοῦσιν, ὡς ἄλλοθί που σὺν Θεῷ ὑποδείξομεν· πολλὰ γὰρ ἂν ἄνδρες οὕτω δριμεῖς καὶ Πλάτωνος αὐτοῦ λυρικώτερα καὶ φαντασιαστικώτερα τοῦ προσήκοντος ἔχοιεν ἂν ἐξελέγξαι, εἴπερ πρὸς τὴν ἑαυτῶν μετριότητα τὰ πάντα ἕλκοντες κρίνειν πειρῷντο.

Εἰσάγεται δὴ οὖν ὁ Σωκράτης τὸν περὶ τῶν ἐναντίων

νόμον ἠ θ ι κ ῶ ς προοιμιαζόμενος, λέγων· ἐάν τις διώκῃ τὸ ἡδὺ καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεται ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, τὸ λυπηρόν, καὶ τἀνάπαλιν ὁ τὸ λυπηρὸν λαμβάνων, λαμβάνει πάντως καὶ τὸ ἡδύ. ταῦτα δὲ ἐνθυμηματικώτατα προειπών, ἀφηγεῖται ὅπερ ἐνύπνιον πολλάκις αὐτῷ ἐν τῷ βίῳ φοιτῶν, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ διακελευόμενον, ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. καὶ ὁ Σωκράτης ἐν παντὶ τῷ βίῳ αὐτὸ τοῦτο ἐκ προαιρέσεως καὶ προθυμίας ἐποίει μέχρι τελευταίας πνοῆς ἐργασίαν ἐπιτηδεύων, ἀνδρὶ φιλοσόφῳ ἐς τὰ μάλιστ' ἐμπρέπουσαν, ἤτοι θνήσκειν τε ἐν τῷδε τῷ βίῳ καὶ ἐπιτηδεύειν ἐργαζόμενος οὐδὲν ἄλλο ἢ τὸν λεγόμενον θάνατον, ἔσχατον τοῦτο ἐνθάδε γέρας, λύσιν τε καὶ χωρισμὸν ψυχῆς ἀπὸ σώματος, καθάπερ ἐκ δεσμῶν, οὐχ ὃν τρόπον ἔνιοι τῶν πρὸ αὐτοῦ ποιητῶν τὸν θάνατον ὡς ἀπαλλαγὴν ἀπὸ τῶν κακῶν καὶ ταλαιπωριῶν τοῦ βίου ὕμνουν, οὐδ' ὥσπερ οἱ ὕστατ. ι τῶν Κυρηναϊκῶν τὴν αὐτοχειρίαν ὡς ἀπαλλαγὴν ἀπὸ τοῦδε τοῦ βίου ἐπῄνουν, ἐν ᾧ πᾶσαν ἐλπίδα τέλος ἀπέθεντο εὐδαιμονίας οἵας ἐγλίχοντο σωματικῆς ἐπιτυχεῖν· πάντες γάρ που ἴσασιν ὡς εὐχερῶς ἐν Ἀλεξανδρείᾳ, ὕστερον δὲ χρόνῳ ἐν Ῥώμῃ, ἄνδρες καὶ ἀπὸ ἐναντιωτάτων αἱρέσεων ὁρμώμενοι, κάκιστα δὲ φιλοσοφοῦντες, ἰδίᾳ χειρὶ τὸ ζῆν κατέστρεφον, οἵ τε ἡ δ ο ν ι κ ο ὶ καὶ οἱ σ τ ω ϊ κ ο ὶ καλούμενοι. ἀλλ' ὁ Σωκράτης διαῤῥήδην εἰσάγεται τὴν αὐτοχειρίαν, ὡς ἀθέμιτον καὶ ἀνοσίαν πρᾶξιν, ἀπαγορεύων. εἰκότως γε· αὐτοχειρία μὲν γὰρ ψυχῆς ὅλης ἀμέλειαν καὶ ὀκνηρίαν ἐμφαίνει, διανοίας δὲ ἰδίᾳ καὶ φαντασίας νόσον κακὴν, φιλαυτίαν ἤθους σχετλίαν, ἀνόσιόν τε ἀχαριστίαν καὶ θρασύτητα περὶ τὸ θεῖον ἀκόλαστον. καὶ γὰρ ὅσοι τῆς ἑαυτῶν ψυχῆς οὐδεμίαν ἐπιμέλειαν ἐκ νέων ἐποιήσαντο, οὐδὲ ἡμέρας

μιᾶς βίον πνευματικὸν ἐτόλμησαν διαγαγεῖν, ἑαυτοὺς ἐτάζοντες, ἀλλ᾽ ὀκνηρίᾳ αἰσχρᾷ αἰσχρῶς συνεσχημένοι, βίον εἰκῇ ἐν ματαιότητι ὑφαίνονται, οὔτε ἴσασιν οὗτοι, οὐδὲ συναισθάνονται ὅλως, οὗ γε ἕνεκεν εἰς τόνδε τὸν κόσμον ἀφίκοντο, οὐδεπώποτε λόγον ἑαυτοῖς δεδωκότες, δι᾽ ἥν περ αἰτίαν καὶ ἐπὶ τίνι ποτὲ λόγῳ τε καὶ ἔργῳ ὑπὸ τοῦ πανσόφου εὐεργέτου ἐν τῷδε τῷ κόσμῳ ἐτάχθησαν, ἀλλὰ τὸ ἐν ἑαυτοῖς ἱερὸν φῶς τε καὶ πνεῦμα εἰς σκιὰς ματαιότητι μυρίᾳ συμμιγεῖς καὶ οὐδαμινὰ φάσματα φαντασίας χαύνης, ἀπατηλῆς καὶ πεπληγμένης ἀναλίσκοντες, φαύλοις μὲν μυθοποιοῖς, φαύλοις δὲ ποιηταῖς, φαύλαις δ᾽ ἀνθρώπων δόξαις ἐκ νέων ἐν μαλακότητι εἰθιζόμενοι, ὡς ἄνανδρα γύναια πρὸς πᾶν ἀδόκητον καὶ ἀμηχανῆ ἀντίξουν τῇ ἑαυτῶν ἡδυπαθείᾳ προςενιστάμενον, πτοοῦνταί τε καὶ λυγρῶς ὀλοφύρονται, οὐδὲν ἡδὺ, οὐδὲν ἱλαρὸν καὶ χάριεν τῷ βίῳ εἰδότες, τὰ πάντα ζόφον, ἀπελπισίαν ποτνιώμενοι, ἐπειδάν τι ὑπεναντίον αὐτοῖς, ὡς λέγω, ὑπαντιάσῃ. μεταξὺ δ᾽ ἀνίας τε καὶ ἀκηδείας οὕτω σαλεύοντες, ἐξ ἡμέρας ὀδυνηρᾶς ἔτι ὀδυνηροτέραν νύκτα ἐκδεχόμενοι, ἄσμενοι δ᾽ αὐτῆς ὡς ἀπὸ ταρτάρου ῥιγηλοῦ ἀπαλλασσόμενοι, τὴν μὲν ἐρημίαν ὡς δαιμονίων κακῶν ἀνάπλεων τρέμοντες, ἑαυτοῖς δ᾽ ὡς δυςκόλοις γεροντίοις οὐδ᾽ ὁπωςτιοῦν δυνάμενοι συνεῖναι, οὐδ᾽ ἔχοντές τι καλὸν καὶ χρήσιμον δίδαγμα παρ᾽ ἑαυτῶν ἀκούειν, δυςθυμίας τε καὶ λύπης πραϋντικὴν, ζείδωρον φιλοπονίαν ἀποδιδράσκοντες, τὸ θεῖον αὖθις οὐδὲν παύονται αἰτιώμενοι ὅτι ἀκάνθας αὐτοῖς ἐν τῇ ὁδῷ τοῦ βίου ἔσπειρε καὶ τριβόλους ὑπ᾽ ἄνθεσιν ὑπούλως ἔφυσεν· ἀνδράποδα ἐν φιληδονίᾳ δέσμια, φιλαυτίας τυφλῆς λειτουργοί, βδελυρὰν χεῖρα ἐγείρουσι καὶ ἀσεβῶς τὸ δώρημα τοῦ Θεοῦ ἐξουθενίζουσιν, οὐ τὸ σῶμα λέγω, ἀλλ᾽ αὐτὸ τὸ θεῖον ἔργον, οὗ ἡ τοῦ

Θεοῦ πρόνοια αὐτοὺς ἐνθάδε ἐπιτελέσαι ἠξίωσεν, τὸν ἁγιώτατον νόμον, δι' οὗ τὸ μὲν ἄνουν τῆς φύσεως πρὸς σκοπόν τε καὶ τέλος καλὸν καὶ ἀγαθὸν ἰθύνεται, ὁ δὲ ἰδίᾳ καὶ καθόλου ἄνθρωπος ἐπ' ἄπειρον, ἅτε ἀθάνατος ὢν, τελειούμενος, ἀεὶ ἐγγυτέρω τοῦ θείου γίγνεται, ἀϊδίου βελτιώσεως καὶ ἠθικῆς εὐδαιμονίας ἑκάστοτε ἀπολαύων. τίς γὰρ ἄν ποτ' αἰτία ἄνδρα ὄντως ἔμφρονα καὶ σμικρὸν φιλοσοφίας ἐν τῷ βίῳ ἀσκήσαντα βαρύθυμον καὶ ἄπελπιν οὕτω ποιήσειεν, ὥςε τὸν θάνατον ὡς σωτηρίαν καὶ ἀπαλλαγὴν ἀπὸ τῶν ἐνθάδε δεινῶν λογίζεσθαι; ἢ ποία τις στέρησις ποίων τινῶν ἀγαθῶν ἰσχύσειεν ἂν οὕτω τὴν ψυχὴν ἀνδρὸς γενναίου καὶ ἐμβριθοῦς ἀπομαρᾶναι ὥστε ἀνάνδρως τοῦ κατ' εὐμένειαν θείαν εἱμαρμένου ἔργου ἀποστῆναι καὶ εἰς ὄλεθρον ἀσεβείας ἑαυτὸν ἐς τὸν αἰῶνα καταῤῥῖψαι;— εἰ καὶ βασίλειον φάρος πρότερον ἐφόρεις, φόρει ῥάκος νῦν, ἄνθρωπε, μετὰ ἀτύφου ἱλαρότητος, ἀντὶ δὲ αἴγλης ἀδαμάντων, στεφέτω νῦν φαιδρότης, ὡς φαεινὸν διάδημα τὸ μέτωπόν σου· εἰ πολλοὺς πένητας μεγάλοις δώροις πλουσίους ἐποίεις, τεῖνον θαῤῥούντως ἐλεημοσύνης χεῖρα πρὸς τὸν πλησίον, ἐάν ποτε νόσῳ περιπεσὼν ἐξ ἀνάγκης ἀεργήσῃς· εἰ δὲ μυριάδες ἀνθρώπων χθές τε καὶ πρῴην ἐγκώμιά σοι ἔπλεκον, ἄκουε νῦν χλεύην καὶ σκῶψιν παρ' ἀνθρώπων ἀγεννῶν· εἰ γὰρ ἔνδον ἀξίαν καὶ τιμὴν ἔχεις, τίς ἀφαιρήσεταί σε αὐτήν; εἰ δὲ χαρὰ πολυτεκνίας καὶ μολπὴ ἑορτώδης τοὺς λαμπρούς σου οἴκους ποτὲ ἐν ἁγίαις ἡμέραις ἐπλήρου, σιγὴ καὶ μελέτη ἐν ἐρήμῃ καλύβῃ τὴν ψυχήν σου νῦν πληρούτω, μολπὴ δέ σοι ἡ ἐν ἐρημίᾳ ἱερὰ φωνὴ σπουδαίοις ἀνδράσι γιγνομένη. οὐδεὶς κίνδυνος, οὐδεμία συμφορὰ, οὐδὲν πένθος, ἑνί γε λόγῳ οὐδεμία πρόφασις ἐξαρκέσειεν ἂν ἔργον οὕτω παμμίαρον δικαιολογῆσαι, ἀλλὰ πᾶς αὐτο-

χειρίᾳ τὸ ζῆν καταστρέφων ἄνανδρος, ὀκνηρὸς, ὃ δὲ πάντων χείριστον μέχρις ἐσχάτης πνοῆς ἀνόσιος καὶ ἀσεβὴς τοῖς ὑγιῶς τὰς φρένας ἔχουσιν ἐλεγχθήσεται. πᾶν τοὐναντίον, τὸ φιλοθάνατον τοῦ Σωκράτους ὡς ἀκραιφνὴς ἔρως τοῦ θείου θεῖον ὂν, ἐμφαίνει βίον φιλόπονον, ὡς ἀληθῶς ἀνδρεῖον, βίον ὅσιον καὶ δι' ἀρετὴν ὄντως μακάριον. τοῦ γὰρ καλοῦ, ἀγαθοῦ καὶ δικαίου, οὗ πᾶσα φρονίμη ψυχὴ ὡς τοῦ ἀληθοῦς καὶ μακαριστοῦ σφόδρα διὰ παντὸς τοῦ βίου ἐρᾷ, οὐκ ἄλλως τε τρέφεται καὶ εὐφραίνεται ἢ ὅ,τι ἐγγυτάτω αὐτοῦ γιγνομένη καὶ ἐν ἀφάτῳ ἀγαλλιάσει ἀμηγέπη αὐτοῦ κοινωνοῦσα, τῇ κτήσει γε τούτου, τὸ σῶμα καὶ αἱ παρομαρτοῦσαι αὐτῷ αἰσθήσεις καὶ ἐπιθυμίαι καὶ ἡδοναὶ καὶ πᾶσα ἡ τοιαύτη φλυαρία, θόρυβον καὶ ταραχὴν ἐμποιοῦσα, ὅτι μάλιστα ἐμποδὼν ἀνθρώπῳ γίγνεται καὶ εἰς κακοδαιμονίαν τε καὶ ὄλεθρον φύσει πως αὐτὸν καθέλκεται. τοῦτο τοίνυν μέλημα κυριώτατον τῷ γνησίως φιλοσοφοῦντι παρὰ πάντα τὸν ἐνθάδε βίον ὑπάρχει, ἡσυχίαν τε καὶ γαλήνην τῇ ἑαυτοῦ ψυχῇ ἀπὸ πάντων τούτων, ἐς δύναμιν, παρασκευάζειν, τῆς ζοφερᾶς τύρβης τοῦ σωματοειδοῦς, ὡς οἷόν τε μάλιστα λυόμενος, εἰς δὲ τὸ ἄπλετον φῶς τῆς Ἀληθείας καὶ τὴν θεσπεσίαν τοῦ σύμπαντος ἁρμονίαν ἔνθους ἀνιπτάμενος. οὕτω τοίνυν τῷ φιλοσόφῳ πάντοθεν τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν ἑαυτὸν ἀποκαθαίροντι καλὴ καὶ γλυκερὰ ἐλπὶς ἐγγίγνεται ὅτι τελευτήσαντος αὐτοῦ ἐνθάδε, ἡ ψυχὴ εἰς ἄλλον τόπον πολλῷ καθαρώτερον καὶ παρ' ἄλλοις θεοῖς ἐπίσης ἀγαθοῖς ἥξοι, ἔνθα τὸ ἅγιον τῆς Ἀληθείας στόμα ὑπὸ φωτὶ διαλεύκῳ ἐν ἀμαράντοις κήποις τῆς ἀϊδιότητος τὰ περὶ τὴν ἀληθῆ ἁρμονίαν τοῦ τῶν ὅλων διακόσμου θεσπεσίως τοῖς φιλομαθέσι κελαδεῖ. ἐκεῖ ὑπάρχει ἐλπὶς, οὗ διὰ βίου οἱ φιλόσοφοι ἐρῶσι τυχεῖν,

φρονήσεως καὶ γνώσεως τῶν ὄντων ἀδιαπταίστου. ἥκιστα ἄρα ὁ φιλόσοφος ἀλογίᾳ οὕτως ἐνέχεται ὥστε φοβεῖσθαι τὸν θάνατον ὥςπερ μορμολύκειον φιλοσώματός τις ὤν, ἀλλὰ τὸν ἐνθάδε βίον, ὡς ἐφικτὸν, εὐδαίμονα διαγαγὼν, ἐπιθυμιῶν, φόβων, κινδύνων, ἡδονῆς τε καὶ λύπης, πάντων εὐχερῶς τε καὶ ἐν γαλήνῃ ἐπικρατῶν, τὴν τελευτὴν τούτου τοῦ ἀτελοῦς βίου γεγηθὼς ἀπεκδέχεται, εὔελπις ὢν ὅτι τὸ καλὸν τοῦ παναγάθου Θεοῦ ἐπίταγμα, ὅσον σθένος ἦν αὐτῷ, ἐπιτελέσας ἄλλου ἐπιτάγματος ἔτι τιμιωτέρου ἀξιωθήσεται. Ἑωσφόρου γὰρ ὑπεροπλία, ἥκιστά γε ἐλευθερία ἐστὶ τὸ πρὸς Δεσπότην κάλλιστον, ἄριστον, ἁγιώτατον δυςανασχετεῖν, νωθεῖς τὴν ψυχὴν ἄνθρωποι, ἐν ζόφῳ τὰ πάντα κυκῶντες οὐ νοοῦσιν, οὐδὲ συναισθάνονται ὅτι ἀληθὲς φῶς ἐλευθερίας καὶ μακαριότης ἀνεκλάλητός ἐςιν ὅ,τι προθυμότατα καὶ εὐσεβέςατα τοιούτῳ Κυρίῳ καὶ Δεσπότῃ γόνυ κλίνειν καὶ αὐχένα· ἀληθὴς δὲ μελέτη, ἀληθοῦς ἐλευθερίας συναίσθησις ἐγείρει ἐν ἡμῖν ὑπακοήν τε καὶ ὑποταγὴν πρὸς τὸν Θεὸν, ὡς ἄκρον ἄωτον ἐλευθερίας, αὐτὸ τὸ ἄκρον τῆς ἀνθρωπικῆς μακαριότητος. ὁ Θεὸς ζῇ ἐν τῷ ἁγιωτάτῳ τῆς ἡμετέρας οὐσίας, ἡμεῖς δὲ ἁγνισθέντες, ζῶμεν ἐν Θεῷ ζωὴν ἀληθινήν. Ἔφεσιν τοίνυν εἰλικρινεστάτην τοῦ ὡς ἀληθῶς γε ὄντος ἤτοι τοῦ θείου φυσικὸν αἴτιον ὁ θεῖος Πλάτων τῆς ἀρετῆς τίθεται, τὸ δ' ἔργῳ αὐτὸ τὸ θεῖον θεραπεύειν ἀληθινῆς ἀρετῆς ἄσκησιν ἀληθινὴν εἶναι δοξάζει. ἐκ τοιούτων ἀρχῶν καὶ ὁ θειότατος λόγος ὁ περὶ τῆς ἀρετῆς τοῦ Πλάτωνος ὁρμώμενος, οἷον πνεῦμα ζωῆς νεαλὲς καὶ ῥωστικὸν εἰς τὰς νεναρκωμένας ψυχὰς ἡμῶν εἰςδύνον, ἀναζωπυρεῖ αὐτὰς εἰς ἄσκησιν ἀρετῆς εὐθύμου, ἱλαρᾶς, ἀπλάστως ἀνδρικῆς, πόῤῥω πάσης ὑποκρισίας, πάσης οἰήσεως καὶ διπροσωπίας, πάσης

θηλυπρεποῦς καὶ ὑπόπτου ταπεινότητος καὶ διὰ τοῦτο ἥκιστά γε ταῖς γυναιξὶ προςφιλοῦς οὔσης. αὕτη ἡ ἀρετὴ οἵαν ὁ θειότατος Πλάτων μελισταγῶς διδάσκει αὐτὴ ἡ ὡς ἀληθῶς ἀρετή ἐστιν, οὔ τι φάσμα κατεσκληκὸς, οὐ σκιὰ τάφων τυφώδης. εἴπερ γὰρ τοῦ Πλάτωνος ἡ ἠθικὴ συναίσθησις κατά τινας ἀρετὰς μερικὰς ἄλλων διδασκάλων τῆς ἀνθρωπότητος, εἴτε δι' ἕξιν φυλετικὴν, εἴτε διὰ τὸν χρόνον, ἐν ᾧ ἤκμαζεν ἀπολειπομένη φαίνεται, κατά γε μὴν τὴν καθόλου φύσιν τῆς ἀρετῆς πάντων θνητῶν εἰλικρινέστατ' ἐκλάμπει. Τοῦ Πλάτωνος τὰ θεῖα διδάγματα ἡλίου φαεινότερα, οἷον πῦρ ἁγνὸν προχέοντά ἐστι, δι' οὗ ἀποκαθαίρειν ὀφείλομεν τὸν ῥύπον καὶ γλοιὸν, ὃς περιεκολλήθη περὶ ἡμᾶς ἐν τύφῳ καὶ ἀγροικίᾳ ἀκουσίως ἢ ἑκουσίως δι' αἰώνων πολλῶν κατακυλισθέντας.

Οὕτω φύσει φιλόσοφον ἄνδρα ἐπιδείκνυσιν ἡμῖν ὁ θεῖος Πλάτων τὸν Σωκράτη παρὰ πάντα τὸν βίον αὐτοῦ. Ἐν μὲν οὖν τῷ Φαίδρῳ παρίσταται ἡμῖν ὁ Σωκράτης νεότητι ἀνθῶν, ἔρωτι λόγων καλῷ θαλπόμενος, φαντασίας τε καὶ διανοίας θεσπέσιον πτέρωμα ἔχων, ἀμβροσίαν τε καὶ νέκταρ ἐξ οὐρανίων τόπων τῇ ἑαυτοῦ ψυχῇ κομιζόμενος. ῥοδοδάκτυλος ἠὼς ὥρας ἐρατεινῆς, Μουσῶν αὔρα προπεμπομένη, δι' αἰθερίων Ἀπόλλωνος πεδίων φῶς προχέουσα θαλπνὸν καὶ φῶς ἔτι μεῖζον προαγγέλλουσα. ὡς χρυσῶν ἐλπίδων νεότης τροφὸς ὑπάρχει! ἴθυνον ἐλπίδα καλὴν, ὡς ἵππου θυμοειδοῦς ἐπιβὰς, ὦ νέε, μὴ πρὸς τὸν ζοφώδη δρυμῶνα τῶν φθαρτῶν, φάσματ' ἐγγύθεν ἐπιδιώκων ἀπατηλά· παντοειδῆ γὰρ αὐτόθι θηρία ἐλλοχᾷ, φωναὶ ἄκοσμοι, ὑλαγμοὶ ἄγριοι, ἴλιγγον, σκότωσιν φρενῶν τοῖς ἀγυμνάστοις ἔτι νέοις ἐμβάλλουσιν· φοβοῦ μὴ ὁ τῆς χρυσῆς ἐλπίδος πήγασος ἐπὶ πετρῶν καὶ ἀκανθῶν συνθλώμενος ἤδη

καὶ κοπούμενος, πρὸς ὄψιν δ' ἀγρίαν καὶ ὑλαγμὸν ἄφνω ἐκπλαγεὶς, ἀποσείσῃ σε χαμάζε που ἐν ζόφῳ τὸν πάντα αἰῶνα, ἐν λήθῃ τε καὶ πένθει ἀνιάτως κεισόμενον. μηδὲν μαλακὸν ἐνδίδου, κράτυνον σαυτὸν, ὦ νέε, καὶ εἰς τὸ φῶς τῆς ἀϊδιότητος ἄνω σὺν ἱερῷ ῥοίβδῳ πτερυξάμενος ἄνελθε· ἐκεῖ γὰρ ἀλήθειαν εὑρήσεις καὶ ἐν ἀληθείᾳ ἀγαλλόμενος πασιφανὴς εὐεργέτης ὀφθήσῃ. δι' ἀνθρώπων μὲν πάντως ἡ πρώτη πορεία γίγνεται, μὴ φεῦγε ἀνθρώπους, ἀληθεῖς ἀνθρώπους μὴ φεῦγε, παρ' ὧν τὴν ἄνω πορείαν μαθήσῃ. τοιοῦτόν τινα ἴσως ὑποτυποῖ ἡμῖν ὁ θεῖος Πλάτων τὸν νέον Σωκράτη ἐν Φαίδρῳ.

Ἐν δὲ τῷ συμποσίῳ ὡς ἐπ' ἀκμῆς ἔργου, ἄνδρα ἐν ἔμφρονι καὶ καθεστηκυίᾳ ἡλικίᾳ, πολλὰ μὲν ἤδη εἰπόντα, πολλὰ δὲ ἀσφαλῶς διαπράξαντα, οἷα περ ἀκήρατος ἡλίου ἀκτὶς ἔνθα ἂν εἰςδύῃ τὸ μὲν ζοφερὸν καὶ κρυερὸν, ἢ ἐν ἀτάκτοις χυμοῖς σπαργῶν καταλάμπει, θάλπει, ἀφαναίνουσα ἰᾶται, τὸ δ' ἀρχῆθεν καλὸν καὶ ἀγαθὸν πολλῷ κάλλιον καὶ ἄμεινον ἑαυτοῦ ἀπεργάζεται, τὴν κάλυκα εἰς ἄνθην, τὴν ἄνθην εἰς καρποὺς ἀγλαοὺς, τροφὴν καὶ ζωὴν πᾶσι χρηστοῖς παρέχοντας. ὁπότε δὲ ὁ αὐτοβούλητος κλῆρος τοῦ βίου ἐν ὄγμῳ φρενὸς βαθείας ἐπιμελέστατα θεραπευθῇ, πεπαυμένη φαίνεται ἡ τοῦ συνειδότος κύμανσις, ὁ πολὺς ἀγὼν καὶ ἱδρὼς ὁ πάλαι, ἡ ἐναλλὰξ ἐπιγιγνομένη ἀγανάκτησις καὶ χαρὰ ἡ ἀκάθεκτος, παιδιᾶς εὐπετοῦς χάριν τέλος λαμβάνει· τὰ δὲ τῆς ἀρετῆς ἄνθη αὐτομάτως, ὡς ἀπὸ καλλικόμου καὶ εὐθαλοῦς δένδρου πυκνὰ ψεκαζόμενα, εὐφραίνει τοὺς ὑπὸ τὴν θυμήρη σκιὰν αὐτῆς ἐν φιλίᾳ συμποσιάζοντας. Τίς τὸν ἄτρεστον ἥρωα οὐκ ἂν θαυμάσειεν, ὃς διὰ ζοφερῶν δρυμῶν, πυρσὸν ἐν χειρὶ ἔχων, τοὺς ῥιγηλοὺς ἑλιγμοὺς μειδιῶν καταυγάζει, οἵπερ εἰς τὸ ἡλιόφωτον τῆς Ἀληθείας καὶ σωτηρίας ὄρος ἀ-

νάγουσιν; ἢ τίς οὐκ ἂν δαιμόνιον καθηγεμόνα τὸν ἄνδρα ἀποκαλέσειε, τίς ὡς εὐεργέτην τῆς ἀνθρωπότητος συμπάσης οὐκ ἂν ἐγκωμιάσειεν;— ὁ φθονερὸς, ὁ τυφλὸς, ὁ διὰ φθόνον ἢ τυφλότητα ἐπάρατος συκοφάντης. τὰ γὰρ ἐν συμμιγεῖ σκιᾷ καὶ δνοφερῷ εὐρῶτι ἀκαθάρτοις χερσὶ φυρόμενα εἴδωλα πατρίδος ψευδοῦς, ἀρετῆς ψευδοῦς, εὐδαιμονίας ψευδοῦς ὡσεὶ καπνὸς ἀπὸ προσώπου τῆς γῆς ἔμπροσθεν τῆς οὐρανίας λάμψεως τοῦ Ἀληθοῦς διαλύεται. ὁ δ' οὖν τυφλὸς ὁ τὸ παμμίαρον φάσμα ἀπολέσας, πρὸς δὲ τὸ λευκὸν τῆς ἀληθείας φῶς ἐμβλέπειν ἀδυνατῶν, ποτνιᾶται, δεινολογεῖται ὅτι αὐτὸς ὁ φωςφόρος ἀστὴρ αὐτὸν ἀπετύφλωσεν, αὐτὸς ὁ καλλιλαμπὴς ἥλιος ζόφον τῇ καταγείῳ οἰκήσει ἐπήνεγκεν. καὶ ὁ πάντοθεν ὑπὸ οἰκείας κακίας περιβεβρωσμένος βωμὸς πατρίδος μεμιασμένης εὐσεβέσι χερσὶν ἀσεβῶν ἀνθρώπων εὐτρεπίζεται, ὅπως ἂν θυσίαν τὴν ἀσεβεστάτην καὶ ἀνοσιωτάτην πασῶν δέξηται. αὕτη ἡ ἀντίθεσις ἀποτελεῖ τὴν δέσιν τοῦ τραγικοῦ βίου πάντων σχεδὸν τῶν ὡς ἀληθῶς ἐξόχων ἀνδρῶν. ἡ δὲ δέσις προαγγέλλει ἤδη λύσιν τε καὶ καταστροφὴν τῆς τραγῳδίας, ἥνπερ ὁ τραγῳδούμενος ὡς αὐτοβούλητον ἅμα καὶ δι' ἕξιν μακρὰν αὐτόματον τέλος προςβλέπει, τοῖς ἁπλοϊκοῖς ἀνθρώποις τρόπον τινὰ συνᾴδων, οἵπερ πεπρωμένην μοῖραν, Εἱμαρμένην τὰ τοιαῦτα ἀποκαλεῖν εἰώθασιν. Τελευταῖον δὲ μέρος τῆς θαυμασιωτάτης τριλογίας, ἐν ᾗ ὁ θεῖος Πλάτων κάλλιστ' ἀνθρώπων τὰς Σωκράτους τύχας διετραγῴδησεν, ἐστὶν ὁ Φαίδων, ὃς τὸ τελειότατον τοῦ τρισσοῦ τῆς τραγῳδίας εἴδους ἡμῖν ἐμφαίνει· οὔτε γὰρ ἀντίδοσίν τινα, ὡς αἴδιον καὶ εὔδαιμον τέλος τοῖς ἐνθάδε δοκοῦσαν τίθεται, οὔτε τὴν λεγομένην κάθαρσιν μέχρις ἐσχάτης καταστροφῆς καθέλκει. οὐ γὰρ φόβον οὐδ' ἔλεον ἡμῖν ὁ Φαίδων ἐμποιῆσαι βούλεται,

ἀλλ' ὡς αὐτὸς ὁ διηγούμενος Φαίδων μαρτυρεῖ, ἀπὸ θαυμασμοῦ ἤδη ἄρχεται καὶ εἰς μακαρισμὸν τοῦ θείου ἀνδρὸς τελευτᾷ κατὰ τρόπον μέτριον καί πως ὑπολανθάνοντα, τοῖς ἐν χάριτι καὶ συμμετρίᾳ πεπαιδευμένοις Ἕλλησι μάλα προσήκοντα. Ποιεῖται τοίνυν ὁ ἐράσμιος Σωκράτης πᾶν τὸ ἑαυτοῦ ἦθος καὶ τὸν τρόπον τὸν πρόσθεν ἕως τέλους ἄτρεπτον διασώζων· τὸ γλυκύθυμον καὶ ἤπιον, τὸ φιλολόγον καὶ εὐτράπελον καὶ τὴν εἰωθυῖαν εἰρωνείαν μέχρις ἐσχάτης πνοῆς φυλάσσων. οὗ τε διὰ βίου ἤρα, τούτου εὔελπίς ἐστιν ὅσον οὔπω τεύξεσθαι, γνώσεως, ὡς δυνατὸν, ἀκραιφνοῦς τῆς Ἀληθείας. ταύτην γὰρ εὐδαιμονίαν ἀεὶ ἐν τῷ βίῳ ἡγεῖτο ἀληθῆ, μακαριότητ' ἀνθρώπου ἐν ἀρετῇ κοσμίᾳ τ' ἐπιτελέσει τοῦ ἀγαθοῦ, τὴν τοῦ Ἀληθοῦς ὡς ἔνι μάλιστ' ἀκριβεστάτην οὖσαν γνῶσιν ἔλεγεν. ὥς περ δέ τις ἐν ἑορτῇ ἑορτῆς μεγάλης τε καὶ λαμπρᾶς, εἰς χαρὰν τῇ ψυχῇ κεχυμένος, ἀμαράντῳ στεφάνῳ ἀρετῆς τὸ ἱερὸν μέτωπον ὁ Σωκράτης κεκοσμημένος, ἐπὶ τῆς κλίνης τοῦ δεσμωτηρίου, ὡς ἐπὶ θρόνου τῆς ἀνθρωπότητος καθήμενος, προσορᾷ ἤδη τῷ τῆς ψυχῆς ὄμματι πόῤῥωθεν πᾶν, ὅ τι ἐν θαλερᾷ νεότητι ὡς τερπνὸν, καταθύμιον φαντασίας τε καὶ συναισθήσεως βαυκάλισμα ἱερὸν ὠνειροπόλει, ἐκείνην τὴν αἴγλην τοῦ Ἀληθοῦς τὴν ὑπερουράνιον, ἐκείνην τὴν θεσπεσίαν τοῦ σύμπαντος ἁρμονίαν ὁρᾷ ἤδη καὶ τοῖς ὠσὶ πόῤῥωθεν ἀκούει, οἵας περ ἐν Φαίδρῳ τε καὶ ἀλλαχοῦ ἐνθεαστικῶς ἐγκωμιάζει. προσδοκᾷ δὲ τὸν θάνατον οὐχ ὡς λύσιν ἀπὸ πόνων τε καὶ φόβων ἢ ἐσχάτης τινὸς ἀγωνίας· ἐπεὶ πάντων τῶν τοιούτων ὁ ἐν ἁγνότητι διαβιοὺς σοφὸς ἐν τῷ πρόσθεν βίῳ πάμπαν ἀπήλλακται· ἀλλὰ λοίσθιον ᾄδων ᾆσμα μακάριον, καθαπερεὶ ἱερὸς τοῦ Ἀπόλλωνος κύκνος τὰς πτέρυγας εὐτρεπίζων, ὅπως δι' αἰθέρος φαεινῆς τὰ

γήινα λιπών, ἀναπτῇ εἰς τὸν τόπον τῆς ἁγίας καὶ μακαριστῆς τοῦ Θεοῦ σοφίας. Οἱ δὲ παρὰ τοὺς πόδας αὐτοῦ καθήμενοι ἄνδρες τὴν μνήμην τῆς ἁμαρτανούσης Ἑλλάδος τῇ ἀϊδίῳ ἀνθρωπότητι συνδιαλλάσσοντες βαιὰν ἀπηχὴν ἀκούουσι μόγις, ὧν θαυμασίων ὁ θεῖος ἀνὴρ ἐν ἁγιωσύνῃ γηράσας θεᾶται ἄντικρυς, τὴν ψυχὴν κατευφραινόμενος. ἄτοπον δέ τι πάθος αὐτοὺς καὶ ἀήθης συγκίνησις εἶχε, λύπη τε ἅμα ὡς ἀπὸ τῆς παρούσης συμφορᾶς καὶ ἡδονῇ τινι ἀῤῥήτῳ ὡς αὖ ἀπὸ τῶν θείων λόγων τοῦ Σωκράτους μεμιγμένη. Ἐντεῦθεν καὶ ἡ εἰρωνεία αὐτοῦ μέχρι τέλους χαριεστάτη τε ἅμα καὶ ἐννοηματικωτάτη φαίνεται. ὁ μὲν γὰρ τὴν παροῦσαν τύχην οὐχ ὅτι συμφορὰν, ἀλλ' εὔνοιαν Θεοῦ ἡγεῖται, οἱ δὲ τῷ θείῳ πτερώματι τοῦ λόγου ἑπόμενοι, πείθονται μὲν ἡδέως αὐτῷ, οἷον δὴ ἄνδρες φύσει τε καὶ παιδείᾳ ἄξιοι μνήμης ἤδη ὄντες, ἀλλ' αἴφνης πάλιν ὑπὸ τῆς ἀνθρωπίνης ἀδυναμίας τρόπον τινὰ πάντοθεν περικλυζόμενοι καὶ πρὸς τὰς τῶν λοιπῶν ἀνθρώπων δόξας διὰ τὸ ἡμιτελὲς ἔτι τοῦ βίου ἑλκόμενοι, συμφορὰν αὖ τὴν παροῦσαν τύχην οἰόμενοι, λύπῃ τε καὶ ἀθυμίᾳ ἑαυτοὺς παραδιδόασι. Καὶ ὁ Σωκράτης μεταξὺ λόγων τῇ εἰρωνείᾳ χρώμενος, περὶ δὲ τὸ τέλος καὶ νουθετήσει ἐνεργεστέρᾳ, πολλάκις αὐτοὺς ἐπιχειρεῖ αὖθις ἀπὸ τῆς τῶν πολλῶν προλήψεως εἰς τὴν ἀνέφελον καὶ ἀπτόητον Ἀλήθειαν ἀναβιβάσαι. Αὕτη δὴ οὖν ἡ θεία εἰρωνεία εἰς στέφανον καλλίνικον τῆς φιλοσοφίας ἀπολήγουσα· τὸν θάνατον ὡς ἴασιν ψυχῆς ἐπιφημίζουσα, — τὸ γὰρ ὕστατον ῥῆμα τοῦ Σωκράτους εἰρωνείας θείας μεστόν ἐστιν, «ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε» — ταυτηνὶ τὴν εἰρωνείαν εὐλόγως ἄν τις εἴποι μηδὲν κοινὸν τὸ παράπαν τῇ Διογένους τοῦ Σινωπέως εἰρωνείᾳ ἔ-

χειν, μεθ' ἧς περὶ ἑαυτοῦ «εἰώθει λέγειν τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος, πτωχὸς, πλανήτης, βίον ἔχων τοὐφημέραν.» ἐπεὶ ἐν τοιαύτῃ ἀναμνήσει τῶν ἐν τῷ βίῳ τερπνῶν ὑποτύφεταί τι μόριον λύπης καὶ πάνυ τορόν. οὐδὲν δὲ κοινὸν καὶ ἄλλως τῇ Διογένους στάσει τε καὶ πολιτείᾳ πρὸς τὴν τοῦ θείου Σωκράτους ὑπάρχει, εἰ καὶ Πλάτων αὐτὸς φέρεται Σωκράτη μαινόμενον τὸν Διογένη προςειρηκώς. ὁ μὲν γὰρ ὀκνηρός τις τὸν νοῦν, νωθὴς δὲ καὶ μονομερὴς περὶ τὸ πράσσειν καὶ ὅλως εἰπεῖν ἀνὴρ ἀ π ο φ α τ ι κ ὸ ς ἐγένετο· ὁ δὲ Σωκράτης φιλοπονώτατός τε ἦν καὶ εὐφυέστατος θνητῶν, περὶ δὲ τὴν αἵρεσίν τε καὶ ἐπιτέλεσιν τοῦ ἀγαθοῦ πολυτροπώτατος, ἀνὴρ θ ε τ ι κ ὸ ς ἐν τοῖς μάλιστα γενόμενος. παιδία μὲν οὖν καὶ μῦς εὐχερῶς τὸν Διογένη ἐνίκα, τὸν δὲ Σωκράτη προτροπάδην ὁ Ἀλκιβιάδης ἔφευγε, τὴν θείαν τἀνδρὸς ὄψιν αἰδούμενος καὶ ἔστιν ὅτε μὴ δυνάμενος ὅλως μένειν. καὶ τὴν μὲν φιλίαν τοῦ Διογένους ἡμιωβολίου τυρίον καὶ φαυλότερόν τι ἔτι διέλυε, τὴν δὲ τοῦ Σωκράτους φιλίαν οὔτε ζημία οὔτε φυγὴ οὔτε κίνδυνος θανάτου ἐπικείμενος διέλυεν. ὁ Διογένης διὰ τὸ μὴ ἔχειν ὅ,τι προςομιλήσειε τῷ Ἀλεξάνδρῳ ἔφευγε τὴν φιλίαν αὐτοῦ, ἀλλ' ὁ Σωκράτης μετεδίωκε τὴν φιλίαν τῶν ἐπιφανεστάτων ἀνδρῶν. Διογένης μὲν οὖν ἢ μᾶλλον εἰπεῖν τὰ εἰς ἓν πρόσωπον πεποιημένα ἤθη τῶν ὕστερον φιλοσόφων ἢ ἄλλων ἀνθρώπων, ἔστιν οὓ καὶ πάνυ βδελυρῶν, εἰς ἀναχώρησιν ἦγε καὶ ἐρημίαν ἀνθρώπων· ὁ δὲ Σωκράτης παρεσκεύαζε τοὺς ἑαυτῷ συνόντας εἰς κοινωνίαν τε καὶ πολιτείαν ἀνδρῶν ἀρίστων καὶ ἄλλως φρονιμωτάτων καὶ δικαιοτάτων. καὶ ὁ μὲν Σωκράτης ἔστησε σφαλλομένην τὴν ἠθικὴν τοῦ ἀνθρώπου ἐλευθερίαν,

ὁ δὲ Διογένης ἔφασκε μὲν « τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου διεξάγειν, ὅν περ καὶ Ἡρακλῆς, μηδὲν ἐ λ ε υ θ ε ρ ί α ς προκρίνων, » ταύτῃ μέντοι τῇ ἐλευθερίᾳ κακῶς ἐχρήσατο· τούτου δὴ τοῦ θρυλλουμένου Διογένους(*) ἡ θρυλλουμένη τελευτὴ γηΐνως κυνικὴ ἐγένετο, εἰ καὶ κομψόν τι ἐπίγραμμα ο ὐ ρ ά ν ι ο ν κ ύ ν α αὐτὸν ἀπεκάλεσεν. ἀλλὰ τοῦ Σωκράτους ἡ τελευτὴ οὕτως ἀνθρωπίνως λαμπρά τε καὶ ἔνδοξος ἐγένετο, ὥστε τὸ ἀμαυρῶσαί πως αὐτὴν γένεα λυγρὰ καινοτόμων σοφῶν ἀγώνισμα ἑαυτοῖς ἐν τῷ βίῳ κενόσπουδον προεβάλοντο. ὁ Σωκράτης εἶχε πάσας τὰς καλὰς καὶ μεγαλοπρεπεῖς ἀρετάς, ὧν χρῄζει ἄνωθεν προωρισμένος ἀνὴρ, εὐεργέτης συμπάσης τῆς ἀνθρωπότητος γενέσθαι.

Αὕτη οὖν ἡ παρὰ πάντα τὸν βίον ἐν ἡμῖν θάλλουσα ἔφεσις τοῦ Ἀληθοῦς, αὕτη ἡ ἄγρυπνος καταφρόνησις τῶν διὰ τοῦ σώματος ἡδέων καὶ τερπνῶν, ὡς προσκαίρων τε καὶ ἀλλοτρίων ἐπὶ ἐπιτυχίᾳ καὶ ἐπιγνώσει τοῦ νοητοῦ καὶ θείου ὡς συγγενοῦς ἡμῖν καὶ αἰδίου ὄντος, αὕτη ἡ ἀνεξάλειπτος καὶ ἀμάραντος ἐλπὶς τοῦ μέλλοντος, ἥτις ἀεὶ μᾶλλον ἐν ἡμῖν αὐξάνεται, καθ' ὅσοι περ αἱ τοῦ σώματος δυνάμεις παραλύονται, εἰς τὸ τέρμα τοῦ ἐνθάδε βίου ἡμῖν παρομαρτοῦσα, οὗτος ὁ ἔσχατος φόβος τῶν πονηρῶν, τῶν δ' ἀγαθῶν ἐλπὶς ἡ ἐσχάτη, τηνάλλως ἄρα ταῦτα πάντα ὑπὸ τοῦ πανσόφου δημιουργοῦ, οἷον ὄναρ γελοῖον καὶ παίγνιον κοῦφον ἡμῖν ἐνείργασται; — Ὅταν τὰ ἀκήρατα τῆς φύσεως κάλλη ἐν ἐρημίᾳ ἀνθρώπων θαυμάζωμεν, γλυκίθυμος τοῦ παρελθόντος ἀνάμνησις, παντάπασι τῶν

(*) Ἴσως ἐν ἄλλῳ τόπῳ ἐροῦμεν, ἃ ἡμῖν δοκεῖ περὶ τοῦ ὡς ἔγγιστα ἀληθοῦς Διογένους

πρόσθεν παθῶν ἡγνισμένη, συνδιαλλαγὴ καὶ ἀγάπη γαληναία ἀφάτῳ τινὶ πένθει συνεζευγμένη, πόθος τε τοῦ μέλλοντος ἄφατος ἐν ἡμῖν ἠρέμα ἐντήκεται. καὶ ἔτι ἰσχυρότερα ταῦτα συναισθανόμεθα, ὅταν τὸ καλὸν πάσης τῆς ἐν τῇ φύσει ἀνωμαλίας καὶ μερικότητος κεκαθαρμένον ὁρῶμεν, τῇ δ' ἡμετέρᾳ ψυχῇ πλησιαίτερον ἡρμοσμένον, τὰ ἀΐδια καὶ ἁγνὰ γνωρίσματα αὐτοῦ τοῦ καλοῦ εὐσυνόπτως τε καὶ ἐνθυμηματικῶς ἐμφαῖνον· ὅταν τὸ καλὸν τὸ ἐν τέχνῃ καλῇ πεφασμένον ἐγγὺς τῆς φοβερᾶς καὶ πολυΰμνου τελειότητος τοῦ εἴδους τῶν εἰδῶν ἡμᾶς ἀνακομίζῃ, ἡ ψυχὴ ἡμῶν ἔνδον ὑπὸ χαρᾶς τινος ἅμα καὶ πένθους ἀνεκλαλήτου τρέμει ὅλη καὶ ἡ βαθεῖα συγκίνησις εἰς ῥῖγος καὶ δάκρυα ἐκχεῖται, ψυχὴ τὸ συγγενὲς ὁρῶσα καὶ σφόδρα τὴν μετ' αὐτοῦ συμβίωσιν ποθοῦσα· ὁποῖον δὲ θέλγητρον, ὁποίαν τέρψιν ἄφατον παρέχει ἡμῖν ὁ γνήσιος καλλιτέχνης, ὅταν ἀνδρὶ ἀρίστῳ τοῖς ὁμοίοις γενομένῳ, πολλὰ ὑπὲρ τῆς ἀνθρωπότητος ὅλης μοχθήσαντι ἄξιον στέφανον ἀϊδιότητος πλέκῃ, ὅταν καλλίνικον αὐτὸν καὶ ἐν τῷδε μὲν τῷ κόσμῳ, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι ἡμῖν ἐμφαίνῃ; καὶ τοὐναντίον δὲ ὡσαύτως, ἡ τοῦ κακοῦ τίσις καὶ, ὡς ἔπος εἰπεῖν, περίκαυσις καὶ ἀφάνισις, ὡς μυχαίτατα τῆς ἡμετέρας ψυχῆς ἀνάγκη ἐῤῥιζωμένη φαίνεται. Καὶ γὰρ πενθῶν τις καὶ κλαίων τὴν τίσιν φίλου ἀνδρὸς ἄλλως, στέργει μέντοι αὐτὴν οὐχ ἧσσον ἐν τῇ ψυχῇ, ὡς ὁ Δάντης τῶν ποιητῶν ὁ ἱερώτατος πολλαχοῦ τοῦτο φανὸν ποιεῖ· οὕτω γὰρ δικαιοσύνης τῆς ἄκρας συναισθήσει βαθείᾳ ἡ γενναία τοῦ Δάντου ψυχὴ κατέχεται, ὥστε καὶ εἴ τινα ἑαυτῷ πλημμελῆ ἔξιν ἐνεῖδεν, ἐν τῷ καθαρτηρίῳ εἰς μέσον ἐκφέρει τίσιν τὴν ἑαυτοῦ ἐν ψυχῇ ποθῶν· τίσιν τοῦ μὴ καλοῦ καὶ μὴ ἀγαθοῦ συνδιαλλαγήν τε τελείαν ἑκατέρου πρὸς τὸ ἐναν-

τίον, αὐτὸ τἀγαθὸν, αὐτὸ τὸ καλὸν ποθεῖ πᾶσα ὁμοίως γενναία ψυχὴ ἐν ἑαυτῇ τε ἐπιδεῖν καὶ τοῖς φιλτάτοις αὐτῇ. τίσιν δ' ἐπιζητεῖ ὁ ἄνθρωπος ὁ εἰς τὸ μάλιστα καθόλου δύναμιν ἔχων ἀνιέναι, τίσιν τῆς ὅλης ἀνθρωπότητος ἐν τῇ ἱστορίᾳ καὶ ἀντίδοσιν πνευματικὴν τῶν ὀρθῶς τε καὶ δικαίως αὐτῇ βεβιωμένων. αὕτη ἡ δυὰς ἐστιν ἡ ἰσχυροτάτη πασῶν ἀγαλλίασις, ἥπερ τὰς γενναιοτάτας τῶν ψυχῶν παραμυθεῖται. ταυτηνὶ τὴν δυάδα, ὡς ἴυγγα τῆς ἑαυτῶν τέχνης πάντες οἱ καλλιτέχναι ὁμοίως θηρῶσι, καὶ ὅταν αὐτὴν οἱ δραματοποιοὶ, φέρ' εἰπεῖν, ὡς κάθαρσιν καλῶς ἐν τῇ καλλίστῃ τῶν καλῶν τεχνῶν μετέρχωνται, προςφιλεῖς τε καὶ ποθητοὶ, εὐτερπὲς ἀνθρώπων ἄνθος, εὐφροσύνη ἀΐδιος πᾶσι τοῖς αἴσθησιν ἔχουσιν ἀνθρωπικὴν καθίστανται. καὶ ἡ ὡς ἀληθῶς θεία τοῦ Δάντου λυρικὴ ἐποποιΐα, μεσαιωνικῶς δὲ κωμῳδία καλουμένη καὶ τὰ δράματα τοῦ Σακεσπήρου κλέος τῆς ἀνθρωπότητος παρὰ τοῖς ἀληθινοῖς ἀνθρώποις ἐπιφημισθήσονται, ἐφ' ὅσον ἄνθρωποι ἡλίου φῶς ἐπὶ τοῦδε τοῦ πλανήτου ὄψονται.

Ταῦτα πάντα οὐθὲν ἄλλο διατρανοῖ ἢ τὴν τῆς ψυχῆς ἀθανασίαν, τὸ καλὸν, ἀγαθὸν, ἔτι δὲ τὸν νόμον ἐπιζητούσης, ᾧ τὸ ἅγιον πᾶν καὶ ἀθάνατον συντηρεῖται. ζῇ γὰρ ἡ ψυχὴ καὶ θάλλει ἐν τῷ καλῷ δικαίῳ καὶ τῷ νόμῳ αὐτῶν, τῷ θείῳ τοῦ Σύμπαντος ἔρωτι, ὡς ἐν ἀληθείᾳ ἀναμφηρίστῳ καὶ βεβαίᾳ, ἥν περ πρεσβυτέραν τε καὶ θειοτέραν πάσης διαλεκτικῆς ἀποδείξεως συναισθάνεται. ἀλλ' εἰ καὶ ὁ θεῖος Πλάτων τῆς πλαστικῆς τῶν Ἑλλήνων ψυχρότητος πάντων θαυμασιώτατ' ἀπηλλαγμένος φαίνεται, διάχυσιν δὲ ψυχῆς ἀνθρώπου ἐν Χριστῷ ἀνανεωθέντος ἐμφαίνει, τὴν οὐσίαν καὶ φύσιν τῆς ψυχῆς ἐν λόγοις διακριβούμενος, οὐδὲν μόριον συναισθητικὸν τῶν ἄλλων χωρὶς ἀφώρισεν

ἤτοι τὴν ὑψηλὴν καὶ ἱερὰν συναίσθησιν, ἐξ ἧς γε ἡ ὡς ἀληθῶς θρησκεία καὶ ἠθικὴ ἐκπορεύεται, οὔπω ἐπιστημονικῶς διεγνωκότι ἔοικε. συνέβη οὖν αὐτῷ παραπλήσιον οἷόν περ καὶ παντὶ γνησίῳ καλλιτέχνῃ καὶ ποιητῇ συμβαίνει, τῆς ἑαυτῶν ὑψίστης καὶ τελεωτάτης ἀρετῆς λόγον μηδένα ἔχειν διδόναι, ἀλλ', ὡς ἔπος εἰπεῖν, ἐνθεάζοντας καὶ κορυβαντιῶντας ἐν αὐτῇ αἰδεῖσθαι τρόπον τινὰ τοὺς ἄλλους ἀνθρώπους ὡς πάθος τι ἄτοπον καὶ ἄῤῥητον πάσχοντας. οὕτως ἡ θεία Πρόνοια ηὐδόκησε πάσας τὰς καλὰς καὶ σεμνὰς ἀρετὰς μὴ αὐτοῖς γε τοῖς ἔχουσιν ἀλλὰ τοῖς πέλας αἰσθητάς τε γίγνεσθαι καὶ ἐγκωμιαστὰς, πάσης φιλαυτίας καὶ περιαυτολογίας ἀνιαρᾶς πάμπαν ἀκηράτους οὕτως ἀποβαινούσας. ὃς γὰρ ἂν ἑαυτὸν ἐπαινῇ, δῆλός ἐστιν ὅτι ἐντὸς ἑαυτοῦ ὑπάρχει, καὶ ἔστι μὲν ὅτε δικαίως ἴσως ἑαυτὸν ἐπαινεῖ, ἀλλὰ *μανίαν ἱερὰν*, *μανίαν Πλατωνικὴν* ὁ τοιοῦτος πάντως οὐ πάσχει, οὐδὲ τοῖς ἄλλοις μανίαν Πλατωνικὴν οἷός τε γίγνεται ἐμβάλλειν, οἵαν ὁ θεῖος Πλάτων πᾶσι τοῖς γνησίως ἀνθρώποις ἐμβάλλει. καὶ ταύτῃ δὲ τῇ μανίᾳ τῇ ἱερᾷ κατεχόμενος τὸν Φαίδωνα ἐκαλλιτέχνησε θαυμασίως οὕτως, ὥστε ἐνδίκως ἂν πάντες αὐτὸν λογίζοιντο ὡς τὸ κάλλιστον καὶ ἄριστον ἁπάντων ὅσων φιλοπονημάτων πρὸς ἀπόδειξιν της ἀθανασίας τῆς ψυχῆς ἐν ἀνθρώποις ποτὲ ἐγράφη, εἰ καὶ τῶν ἀποδεικτικῶν λόγων μηδὲ εἰς ἕως τέλους κῦρος ἔχων μένει, καθ' ἥν γε σχέσιν, φαμὲν, αὐτοὺς ἐξέθετο. Τοιόνδε τι ἄρα τελευτῶντες λέγομεν ὅτι τὸ ἀΐδιον τοῦ Φαίδωνος κράτος ἀπεργάζεται μᾶλλον ἡ τῆς ὑψηλῆς καὶ ἱερᾶς ἐν ἡμῖν συναισθήσεως καὶ θρησκευτικότητος παγκάλη καὶ ἄμωμος ἔκφανσις ἢ ἡ διαλεκτικὴ ἐνάργεια, ᾗ ὁ θεῖος Πλάτων ἔοικε μᾶλλον πεπιστευκέναι.

§ κθ', Περὶ τῆς κατὰ Πλάτωνα ἠθικῆς.

Α'. Περὶ τῶν ἠθικῶν ἀγαθῶν.

Κυριώτατον ζήτημα τῆς παρὰ Πλάτωνι ἠθικῆς, ὥσπερ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις Σωκρατικοῖς, προβέβληται τὸ περὶ τοῦ ἀκροτάτου ἀγαθοῦ. Δῆλος δὲ καὶ ἐν τούτῳ ὁ Πλάτων ὅτι ἐκ πάντων τῶν Σωκράτει ὁμιληκότων αὐτὸς ὁλοσχερέστατα τὰς τοῦ διδασκάλου γνώμας συνῆκεν, ἅσπερ καὶ ἐπὶ τὸ συστηματικώτερον ἐτελεσιούργησεν. ἀνεβάλετο δὲ μάλιστα τὴν περὶ τοῦ πρακτικοῦ βίου δόξαν τοῦ Σωκράτους εἰς φῶς αὖθις προενεγκεῖν ὡς ἐκ διὰ μέτρου ἀντικειμένην πρός τε τῶν σοφιστῶν καὶ τῶν τηνικαῦτα ἰσχυόντων ἀνδρῶν τὴν ἀξίωσιν, ἥτις οὐδὲν ἄλλο οὐσιωδῶς ἦν ἢ τὸ ἑκάστῳ γε ἡδὺ εἶναι δοκοῦν. Εἰ μὲν οὖν ἡ ἐναντίωσις αὕτη παρὰ Σωκράτει οἷον αὐτόματός τις τὸ πρῶτον σύγκρουσις ἐγίγνετο πρὸς τὰς οὐσιωδῶς ἀλλήλων διαφερούσας θεωρίας περὶ τοῦ ἐσχάτου τέλους τῆς ἀνθρωπικῆς σπουδῆς τε καὶ πράξεως, παρὰ Πλάτωνι μέντοι διαμάχη ἐκ συνειδήσεως περὶ φιλοσοφικὰς ἀρχὰς καθειστήκει, ἣν παρ' ὅλον τὸν βίον ἀτενῶς φιλοσοφῶν γενναίως μάλα μαχόμενος διετέλεσεν. Ὑστέρῳ δὲ χρόνῳ καὶ ἄλλη τις πάλη πρὸς ἄνδρας Σωκρατικοὺς ἀνεφύη, τοὺς ἀπὸ τῆς Κυρηναϊκῆς κληθείσης αἱρέσεως, οἵπερ ἀνυποστόλως ἤδη ὡς κύριον ἀνθρώπῳ μέλημα τοῦ ἐνθάδε βίου οὐδὲν ἄλλο προέθεντο ἢ τὴν ἡδονὴν (ἐν Φιλήβῳ). ὁμολογητέον μέντοι ὡς οὐδ' αὐτὸς ὁ Πλάτων τὴν ἑαυτοῦ θεωρίαν περὶ τοῦ τελεωτάτου ἀγαθοῦ ὁλοσχερῶς τε καὶ κατὰ μέθοδον ἐπραγματεύθη. ἐν γὰρ τοῖς ἑαυτοῦ δια-

λόγοις ἐπὶ τὸ ἐριστικώτερον περὶ τἀγαθοῦ ὡς τὰ πολλὰ διαλέγεται, τὰ δ' ἑαυτῷ δοκοῦντα ὡς ἐν καθολικοῖς τισι τύποις ἑκάστοτε συγκεφαλαιοῦται. Ὁ τοίνυν τὴν Πλάτωνος μνήμην καὶ ἐν τῇ ἠθικῇ ἄληστον τοῖς ὕστερον κατέστησεν, οὐχ ἡ κατὰ λεπτὸν ἐπιστημονικὴ ἔκθεσίς ἐστιν, ἀλλὰ πολλῷ μᾶλλον ἡ διὰ πάντων τῶν διαλόγων φαινομένη ἰδανικὴ βαθύνοια.

Ἐν μὲν οὖν τῷ προτέρῳ χρόνῳ ἀγαπᾷ ὁ Πλάτων, εἰ ἀρνητικῶς τοσόνδε μόνον ἀποδείκνυσιν, ὡς οὐ τὴν ἡδονὴν οὐδὲ τὴν ἑκάστῳ γε οἴησιν τὴν ἐφ' ἡδονῇ πάνθ ὁμοίως συγχωροῦσαν ἀκρότατον ἀγαθὸν ἄξιόν ἐστι προςαγορεύειν, ἀλλὰ τὴν πασῶν τῶν ἡδονῶν καὶ πάντων τῶν ἄλλων παθῶν ἐγκράτειαν καὶ ὀλιγάρκειαν εὐδαίμονά τε ὡς ἀληθῶς τὸν ἄνθρωπον ἡγητέον ἀπεργάζεσθαι καὶ τῆς πολιτικῆς κοινωνίας μέλος χρησιμώτατον. Ἐν Γοργίᾳ δὲ μάλιστα, πρὸς τὰς τῶν Σοφιστῶν γνώμας καὶ ἄλλας παραπλησίας τοῦ τότε καιροῦ ῥοπὰς ἀντιμαχόμενος, τοιόνδε τι ἀποδεῖξαι προβέβληται, ὡς οὐ ταὐτόν ἐστι τὸ ἀγαθὸν τῇ ἡδονῇ. Χρόνῳ δ' ὕστερον ἐν Θεαιτήτῳ ἑνὶ τῶν μεγαρικῶν κληθέντων διαλόγων ὡς ἑαυτῷ δόξασαν ἀρχὴν ἠθικὴν τίθεται τήνδε, ὡς ἐφεξῆς ἀποφαινόμενος, ὅτι πᾶν τὸ αἰσθήσει περιληπτὸν ἀτελές ἐστι καὶ φαῦλον καὶ κακόν. Κάλλιστον οὖν ἀγώνισμα παντὶ νοῦν τε καὶ φρένας ἔχοντι ἀνδρὶ τοῦ σωματοειδοῦς, τούτου γε δὴ τοῦ κακοῦ, ἐπικρατεῖν κατὰ τὸ δυνατὸν τῷ παντὸς κακοῦ ἀμιάντῳ θείῳ ἀφομοιούμενον. Προςγίγνεσθαι δ' ἔφη τὴν ὁμοίωσιν ταύτην ἀνθρώπῳ οὐδεμιᾷ ἄλλῃ ὁδῷ ἢ φρονήσει τε καὶ δικαιοσύνῃ καὶ ὁσιότητι. παραινεῖ δὲ ταῦτα ἐν Θεαιτήτῳ ὡς ἐφεξῆς τὸν Σωκράτη λέγειν ποιῶν· « Ἀλλ'

οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν, ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. Φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Ἀλλὰ γὰρ, ὦ ἄριστε, οὐ πάνυ τι ῥᾴδιον πεῖσαι ὡς ἄρα οὐχ, ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸδ' οὔ, ἵνα δὴ μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι· ταῦτα μὲν γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ ἀληθὲς ὧδε λέγωμεν. Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν, ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. Περὶ τούτου καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ οὐδενία τε καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινὴ, ἡ δὲ ἄγνοια ἀμαθία καὶ κακία ἐναργής· αἱ δ' ἄλλαι δεινότητές τε δοκοῦσαι καὶ σοφίαι ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι φορτικαὶ, ἐν δὲ τέχναις βάναυσοι. Τῷ οὖν ἀδικοῦντι καὶ ἀνόσια λέγοντι ἢ πράττοντι μακρῷ ἄριστ' ἔχει τὸ μὴ ξυγχωρεῖν δεινῷ ὑπὸ πανουργίας εἶναι· ἀγάλλονται γὰρ τῷ ὀνείδει καὶ οἴονται ἀκούειν, ὅτι οὐ λῆροι εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες οἵους δεῖ ἐν πόλει τοὺς σωθησομένους. Λεκτέον οὖν τἀληθὲς, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται, ἀγνοοῦσι γὰρ ζημίαν ἀδικίας, ὃ δεῖ ἥκιστα ἀγνοεῖν. Οὐ γάρ ἐστιν ἣν δοκοῦσι, πληγαί τε καὶ θάνατοι, ὧν ἐνίοτε πάσχουσιν οὐδὲν ἀδικοῦντες, ἀλλὰ ἣν ἀδύνατον ἐκφυγεῖν. Θε-

όδωρος· τίνα δὴ λέγεις; Σω. Παραδειγμάτων, ὦ φίλε, ἐν τῷ ὄντι ἑστώτων, τοῦ μὲν θείου εὐδαιμονεστάτου, τοῦ δὲ ἀθέου ἀθλιωτάτου, οὐχ ὁρῶντες ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθάνουσι τῷ μὲν ὁμοιούμενοι διὰ τὰς ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι· οὗ δὴ τίνουσι δίκην, ζῶντες τὸν εἰκότα βίον ᾧ ὁμοιοῦνται. Ἐὰν δ' εἴπωμεν ὅτι, ἂν μὴ ἀπαλλαγῶσι τῆς δεινότητος, καὶ τελευτήσαντας αὐτοὺς ἐκεῖνος μὲν ὁ τῶν κακῶν καθαρὸς τόπος οὐ δέξεται, ἐνθάδε δὲ τὴν αὑτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσι, κακοὶ κακοῖς ξυνόντες, ταῦτα δὴ καὶ παντάπασιν ὡς δεινοὶ καὶ πανοῦργοι ἀνοήτων τινῶν ἀκούσονται. Θεό. Καὶ μάλα δή, ὦ Σώκρατες. Σω. Οἶδά τοι, ὦ ἑταῖρε· ἕν μέντοι τι αὐτοῖς ξυμβέβηκεν, ὅτι, ἂν ἰδίᾳ λόγον δέῃ δοῦναί τε καὶ δέξασθαι περὶ ὧν ψέγουσι, καὶ ἐθελήσωσιν ἀνδρικῶς πολὺν χρόνον ὑπομεῖναι καὶ μὴ ἀνάνδρως φεύγειν, τότε ἀτόπως, ὦ δαιμόνιε, τελευτῶντες οὐκ ἀρέσκουσιν αὐτοὶ αὑτοῖς περὶ ὧν λέγουσι, καὶ ἡ ῥητορικὴ ἐκείνη πως ἀπομαραίνεται, ὥστε παίδων μηδὲν δοκεῖν διαφέρειν. Περὶ μὲν οὖν τούτων, ἐπειδὴ καὶ πάρεργα τυγχάνει λεγόμενα, ἀποστῶμεν, εἰ δὲ μή, πλείω ἀεὶ ἐπιρρέοντα καταχώσει ἡμῶν τὸν ἐξ ἀρχῆς λόγον· ἐπὶ δὲ τὰ ἔμπροσθεν ἴωμεν». (α). Ἔτι δ' εὐκρινέστερον περὶ τῶν τοιούτων διαλαμβάνει ἐν Φαίδωνι, ἔνθα τὸν λόγον εἰς τὸ δόγμα ἀναφέρει τὸ περὶ ἀρχῆς θειοτέρας τῶν ψυχῶν. Ἄριστον γάρ φησιν ἀνθρώπῳ τέλος εἶναι

(α) Ἐν Θεαιτήτῳ σ. ρος' κεφξ'. — πρβλ. πολιτ. Ι', σ. χιγ', Α. « ὁ δίκαιος ἀνὴρ — ἐπιτηδεύει ἀρετήν, εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ.

τὸ ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο μελετᾷν ἢ ὅπως ἂν ῥᾷστα ἔχοι τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ παντὸς τοῦ σωματοειδοῦς λύειν τε καὶ καθαίρειν, ἀπαλλάσσοντα αὐτὴν ἀπὸ πασῶν τῶν αἰσθήσεων καὶ δοξῶν καὶ ἐπιθυμιῶν, πάντοθεν δ' εἰς ἑαυτὸν συναγειρόμενον, ἐν ἠρεμαίῳ καθίστασθαι ἐπιλογισμῷ τοῦ ἀϊδίου καὶ ὡς ἀληθῶς γε ὄντος, ἐν ᾧ οὐδεμία ἐςὶν αὐτῷ κοινωνία τοῦ ἀτελοῦς τε καὶ φθαρτοῦ. ταύτην δὲ τὴν τῆς ψυχῆς κάθαρσιν ἀπὸ τοῦ παραλυποῦντός τε καὶ θροοῦντος ὁρατοῦ μόνην εἶναι ἔφη ὁδὸν ἄγουσαν ἀπὸ τοῦ ἐνθάδε πτώματος ἐπὶ τὴν ἐν αἰγλήεντι οὐρανῷ τῶν ἀπλανῶν ἀστέρων πρώτην καὶ μακαριστοτάτην πατρίδα, ἢ ἀφικομένας τὰς τῶν φιλοσόφων ἐπτερωμένας ψυχὰς, ἀναλαμβάνειν ἔφη τὸ ἐξ ἀρχῆς ἁγνόν τε καὶ θεῖον εἶδος (6). Ὥςπερ οὖν ἐν θεωρίᾳ μόνη ἡ ἰδεώδης οὐσία ἀλήθειαν ἔχει, οὕτω καὶ ἐν πράξει μόνον τὸ ἰδεώδει προςομιλεῖν καὶ τοῦτο ἐν παντὶ καὶ διὰ παντὸς μεταδιώκειν ἄξιόν φησιν ἔργον εἶναι ὡς ἀληθῶς φιλοσοφοῦντος.

Ταύτῃ δὲ τῇ παραινέσει ὅτι ἀπαλλακτέον ἀνθρώπῳ ὡς δυνατὸν μάλιστά ἐστιν ἀπὸ τοῦ σωματοειδοῦς, τοῦτο μόνον βούλεται ἡμῖν δηλῶσαι ὁ Πλάτων ὅτι προςήκει ἡμῖν ταυτηνὶ τὴν ἀπαλλαγὴν τέλος βέλτιστον καὶ ἔσχατον τῆς ἐνθάδε τῶν ἀνθρώπων σπουδῆς τε καὶ πραγματείας ἡγεῖσθαι. Οὐ μέντοι τούτου γε ἕνεκα οὕτω τοῦ εἰωθότος βίου ὀλιγώρως ἔχει ὥστε μηδόλως ἂν ἐγχωρεῖν φάναι ἠθικούς τινας ὁρισμοὺς ἐξ αὐτοῦ πορίζεσθαι. Περὶ γὰρ τούτων πραγματεύεται ἐν Φιλήβῳ,

(6) Ἴδε Φαίδωνα, σ. ξζ', Γ, Δ. — ξθ, Γ. — οθ', Δ, Ε — πδ', Β. — ριδ', Γ.

ἐξ οὗ καὶ συνάγεται ὅτι πέντε τινὰ κτήματα ἀγαθὰ λογιστέα ἐστὶν ἐν τῷ βίῳ, μόρια ὄντα τοῦ κρατίστου ἀγαθοῦ (σ. ξϛ΄. κεφξ.)· πρῶτον μέν πη περὶ μ έ τ ρ ο ν καὶ τὸ μέτριον καὶ καίριον καὶ πάνθ' ὁπόσα τοιαῦτα χρὴ νομίζειν τὴν ἀίδιον ᾑρῆσθαι φύσιν, ὧν ἄνευ οὐδὲν, ὡς τὸ ἐπίπαν, τῶν ἐν τῷ κόσμῳ καὶ δὴ καὶ οὐδ' ὁ ἀνθρωπικὸς βίος οἷός τ' ἂν εἴη συντηρεῖσθαι (σ. ξδ΄, ε). Δεύτερον μὴν, περὶ τὸ ξύμμετρον καὶ καλὸν καὶ τὸ τέλεον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενεᾶς αὖ ταύτης ἐστίν (πρβλ. σ. ξ, ξά.). τρίτον δὲ νοῦς καὶ φρόνησις, ἱκανὰ ὄντα μέτρον τε καὶ συμμετρίαν ἔν τε τῷ νοεῖν καὶ πράττειν τηρεῖν (πρβλ. σ. ξέ, Δ, Ε.). τέταρτον δὲ, ἐπιστῆμαί τε καὶ τέχναι καὶ δόξαι ὀρθαὶ αἱ ἐκ τοῦ εἰωθότος βίου προερχόμεναι. καὶ πέμπτον ἡδοναὶ αἱ ἄλυποι, καθαραὶ τῆς ψυχῆς αὐτῆς ἐπιστῆμαι, ταῖς δὲ αἰσθήσεσιν ἑπόμεναι, αἱ σύμμετροι ἄρα καὶ καλαὶ ἐπιθυμιῶν τε καὶ ἀφροσύνης ὅλως ἀμίαντοι, τῇ δὲ θέᾳ καὶ γνώσει τῶν καλῶν καὶ ἀληθῶν παρομαρτοῦσαι καὶ ἑνὶ λόγῳ ὅσαι ὑγιείᾳ τε καὶ ἐγκρατείᾳ καὶ πάσῃ ἄλλῃ ἀρετῇ ἐντελῶς συναρμόζονται (σ. νά — νγ΄. ξγ΄.). — Ἐκ τῶν ἄρτι οὖν λεχθέντων διστόν που εἶδος ἔχοι τις ἂν διαγνῶναι τῆς κατὰ Πλάτωνα ἠθικῆς ὁμιλίας, τὸ μὲν, ὡς ἔπος εἰπεῖν, ἀ σ κ η τ ι κ ὸ ν, ᾧ γε μόνῳ ὁ εὖ φιλοσοφῶν ἱκανὸς ἂν γίγνοιτο τοῦ κυρίου καὶ ἐσχάτου τέλους τοῦ ἐνθάδε βίου ἐπιτυγχάνειν, πάσας μὲν τὰς αἰσθήσεις καὶ τὸν ὁρατὸν κόσμον φεύγειν, τὸν δὲ ἑαυτοῦ νοῦν ἑκάστοτε τοῦ σώματος ἀπαλλάσσειν, ἐπὶ φιλοσοφικαῖς θεωρίαις ἀεὶ ἀγαλλόμενος-Τὸ δὲ τοῦ καλοῦ αἰσθητικὸν, ᾧ γε προσχρώμενος τῶν ἐν τῇ φύσει φαινομένων οὐκ ἀεὶ ὡς σκοτοειδῶν τινων καὶ συμμιγῶν φασμάτων ἀν-

τιλαμβάνεται, ἀλλὰ καὶ αὐτῶν τῶν ἰδεῶν οἷον ἐκφάνσεις οὔσας αὐτὰ ἰνδάλλεται, γεώδη ἀπεικάσματα τοῦ γνησίως καλοῦ τοῖς αἰσθητοῖς ἐνθεωρῶν καὶ δὴ καὶ τὸ σωματικὸν κάλλος ἐνθεαστικοῦ τινος ἔρωτος καὶ ἁγνοῦ ἄξιον κρίνει. Ταύτην δὲ τὴν θεωρίαν διεσάφησε μάλιστα ὁ Πλάτων ἐν Φαίδρῳ, εἰ καὶ τὴν ἀπὸ τῶν αἰσθήσει καλῶν ἐπὶ τὸ νοητὸν καὶ οὐράνιον κάλλος τῆς ψυχῆς ἀναπτέρωσιν καὶ ἐν τῷ συμποσίῳ ὡς θειοτέραν τε καὶ ἀνδρὶ ὀρθῶς φιλοσοφοῦντι πρεπωδεστέραν σπουδὴν ἀποφαίνεται, ἔνθα Σωκράτη εἰςάγει ὡς Διοτίμας γυναικὸς Μαντινικῆς λόγον διεξερχόμενον, ἐν ᾧ ἄλλα τε πολλὰ καὶ τὴν κατὰ σμικρὸν τῆς ψυχῆς ἄνοδον εἰς τὴν ἄφατον αὐτοῦ τοῦ καλοῦ ἰδέαν ὡς ἐφεξῆς ἀφηγεῖται.

«Ταῦτα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως, ὦ Σώκρατες, κἂν σὺ μυηθείης, τὰ δὲ τέλεα καὶ ἐποπτικά, ὧν ἕνεκα καὶ ταῦτα ἔστιν, ἐάν τις ὀρθῶς μετίῃ, οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης. ἐρῶ μὲν οὖν, ἔφη, ἐγὼ καὶ προθυμίας οὐδὲν ἀπολείψω· πειρῶ δὲ ἕπεσθαι, ἂν οἷός τε ᾖς. Δεῖ γάρ, ἔφη, τὸν ὀρθῶς ἰόντα ἐπὶ τοῦτο τὸ πρᾶγμα ἄρχεσθαι μὲν νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα, καὶ πρῶτον μέν, ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος, ἑνὸς αὐτὸν σώματος ἐρᾷν καὶ ἐνταῦθα γεννᾷν λόγους καλούς, ἔπειτα δὲ αὐτὸν κατανοῆσαι ὅτι τὸ κάλλος τὸ ἐπὶ ὁτῳοῦν σώματι τῷ ἐπὶ ἑτέρῳ σώματι ἀδελφόν ἐστι καὶ εἰ δεῖ διώκειν τὸ ἐπ' εἴδει καλὸν πολλὴ ἄνοια μὴ οὐχ ἕν τε καὶ ταὐτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος· τοῦτο δ' ἐννοήσαντα καταστῆναι πάντων τῶν καλῶν σωμάτων ἐραστήν, ἑνὸς δὲ τὸ σφόδρα τοῦτο χαλάσαι καταφρονήσαντα καὶ σμικρὸν ἡγησάμενον· μετὰ δὲ ταῦτα τὸ ἐν ταῖς ψυχαῖς κάλλος τιμιώτερον ἡγήσα-

σθαι τοῦ ἐν τῷ σώματι, ὥστε καὶ ἂν ἐπιεικὴς ὢν τὴν ψυχήν τις καὶ ἐὰν σμικρὸν ἄνθος ἔχῃ, ἐξαρκεῖν αὐτῷ καὶ ἐρᾷν καὶ κήδεσθαι καὶ τίκτειν λόγους τοιούτους [καὶ ζητεῖν], οἵτινες ποιήσουσι βελτίους τοὺς νέους, ἵνα ἀναγκασθῇ αὖ θεάσασθαι τὸ ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς νόμοις καλὸν καὶ τοῦτ' ἰδεῖν ὅτι πᾶν αὐτὸ αὑτῷ ξυγγενές ἐστι, ἵνα τὸ περὶ τὸ σῶμα καλὸν σμικρόν τι ἡγήσηται εἶναι. μετὰ δὲ τὰ ἐπιτηδεύματα ἐπὶ τὰς ἐπιστήμας ἀγαγεῖν, ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος καὶ βλέπων πρὸς πολὺ ἤδη τὸ καλὸν μηκέτι τὸ παρ' ἑνί, ὥςπερ οἰκέτης ἀγαπῶν παιδαρίου κάλλος ἢ ἀνθρώπου τινὸς ἢ ἐπιτηδεύματος ἑνός, δουλεύων φαῦλος ᾖ καὶ σμικρολόγος, ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμμένος τοῦ καλοῦ καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγαλοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ, ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε. Πειρῶ δέ μοι, ἔφη, τὸν νοῦν προςέχειν ὡς οἷόν τε μάλιστα. ὃς γὰρ ἂν μέχρι ἐνταῦθα πρὸς τὰ ἐρωτικὰ παιδαγωγηθῇ, θεώμενος ἐφεξῆς τε καὶ ὀρθῶς τὰ καλά, πρὸς τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν ἐξαίφνης κατόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν, τοῦτο ἐκεῖνο, ὦ Σώκρατες, οὗ δὴ ἕνεκεν καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν, πρῶτον μὲν ἀεὶ ὂν καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενον οὔτε φθῖνον, ἔπειτα οὐ τῇ μὲν καλόν, τῇ δ' αἰσχρόν, οὐδὲ τοτὲ μέν, τοτὲ δ' οὔ, οὐδὲ πρὸς μὲν τὸ καλόν, πρὸς δὲ τὸ αἰσχρόν, οὐδ' ἔνθα μὲν καλόν, ἔνθα δὲ αἰσχρόν, ὡς τισὶ μὲν ὂν καλόν, τισὶ δὲ αἰσχρόν. οὐδ' αὖ φαντασθήσεται αὐτὸ τὸ καλὸν οἷον πρόσωπόν τι οὐδὲ χεῖρες οὐδὲ ἄλ-

λο οὐδὲν ὤν σῶμα μετέχει, οὐδέ τις λόγος οὐδέ τις ἐπιστήμη οὐδέ που ὂν ἐν ἑτέρῳ τινὶ, οἷον ἐν ζῴῳ ἢ ἐν γῇ ἢ ἐν οὐρανῷ ἢ ἔν τῳ ἄλλῳ, ἀλλὰ αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν, τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον, γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων, μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδέν. ὅταν δὲ δή τις ἀπὸ τῶνδε διὰ τὸ ὀρθῶς παιδεραστεῖν ἐπανιὼν ἐκεῖνο τὸ καλὸν ἄρχηται καθορᾷν, σχεδὸν ἄν τι ἅπτοιτο τοῦ τέλους. τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι, ὥςπερ ἐπαναβαθμοῖς χρώμενον, ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυεῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν καλῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα, ἕς τ' ἂν ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτήσῃ, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτὸ τελευτῶν ὅ ἐστι καλόν. Ἐνταῦθα τοῦ βίου, ὦ φίλε Σώκρατες, ἔφη ἡ Μαντινικὴ ξένη, εἴπερ που ἄλλοθι, βιωτὸν ἀνθρώπῳ, θεωμένῳ αὐτὸ τὸ καλόν· ὃ ἐάν ποτε ἴδῃς, οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα καὶ τοὺς καλοὺς παῖδάς τε καὶ νεανίσκους δόξει σοι εἶναι, οὓς νῦν ὁρῶν ἐκπέπληξαι καὶ ἕτοιμος εἶ καὶ σὺ καὶ ἄλλοι πολλοὶ, ὁρῶντες τὰ παιδικὰ καὶ ξυνόντες ἀεὶ αὐτοῖς, εἴπως οἷόν τ' ἦν, μήτε ἐσθίειν μήτε πίνειν, ἀλλὰ θεᾶσθαι μόνον καὶ ξυνεῖναι. Τί δῆτα, ἔφη, οἰόμεθα, εἴ τῳ γένοιτο αὐτὸ τὸ καλὸν ἰδεῖν εἰλικρινὲς, καθαρὸν, ἄμικτον, ἀλλὰ μὴ ἀνάπλεων σαρκῶν τε ἀνθρωπίνων καὶ χρω-

μάτων καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς, ἀλλ' αὐτὸ τὸ θεῖον καλὸν δύναιτο μονοειδὲς κατιδεῖν; ἆρ' οἴει, ἔφη, φαῦλον βίον γίγνεσθαι ἐκεῖσε βλέποντος ἀνθρώπου κἀκεῖνο, ὃ δεῖ, θεωμένου καὶ ξυνόντος αὐτῷ; ἢ οὐκ ἐνθυμεῖ, ἔφη, ὅτι ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται, ὁρῶντι ᾧ ὁρατὸν τὸ καλόν, τίκτειν οὐκ εἴδωλα ἀρετῆς, ἅτε οὐκ εἰδώλου ἐφαπτομένῳ, ἀλλ' ἀληθῆ, ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ, τεκόντι δὲ ἀρετὴν ἀληθῆ καὶ θρεψαμένῳ ὑπάρχει θεοφιλεῖ γενέσθαι καί, εἴπερ τῳ ἄλλῳ ἀνθρώπων, ἀθανάτῳ κἀκείνῳ;

Ταῦτα δή, ὦ Φαῖδρέ τε καὶ οἱ ἄλλοι, ἔφη μὲν Διοτίμα, πέπεισμαι δ' ἐγώ. πεπεισμένος δὲ πειρῶμαι καὶ τοὺς ἄλλους πείθειν, ὅτι τούτου τοῦ κτήματος τῇ ἀνθρωπείᾳ φύσει ξυνεργὸν ἀμείνω ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι. διὸ δὴ ἔγωγέ φημι χρῆναι πάντα ἄνδρα τὸν Ἔρωτα τιμᾶν, καὶ αὐτὸς τιμῶ τὰ ἐρωτικὰ καὶ διαφερόντως ἀσκῶ καὶ τοῖς ἄλλοις παρακελεύομαι, καὶ νῦν τε καὶ ἀεὶ ἐγκωμιάζω τὴν δύναμιν καὶ ἀνδρείαν τοῦ Ἔρωτος, καθ' ὅσον οἷός τ' εἰμί».

Ἔτι δὲ ἐν Φιλήβῳ ὁ Πλάτων τοιόνδε μέν τι προτίθεται κυρίως διασαφηνίσαι ὡς οὐκ ἂν εὐλόγως δόξειεν ἡ ἡδονὴ μακαριστώτατον καὶ μόνον ἀγαθὸν εἶναι, ἐπεὶ ἰσχυροτέρα τε καὶ ἀσθενεστέρα ὡς ἔστιν, ἤτοι τὸ μᾶλλον καὶ ἧσσον, ὡς αἰσθητή, ἐπ' ἄπειρον προςδεχομένη, τῷ ἀπείρῳ προςιδιάζει παντὸς μέτρου τε καὶ ἁρμονίας ἀμοιροῦντι, διηνεκοῦς τε μεταβολῆς καὶ γενέσεως μετείληχεν, ἀεὶ εἰς τὸ ἑαυτῇ ἐναντίον, τὴν λύπην, μεταπίπτουσα. ἀγαθὸν γάρ ἐστιν, ὃ ἂν ἐν ἑαυτῷ μέτρον ἐμπεριέχῃ καὶ συμμετρίαν, ἀεὶ ταὐτὸν ὄν, οἷον νοῦς τε καὶ φρόνησις καὶ ἡ τούτοις συγγενὴς ἡδονὴ ἡ κατὰ

διάνοιαν οίαςοῦν ἀλλοιώσεως ἀλλοτρία οὖσα. οὐ μέντοι καὶ κατὰ πάντα τοῖς τε Μεγαρικοῖς καὶ Κυνικοῖς ὁμολογεῖν ἔοικεν, ἰσχυριζομένοις ὡς νοῦς τε καὶ φρόνησις αὐτάρκεις εἰς εὐδαιμονίαν ἀνθρώπου εἰσίν. Ἐπεὶ οὐχ αἱρετὸς κατὰ Πλάτωνα ὁ βίος, (σ. κά.) εἴ τις ἂν ἡμῶν δέξαιτο ζῆν φρόνησιν μὲν καὶ νοῦν καὶ ἐπιστήμην καὶ μνήμην πᾶσαν πάντων κεκτημένος, ἡδονῆς δὲ μετέχων μήτε μέγα μήτε σμικρὸν, μηδ' αὖ λύπης, ἀλλὰ τὸ παράπαν ἀπαθὴς πάντων τῶν τοιούτων μένων. αἱρετὸς δὲ ὁ ξυναμφότερος ἐξ ἀμφοῖν συμμιχθεὶς κοινὸς γενόμενος, ἐξ ἡδονῆς δῆλον ὅτι καὶ νοῦ καὶ φρονήσεως, καὶ «πᾶς δήπου τοῦτόν γε αἱρήσεται πρότερον ἢ ἐκείνων ὁποτερονοῦν· ὅτι γε τρεῖς μὲν βίοι προὐτέθησαν, τοῖν δυεῖν δ' οὐδέτερος ἱκανὸς οὐδὲ αἱρετὸς οὔτ' ἀνθρώπων οὔτε ζώων οὐδενί· οὐδέτερος γὰρ αὐτοῖν ἔχει τἀγαθόν· ἦν γὰρ ἂν ἱκανὸς καὶ τέλεος καὶ πᾶσι φυτοῖς καὶ ζῴοις αἱρετὸς, οἷςπερ δυνατὸν ἦν οὕτως ἀεὶ διὰ βίου ζῆν. εἰδέ τις ἄλλ' ᾑρεῖθ' ἡμῶν, παρὰ φύσιν ἂν τὴν τοῦ ἀληθῶς αἱρετοῦ ἐλάμβανεν ἄκων ἐξ ἀγνοίας ἤ τινος ἀνάγκης οὐκ εὐδαίμονος». Ὥςπερ οὖν ἐν Φιλήβῳ οὕτω καὶ ἐν ἐννάτῳ τῆς πολιτείας (σ. φπγ'. — φπζ'.) φρόνησίν τέ φησι καὶ ἡδονὴν ἄμφω ἅμα συντελεστικὰ εἰς εὐδαίμονα ἀνθρώπων βίον εἶναι. παραινεῖ δὲ ἀεὶ τῶν ἡδονῶν τὰς καλλίονας τῶν αἰσχιόνων διαστέλλοντα, προαιρεῖσθαι μάλιστα τὴν ἥπερ μόριόν ἐστι τοῦ τελειοτάτου ἀγαθοῦ ἤτοι τὴν καθαρὰν καὶ ἀβλαβῆ καὶ ἀπαθῆ ἡδονὴν, τὴν ἔκ τε τῆς θεωρίας τοῦ ἀληθοῦς καὶ καλοῦ καὶ τῶν καλῶν καὶ σεμνῶν ἔργων ἀναθάλλουσαν χαρὰν καὶ εὐφροσύνην.

Β'. περὶ ἀρετῆς

Περὶ δὲ τῆς ἀρετῆς πεπραγμάτευται ὁ Πλάτων ἐν τοῖς προτέροις μάλιστα τῶν ἑαυτοῦ διαλόγων, ἐν οἷς ἔτι παντάπασι τῆς Σωκράτους ἔχεται δόξης, πᾶσαν πρᾶξιν ἠθικὴν εἰς γνῶσιν ἢ ἄγνοιαν τοῦ ἀληθοῦς ἀναφέρων. ὅτι μὲν οὖν ἡ ἀρετὴ γνῶσίς τις ὑπάρχει καὶ διδακτόν, ἀποδείκνυσι μάλιστα ἔν τε Πρωταγόρᾳ καὶ Μένωνι, ἔνθα καὶ τεσσάρων ἢ πέντε τῶν κυρίων λεγομένων ἀρετῶν μνείαν ποιεῖται (γ'.), σοφίας δηλονότι καὶ δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης ἔτι δὲ καὶ ὁσιότητος, ὧν τὸν ἀριθμὸν ἐκ τῶν πρώην φιλοσοφησάντων ἔοικε παρειληφέναι· αὐτὸς γὰρ ὁ Πλάτων ὡς ἐν παρέργου μέρει τὴν διαίρεσιν ἐκείνην ποιεῖται, τοῦτο πρὸ πάντων βουλόμενος ἐναργὲς καταστῆσαι, ὡς φύσει πᾶσαι αἱ ἀρεταὶ ἀλλήλαις συγγενεῖς εἰσιν, εἰς μίαν ἅπασαι συναρμοζόμεναι, ἑκάστη δ' αὐτῶν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ μετ' ἐπιστήμης ἀσφαλοῦς λέγειν τε ἀεὶ καὶ πράσσειν τὰ ἐν τῷ βίῳ ἰδίᾳ ὑπαντῶντα. ὑστέρῳ μέντοι χρόνῳ ἀνατίθεται τὴν δόξαν ταύτην· καὶ γὰρ ἐν τῇ πολιτείᾳ πολλὰς ἀποδίδωσιν ἀρετάς, πειρώμενος ἅμα καὶ ἐπιστημονικῶς τὸν ἀριθμὸν αὐτῶν αἰτιολογῆσαι (Δ, σ. υμά, κεφξ.). ἑκάστῳ γὰρ τῶν τριῶν τῆς ψυχῆς μορίων, ὡς αὐτὸς τὰς ψυχικὰς δυνάμεις ὑπολαμβάνει, οἰκείας ἀρετὰς προςνέμει. λογίζεται δὲ αὐτὰς ὡς κατὰ φύσιν ἐνεργείας τε καὶ σχέσεις τῶν τῆς ψυχῆς δυνάμεων πρὸς ἀλλήλας καὶ διαλεκτικῶς χωρῶν τὴν τῶν

(γ) Πέμπτην δὲ προςτίθησι τὴν ὁσιότητα ἐν Πρωταγόρᾳ (σ. τλ', β·) ὥςπερ καὶ ἐν Γοργίᾳ (σ. φξ'.) ἔνθα ὅμως τὴν σοφίαν ἀποσιωπᾷ.

ἐλλογίμων ἀρετῶν τρετρακτὺν τῶν πάλαι σοφῶν αὖθις πορίζεται εἰ καὶ οὐκ ὀλίγον ἐκείνων παραλλάσσει, τὴν δικαιοσύνην ὁριζόμενος. Σοφίαν μὲν οὖν τὴν τοῦ ὑπερτάτου τῶν τῆς ψυχῆς μορίων ἀρετὴν ἀποκαλεῖ ἤτοι τὴν τοῦ Λογιστικοῦ, ὁπόταν τοῦτο, ᾗ γε πέφυκεν, ἀμφοῖν τοῖν ἑτέροιν ἄρχῃ πειθομένοιν. ἀρετὴν δὲ τοῦ θυμοειδοῦς τὴν ἀνδρείαν λέγει, καθ' ἣν τῷ λογιστικῷ, ὡς εὐμενεῖ δεσπότῃ προθύμως ὑπεῖκον, ἃ ἂν ἐκεῖνο ἑκάστοτε τολμᾷν κελεύῃ ἢ μὴ τολμᾷν, ὑποδύεσθαι ἢ φεύγειν, φοβερὰ ἡγεῖσθαι ἢ μὴ φοβερὰ καὶ ἑνί γε λόγῳ πᾶν ὅ,τι ἂν τῶν τοιούτων κελεύῃ εὐθέως μάλα ἐπιτελεῖ, παρ' οὐδὲν τιθέμενον ἡδονὰς καὶ λύπας καὶ κινδύνους καὶ ὅ,τι ἂν ἄλλο ἐν τοῖς τοιούτοις ἐπισυμβαίνειν φιλῇ. Σωφροσύνην δὲ λέγει τὴν οἵαν τε οὖσαν ἀρετὴν τὰ τῆς ψυχῆς ὑποδεέστερα μόρια καὶ μάλιστα τὸ ἐπιθυμητικὸν τῷ λογιστικῷ πειθόμενα παρέχειν. τετάρτην δὲ τέλος τὴν οἵαν ποιεῖν ὥσθ' ἕκαστον τῶν τῆς ψυχῆς μορίων τὰ ἑαυτοῦ πράσσειν, ἄρχειν μὲν καὶ κελεύειν τὸ λογιστικὸν, τὸ δὲ θυμοειδὲς ἐπικουρεῖν καὶ τὸ ἄλογον ὡς ἂν ῥᾷστα ἐκείνῳ ὑπακούειν ἢ, ὡς ἐν ὅρῳ ἅμα πάντα λαβεῖν, τὴν οἵαν τε σώζειν ἀρετὴν τὸ κατὰ φύσιν σύμμετρον ἐπὶ παντὸς τοῦ ἐσωτερικοῦ βίου, δικαιοσύνην ὁ Πλάτων προσείρηκεν, ἥ γε δὴ τῶν τριῶν ἄλλων ἤδη δεδομένων, καὶ συνυπακούεται, ὥστε μηδ' ἂν ἔχοι τις εἰκότως ἰδίαν ἀρετὴν αὐτὴν ἀποκαλέσαι, ἀλλ' οἵαν ἐνάρετόν τινα φύσιν τε καὶ ἕξιν ἢ, ὡς αὐτός φησιν, ὑγίειάν τε καὶ κάλλος καὶ εὐεξίαν τῆς ὅλης ψυχῆς.

Πάσας μέντοι ταύτας τὰς ἀρετὰς, μάλιστα δὲ τὴν δικαιοσύνην μηδόλως ἂν δύνασθαι ἔφη ἐν τῷ ἰδίᾳ βίῳ

τελέαν τε ἐπίδοσιν λαβεῖν καὶ ἔργῳ ἀποδειχθῆναι, εἰμή γε μόνον ἐν ἠθικῇ ἀνθρώπων κοινωνίᾳ ἤτοι ἐν πόλει. Ἀμέλει τοι κατὰ Πλάτωνα πρῶτον μὲν ἡ ἀπὸ τῶν αἰσθήσεων ἐγγιγνομένη τῷ ἀνθρώπῳ πτόησις οὕτω δὴ ἰσχυρὰ πέφυκεν εἶναι ὥστε ἑαυτῷ γε μόνῳ συμβούλῳ χρωμένῳ σχολῇ ἂν τῆς ἀρετῆς αὐτῆς ἐξικέσθαι παρείη. δέον ἄρα τὸ τῆς πόλεως κρατοῦν τῆς τε τροφῆς καὶ παιδείας τῶν ἰδίᾳ πολιτῶν κήδεσθαί τε καὶ ἐφορεύειν, νόμους ἀεὶ τιθέντας τοὺς ὡς μάλιστα δυναμένους τά τε φρονήματα καὶ τὰ χρηστὰ ἤθη διασώζειν τε ἅμα καὶ αὐξάνειν. Δεύτερον δὲ τότε μόνον οἷοί τ' ἂν γίγνοιντο οἱ ἰδίᾳ ἄνθρωποι, τῇ οἰκείᾳ ἕκαστοι φύσει ἑπόμενοι, ὡς ἀληθῶς κατ' ἀρετὴν δρᾶν, ἐπειδὰν ἐν κοινωνίᾳ εὖ ἡρμοσμένῃ συγκλεισθῶσιν, ἐν ᾗ γε ἤδη τά τε ἐπιτηδεύματα κατὰ φύσιν ἑκάστοις διανενέμηται καὶ τὸ ἐν ἀσφαλεῖ καὶ ἐπ' ἀδείας τὰ προσήκοντα πράσσειν ἱκανῶς ἀπὸ τῶν κοινῶν παρεσκεύασται. τελευταῖον δὲ οὐδ' ὁπωστιοῦν τῷ Πλάτωνι ἀρκούντως ἔχειν δοκεῖ, εἰ ἡ ἀρετὴ παρ' ἑκάστῳ τῶν ἰδίᾳ πολιτῶν οἰκεῖ, ἀλλὰ πᾶσι τοῖς πολίταις ὁμοίως μετεῖναι δεῖν ἔφη τούτου τοῦ πράγματος, ὡς κοινοῦ τινος ὄντος καὶ κατ' ἀνθυπόστασιν ἀγαθοῦ· καὶ κατὰ τοσοῦτον μᾶλλον καθ' ὅσον τῶν λυσιτελεστάτων ἐστὶν ἡ ἀρετὴ πρὸς οἱανδήποτ' ἀνθρώπων εὐημερίαν. μηδαμῶς ἄρα ἱκανὸν ἡγητέον εἶναι ἔφη τούς γε ἰδίᾳ πολίτας τούτου τοῦ τιμιωτάτου κτήματος ἐπιμελεῖσθαι καὶ ὡς ἂν ἕκαστος τροφῆς τε καὶ ἕξεως ἔχοι, οὕτως αὐτοῦ μεταλαγχάνειν, ἀλλ' εἴπερ τι καὶ ἄλλο μέλημα κράτιστον καὶ ἐπιτήδευμα πόλεως ὅλης δέον εἶναι ἔφη τοῦτο, ὅπερ ὅλον τὸν πολιτικὸν βίον διέπειν τε προσήκει καὶ ἀποπληροῦν. Τὸ γὰρ πρὸς ἀρετὴν

ἕκαστον ἰδίᾳ τὰ ἐν τῷ βίῳ πάντα δρᾷν ἐθέλειν ἀτελές που εἶναί φησιν, οἷον δὴ ἀκροσφαλές τε καὶ εὐμετάβολον ὄν. οὐθὲν ἄρα οὕτως ἀναγκαῖον πέφανται ὅσον τὸ νόμοις ἠθικοῖς τὸν πολιτικὸν βίον πάντα κοσμῆσαι, καὶ οὕτω τἀγαθὸν τῶν κατὰ μέρος πλημμελειῶν ἀπαλλαγὲν, ὡς ἔνι μάλιστ' ἐπὶ πλεῖστον καὶ ἐν τῷ μεγίστῳ ἤτοι ἐν πάσῃ τῇ πολιτείᾳ ἐπιτελὲς ποιῆσαι καὶ ὡς μακρότατον χρόνον τηρῆσαι.

Γ'. Περὶ πολιτείας.

Α'. Ὁρισμὸς αὐτῆς.

Πᾶσαν ἀνθρώπων κοινωνίαν δέον εἶναι ἔφη, ἵνα πόλεως ἐπωνυμίαν καλλίστης τε καὶ ἀρίστης πρεπόντως καλῆται, μὴ μόνον τὰ πρὸς ἐπιμιξίαν τε καὶ σωτηρίαν τείνοντα τῶν πολιτῶν ἐπιζητεῖν, ἀλλὰ καὶ πολλῷ πλέον γε τούτου τὴν παραμόνιμον τοῦ ἀγαθοῦ ἐκτέλεσιν ἐν παντὶ τῷ βίῳ τῶν τε ἰδίᾳ καὶ κοινῇ ἁπάντων τῶν πολιτῶν. τὴν ἐπὶ τὸ βέλτιον ἄρα τροφήν τε καὶ παίδευσιν τοῦ ἀνθρώπου ὡς ζῴου πολιτικοῦ γέρας εἶναι κάλλιστον πόλεως ὀρθῶς ἐχούσης ἀπεφήνατο. Οὕτως οὖν τῶν ἀνθρώπων παιδευομένων καὶ τἀγαθὰ ἀκωλύτως ἐν ἀλλήλοις ποιεῖν προαγομένων, πᾶσι κοινὴν καὶ ἐν μεγάλῳ γίγνεσθαι ἔφη τὴν τοῦ ἀγαθοῦ ἰδέαν ἐν τῇ πόλει καὶ διὰ τῆς πόλεως καὶ καθ' ὅμοιόν τινα λόγον τῆς τοῦ ἰδιώτου ἤτοι τῆς ἐν σμικρῷ ἀρετῆς καταφανεστέραν, ὥςπερ ἂν « εἰ προσέταξέ τις γράμματα σμικρὰ πόῤῥωθεν ἀναγνῶναι· μὴ πάνυ ὀξὺ βλέπουσιν, ἔπειτά τις ἐνενόησεν ὅτι τὰ αὐτὰ γράμματα ἔστι που καὶ ἄλλοθι μείζω τε καὶ ἐν

μείζονι· ἕρμαιον ἂν ἐφάνη, ἐκεῖνα πρῶτον ἀναγνόντας, οὕτως ἐπισκοπεῖν τὰ ἐλάττω, εἰ τὰ αὐτὰ ὄντα τυγχάνει. » (έ.) ταύτην οὖν τὴν τοῦ ἀγαθοῦ ἰδέαν, ἣν ἐνταῦθα δικαιοσύνην ἀποκαλεῖ, πάσης τῆς πόλεως ἄρχουσαν, μόνην ἱκανὴν εἶναι ἔφη σώζειν τε αὐτὴν καὶ μονονοὺ τὸν ὅλον χρόνον ἐμπεδοῦν· κατάλυσιν γὰρ πόλεως καὶ πάσης ἄλλης ἀνθρώπων κοινωνίας τὸ ἐναντίον τῷ ἀγαθῷ ἔφη εἶναι, ἔριδάς τε βίας τε καὶ φόνους καὶ ὅσα τούτοις ἀδελφά. Ὡς οὖν ἐν ὅρῳ λαβεῖν, ἀνώτατον τέλος πόλεως εἶναι φησὶν τὸ ὡς βελτίστους ἀποδεικνύναι τοὺς πολίτας τῇ τῆς δικαιοσύνης τροφῇ τε καὶ παιδείᾳ, ἥ γε μόνη καὶ αὐτὴ ἑαυτὴν ἀμήχανον ὅσον χρόνον σώζει (ς′).

Πᾶσι μέντοι τούτοις ἀντιμάχεσθαι ἔοικεν ἡ πρώτη ἀρχή, ἐξ ἧς γε Πλάτων ἐν δευτέρῳ τῆς πολιτείας [σ. τξθ′ — τος′.] πᾶσαν πόλιν συνεστάναι ἔφη. πᾶσαν γὰρ πόλιν φησὶ τῆς χ ρ ε ί α ς ἕνεκεν τὸ πρῶτον γενέσθαι, ὧδέ πως ταῦτα λέγων· Γίγνεται τοίνυν πόλις, ἀφηγεῖται ὁ Σωκράτης, « ἐπειδὴ τυγχάνει ἡμῶν ἕκαστος οὐκ αὐτάρκης, ἀλλὰ πολλῶν ἐνδεής. — Οὕτω δὴ ἄρα παραλαμβάνων ἄλλος ἄλλον ἐπ' ἄλλου, τὸν δ' ἐπ' ἄλλου χρείᾳ, πολλῶν δεόμενοι, πολλοὺς εἰς μίαν οἴκησιν ἀγείραντες κοινωνούς τε καὶ βοηθούς, ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. — Μεταδίδωσι δὴ ἄλλος ἄλλῳ, εἴ τι μεταδίδωσιν, ἢ μεταλαμβάνει, οἰόμενος αὐ-

(έ.) Ἐν δευτέρῳ τῆς πολιτείας σ. τξή, Δ, Ε.

(ς′.) Νόμων Δ, σ. ψέ, Ε. Πᾶσα ἀληθὴς νομοθεσία τείνει πρὸς ἀρετήν. Δ, σ. ψζ, Δ. ἡ ὀρθῶς ἔχουσα νομοθεσία οὐδὲν ἄλλο σκοπεῖ ἢ « ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι τοὺς ἀνθρώπους. » τ. ρόλ. καὶ Γοργίαν υξδ′, Β. Φιέ, Β. — Πολιτικὸν τθ′, Γ. — Πολιτείας Δ, σ. υκά, Γ.

τῷ ἄμεινον εἶναι. — Ἀλλὰ μὴν πρώτη γε καὶ μεγίστη τῶν χρειῶν ἡ τῆς τροφῆς παρασκευὴ τοῦ εἶναί τε καὶ ζῆν ἕνεκα. — Δευτέρα δὴ οἰκήσεως, τρίτη δὲ ἐσθῆτος καὶ τῶν τοιούτων. — Φέρε δὴ, πῶς ἡ πόλις ἀρκέσει ἐπὶ τοσαύτην παρασκευήν; ἄλλο τι γεωργὸς μὲν εἷς, ὁ δὲ οἰκοδόμος, ἄλλος δέ τις ὑφάντης; ἢ καὶ σκυτοτόμον αὐτόσε προςθήσομεν, ἤ τιν' ἄλλον τῶν περὶ τὸ σῶμα θεραπευτήν; — Εἴη δ' ἂν ἥγε ἀναγκαιοτάτη πόλις ἐκ τεττάρων ἢ πέντε ἀνδρῶν, ὡς φαίνεται. Τί δὴ οὖν; ἕνα ἕκαστον τούτων δεῖ τὸ αὐτοῦ ἔργον ἅπασι κοινὸν κατατιθέναι, οἷον τὸν γεωργὸν ἕνα ὄντα παρασκευάζειν σιτία τέτταρσι καὶ τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ, καὶ ἄλλοις κοινωνεῖν; ἢ ἀμελήσαντα ἑαυτῷ μόνῳ τέταρτον μέρος ποιεῖν τούτου τοῦ σιτίου ἐν τετάρτῳ μέρει τοῦ χρόνου, τὰ δὲ τρία, τὸ μὲν ἐπὶ τῇ τῆς οἰκίας παρασκευῇ διατρίβειν, τὸ δὲ ἱματίου, τὸ δὲ ὑποδημάτων, καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν, ἀλλ' αὐτὸν δι' αὑτὸν τὰ αὑτοῦ πράττειν; — Ἀλλὰ πρῶτον μὲν ἡμῶν φύεται ἕκαςος οὐ πάνυ ὅμοιος ἑκάστῳ, ἀλλὰ διαφέρων τὴν φύσιν, ἄλλος ἐπ' ἄλλου ἔργου πρᾶξιν. — Πότερον οὖν; κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος, ἢ ὅταν μίαν εἷς; δῆλον ὡς ὅταν εἷς μίαν. Ἀλλὰ μὴν, οἶμαι καὶ τόδε δῆλον, ὡς, ἐάν τίς τινος παρῇ ἔργου καιρὸν, διόλλυται. — οὐ γὰρ, οἶμαι, ἐθέλει τὸ πραττόμενον τὴν τοῦ πράττοντος σχολὴν περιμένειν, ἀλλ ἀνάγκη τὸν πράττοντα τῷ πραττομένῳ ἐπακολουθεῖν μὴ ἐν παρέργου μέρει. — Ἐκ δὴ τούτων πλείω τε ἕκαστα γίγνεται καὶ κάλλιον καὶ ῥᾷον, ὅταν εἷς ἓν κατὰ φύσιν καὶ ἐν καιρῷ, σχολὴν τῶν ἄλλων ἄγων, πράττῃ. —

Πλειόνων ἄρα δεῖ πολιτῶν ἢ τεττάρων ἐπὶ τὰς παρασκευὰς ὧν ἐλέγομεν. ὁ γὰρ γεωργὸς, ὡς ἔοικεν, οὐκ αὐτὸς ποιήσεται ἑαυτῷ τὸ ἄροτρον, εἰ μέλλει καλὸν εἶναι, οὐδὲ σμινύην, οὐδὲ τἄλλα ὄργανα ὅσα περὶ γεωργίαν· οὐδ' αὖ ὁ οἰκοδόμος· πολλῶν δὲ καὶ τούτῳ δεῖ. ὡςαύτως δὴ ὁ ὑφάντης τε καὶ ὁ σκυτοτόμος. — τέκτονες δὴ καὶ χαλκῆς καὶ τοιοῦτοί τινες πολλοὶ δημιουργοὶ κοινωνοὶ ἡμῖν τοῦ πολιχνίου γιγνόμενοι, συχνὸν αὐτὸ ποιοῦσιν. — Ἀλλ' οὐκ ἄν πω πάνυ γε μέγα τι εἴη, εἰ μὴ αὐτοῖς βουκόλους τε καὶ ποιμένας τούς τε ἄλλους νομέας προςθεῖμεν, ἵνα οἵ τε γεωργοὶ ἐπὶ τὸ ἀροῦν ἔχοιεν βοῦς, οἵ τε οἰκοδόμοι πρὸς τὰς ἀγωγὰς μετὰ τῶν γεωργῶν χρῆσθαι ὑποζυγίοις, ὑφάνται δὲ καὶ σκυτοτόμοι δέρμασί τε καὶ ἐρίοις. Οὐδέ γε σμικρὰ πόλις ἂν εἴη ἔχουσα πάντα ταῦτα. — Ἀλλὰ μὴν — κατοικίσαι γε αὐτὴν τὴν πόλιν εἰς τοιοῦτον τόπον, οὗ ἐπειςαγωγίμων μὴ δεήσεται, σχεδόν τι ἀδύνατον. Προςδεήσει ἄρα ἔτι καὶ ἄλλων, οἳ ἐξ ἄλλης πόλεως αὐτῇ κομιοῦσιν ὧν δεῖται. — καὶ μὴν κενὸς ἂν ἴῃ ὁ διάκονος, μηδὲν ἄγων, ὧν ἐκεῖνοι δέονται, παρ' ὧν ἂν κομίζωνται, ὧν ἂν αὐτοῖς χρεία, κενὸς ἄπεισιν. — Δεῖ δὴ τὰ οἴκοι μὴ μόνον ἑαυτοῖς ποιεῖν ἱκανὰ, ἀλλὰ καὶ οἷα καὶ ὅσα ἐκείνοις, ὧν ἂν δέωνται. — Πλειόνων δὴ γεωργῶν τε καὶ τῶν ἄλλων δημιουργῶν δεῖ ἡμῖν τῇ πόλει. — Καὶ δὴ καὶ τῶν ἄλλων διακόνων που, τῶντε εἰςαξόντων καὶ ἐξαξόντων ἕκαστα. οὗτοι δέ εἰσιν ἔμποροι. — Καὶ ἐμπόρων δὴ δεησόμεθα. — Καὶ ἐὰν μέν γε κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται, συχνῶν καὶ ἄλλων προσδεήσεται τῶν ἐπιστημόνων τῆς περὶ τὴν θάλατταν ἐργασίας. — Τί δὲ δή; ἐν αὐτῇ τῇ πόλει

πῶς ἀλλήλοις μεταδώσουσιν ὧν ἂν ἕκαστοι ἐργάζων-
ται ; ὧν δὴ ἕνεκα καὶ κοινωνίαν ποιησάμενοι πόλιν ᾠ-
κίσαμεν. Δῆλον δή, ἦ δ' ὅς (ὁ Ἀδείμαντος), ὅτι πω-
λοῦντες καὶ ὠνούμενοι. Ἀγορὰ δὴ ἡμῖν καὶ νόμισμα
ξύμβολον τῆς ἀλλαγῆς ἕνεκα γενήσεται ἐκ τούτου. —
Ἂν οὖν κομίσας ὁ γεωργὸς εἰς τὴν ἀγοράν τι ὧν ποιεῖ
ἤ τις ἄλλος τῶν δημιουργῶν μὴ εἰς τὸν αὐτὸν χρόνον
ἥκῃ τοῖς δεομένοις τὰ παρ' αὐτοῦ ἀλλάξασθαι, ἀργή-
σει τῆς αὐτοῦ δημιουργίας καθήμενος ἐν ἀγορᾷ ; Οὐ-
δαμῶς, ἦδ' ὅς, ἀλλ' εἰσὶν οἳ τοῦτο ὁρῶντες, ἑαυτοὺς
ἐπὶ τὴν διακονίαν τάττουσι ταύτην, ἐν μὲν ταῖς ὀρθῶς
οἰκουμέναις πόλεσι σχεδόν τι οἱ ἀσθενέστατοι τὰ σώ-
ματα καὶ ἀχρεῖοί τι ἄλλο ἔργον πράττειν. αὐτοῦ γὰρ
δεῖ μένοντας αὐτοὺς περὶ τὴν ἀγορὰν τὰ μὲν ἀντ' ἀρ-
γυρίου ἀλλάξασθαι τοῖς τι δεομένοις ἀποδόσθαι, τοῖς
δὲ ἀντὶ αὖ ἀργυρίου διαλλάττειν ὅσοι τι δέονται πρία-
σθαι. αὕτη ἄρα, ἦν δ' ἐγώ, ἡ χρεία καπήλων ἡμῖν γέ-
νεσιν ἐμποιεῖ τῇ πόλει. ἢ οὐ καπήλους καλοῦμεν τοὺς
πρὸς ὠνήν τε καὶ πρᾶσιν διακονοῦντας ἱδρυμένους ἐν
ἀγορᾷ, τοὺς δὲ πλανήτας ἐπὶ τὰς πόλεις ἐμπόρους;—
Ἔτι δή τινες, ὡς ἐγῷμαι, εἰσὶ καὶ ἄλλοι διάκονοι,
οἳ ἂν τὰ μὲν τῆς διανοίας μὴ πάνυ ἀξιοκοινώνητοι ὦσι,
τὴν δὲ τοῦ σώματος ἰσχὺν ἱκανὴν ἐπὶ τοὺς πόνους ἔ-
χωσιν, οἳ δὴ πωλοῦντες τὴν τῆς ἰσχύος χρείαν, τὴν
τιμὴν ταύτην μισθὸν καλοῦντες, κέκληνται, ὡς ἐγῷμαι,
μισθωτοί. ἦ γάρ;—Πλήρωμα δὴ πόλεώς εἰσιν, ὡς ἔοικε,
καὶ μισθωτοί. — Ἆρ' οὖν, ὦ Ἀδείμαντε, ἤδη ἡμῖν ηὔ-
ξηται ἡ πόλις, ὥστ' εἶναι τελέα ; Ἴσως. Ποῦ οὖν ἄν
ποτε ἐν αὐτῇ εἴη ἥ τε δικαιοσύνη καὶ ἡ ἀδικία ; καὶ
τίνι ἅμα ἐγγενομένη ὧν ἐσκέμμεθα ; Ἐγὼ μέν, ἔφη, οὐκ

ἐννοῶ, ὦ Σώκρατες, εἰ μή που ἐν αὐτῶν τούτων χρείᾳ τινὶ τῇ πρὸς ἀλλήλους. Ἀλλ' ἴσως, ἦν δ' ἐγὼ, καλῶς λέγεις· καὶ σκεπτέον γε καὶ οὐκ ἀποκνητέον. Πρῶτον οὖν σκεψώμεθα, τίνα τρόπον διαιτήσονται οἱ οὕτω παρεσκευασμένοι». κ. τ. λ. — Εἴη ἂν ἄρα κατὰ τοῦτόν γε τὸν λόγον συνοικία ἀνθρώπων ἡ πόλις ἐπὶ παρασκευῇ τῶν ἀναγκαίων τε καὶ τῶν πρὸς ῥαστώνην, ἑκάστου τὸ τῇ ἑαυτοῦ φύσει οἰκεῖον ἔργον κατατιθεμένου. Διὸ καὶ τῷ Ἀριστοτέλει ἤδη ἀπαρέσκει ἡ ὑλικὴ αὕτη τῆς πόλεως ἐκδοχή τε καὶ ἐξήγησις. κυριώτατον γὰρ πάσης πόλεως τέλος μὴ εἶναί φησι τὸ τὰ ἐπιτήδεια τοῖς πολίταις παρασκευάζειν, ἀλλὰ τἀγαθὸν, ὡς ἐνδέχεται, ἐπιτελεῖν· (*) ταὐτὸν ὅπερ καὶ Πλάτων ἀλλαχοῦ διαῤῥήδην λέγει.

(*) Ἐπισπεργέστερόν μοι δοκεῖ ταῦτα λέγειν ὁ Σουεγλέριος ὡς τῆς Ἀριστοτέλους ἀντιλήψεως τοιαύτης τινὸς οὔσης· οὐ μέντοι ταῦτά γε ἀκριβῶς ἐθέλει λέγειν ὁ Ἀριστοτέλης, ἀλλ' ἐπαγγειλαμένου Πλάτωνος αὐτάρκως ἔχουσαν πόλιν ἡμῖν ἀποδεῖξαι, οἷον παράδειγμα πόλεως τελέας, οὐ τῶν ἐξ ὧν γε τὴν πόλιν συντίθησιν, ὡς κατ' οὐσίαν γε πρὸς ἥνπερ ἀρχὴν ἔθετο πρότερον καὶ τέλος πόλεως διαφωνούντων ὁ Ἀριστοτέλης ἐπιλαμβάνεται, ἀλλὰ τὸν τρόπον μόνον τῆς ἐκθέσεως ἀνεπαρκῆ ἐξελέγχει, καθ' ὅσον συμπληρωτικώτερον καὶ ὡς ἐν ἐπιμέτρου μέρει ὁ Πλάτων τά γε οὐσιωδέστατα κατὰ σμικρὸν προστίθησιν· ὧδε γὰρ Ἀριστοτέλης ἐν τετάρτῳ τῶν πολιτικῶν (κεφ. δ'.) λέγει· « ἐν τῇ πολιτείᾳ κομψῶς τοῦτο (τὸ αὐτάρκη εἶναι δεῖν τὴν πόλιν) οὐχ ἱκανῶς δὲ εἴρηται. Φησὶ γὰρ ὁ Σωκράτης ἐκ τεττάρων τῶν ἀναγκαιοτάτων πόλιν συγκεῖσθαι, λέγει δὲ τούτους ὑφάντην καὶ γεωργὸν καὶ σκυτο-

Ἱκανῶς δ' ἄν τις, οἶμαι, τὴν προκειμένην ἀντίφασιν διαλύσειεν ὑπολαβὼν ὅτι ὁ Πλάτων ἐν τούτῳ τῷ τόπῳ οὐ τὴν ἰδέαν καὶ τὸ κύριον τέλος τῆς πόλεως διαλεκτικῶς ἐκθέσθαι ἀνεβάλετο, ἀλλ' ἱστορικώτερον τήν τε ἀρχὴν καὶ γένεσιν αὐτῆς ἐπεκδιηγήσατο. Καὶ εὐλόγως πᾶς ἄν τις ὁμολογήσειε τὴν μὲν ἔξωθεν ἀφορμὴν τοῦ τοὺς ἀνθρώπους μετ' ἀλλήλων ἐν κοινωνίᾳ συνηρμόσθαι μηδεμίαν που ἄλλην γενέσθαι ἢ τὸ τῆς ἀνάγκης τε καὶ χρείας τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ὄντων. Διακριτέον μέντοι ταύτης τῆς ἔξωθεν ἤτοι κατ' ἐμπειρίαν ἀφορμῆς τὴν μάλιστα καθόλου αἰτίαν καὶ τὸν κυριώτατον σκοπὸν πάσης κοινωνίας πολιτικῆς, μηδὲν ἄλλο φύσει ἐπιζητούσης ἢ τὴν τοῦ ἀγαθοῦ ἐκ τῶν ἐνόντων ἐπιτέλεσιν.

τόμον καὶ οἰκοδόμον· πάλιν δὴ προστίθησιν, ὡς οὐκ αὐτάρκων τούτων, χαλκέα καὶ τοὺς ἐπὶ τοῖς ἀναγκαίοις βοσκήμασιν, ἔτι δ' ἔμπορόν τε καὶ κάπηλον, καὶ ταῦτα πάντα γίνεται πλήρωμα τῆς πρώτης πόλεως, ὡς τῶν ἀναγκαίων γε χάριν πᾶσαν πόλιν συνεστηκυῖαν, ἀλλ' οὐ τοῦ καλοῦ μᾶλλον, ἴσον τε δεομένην σκυτέων τε καὶ γεωργῶν. τὸ δὲ προπολεμοῦν οὐ πρότερον ἀποδίδωσι μέρος πρὶν ἢ τῆς χώρας αὐξομένης καὶ τῆς τῶν πλησίων ἁπτομένης εἰς πόλεμον καταστῶσιν. ἀλλὰ μὴν καὶ ἐν τοῖς τέτταρσι καὶ τοῖς ὁποσοισοῦν κοινωνοῖς ἀναγκαῖον εἶναί τινα τὸν ἀποδώσοντα καὶ κρινοῦντα τὸ δίκαιον. εἴπερ οὖν καὶ ψυχὴν ἄν τις θείη ζῴου μόριον μᾶλλον ἢ σῶμα, καὶ πόλεων τὰ τοιαῦτα μᾶλλον θετέον τῶν εἰς τὴν ἀναγκαίαν χρῆσιν συντεινόντων, τὸ πολεμικὸν καὶ τὸ μετέχον δικαιοσύνης δικαστικῆς, πρὸς δὲ τούτοις τὸ βουλευόμενον, ὅπερ ἐστὶ συνέσεως πολιτικῆς ἔργον».

Β'. Ἡ τῆς κατὰ Πλάτωνα πολιτείας διακόσμησις.

Διακοσμεῖ δὲ Πλάτων τοὺς ἑαυτοῦ πολίτας, ᾗ γε ἕκαστοι φύσεως τε καὶ παιδείας ἔχουσι πρὸς τὰ ἐν τῷ βίῳ ἐπιτηδεύματα, εἰς γένη τρία ἀλλήλων διάφορα· τὸ τῶν ἀρχόντων ὅ καὶ βουλευτικὸν προςείρηκε, τὸ τῶν φυλάκων, ὅ καὶ ἐπικουρικὸν διὰ τὸ ἐπικούρους εἶναι τοῖς ἄρχουσι, καὶ τὸ τῶν δημιουργῶν ὅ καὶ χρηματιστικὸν διὰ τὴν περὶ τὸ χρηματίζεσθαι σπουδὴν προςωνόμασεν.

Ἔφη δὲ δεῖν τοὺς μὲν ἄρχοντας τῶν περὶ πᾶσάν τε τὴν πόλιν καὶ τὴν νομοθεσίαν μάλιστα ἐπιμελεῖσθαι. ἐκλέγεσθαι δ' αὐτοὺς ἐκ τοῦ τῶν φυλάκων γένους, ἄνδρας ὡς ἀληθῶς φιλοσόφους καὶ δὴ καὶ συνετοὺς μάλα καὶ ἐπιστήμονας περὶ τὰ ἐν τῷ βίῳ σκοπούμενα ἀγαθά. δεῖν δ' αὐτοὺς πρεσβυτέρους, ἀμφὶ τὰ πεντήκοντα ἤδη ἔτη εἶναι, νεωτέρων γε μέλλοντας ἄρχειν καὶ ἐν πάσαις ταῖς ἐν τῷ πρόςθεν βίῳ πράξεσιν δεδοκιμασμένους τε καὶ εὖ μάλα ἐμπείρους, μηδέποτε τῶν καλῶν καὶ σεμνῶν μηδ' ἐλάχιστον δι' ἀσθένειάν τινα ἢ ἐπήρειαν ἢ καὶ ἄλλην πτόησιν οἱανδήποτε παρεγκλίναντας. καὶ ὡς ἐν τύπῳ εἰπεῖν, τοιούτους ἄνδρας κηδεμόνας τῆς πόλεως καταστατέον, οἵ γ' ἂν μάλιστα τὴν πόλιν φιλοῖεν· κήδοιτο γὰρ ἄν τις μάλιστα τούτου φησὶν, ὅ τυγχάνοι φιλῶν. « καὶ μὴν τοῦτό γ' ἂν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο τὰ αὐτὰ καὶ ἑαυτῷ, καὶ ὅταν μάλιστα ἐκείνου μὲν εὖ πράττοντος οἴηται ξυμβαίνειν καὶ ἑαυτῷ εὖ πράττειν, εἰ δὲ μὴ, τοὐναντίον. » Πολιτείας Γ, σ. υιϐ', Β— υιέ, Δ. καὶ Ζ, σ. φλζ'. κ. φ. ξ.

Τοὺς δὲ φύλακας ἤτοι μαχητὰς, οἷον ἐπικούρους εἶναι δεῖν ἔφη τῶν ἀρχόντων καὶ ἐκτελεστὰς τῶν ἐκείνοις βεβουλευμένων τε καὶ ἐγνωσμένων. ἔργον δ' αὐτοῖς μάλιστα εἶναι τοὺς ἄλλοθέν ποθεν ἐπὶ τὴν πόλιν ἐπιόντας ἐχθροὺς ἀμύνεσθαί τε καὶ ἀπωθεῖσθαι. Διὸ καὶ εὐνὰς ποιησαμένους ἤτοι οἰκήσεις στρατιωτικὰς, ὡς ἐν στρατοπέδῳ δεῖν αὐτοὺς πάντα τὸν χρόνον δίαιταν ἔχειν χειμῶνός τε καὶ θέρους· καὶ τὴν ἄλλην δὲ διαγωγὴν τοῦ βίου οὕτω ῥυθμίζειν ὥστε μὴ ἀλλοτριοῦσθαι αὐτοὺς τοῦ καθήκοντος ἔργου. Ἀπαγορευτέον τοίνυν τοῖς φύλαξιν μηδεμίαν κτῆσιν ἰδίαν κεκτῆσθαι, ἵνα μὴ ἀγρούς τε καὶ οἴκους καὶ χρήματα ἔχοντες, γεωργοί τε καὶ οἰκονόμοι καὶ ὅσα ἄλλα τοιαῦτα γενόμενοι, τῶν προςηκόντων αὐτοῖς ἐπιτηδευμάτων διὰ πλεονεξίαν ἀμελήσειαν, κάκης τε καὶ ὕβρεως πάσης ἐμπλησθέντες· μήτε ἀργύρου δὴ μήτε χρυσοῦ αὐτοῖς μετεῖναι δεῖν, μηδὲ τὴν ἀρχὴν ἅπτεσθαί τινος τῶν τοιούτων· ὧν δ' ἂν δέωνται πρὸς τὸ βιοῦν, ταῦτα τοὺς λοιποὺς πολίτας αὐτοῖς παρασκευάζειν γέρας καὶ μισθὸν τῆς φυλακῆς « τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς ξυσσίτια, ὥςπερ ἐστρατοπεδευμένους, κοινῇ ζῆν. » Πολιτ. Γ, σ. υιε, Δ — υιζ', Β.

Τῷ δὲ τρίτῳ γένει τῶν δημιουργῶν, τυφλοῖς ὄμμασιν ὀφειλόντων τοῖς ἄρχουσιν ὑπακούειν, τὸ θεραπεύειν τὴν γῆν ἐμπολᾷν τε καὶ τέχνας παντοίας μετιέναι καὶ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, πάντα τὰ πρὸς τὸν βίον ἐπιτήδεια πορίζειν ἴδιον ἔργον προσέταξεν. Ἀλλὰ τὰ περὶ τοῦτο τὸ γένος ἔχοντα διὰ βραχέων πάνυ διέξεισι· πάντες γὰρ οἱ θεσμοὶ οἱ περὶ παιδείαν τε καὶ δίαιταν κτη-

μάτων τε καὶ γυναικῶν καὶ παίδων κοινωνίαν παρ' ἀμφοτέροις τοῖς ἄρτι λεχθεῖσι γένεσι μόνοις ἰσχύουσιν.

Ταύτης μέντοι τῆς τριχῇ τῶν πολιτῶν διαιρέσεως οὐδεμίαν ἄλλην ἐγγυτέρω αἰτίαν ὁ Πλάτων ἀποδίδωσι, τοσόνδε μόνον λέγων ὅτι τὰ τρία τῶν πολιτῶν γένη τοῖς τρισὶν ἀναλογεῖ μορίοις εἰς ἃ τὴν ψυχὴν πρότερον διεῖλε· τὸ μὲν οὖν τῶν ἀρχόντων ὃ καὶ βουλευτικὸν γένος προςαγορεύει τῷ λογιστικῷ τῆς ψυχῆς ἀντιστοιχεῖ μορίῳ, τὸ δὲ τῶν φυλάκων ἢ τὸ ἐπικουρικὸν τῷ θυμῷ ἢ θυμοειδεῖ καὶ τὸ χρηματιστικὸν προςαγορευθὲν τῷ ἐπιθυμητικῷ. Ἐγγίγνονται τοίνυν καὶ τῇ πολιτείᾳ αἱ τέσσαρες κεφαλαιώδεις ἀρεταί, καθ' ὅν γε λόγον καὶ ἑκάστῳ τῶν ἰδίᾳ ἀνθρώπων· σοφία μὲν οὖν ἀπὸ τῶν ἀρχόντων, ἐπιστήμην τε τῶν περὶ τὴν πόλιν καὶ εὐβουλίαν ἐχόντων· ἀνδρεία δὲ ἀπὸ τῶν φυλάκων· σωφροσύνη δὲ ἀπὸ τοῦ ὑποτάσσεσθαι τοὺς δημιουργούς, κακίονας ὄντας, τοῖς ἄρχουσιν. τέλος δὲ τὴν ἐν πολιτείᾳ δικαιοσύνην ὁ Πλάτων ἐν τούτῳ μάλιστα εἶναι ἔφη, ἕκαστον γένος τὰ ἑαυτοῦ πράσσειν ἐθέλειν καὶ μὴ πολυπραγμονεῖν ἓν ἐπιτηδεῦον τῶν περὶ τὴν πόλιν ἕκαστον, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη (πολιτείας Δ. σ. υλγ', — Α, Β. καὶ σ. υλδ' Γ.)(ζ.).

(ζ.) Οὗτος ὁ ὁρισμὸς τῆς δικαιοσύνης λίαν ἀόριστός ἐστιν. εἴη γὰρ ἂν δικαιοσύνη οὐχὶ ἁπλῶς τὸ τὰ ἑαυτῷ προςήκοντα πράσσειν ἕκαστον, ὅπερ πάνυ περιωρισμένον ἂν φανείη, ἀλλ', ἑκάστῳ τὸ προςῆκον ἀπονέμειν, δικαίως ἄν τις δικαιοσύνην ἀποκαλοίη. καὶ πολλῷ δ' ἧσσον ἁρμόσειεν ἂν ὁ τῆς δικαιοσύνης ὁρισμὸς, ὃν ἐν τῇ περὶ τῆς ἀρετῆς ἑνὸς ἑκάστου τῶν τριῶν τῆς ψυχῆς εἰδῶν πραγματείᾳ ὁ Πλάτων ἀπέδοτο· καὶ γὰρ αὐτόθι τὸ κατὰ φύσιν τὰς ἰδίᾳ τῆς ψυχῆς ἐνεργείας ἢ, ὡς αὐτός φησι, τὰ μέρη ἢ εἴδη σύμπαντι τῷ βίῳ αὐτῶν τῷ ἐσωτερικῷ ὑπείκειν τε καὶ ἁρμόζειν τῷ τῆς δικαιοσύνης ὀνόματι ἀποκαλεῖ, ὅ γε δὴ καθ' αὑτὸ πᾶν ἄλλο ση-

Ἐκ τῶν ἄρτι δὲ λεχθέντων εἴησαν ἂν χαρακτῆρες

μαίνει· σχέσιν γάρ τινα πάντως ἐν τῷ πράσσειν ἑκάστου τῶν ἀνθρώπων ἐμφαίνει πρὸς τοὺς ἐκτὸς ἑαυτοῦ ἄλλους ἀνθρώπους.

Ἀλλὰ γὰρ φαίην ἂν ἔγωγε πρὸς ἑκάτερον τούτοιν τάδε· πρῶτον μὲν ὅτι ὁ Πλάτων τὴν ἐν πόλει δικαιοσύνην ὡς τὸ ἑαυτοῦ ἕκαστον πράσσειν καὶ μὴ πολυπραγμονεῖν ὁριζόμενος, ἥκιστά γε πάντων ἀνθρώπων νοεῖ τὸ ἑαυτῷ προσῆκον σκοπεῖν μόνον, τοῦ τοῖς ἄλλοις ὀλιγωροῦντα. ἀλλ' ὅταν ἕκαστος τὸ κατὰ φύσιν ἐπιβάλλον μέρος ἔν γε τῷ οἰκείῳ γένει ἀποτελῇ καὶ μὴ ἀλλοτριοπραγμονῇ, προδηλότατόν ἐστι κατὰ τὸν Πλάτωνα ὅτι καὶ τὸ τοῖς ἄλλοις προσῆκον ἀπονέμει. ἕκαστον γὰρ γένος ἐπὶ τῇ τοῦ ὅλου σωτηρίᾳ τε καὶ εὐπραγίᾳ καθέστηκεν.

Δεύτερον δὲ καὶ ἐν τῷ ἰδίᾳ ἀνθρώπῳ τὴν δικαιοσύνην ὡς ἐξ ὁμονοίας τε καὶ ἁρμονίας τῆς τῶν τριῶν τῆς ψυχῆς εἰδῶν ἀπεργαζομένην λέγων, ἑκάστου γε δὴ τὸ ἑαυτοῦ πράσσοντος, τοῦ δὲ λογιστικοῦ ἀμφοῖν τοῖν ἑτέροιν ἄρχοντος, δῆλός μοί ἐστι συλλήβδην πᾶσαν ἀρετὴν τὸν τρόπον τοῦτον κατορθοῦσθαι ὑπολαμβάνων, ἐν αἷς καὶ τὸ τῶν ἀλλοτρίων πάμπαν ἀπέχεσθαι ἐναρίθμιον πάντως ἐστὶν (Πολιτ. Δ. σ. υμδ'.)· ἐπειδὰν δέ τις τῶν ἀλλοτρίων ἀπέχηται, φανερὸν οἴκοθεν ὅτι ἑκάστῳ τὰ προσήκοντα ἐᾷ ἔχειν· ὡς δ' αὖ ἐν πόλει φυσικῇ καὶ κατὰ Πλάτωνα ἀληθινῇ ἀρετῇ ἡρμοσμένῃ τὸν βίον διάγων καὶ τὰ τοῦ ἰδίου γένους κατὰ τὸ δέον ἐπιτελῶν, συμβαίνει αὐτῷ καὶ οὕτως αὖθις, ὅπερ καὶ ἐν τῇ προτέρᾳ ἀντιῤῥήσει ἐλέχθη, ἑκάστῳ τὰ προσήκοντα παρασκευάζειν. αὐτὸ δὲ τοῦτο νῦν δὴ καὶ παρ' ἡμῖν ἐστιν ἄλλο δὲ οὐδὲ ἓν ἡ δικαιοσύνη δηλοῦσα τὸ ἕκαστον ἑκάστῳ τὸ προσῆκον ἐᾷν ἔχειν στέργοντα τὸ ἑαυτοῦ, εἰ δ' ἔνεστι καὶ ἑκάστῳ τὸ προσῆκον παρασκευάζειν, ἀλλὰ τοῦτό γε δὴ καὶ μᾶλλον ἴδιον τοῦ τὰ τῆς πόλεως ὁπωςδήποτε πράσσοντός ἐστιν, ὥςπερ καὶ Πλάτων δοκεῖ μοι ὑπειληφέναι.

τῇ Πλατωνικῇ πολιτείᾳ ἰδιάζοντες μάλιστα οἶδε· ἄκρι βὴς μὲν τῶν γενῶν χωρισμὸς ἀπ' ἀλλήλων, παντελὴς δὲ τῶν δημιουργῶν πρὸς τοὺς ἄρχοντας πειθαρχία (η.)

(ή.) Πολιτείας Γ, σ. υιδ' β, κεφ ξ. « Τίς ἂν οὖν ἡμῖν, ἦν δ' ἐγὼ, μηχανὴ γένοιτο τῶν ψευδῶν τῶν ἐν δέοντι γιγνομένων, ὧν νῦν δὴ ἐλέγομεν, γενναῖόν τι εἶναι ψευδομένους πεῖσαι μάλιστα μὲν καὶ αὐτοὺς τοὺς ἄρχοντας, εἰ δὲ μὴ, τὴν ἄλλην πόλιν; Ποῖόν τι; ἔφη. Μηδὲν καινὸν, ἦν δ' ἐγὼ, ἀλλὰ Φοινικικόν τι, πρότερον μὲν ἤδη πολλαχοῦ γεγονὸς, ὥς φασιν οἱ ποιηταὶ καὶ πεπείκασιν, ἐφ' ἡμῶν δὲ οὐ γεγονὸς, οὐδ' οἶδα εἰ γενόμενον ἂν, πεῖσαι δὲ συχνῆς πειθοῦς. Ὡς ἔοικας, ἔφη, ὀκνοῦντι λέγειν. Δόξω δέ σοι, ἦν δ' ἐγὼ, καὶ μάλα εἰκότως ὀκνεῖν, ἐπειδὰν εἴπω. Λέγ', ἔφη, καὶ μὴ φοβοῦ. Λέγω δὴ, καίτοι οὐκ οἶδα ὁποίᾳ τόλμῃ ἢ ποίοις λόγοις χρώμενος ἐρῶ· καὶ ἐπιχειρήσω πρῶτον μὲν αὐτοὺς τοὺς ἄρχοντας πείθειν καὶ τοὺς στρατιώτας, ἔπειτα δὲ καὶ τὴν ἄλλην πόλιν, ὡς ἄρ', ἃ ἡμεῖς αὐτοὺς ἐτρέφομέν τε καὶ ἐπαιδεύομεν, ὥςπερ ὀνείρατα ἐδόκουν ταῦτα πάντα πάσχειν τε καὶ γίγνεσθαι περὶ αὐτοὺς, ἦσαν δὲ τότε τῇ ἀληθείᾳ ὑπὸ γῆς ἐντὸς πλαττόμενοι καὶ τρεφόμενοι καὶ αὐτοὶ καὶ τὰ ὅπλα αὐτῶν καὶ ἡ ἄλλη σκευὴ δημιουργούμενα· ἐπειδὴ δὲ παντελῶς ἐξειργασμένοι ἦσαν, καὶ ἡ γῆ αὐτοὺς μήτηρ οὖσα ἀνῆκε· καὶ νῦν δεῖ ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ εἰσὶ βουλεύεσθαί τε καὶ ἀμύνειν αὐτοὺς, ἐάν τις ἐπ' αὐτὴν ἴῃ, καὶ ὑπὲρ τῶν ἄλλων πολιτῶν ὡς ἀδελφῶν ὄντων καὶ γηγενῶν διανοεῖσθαι. Οὐκ ἐτὸς, ἔφη, πάλαι ᾐσχύνου τὸ ψεῦδος λέγειν. Πάνυ, ἦν δ' ἐγὼ, εἰκότως· ἀλλ' ὅμως ἄκουε καὶ τὸ λοιπὸν τοῦ μύθου. Ἐστὲ μὲν γὰρ δὴ πάντες οἱ ἐν τῇ πόλει ἀδελφοὶ (ὥς φήσομεν πρὸ αὐτοὺς μυθολογοῦντες), ἀλλ' ὁ Θεὸς πλάττων, ὅσοι μὲν ὑμῶν ἱκανοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει ξυνέμιξεν αὐτοῖς, διὸ τιμιώτατοί εἰσιν, ὅσοι δ' ἐπί-

καὶ δεσποτεία ἄκρατος τῆς τε ἀρετῆς καὶ φρονήσεως. καὶ ἑνί γε λόγῳ ἡ τοῦ Πλάτωνος πολιτεία ἀριστοκρατία τίς ἐστιν ὥςπερ καὶ αὐτὸς ὁ Πλάτων αὐτὴν ἀποκαλεῖ. Γ, σ. υιϐ'.

Γ'. *Θεσμοὶ τῆς Πλατωνικῆς πολιτείας.*

Πάντες οἱ ἐπὶ μέρους θεσμοὶ τῆς Πλατωνικῆς πολιτείας ἐκ ταύτης μάλιστα τῆς ὑποθέσεως προῆλθον, ὅτι ἄριστος καὶ σωτηριώτατος νόμος καὶ ἀνάγκη πάσης πόλεως ἡ ἑνότης ἐστὶν ἡ ἐσωτερικὴ ἤτοι ἡ ὁμόνοια πάντων τῶν πολιτῶν πρὸς ἀλλήλους (θ). Ἄριστα δὲ πολιτευομένην πόλιν φησὶν ὁ Πλάτων, ἥτις «ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει, οἷον, ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν ξύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ ᾔσθετό τε καὶ πᾶσα ἅμα ξυνήλγησε μέρους πονήσαντος ὅλη, καὶ οὕτω δὴ λέγομεν ὅτι ὁ ἄνθρωπος τὸν δάκτυλον ἀλγεῖ· καὶ περὶ ἄλλου ὁτουοῦν τῶν τοῦ ἀνθρώπου ὁ αὐτὸς λόγος, περί τε λύπης πονοῦντος μέρους καὶ περὶ ἡδονῆς ῥαίζοντος.» πολ. Ε, σ. υξϐ',

κουροι, ἄργυρον· σίδηρον δὲ καὶ χαλκὸν τοῖς τε γεωργοῖς καὶ τοῖς ἄλλοις δημιουργοῖς. ἅτε οὖν ξυγγενεῖς ὄντες πάντες τὸ μὲν πολὺ ὁμοίους ἂν ὑμῖν αὐτοῖς γεννῷτε, ἔστι δ' ὅτε ἐκ χρυσοῦ γεννηθείη ἂν ἀργυροῦν καὶ ἐξ ἀργύρου χρυσοῦν ἔκγονον καὶ τἆλλα πάντα οὕτως ἐξ ἀλλήλων.

(θ'.) Καθάπερ καὶ Ἀριστοτέλης ἐν δευτέρῳ τῶν πολιτικῶν (Α, γ') φησί· «Λαμϐάνει ταύτην ὑπόθεσιν (ὁ Σωκράτης ἐν τῇ Πλάτωνος πολιτείᾳ), ὡς ἄριστον ὅτι μάλιστα μίαν εἶναι τὴν πόλιν».

καὶ υξδʹ. — Δεῖ τοίνυν ὥςπερ ἐν τῷ ἀνθρωπικῷ σώματι τὰ μέλη, οὕτω καὶ ἐν πόλει τοὺς ἰδίᾳ πολίτας ὑπηρετικὰ ὄργανα τοῦ ὅλου εἶναι, μηδενὶ δ' ἐξεῖναι ἴδιον βίον διάγειν. προςήκειν γάρ φησιν ὁ Πλάτων ἐν πόλει εὐνομωτάτῃ πᾶσι πάντα κοινὰ εἶναι χαράν τε καὶ λύπην, ἔτι δὲ καὶ ὀφθαλμοὺς καὶ ὦτα καὶ χεῖρας. Διὸ ἅπαντες οἱ θεσμοὶ τῆς Πλατωνικῆς πολιτείας εἰς τοῦτο μάλιστα τείνουσι, τὸν ἰδίᾳ βίον παντάπασι καταλῦσαι, πᾶν τε ἴδιον τέλος ὑπὸ τὸ κοινὸν τῆς πόλεως ἁπάσης τέλος ὑπαγαγεῖν. καὶ εἰς τοῦτο πρὸ πάντων ἀποβλέπει ἡ πάσης κτήσεως ἰδίας ἄρσις καὶ τὸ κοινὰ νομίζειν τοῖς πᾶσι τὰ κτήματα τῶν πάντων. Οὐδενὶ γὰρ τῶν ἐν τοῖς δυσὶ πρώτοις γένεσι τελούντων ἔξεστιν ἰδίαν κτῆσιν οἱανδή τινα κεκτῆσθαι· πᾶσι δὲ δεῖ πάντα κοινὰ εἶναι. Δεύτερος δὲ θεσμὸς εἰς ταὐτὸν τῷ πρόςθεν ἀποσκοπῶν ἐστι καὶ ἡ κατάλυσις τοῦ γάμου καὶ τῆς οἰκίας. τὰς γὰρ τῶν πρωτευόντων γενῶν γυναῖκας δεῖ πάσας πᾶσι τοῖς ἀνδράσι κοινὰς εἶναι, μηδεμίαν δὲ μηδενὶ οἰκείῳ γε πόσει ἄλοχον συμβιοῦν. Ἀλλὰ οὐχ ὅσιον αὖ ὁ Πλάτων ἔν γε εὐδαιμόνων πόλει ἡγεῖται, οὐδὲ συγχωρεῖ ἀτάκτως μίγνυσθαι ἀλλήλοις ἢ ἄλλο ὁτιοῦν ποιεῖν (σ. υνηʹ.)· πρέπον δ' οἴεται αὐτὴν τὴν πόλιν τῆς τεκνοποιίας ἐπιστατεῖν, τὸ πλῆθος τῶν ἐφημέρων τούτων καὶ ἀγελαίων γάμων (1) τῇ σεμνῇ τῶν ἀρχόντων ἐξουσίᾳ ἀνατιθείς, «ἵν' ὡς μάλιστα διασώζωσι τὸν αὐτὸν ἀριθμὸν τῶν ἀνδρῶν, πρὸς πολέμους καὶ νόσους καὶ πάντα τὰ τοιαῦτα ἀποσκοποῦντες, καὶ μήτε μεγάλη

(1) Οὐδὲ ὅλως ὀκνεῖ τὰς ὀχείας ταύτας ἱεροὺς γάμους ἀποκαλεῖν! σ. υνηʹ, Ε.

ἡμῖν ἡ πόλις (ἡ τῶν προβάτων ποίμνη) κατὰ τὸ δυνατὸν μήτε σμικρὰ γίγνηται.» κλήρους δέ τινας ἔφη ποιητέον κομψοὺς, «ὥστε τὸν φαῦλον ἐκεῖνον αἰτιᾶσθαι ἐφ' ἑκάστης ξυνέρξεως τύχην, ἀλλὰ μὴ τοὺς ἄρχοντας. — καὶ τοῖς ἀγαθοῖς γέ που τῶν νέων ἐν πολέμῳ ἢ ἄλλοθί που γέρα δοτέον καὶ ἆθλα ἄλλα τε καὶ ἀφθονεστέρα ἡ ἐξουσία τῆς τῶν γυναικῶν ξυγκοιμήσεως, ἵνα καὶ ἅμα μετὰ προφάσεως ὡς πλεῖστοι τῶν παίδων ἐκ τῶν τοιούτων σπείρωνται. Οὐκοῦν καὶ τὰ ἀεὶ γιγνόμενα ἔκγονα παραλαμβάνουσαι αἱ ἐπὶ τούτων ἐφεστηκυῖαι ἀρχαὶ εἴτε ἀνδρῶν εἴτε γυναικῶν εἴτε ἀμφότερα (κοιναὶ μὲν γάρ που καὶ ἀρχαὶ γυναιξί τε καὶ ἀνδράσι). Τὰ μὲν δὴ τῶν ἀγαθῶν, δοκῶ, λαβοῦσαι εἰς τὸν σηκὸν οἴσουσι παρά τινας τροφοὺς, χωρὶς οἰκούσας ἔν τινι μέρει τῆς πόλεως· τὰ δὲ τῶν χειρόνων, καὶ ἐάν τι τῶν ἑτέρων ἀνάπηρον γίγνηται, ἐν ἀποῤῥήτῳ τε καὶ ἀδήλῳ κατακρύψουσιν, ὡς πρέπει. Εἴ περ μέλλει, ἔφη, καθαρὸν τὸ γένος τῶν φυλάκων (τῶν ποιμενικῶν κυνῶν) ἔσεσθαι. Οὐκοῦν καὶ τροφῆς οὗτοι ἐπιμελήσονται, τάς τε μητέρας ἐπὶ τὸν σηκὸν ἄγοντες, ὅταν σπαργῶσι, πᾶσαν μηχανὴν μηχανώμενοι ὅπως μηδεμία τὸ αὑτῆς αἰσθήσεται, καὶ ἄλλας γάλα ἐχούσας ἐκπορίζοντες, ἐὰν μὴ αὗται ἱκαναὶ ὦσι; καὶ αὐτῶν τούτων ἐπιμελήσονται, ὅπως μέτριον χρόνον θηλάσονται, ἀγρυπνίας δὲ καὶ τὸν ἄλλον πόνον τίτθαις τε καὶ τροφοῖς παραδώσουσιν; πολλὴν ῥαστώνην, ἔφη, λέγεις τῆς παιδοποιίας ταῖς τῶν φυλάκων γυναιξίν. Πρέπει γὰρ, ἦν δ' ἐγώ.» — ὡς δὲ ὀνήσιμον καὶ λυσιτελῆ ὁ Πλάτων τὴν κοινωνίαν κτημάτων τε καὶ γυναικῶν τῇ πόλει ἡγεῖται, ἐμφατικῶς πάνυ ἐν τοῖς ἑξῆς μάλιστα τόποις ἀποφαίνεται· πρῶτον

μὲν γὰρ ἔριδές, φησι, καὶ διχόνοιαι ἥκιστα συμβαίνουσιν, ἐν ᾗ γ' ἂν πόλει τὰ τοιάδε ῥήματα, τ ό, τ ε ἐ μ ὸ ν καὶ τ ὸ ο ὐ κ ἐ μ ὸ ν μηδόλως φθέγγωνται. Ε, σ. υξβ'. εἶτα δὲ δίκαι τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους οὐδαμοῦ παρ' αὐτοῖς φανήσονται, διὰ τὸ μηδένα μηδὲν ἴδιον ἐκτῆσθαι πλὴν τὸ σῶμα, τὰ δ' ἄλλα πάντα κοινά. σ. υξδ'. ἔτι δὲ οὐδεὶς τῶν φυλάκων « ἔχοι ἂν τῶν ξυμφυλάκων νομίσαι τινὰ ἢ προςειπεῖν ὡς ἀλλότριον. — παντὶ γὰρ ᾧ ἂν ἐντυχάνῃ τις, ἢ ὡς ἀδελφῷ ἢ ὡς ἀδελφῇ ἢ ὡς πατρὶ ἢ ὡς μητρὶ ἢ ὡς υἱεῖ ἢ θυγατρὶ ἢ τούτων ἐκγόνοις ἢ προγόνοις νομιεῖ ἐντυγχάνειν.» σ. υξγ'. Ἀλλὰ καὶ τὴν κατὰ φύσιν τῶν γενῶν διαφορὰν πειρᾶται ὁ Πλάτων ἐς τὸ δυνατὸν ἀφανίσαι, τὰς τῶν φυλάκων γυναῖκας παραγγέλλων πάντῃ ὁμοίως τοῖς ἀνδράσιν ἐκπαιδεύεσθαι, φυλάσσειν τε τὴν πόλιν καὶ ἀμύνεσθαι τοὺς πολεμίους κοινῇ μετὰ τῶν ἀνδρῶν. Ε, σ. υνα', καὶ σ. υνβ'. Οὐδ' ἀλλότριον τῆς γυναικείας ἡγεῖται φύσεως σωμασκίαις ταῖς ἐπιτηδειοτάταις ἐς τὰ περὶ τὸν πόλεμον παρασκευάζεσθαι. σ. υνϛ' β.— Ἀλλὰ καὶ μάλα ἐλευθέρως τε καὶ θαῤῥούντως φησὶ «Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξὶν, ἐπείπερ ἀρετὴν (ἀλλοτρίαν γε, τουτέστιν οὐδεμίαν) ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλα πρακτέον· τούτων δ' αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσι δοτέον διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπὶ γυμναῖς γυναιξὶ, τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπὸν, οὐδὲν οἶδεν, ὡς ἔοικεν, ἐφ' ᾧ γελᾷ οὐδ' ὅ,τι πράττει· κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέ-

ξεται ὅτι τὸ μὲν ὠφέλιμον καλὸν, τὸ δὲ βλαβερὸν αἰσχρόν.» Ε, σ. υνζ'. ὅτι μὲν οὖν ταῖς γυναιξὶν ἐν τῇ Πλάτωνος πολιτείᾳ πολλὴ ἀσχολία παρεσκεύαστο πρός τε τὸ γυμνάζεσθαι καὶ πολεμεῖν καὶ πολιτεύεσθαι, φανερόν· πάντων γὰρ τῶν περὶ οἰκονομίαν γυναικείων ἔργων πάμπαν ἀπηλλαγμέναι εἰσίν. οὐ γὰρ ἔξεστιν ἐν ταύτῃ τῇ πόλει οἶκον ἴδιον ποιεῖσθαι· τά τε πρὸς τὸν βίον ἐπιτήδεια ἀμφοτέροις τοῖς ἐπισήμοις γένεσιν ἀπὸ τῶν κοινῶν ἱκανῶς πεπόρισται. Τὰ δὲ περὶ τὴν τροφὴν καὶ παιδείαν τῶν νέων, ὡς μόνῃ τῇ πόλει προςήκονθ' ἡγούμενος, κατὰ λεπτὸν πάνυ νομοθετεῖ, φάσκων ὡς ἄνευ ὀρθῆς τῶν πολιτῶν παιδείας καὶ οἱ ἄριστοι τῶν νόμων μάταιοι καὶ ἄπρακτοι ἀποβαίνουσιν. Γ, σ. υκγ' — σ. υκε'. Τοσοῦτον δὲ διακριβολογεῖται τὰ τοιαῦτα, ὥστε τοῦ λόγου περὶ τῆς ἐν μουσικῇ τῶν νέων παιδείας ὄντος, τίνας ἁρμονίας καὶ τίνα ὄργανα μουσικὰ ἀνεκτέον ἢ μὴ ἀνεκτέον ἐν τῇ πόλει, νομοθετεῖν οὐκ ἀπαξιοῖ, ὧδέ πως λέγων· «νῦν οὖν περὶ ᾠδῆς τρόπου καὶ μελῶν λοιπόν. — μέλος δὲ ἐκ τριῶν ἐστὶ ξυγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ.— καὶ ὅσον γε τοῦ μέλους λόγος ἐστὶν, οὐδὲν δήπου διαφέρει τοῦ μὴ ᾀδομένου λόγου πρὸς τὸ ἐν τοῖς αὐτοῖς δεῖν τύποις λέγεσθαι οἷς ἄρτι προείπομεν καὶ ὡσαύτως. «καὶ μὴν τήν γε ἁρμονίαν καὶ ῥυθμὸν ἀκολουθεῖν δεῖ τῷ λόγῳ.—Ἀλλὰ μέντοι θρήνων τε καὶ ὀδυρμῶν ἔφαμεν ἐν λόγοις οὐδὲν προσδεῖσθαι. Οὐ γὰρ οὖν· (ἦδ' ὅς, ὁ Γλαύκων.—Καὶ ὁ Σωκράτης·) τίνες οὖν θρηνώδεις ἁρμονίαι; λέγε μοι· σὺ γὰρ μουσικός. Μιξολυδιστὶ, ἔφη, καὶ ξυντονολυδιστὶ καὶ τοιαῦται τινές. Οὐκοῦν αὗται, ἦν δ' ἐγὼ, ἀφαιρετέαι· ἄχρηστοι γὰρ καὶ γυναιξὶν, ἃς δεῖ ἐπιεικεῖς εἶναι, μὴ

ὅτι ἀνδράσιν. Πάνυ γε. Ἀλλὰ μὴν μέθη γε φύλαξιν ἀπρεπέστατον καὶ μαλακία καὶ ἀργία. Πῶς γὰρ οὔ; Τίνες οὖν μαλακαί τε καὶ ξυμποτικαὶ τῶν ἁρμονιῶν; Ἰαστὶ, ἦδ' ὅς, καὶ Λυδιστὶ, αἵτινες χαλαραὶ καλοῦνται. Ταύταις, οὖν, ὦ φίλε, ἐπὶ πολεμικῶν ἀνδρῶν ἔσθ' ὅ,τι χρήσει; Οὐδαμῶς, ἔφη· ἀλλὰ κινδυνεύει σοι δωριστὶ λείπεσθαι καὶ φρυγιστί. Οὐκ οἶδα, ἔφην ἐγὼ, τὰς ἁρμονίας, ἀλλὰ κατάλιπε ἐκείνην τὴν ἁρμονίαν, ἣ ἔν τε πολεμικῇ πράξει ὄντος ἀνδρείου καὶ ἐν πάσῃ βιαίῳ ἐργασίᾳ πρεπόντως ἂν μιμήσαιτο φθόγγους τε καὶ προσῳδίας, καὶ ἀποτυχόντος ἢ εἰς τραύματα ἢ εἰς θανάτους ἰόντος ἢ εἴς τινα ἄλλην ξυμφορὰν πεσόντος, ἐν πᾶσι τούτοις παρατεταγμένως καὶ καρτερούντως ἀμυνομένου τὴν τύχην· καὶ ἄλλην αὖ ἐν εἰρηνικῇ τε καὶ μὴ βιαίῳ, ἀλλ' ἐν ἑκουσίῳ πράξει ὄντος, ἢ τινά τι πείθοντός τε καὶ δεομένου, ἢ εὐχῇ Θεὸν ἢ διδαχῇ καὶ νουθετήσει ἄνθρωπον, ἢ τοὐναντίον ἄλλῳ δεομένῳ ἢ διδάσκοντι ἢ μεταπείθοντι ἑαυτὸν ὑπέχοντα, καὶ ἐκ τούτων πράξαντα κατὰ νοῦν, καὶ μὴ ὑπερηφάνως ἔχοντα, ἀλλὰ σωφρόνως τε καὶ μετρίως ἐν πᾶσι τούτοις πράττοντά τε καὶ τὰ ἀποβαίνοντα ἀγαπῶντα. Ταύτας δύο ἁρμονίας, βίαιον, ἑκούσιον, δυστυχούντων, εὐτυχούντων, σωφρόνων, ἀνδρείων, αἵτινες φθόγγους μιμήσονται κάλλιστα, ταύτας λεῖπε. Ἀλλ' ἦδ' ὅς, οὐκ ἄλλας αἰτεῖς λείπειν ἢ ἃς νῦν δὴ ἐγὼ ἔλεγον. Οὐκ ἄρα, ἦν δ' ἐγὼ, πολυχορδίας γε οὐδὲ παναρμονίου ἡμῖν δεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν. Οὔ μοι, ἔφη, φαίνεται, Τριγώνων ἄρα καὶ πηκτίδων καὶ πάντων ὀργάνων ὅσα πολύχορδα καὶ πολυαρμόνια, δημιουργοὺς οὐ θρέψομεν. Οὐ φαινόμεθα. Τί δέ; αὐλοποιοὺς ἢ αὐλητὰς παραδέξει εἰς τὴν πό-

λιν; ἢ οὐ τοῦτο πολυχορδότατον, καὶ αὐτὰ τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα μιμήματα; Δῆλα δή, ἦ δ' ὅς. Λύρα δή σοι, ἦν δ' ἐγώ, καὶ κιθάρα λείπεται, καὶ κατὰ πόλιν χρήσιμα, καὶ αὖ κατ' ἀγροὺς τοῖς νομεῦσι σύριγξ ἄν τις εἴη. Ὡς γοῦν, ἔφη, ὁ λόγος ἡμῖν σημαίνει. Οὐδέν γε, ἦν δ' ἐγώ, καινὸν ποιοῦμεν, ὦ φίλε, κρίνοντες τὸν Ἀπόλλω καὶ τὰ τοῦ Ἀπόλλωνος ὄργανα πρὸ Μαρσύου τε καὶ τὸν ἐκείνου ὀργάνων. Μὰ Δί', ἦ δ' ὅς, οὔ μοι φαινόμεθα. Καὶ νὴ τὸν κύνα, εἶπον, λελήθαμέν γε διακαθαίροντες πάλιν ἣν ἄρτι τρυφᾶν ἔφαμεν πόλιν. Σωφρονοῦντές γε ἡμεῖς, ἦ δ' ὅς» (ιά.). Καθίσταται δὴ οὖν τοιούτων ἕνεκα θεσμῶν ἡ Πλάτωνος πολιτεία μεγάλῳ παιδευτηρίῳ ὁμοιοτάτη καὶ ὡς ἔγγιστα οἰκίας μιᾶς τε καὶ μεγάλης. καὶ μὴν καὶ πολίτας ἀνὰ λόγον οὐ πάνυ τι συχνοὺς τὸν ἀριθμὸν εἰς ταύτην τὴν κατὰ διάνοιαν πόλιν εἰςιέναι ἐᾷ. Χιλίους γάρ που πολίτας δραστικοὺς πάνυ αὐτάρκεις ἡγεῖται πρὸς σύστασιν τῆς πολιτείας.

Δ'. *Γενικά τινα αἰτήματα περὶ τῆς Πλάτωνος πολιτείας.*

Ἄξιον δὲ μάλιστα τοῦτ' ἐνταῦθα σκέψασθαι· πότερον ὁδωτὴν ἄρα καὶ ἀνυστὴν ταυτηνὶ τὴν πολιτείαν ὁ Πλάτων ἡγήσατο ἢ ἁπλῆν τιν' ἰδέαν καὶ ψιλὸν φαντασίας εἴδωλον ἐπῆλθεν αὐτῷ λόγοις ὑποτυπῶσαι, εὖ εἰδότι ὡς οὐχ οἷόν τε εἴη ἔργῳ ποτὲ αὐτὴν ἐν ἀνθρώποις ἀποδεῖξαι, ἀλλ' εἴπερ ποτέ τι καὶ ὄφελος αὐτῆς, ὡς

(ιά.) Πλ. πολ. Γ, τῃη — υγ'.—

θείου τινὸς παραδείγματος (πολιτ. Θ, σ. φϟβ', β.), τάχ' ἂν που τοῦ λοιποῦ οὐκ ἀλυσιτελὴς ἔσοιτο εἰς τὸ τὰς ὑπαρχούσας πόλεις κατ' αὐτήν γε ἐκ τῶν ἐνόντων μάλιστα διακοσμεῖν τε ἑκάστοτε καὶ βελτιοῦν. Τὸ γοῦν ἐπ' ἐμοὶ, τὸ πρῶτον δοκεῖ μοι πιθανώτερον εἶναι διὰ τοὺς ἐφεξῆς μάλιστα λόγους.

Πρῶτον μὲν γὰρ σαφῶς τε καὶ πολλαχοῦ ὁ Πλάτων ἀποφαίνεται ὡς χαλεπόν μέν ἐστι τὴν ἀρίστην ταύτην πολιτείαν ἐν ἀνθρώποις γενέσθαι, οὐ μέντοι ἀδύνατον, ἀλλ' εἴπερ τὸ ἀνθρώπων γένος εὖ ποιητέον ἐστὶ, δῆλον ἔφη καὶ τὴν πόλιν ἐκείνην ἀναγκαιοτάτην ἡγητέον εἶναι. ς', σ. υϟθ'. — Ζ', σ. φϐ'. φμ'. — Ἔτι δὲ οὐδεμίαν ἄλλην τῶν ἐν ἀνθρώποις πόλεων ἀξίαν εἶναι ἔφη πόλιν κεκλῆσθαι πλήν γε τῆς ἑαυτοῦ, μόνης ἀληθινῆς πόλεως οὔσης. Δ', σ. υκϐ'. Οὐδὲν δὲ πρὸς ταῦτα, εἴ περ ἐν ἐννάτῳ τῆς πολιτείας (σ. φϟϐ'.) φησὶν ὅτι ἡ ἑαυτοῦ πόλις ἐν λόγοις κειμένη, γῆς δ' οὐδαμοῦ ὑπάρχουσα, « ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ βουλομένῳ ὁρᾷν καὶ ὁρῶντι ἑαυτὸν κατοικίζειν. » καὶ γὰρ οὐδεμία τῶν πρώην γενομένων πόλεων παραπλησία ὑπῆρχε ταύτῃ τῇ ἐν λόγοις κειμένῃ πόλει, ἥ γε δὴ καὶ συντετάχθαι ἔοικεν ὑπὸ τοῦ Πλάτωνος, ἐφ' ᾧ τε ἔργῳ ποτὲ ἀποδειχθῆναι ἐν τῷ μέλλοντι χρόνῳ.

Δεύτερον δὲ καὶ τὸν τρόπον ἐμφανῶς εἰσηγεῖται, δι' οὗ ἡ μεταβολὴ ἑκάστης τῶν ὑπαρχουσῶν πόλεων εἰς τὴν ὑπ' αὐτοῦ ὡς ἄριστ' οἰκισθεῖσαν γένοιτ' ἄν. λέγει γὰρ οὑτωσί. « Ξυγχωρεῖτε (ὦ ἄνδρες) περὶ τῆς πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν ἡμᾶς εὐχὰς εἰρηκέναι, ἀλλὰ χαλεπὰ μὲν, δυνατὰ δέ πῃ, καὶ οὐκ ἄλλῃ εἴρηται, ὅταν οἱ ὡς ἀληθῶς φιλόσοφοι δυνάσται, ἢ

πλείους ἢ εἷς, ἐν πόλει γενόμενοι τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίας, τὸ δὲ ὀρθὸν περὶ πλείστου ποιησάμενοι καὶ τὰς ἀπὸ τούτου τιμὰς, μέγιστον δὲ καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ δὴ ὑπηρετοῦντές τε καὶ αὔξοντες αὐτὸ διασκευωρήσωνται τὴν ἑαυτῶν πόλιν; — Ὅσοι μὲν ἂν πρεσβύτεροι τυγχάνωσι δεκετῶν ἐν τῇ πόλει, πάντας ἐκπέμψωσιν εἰς τοὺς ἀγροὺς, τοὺς δὲ παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν νῦν ἠθῶν, ἃ καὶ οἱ γονῆς ἔχουσι, θρέψωνται ἐν τοῖς σφετέροις τρόποις καὶ νόμοις, οὖσιν οἵοις διεληλύθαμεν τότε. Καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε καὶ πολιτείαν, ἣν ἐλέγομεν, καταστᾶσαν αὐτήν τε εὐδαιμονήσειν καὶ τὸ ἔθνος, ἐν ᾧ ἂν ἐγγένηται, πλεῖστα ὀνήσειν, » Ζ΄, σ. φμα΄. — Αὕτη δὴ ἡ εἰσήγησις λαμπρῶς ἀντιμάχεται πρὸς τὴν δόξαν λεγόντων ὅτι καὶ αὐτὸς ὁ Πλάτων ἀδύνατον καὶ ἀτέλεστον τὴν ἑαυτοῦ πολιτείαν ἐν ἀνθρώποις ἡγεῖτο.

Τρίτον δὲ καὶ ὁ Ἀριστοτέλης ἤδη τὴν Πλατωνικὴν ἐπικρίνων πολιτείαν ἐκ ταύτης μάλιστα τῆς ὑποθέσεως παρ' ὅλην τὴν κρίσιν ὁρμᾶται, ὅτι πάνθ' ὅσα ἐν αὐτῇ ὁ Πλάτων ἐθέσπισε σπουδῇ καὶ οὐ τηνάλλως ἐθέσπισεν.

Τέταρτος δὲ καὶ κυριώτατος πάντων λόγος οὗτός ἐστιν· πᾶν ὅ,τι ἐν τῇ Πλάτωνος ἰδανικῇ πολιτείᾳ ὡς οὐ πρακτικὸν οὐδ' ἀνυστὸν εἶναι δοκεῖ, μόνον κατὰ τὴν περὶ πολιτείας δόξαν τῶν νεωτέρων τοιοῦτόν τι ἐξελέγχεται εἶναι, οὐ μέντοι καὶ κατὰ τὴν παρὰ τοῖς πάλαι Ἕλλησιν ἰσχύσασαν. καὶ γὰρ ἱκανῶς πάνυ ὑπὸ

τινων (ιϐ′) δέδεικται ὅτι πάσας τὰς ἐν τῇ ἑαυτοῦ πολιτείᾳ οἷον βάσεις ὑποκειμένας ἀρχὰς ὁ Πλάτων ἐξ ἔργῳ κειμένων πόλεων παρειλήφει, καθόλου μὲν τὸν παρὰ τοῖς Δωριεῦσιν ἐπαινετὸν τρόπον τοῦ βίου καὶ τὴν πολιτείαν περὶ πλείστου ἡγησάμενος, ἰδίᾳ δὲ τοὺς τῆς Σπαρτιατικῆς πόλεως θεσμοὺς καὶ μάλα ἐζηλωκώς. Μαρτυρεῖ δὲ τῷ λόγῳ ἱκανῶς, πρῶτον μὲν ὅτι ὁ καθόλου χαρακτὴρ τῆς Πλατωνικῆς πόλεως ἀριστοκρατικώτατα ἡρμοσμένος φαίνεται, καθ᾽ ὃν πάντες οἱ ἰδίᾳ πολῖται τῷ κοινῷ τῆς πόλεως ἀπαραιτήτως εἰς πᾶν ὑπακούειν ὀφείλουσιν, εἶτα δὲ ἡ ἐκ παντὸς τρόπου σκοπουμένη ἐν αὐτῇ συναρμογὴ τῶν μερῶν εἰς σύστημά τι ἑνιαῖον, τὸ τῆς διαίτης λιτὸν, τὰ τῶν στρατιωτῶν συσσίτια, τὸ μὴ ἐξεῖναι αὐτοῖς γῆν τε ἐργάζεσθαι καὶ ἄλλως χρηματίζεσθαι, ἡ τῶν δημιουργῶν στάσις ἤτοι τὸ τρίτον γένος τῶν πολιτῶν ἀμφοτέροις τοῖς ἄλλοις γένεσι κατὰ πάντα ὑποτεταγμένον, ἔτι δὲ τὸ τὰς γυναῖκας τῶν γυμνικῶν ἀσκήσεων παραπλησίως τοῖς ἀνδράσι μεταλαγχάνειν, ἡ τῶν γάμων διακόσμησις καὶ ἡ ἀγωγὴ καὶ παιδεία τῶν παίδων δημοσίᾳ ὑπὸ τῆς πόλεως γιγνομένη, τό τε σεμνὸν καὶ ἁπλοῦν τὸ ἐν ποιήσει τε καὶ μουσικῇ ἐπιζητούμενον καὶ τέλος ἡ τῶν νοσακερῶν καὶ ἀναπήρων τέκνων ἔκθεσις· πᾶσαι γὰρ αὗται αἱ διακοσμήσεις καὶ οἱ θεσμοὶ τῆς Πλατωνικῆς πολιτείας ἔχουσι τὰ παράλληλα ἐν τῇ Σπαρτιατικῇ. Ἀλλὰ καὶ περὶ ἄλλων τινῶν, ἐν οἷς ἐστι καὶ τὸ τὰς γυναῖκάς τε

(ιϐ′) Ἔπιθι Ἑωςφόρου [Morgenstern] Comm: de Plat. Rep. p. 305. . . καὶ Κ. Εἰρην. Ἑρμάννου « περὶ τῆς ἱστορικῆς ὕλης τῆς Πλάτωνος πολιτείας, » τῶν ἀναλέκτων διατριϐῶν σ. 432 κεφ ξ.

καὶ τὰς κτήσεις πᾶσι κοινὰς νομίζειν, ἔχοι τις ἂν ἀνάλογόν τι ἐν τῇ Σπαρτιατικῇ πολιτείᾳ ὡςαύτως εὑρεῖν. Ὥςτε οὐκ ἀπεικότως ἄν τις εἴποι τὸν Πλάτωνα τὰς ἰδέας καὶ τοῦ δημοσίᾳ βίου τὰς ἀξιώσεις, ἐφ' ὧν ἡ τῶν Σπαρτιατῶν πολιτεία, ὥς γ' εἰπεῖν, ἐκρηπιδοῦτο, παραλαβόντα ἐπὶ τὸ συστηματικώτερον ἐξ αὐτῶν συναπεργάσασθαι τὴν ἑαυτοῦ πολιτείαν (ιγ'.). ἀλλὰ τοῦτό γε οὔπω ἡμῖν ἐμφαίνει ὅτι πασῶν τῶν ἄλλων πόλεων πρὸς τὰ τῆς Σπάρτης διαφερόντως ὁ Πλάτων εὔνους ὢν διετέλει· καὶ γὰρ οὐδ' ὁπωςτιοῦν περὶ τὰς ἐλλείψεις καὶ τὰ ἐπιλήψιμα τῆς πολιτείας ἐκείνης τυφλώσσων φαίνεται, ὡς ἡ δριμεῖά τε καὶ εὔστοχος ἐπίκρισις διαδηλοῖ, ἣν ἐν ὀγδόῳ τῆς πολιτείας (σ. φμζ'. κ.ε.φ.) περὶ αὐτῆς ποιεῖται. ἀλλ' ὡς ὑπογραμμὸν αὐτὴν προεστήσατο καθ' ὅσον ἐγγυτάτω τοῦ ἰδανικοῦ παραδείγματος τῆς καθόλου πόλεως πρὸς τὴν πρακτικὴν χρείαν αὐτῷ ἔδοξεν εἶναι πασῶν τῶν ἄλλων. Ἡ δὲ τοῦ Λυκούργου νομοθεσία καὶ πολλῷ πρότερον ἤδη τοῦ Πλάτωνος ἐν παρακμῇ ὑπῆρχεν, οἷον μηχανή τις δυςκίνητος καὶ ἀδρανὴς καταστᾶσα. Ἀλλ' αὐτὸ τοῦτο μάλιστα καὶ τὸν Πλάτωνα ἐκίνησε τῶν ταύτῃ τῇ πόλει ὑποκειμένων ἰδεῶν τὰς οὐσιωδεστάτας πασῶν τῶν ἐν χρόνῳ παραφθορῶν ἀποχωρίσαντα, καθ' ἑαυτὰς τέχνῃ διαλεκτῇ ὡς δυνατὸν κάλλιστα διασαφῆσαι. τό, τε μετάρσιον τῆς Πλατωνικῆς πολιτείας καί πως ἄκρατον εἶναι δοκοῦν καὶ ἡ πέραν γε τοῦ εἰκότος καὶ

(ιγ'.) Διὸ καὶ τὸ τοῦ Πλουτάρχου λόγον ἔχει ὅπερ ἐν ὀγδόῳ τῶν συμποσιακῶν προβλημάτων λέγει ὅτι Πλάτων τῷ Σωκράτει τὸν Λυκοῦργον ἀνεμίγνυεν οὐχ ἧττον ἢ τὸν Πυθαγόραν.

τοῖς νῦν δὴ παρ' ἡμῖν περὶ πολιτείας νομιζομένοις ὅλως ἀπᾴδουσα περιστολὴ τῆς ἰδίᾳ ἐλευθερίας καὶ ὕπειξις ἀναγκαία καὶ δουλία τῇ κοινῇ ἁπάσης τῆς πόλεως λογιζομένῃ εὐπραγίᾳ, καὶ τέλος τὸ οὐδαμοῦ φαίνεσθαι τὸν ἰδίᾳ βίον πρὸς τὸν δημόσιον, πᾶν τὸ τοιοῦτον οὐκ ἄν τις ἐνδίκως ὡς μόνῃ τῇ παρὰ Πλάτωνι ἐν λόγοις κειμένῃ πόλει ἴδιον ἀναθείη, ἀλλὰ τῇ τηνικαῦτα παρὰ πᾶσι τοῖς Ἕλλησιν ἰσχυούσῃ δόξῃ περὶ πόλεως ἐν γένει ἀποδοτέον, ὅ δὴ ἐν τῇ Σπαρτιατικῇ πολιτείᾳ κατ' ἐξοχὴν διεφαίνετο. Ὄντως δὲ τῷ Πλάτωνι ἰδιάζον ἐςὶ τὸ πάσης κτήσεως ἰδίας παντελῶς ὀλιγωρεῖν, ἥν περ μόνοις τοῖς ὑποδεεστέροις τῶν γενῶν προςένειμε, τὰ λοιπὰ δύο τὰ ἐπιφανέστερα ἁγνὰ καὶ ἀμίαντα τοῦ πράγματος τούτου φυλάξας. διαγνοίη δ' ἄν τις κἂν τούτῳ ἐναργῶς τὴν Σωκρατικὴν καταφρόνησιν τῶν ἐξωτερικῶν ἀγαθῶν, ἥν περ καὶ Πλάτων εἴς τε τὴν ἠθικὴν καὶ πολιτικὴν μετήνεγκεν. Ἔτι δὲ ἴδιον τῷ Πλάτωνί ἐστι καὶ τὸ τοὺς φιλοσόφους εὔχεσθαι ἄρχειν τῆς πόλεως συμπάσης, ἀλλὰ κἂν τούτῳ πάλιν δῆλός ἐστι τῶν Σωκράτους φθεγμάτων ἐχόμενος, ὅς γε πολὺς ἦν ἀεὶ διδάσκων πρώτιστον καὶ κάλλιστον ἀνθρώπῳ κτῆμα εἶναι τὴν μετὰ λόγου σύνεσίν τε καὶ φρόνησιν. πλὴν δὲ τούτου καὶ τάδε τῷ Σωκράτει περὶ τοῦ αὐτοῦ ἐν τοῖς ἀπομνημονεύμασιν ὁ Ξενοφῶν ἀνατίθησι λέγοντι· «βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. Ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ,τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου

τὸ πείθεσθαι, ἐπεδείκνυεν, ἔν τε νηῒ τὸν μὲν ἐπιςάμενον, ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηῒ πάντας, πειθομένους τῷ ἐπισταμένῳ· καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς· καὶ ἐν νόσῳ, τοὺς νοσοῦντας· καὶ ἐν σωμασκίᾳ, τοὺς σωμασκοῦντας· καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι.» (Γ, κεφ. θ. 10...) Οὕτω τοίνυν καὶ Πλάτων εὔχεταί τε καὶ ἐλπίζει ὅτι ἡ Μοῦσα ποτὲ, ἤτοι ἡ φρόνησις ἡ μετὰ παιδείας καλῆς δεσπότις τῆς πόλεως ἔσεται.

Ὅμως δ' οὖν περὶ τούτου ὧδε μᾶλλον ῥητέον μοι δοκεῖ, ὡς εἰ καὶ τὸ ἤδη λεχθὲν, ὡς χρὴ ἄρα τὸν σοφὸν ἄνδρα καὶ συνετὸν πάντων τοῖς ἄλλοις ἡγεῖσθαι, διδασκαλία τε καὶ εὐχὴ παρὰ τῷ Σωκράτει παρ' ὅλον τὸν βίον ἐγένετο, Πλάτωνι μέντοι αὐτὴν ἰδιαίτατα ἀποδοτέον, ὅς διὰ μακρῶν ἄλλοθι πολλαχοῦ καὶ ἐν πολιτείᾳ κάλλιστ' ἀνθρώπων διεσάφησε καί που ἀνακεφαλαιοῖ τόνδε τὸν τρόπον λέγων· — « ἐλέγομεν, ὑπὸ τἀληθοῦς ἠναγκασμένοι, ὅτι οὔτε πόλις οὔτε πολιτεία οὐδέ γ' ἀνὴρ ὁμοίως μήποτε γένηται τέλεος, πρὶν ἂν τοῖς φιλοσόφοις τούτοις τοῖς ὀλίγοις καὶ οὐ πονηροῖς, ἀχρήστοις δὲ νῦν κεκλημένοις, ἀνάγκη τις ἐκ τύχης παραβάλῃ, εἴτε βούλονται εἴτε μή, πόλεως ἐπιμεληθῆναι καὶ τῇ πόλει κατήκοοι γενέσθαι, ἢ τῶν νῦν ἐν δυναστείαις ἢ

βασιλείαις ὄντων υἱέσιν ἢ αὐτοῖς ἔκ τινος θείας ἐπιπνοίας ἀληθινῆς φιλοσοφίας ἀληθινὸς ἔρως ἐμπέσῃ. πολιτ. σ. υ̃7θ'. πρβλ. δὲ καὶ φμέ— φμή'.

§ λ'. Ὀλίγα τινὰ περὶ τῆς παλαιᾶς Ἀκαδημίας.

Κατέλιπε δ' ὁ Πλάτων ἐν τῇ Ἀκαδημίᾳ διάδοχον τὸν ἑαυτοῦ ἀδελφιδοῦν Σπεύσιππον, ὅς ἐπὶ ὀκτὼ ἔτη τῶν ἐν αὐτῇ φιλοσοφούντων καθηγήσατο (ἤτουν ἀπὸ τοῦ τμζ' μέχρι τοῦ τλθ' ἔτους π. χ.). Τοῦτον δὲ διεδέξατο Ξενοκράτης ὁ ἐπὶ σωφροσύνῃ ἄκρᾳ καὶ δικαιοσύνῃ πάνυ ὀνομαστὸς γενόμενος, ὡς φησι Διογένης ὁ Λαέρτιος (Δ, ζ'.). προέστη δὲ τῆς Ἀκαδημίας πέντε καὶ εἴκοσι ἔτη (ἀπὸ τοῦ τλθ'. μέχρι τοῦ τιδ'. ἔτους π. χ.). Μετὰ δὲ τοῦτον Πολέμων αὐτῆς ἐσχολάρχησεν ἀπὸ τοῦ τιδ' μέχρι τοῦ σό ἔτους π. χ. μετὰ δὲ Πολέμωνα Κράτης καθηγήσατο, μεθ' ὃν Ἀρκεσίλαος, ὃς καὶ ἀρχηγὸς ἐγένετο τῆς μέσης λεγομένης Ἀκαδημίας.

Ἡ δ' οὖν ἀρχαία λεγομένη Ἀκαδημία οὐ πάνυ τι ἐς φιλοσοφικὴν ἐπίδοσιν γόνιμον φύσιν ἀνέδειξεν. καὶ γὰρ πάντες οἱ θιασῶται αὐτῆς διετέλεσαν τὰ πολλὰ ἐπὶ τὸ Πυθαγορικώτερον Πλατωνίζοντες· ἐπεὶ καὶ Πλάτων αὐτὸς γηραιὸς ἤδη ὢν μᾶλλον καὶ μᾶλλον τὰ τῶν Πυθαγορείων προςίετο δόγματα. Ἀλλὰ δυςξυμβλήτοις τισὶ θεωρίαις ἑπόμενοι ἀνεβάλοντο συμβιβάσαι τὴν ἰδεολογίαν τῇ τῶν Πυθαγορείων ἀριθμολογίᾳ συγκαταμιγνύντες. Ἴσως δ' ἄν, οἶμαι, ἱκανῶς τὸν τρόπον τοῦτον τοῦ φιλοσοφεῖν ἡ Ξενοκράτους ῥῆσις δηλώσειε, « τῆς ψυχῆς τὴν οὐσίαν ἀριθμὸν αὐτὸν ὑφ' ἑαυτοῦ κινούμενον, » ἀποφηναμένου. (Πλουτ. « περὶ τῆς ἐν Τιμαίῳ ψυχογονίας » κεφ. α^ον^.).

Κατέστησαν δὲ ἀπὸ τοῦ νῦν αἱ Ἀθήνησι τῶν φιλοσοφούντων ὁμηγύρεις τέλεια διδακτικὰ ἐγκαθιδρύματα καὶ ἑταιρεῖαι, ὧν καθηγοῦντο ἤδη ἄνδρες κατά τινα θεσπίσματα ἀκίνητα ἀλλήλους διαδεχόμενοι. ἐκέκτηντο δὲ καὶ τόπον ἴδιον ἐν ᾧ τὰς φιλοσόφους διατριβὰς ἐποιοῦντο κατὰ διαδοχὴν παραδιδόμενον τῷ ἀεὶ ἐπιγιγνομένῳ, ἔτι δὲ καὶ κτήματα ἄλλα, ὧν τὰς προσόδους ὁ Σχολάρχης ἀπελάμβανεν. πρβλ. δὲ καὶ Σουμπτίου τὸ « περὶ τῆς καταστάσεως τῶν Ἀθήνησι φιλοσοφικῶν σχολῶν καὶ τῆς διαδοχῆς τῶν σχολαρχῶν» ͵αωμγ΄.

§ λα΄. Περὶ Ἀριστοτέλους.

Ἀριστοτέλης κατὰ τὴν Ἀπολλοδώρου μαρτυρίαν ἐγεννήθη τῷ πρώτῳ ἔτει τῆς ἐννάτης καὶ ἐνενηκοστῆς ὀλυμπιάδος ἤτοι περὶ τὰ τπέ. π. χ. ἐν Σταγείροις, ἑλληνικῇ ἀποικίᾳ, οὐ πόῤῥω τοῦ Ἄθω κειμένῃ. Νικόμαχος δὲ ὁ πατὴρ αὐτοῦ ἰατρὸς ἐγένετο Ἀμύντου τοῦ Μακεδόνων βασιλέως καὶ πατρὸς τοῦ Φιλίππου. καὶ τοῦτο, ὡς ἔοικεν, ἦν ἡ πρώτη αἰτία, δι' ἣν ὕστερον ὁ Ἀριστοτέλης ὡς διδάσκαλος προςεκλήθη Ἀλεξάνδρου τοῦ Μεγάλου παρὰ τῇ Μακεδονικῇ αὐλῇ. Εὕρηται δὲ παρὰ Γελλίῳ (N. A. IX, 3.) καὶ ἐπιστολὴ ἐν ᾗ Φίλιππος Ἀριστοτέλει τὴν Ἀλεξάνδρου γένεσιν ἀναγγέλλει (ά.). Αὕτη δὲ ἡ ἐπιστολή, εἴπερ γνησία ὑπῆρχεν,

(α) Philippus Aristoteli salutem dicit. Filium mihi genitum scito. quod equidem diis habeo gratiam : non proinde, quia natus est, quam pro eo, quod cum nasci contigit temporibus vitae tuae. Spero enim fore, ut eductus eruditusque abs te dignus existat et nobis et rerum istarum susceptione.

ἐδήλου ἂν τὸν Ἀριστοτέλη ἀντεπιστέλλοντα διατελέσαι τῇ τῶν Μακεδόνων βασιλικῇ αὐλῇ. Ἑπτακαιδεκαετὲς δὲ μειράκιον γεγονὼς, ἐπορεύθη Ἀθήναζε, διαφερόντως ἤδη ἐν παιδείᾳ καὶ μαθήσεσι παντοδαπαῖς τῆς Ἑλλάδος ἁπάσης προεχούσας, ἔνθα καὶ εἴκοσιν ὅλα ἔτη διέτριψε μέχρι τῆς Πλάτωνος τελευτῆς [ἀμφὶ τὸ τμζ' ἔτος π.χ. συμβάσης]. Περὶ δὲ τῆς σχέσεως αὐτοῦ πρὸς Πλάτωνα παντοῖαι φῆμαι καὶ ἀνέκδοτα διατεθρύλληνται. ὥςπερ καὶ Αἰλιανὸς (ποικ. ἱστορ. Γ, κεφ. ιθ'.) φησὶ, πρῶτον μὲν ὁ Πλάτων « οὐκ ἠρέσατο αὐτοῦ τῷ βίῳ, οὐδὲ τῇ κατασκευῇ τῇ περὶ τὸ σῶμα· καὶ γὰρ ἐσθῆτι ἐχρῆτο περιέργῳ ὁ Ἀριστοτέλης καὶ ὑποδέσει· καὶ κουρὰν δὲ ἐκείρετο καὶ ταύτην ἀήθη Πλάτωνι. καὶ δακτυλίους δὲ πολλοὺς φορῶν ἐκαλλύνετο ἐπὶ τούτῳ· καὶ μωκία δέ τις ἦν αὐτοῦ περὶ τὸ πρόσωπον καὶ ἄκαιρος στωμυλία λαλοῦντος κατηγόρει καὶ αὕτη τὸν τρόπον αὐτοῦ.— ἅπερ οὖν ὁρῶν ὁ Πλάτων οὐ προςίετο τὸν ἄνδρα.» Ἀλλὰ καὶ ὁ Ἀριστοτέλης τῷ Πλάτωνι διὰ βαθὺ γῆρας ἐπιλήσμονί πως καταστάντι ἐπέθετό τε καὶ ἐπεβούλευε· « καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιούμενος καὶ τρόπον τινὰ καὶ ἐλεγκτικῶς, ἀδικῶν ἅμα καὶ ἀγνωμονῶν ἦν δῆλος. καὶ διὰ ταῦτα ἀποστὰς ὁ Πλάτων τοῦ ἔξω περιπάτου, ἔνδον ἐβάδιζε σὺν τοῖς ἑταίροις.» καὶ ἀχαριςίαν τῷ Ἀριςοτέλει ἐπιμεμφόμενος ἀφωμοίου αὐτὸν πρὸς πῶλον, ὅς ἐπὰν τοῦ μητρῴου κορεσθῇ γάλακτος, λακτίζει τὴν μητέρα (β'.). Ἔοικε δὲ τοιαύτας

(β'.) Αἰλιανοῦ ποικ. ἱστορ. Δ, κεφ. θ'. — Διογ, Λαερ. Ε, β'. — Πρβλ. Φωτ. κώδ. σοθ'. σ. φλγ', β, ιδ'. Ἀριστοτέλης ὑπὸ Πλάτωνος ἵππος ἐπωνομάζετο, ἐναντιοῦσθαι δοκῶν τῷ διδασκάλῳ· καὶ γὰρ ὁ ἵππος φιλεῖ τὸν ἑαυτοῦ πατέρα δάκνειν.

τινὰς φήμας οὐκ ὀλίγον παρὰ τοῖς πάλαι διαδεδόσθαι· καὶ γὰρ καὶ οἱ ὕστερον συγγραφεῖς συχνάκις τῷ Ἀριστοτέλει ἀχαριστίαν ἐγκαλοῦσιν. Ἀφεκτέον μέντοι τοῦ πολὺ νέμειν τοῖς τοιούτοις διηγήμασιν, ἅπερ οἱ θιασῶται τῶν ἀντιμαχομένων αἱρέσεων ἐπινοεῖν τε καὶ διασπείρειν εἰώθεσαν, ζήλῳ καὶ μίσει κινούμενοι. Ἀλλ' οὐδὲν ἧσσον οὐ πάμπαν ἀπιθάνῳ ἔοικεν ὅτι ἡ ἐλευθέρα καὶ ἀνεπηρέαστος ὁρμὴ καὶ τὸ παραλλάσσον τῆς Ἀριστοτέλους διανοίας διαφορᾶς τινος καὶ ἔριδος παραίτιον ἐγένετο πρὸς τὸν Πλάτωνα, ὁπότε γε ὁ Ἀριστοτέλης δριμύτερόν πως πρὸς τὸν γηραιότερον ἤδη διδάσκαλον προςηνέχθη. ἔτι δὲ καὶ ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν ὁ Ἀριστοτέλης ἀμελέστερόν πως φαίνεται ἔχων τῆς πρὸς τὸν Πλάτωνα ὀφειλομένης εὐσεβείας (γ'.).

Περὶ δὲ τὸ τμγ' ἔτος π. Χ. μετεπέμψατο αὐτὸν Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἐπὶ τῷ παιδεῦσαι καὶ δι-

(γ'.) Ὡς δηλοῦσι μάλιστα φράσεις τινὲς ψυχρότερον τοῦ προσήκοντος τὸν Πλάτωνα ὑπαινισσόμεναι, ἐκεῖνο τὸ « ὥς λέγουσί τινες, καὶ τὸ φασί τινες, τὶς τῶν πρότερον » καὶ τὰ παραπλήσια. (Πολιτ. Δ, ϐ'.) Ἀντιλέγων μέντοι πρὸς τὴν περὶ τῶν ἰδεῶν θεωρίαν (Μεταφ. Α, θ'.) χρῆται ἐνίοτε φράσεσιν ὡς ἀπὸ κοινοῦ, οἷον οἱ Πλατωνικοὶ λ έ γ ο μ εν, (πρβλ. καὶ τὴν ἐμὴν σημείωσιν εἰς Α, θ', δ'.) « ἔτι καθ' οὓς τρόπους δείκνυμεν, ὅτι ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων. » καὶ φιλοφρόνως δὲ ἀποφαίνεται ἐν ἠθικοῖς Νικομαχείοις, (Α, δ'. σ. αϠϛ', ά, ιϐ'.) ὅταν λέγῃ, τὸ δ' ἀντιπεῖν πρὸς τὴν περὶ τῶν ἰδεῶν θεωρίαν ἴσως ἀναγκαῖον, « καίπερ προςάντους τῆς τοιαύτης ζητήσεως γινομένης, διὰ τὸ φίλους ἄνδρας εἰςαγαγεῖν τὰ εἴδη. δόξειε δ' ἂν ἴσως βέλτιον εἶναι καὶ δεῖν ἐπὶ σωτηρίᾳ τῆς ἀληθείας καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἄλλως τε καὶ φιλοσόφους ὄντας. ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὅσιον προτιμᾷν τὴν ἀλήθειαν. » Καὶ ἐν πολιτικοῖς (β, γ', γ'.), « τὸ μὲν οὖν περιττὸν ἔχουσι πάντες οἱ τοῦ Σωκράτους λόγοι καὶ τὸ κομψὸν καὶ τὸ καινοτόμον καὶ τὸ ζητητικὸν, καλῶς δὲ πάντα ἴσως χαλεπόν. »

δάξαι τὸν ἑαυτοῦ παῖδα Ἀλέξανδρον δεκατριῶν ἤδη ἐτῶν γεγονότα. ὅσον δὲ εὔμουσον καὶ ἀστεῖον τὸ ἦθος τοῦ ἑαυτοῦ παιδεύματος ὁ Ἀριστοτέλης διέπλασε, μαρτυρεῖ ἱκανῶς ὁ ἔρως καὶ ἡ στοργή, ἣν διετέλει ἔχων ὁ Ἀλέξανδρος πρός τε τὴν ποίησιν (δ) καὶ τὰς ἄλλας ἐπιστήμας (ε). Ἀλεξάνδρου δ' ἤδη ἐπιχειροῦντος στρατηλατεῖν ἐπὶ τοὺς Πέρσας, ἐπανελθὼν ὁ Ἀριστοτέλης Ἀθήναζε, ἰδίαν φιλοσοφικὴν σχολὴν συνεστήσατο ἐν Λυκείῳ, ὅπερ ἦν γυμνάσιον συσκίοις περιπάτοις περιειλημμένον. Ἐν σκιᾷ δὲ ὑπὸ τοῖς δένδρεσιν ἐκείνοις σὺν τοῖς ὁμιληταῖς περιπατῶν εἰώθει τὰ πολλὰ φιλοσοφεῖν, παρ' ὃ καὶ ἡ αἵρεσις παρωνύμως ἐκέκλητο περιπατη-

(δ'.) « Καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων (ὁ Ἀλέξανδρος), ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δ' ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκεν. » Πλούτ. ἐν Ἀλεξ. η'.

(ε'.) « Ἔοικε δ' Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀποῤῥήτων καὶ βαθυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες οὐκ ἐξέφερον εἰς πολλούς, μετασχεῖν. Ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκώς, καὶ πυθόμενος λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων ὑπ' Ἀριστοτέλους ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παῤῥησιαζόμενος ἐπιστολήν, ἧς ἀντίγραφόν ἐστιν. « Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν. Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν. ἔῤῥωσο. » Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων· Ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα, τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται. » Ταῦτα δὲ καὶ παρὰ Gell. N. A. XX, 5, 7.

τική (ϛ'). Καὶ λέγεται τῆς μὲν πρωίας ἀκροαματικὰς ἤτοι ὅλως ἐπιστημονικὰς ἀγορεύσεις ποιεῖσθαι, πρὸς ἑσπέραν δὲ ἐξωτερικὰς τουτέστι δημοτικάς. Καὶ τὰς μὲν ἀκροαματικὰς πρὸς τοὺς οἰκειοτέρους τῶν συνόντων, τὰς δὲ ἐξωτερικὰς πρὸς τοὺς ἔξωθεν αὐτῷ προσερχομένους (ζ'). Οὐδεμία δὲ ἄλλη φιλοσοφικὴ σχολὴ φαίνεται κατ' ἐκεῖνον τὸν χρόνον οὕτω συχναζομένη ὡς ἡ Ἀριστοτέλους· πολλοὶ γοῦν τῶν τότε ἐπιφανῶν ἀνδρῶν μαθηταὶ αὐτοῦ γεγονέναι μνημονεύονται. Εἰς ταύτην δὲ τὴν Ἀθήνησι διατριβὴν συμπίπτει ἀναμφιλέκτως καὶ τῶν πλείστων συγγραμμάτων αὐτοῦ ἡ σύνταξις. Πρὸς δὲ τοῦτο συνεπελάβετο αὐτῷ γενναιότατα καὶ ὁ Ἀλέξανδρος, ὃς καὶ λέγεται οὐ μόνον πρὸς σύνταξιν τῆς διεξοδικῆς περὶ ζώων ἱστορίας (Ζωολογίας) ὀκτακόσια τάλαντα αὐτῷ δωρῆσαι (η'), ἀλλὰ καὶ πολλὰς χιλιάδας ἀνθρώπων κυνηγῶν τε καὶ ἁλιέων ἢ παραδείσων τε καὶ ὀρνιθώνων ἐπιστατεῖν ἔργον ἐχόντων ὑπ' ἐκείνῳ καταστῆσαί τε καὶ παραγγεῖλαι γνωστὸν αὐτῷ ποιεῖν πᾶν ὅ,τι περὶ ταῦτα ἄξιον λόγου ἑκάστοτε συμβαίνοι (θ). Εἰ δέ τις καὶ λόγον ἔχοι τὴν μαρτυρίαν

(ϛ') Cic Acad. Post. I, 4, 17: qui erant cum Aristotele, peripatetici dicti sunt, quia disputabant inambulantes in Lyceo. — Διογ. Λαερ. Ε. β'. —

(ζ') Gell. N. A. XX, 5. —

(ή) Ἀθην. Θ, νή. σ. τ7ή, ε.

(θ) Plin. H. N. VIII, 17. § 44: Alexandro magno rege inflammato cupidine animalium naturas noscendi, delegataque hac commentatione Aristoteli, aliquot millia hominum in totius Asiae Graeciaeque tractu parere jussa, quos venatus, aucupia piscatusque alebant, quibusque vivaria (θηριοτροφεῖα), armenta, alvearia (σίμβλα), piscinae (ἰχθυοτροφεῖα), aviaria (ὀρνιθοτροφεῖα) in cura

ταύτην ὡς ὑπερβολικὴν ὑπολαβεῖν, τοσοῦτον μέντοι ἀληθὲς πάντως ἐστὶν, ὅτι ἄνευ τῆς Ἀλεξάνδρου μεγαλοδωρίας οὐχ οἷός τ' ἂν ἦν ὁ Ἀριστοτέλης οὔτε σὺν δαπάνῃ ἁδρᾷ πλουσίαν βιβλίων συλλογὴν ποιήσασθαι οὔτε ἐρεύνας περὶ πολιτευμάτων παμπόλλων πόλεων ἐπιχειρῆσαι, οὐδὲ τὴν ἀναγκαίαν ὕλην πρὸς σύνταξιν τῆς ἑαυτοῦ ζωολογίας πορισθῆναι. Ὑστέρῳ μέντοι χρόνῳ ἐξέπεσε ταύτης τῆς εὐνοίας τῆς παρὰ τοῦ Ἀλεξάνδρου· καὶ γὰρ οὗτος ἣν ὀργὴν αὐτῷ ἐξῆψεν ἡ θρασυτέρα τοῦ Καλλισθένους παῤῥησία ἐξέτρεψεν καὶ ἐπὶ τὸν συστήσαντα Ἀριστοτέλην, ὃν ὑπώπτευσε συνεργὸν τῷ Καλλισθένει γενέσθαι ἅτε συγγενῆ αὐτῷ ὄντα καὶ σύμβουλον. Δι' ὅσης δὲ ἀπεχθείας Ἀριστοτέλης τε καὶ Ἀλέξανδρος ἀλλήλοις τελευτῶντες ἐγεγόνεσαν, εἰκάσειεν ἄν τις καὶ ἐκ φήμης τινὸς, καίπερ συκοφαντικῶς διαθοθείσης, ὡς Ἀριστοτέλης τὸν Καλλισθένους φόνον ἐπερχόμενος ὑπεκίνησε Ἀντίπατρον, ἑαυτῷ φίλον ὄντα,

erant, ne quid usquam gentium ignoraretur ab eo; quos percontando quinquaginta ferme volumina illa preclara de animalibus condidit. — Ὅμως δ' οὖν οὔτε ἐν αὐτῇ ταύτῃ τῇ περὶ ζῴων ἱστορίᾳ οὔτε ἐν ἄλλῳ τινὶ τῶν ζωολογικῶν τοῦ Ἀριστοτέλους συγγραμμάτων ἐντύχοις ἄν τινι, ἀκριβεστέραν γνῶσιν τῆς Ἀνατολῆς ὑποδηλοῦντι, ἐκ τῆς Ἀλεξάνδρου ἀναβάσεως τῷ Ἀριστοτέλει προςγεγενημένην. Ὡςαύτως δὲ ἀποφαίνεται καὶ ὁ περίπυστος Ἀλέξανδρος ὁ Οὑμβόλτος ἐν τῷ ἀθανάτῳ αὑτοῦ συγγράμματι, τῷ Κόσμῳ (Τ. Β. 191.) «Ἡ ἔκπαλαι ἐπικρατήσασα πίστις, φησὶν, ὅτι αἱ στρατεῖαι Ἀλεξάνδρου τοῦ μεγάλου οὐκ ὀλίγον συντελεστικαὶ τῷ Ἀριστοτέλει ἐγένοντο εἰς γνώσεων ζωολογικῶν ἐπαύξησιν, σφόδρα ὑπὸ τῶν νεωτέρων διεσείσθη, ἐμβριθῶς τε καὶ ἐπιστημονικῶς τὸ πρᾶγμα ἐρευνησάντων.» καὶ πάλιν ὁ αὐτὸς αὐτόθι σ. 428. «Οὐδαμοῦ (φησι) τῶν Ἀριστοτέλους ζωολογικῶν συγγραμμάτων δυνάμεθά τι ἀνευρεῖν, ὅπερ ἂν καὶ πείσειεν ἡμᾶς ὑπολαβεῖν ὅτι αὐτὸς ὁ Ἀριστοτέλης τὴν τῶν ἐλεφάντων φύσιν παρετήρησεν ἢ καὶ ὅτι ἀνέταμέ ποτέ τι τούτων τῶν θηρίων.»

φαρμακεῦσαι τὸν βασιλέα, πορίσας αὐτῷ καὶ τὸ φάρμακον. Πλούτ. ἐν β. Ἀλεξ. οζ'.

Τρία δὲ πρὸς τοῖς δέκα ἔτεσιν ὁ Ἀριστοτέλης τῆς Ἀθήνησι σχολῆς καθηγησάμενος, ἀσεβείας ὕστερον ὑπὸ τῶν Ἀθηναίων ἐγράφη, πολιτικῶν λόγων ἴσως ἕνεκεν, ὡς οἰκειότερον τοῖς Μακεδόνων βασιλεῦσιν ἐπιμιγνύμενος καὶ φίλον ἔχων τὸν Ἀντίπατρον. φεύγων δὲ τὴν γραφὴν κατέλιπε τὰς Ἀθήνας ἐπειπών, « ἀπίωμεν ἀπὸ τῶν Ἀθηνῶν, ἵνα μὴ πρόφασιν δῶμεν Ἀθηναίοις τοῦ δεύτερον ἄγος ἀναλαβεῖν παραπλήσιον τῷ κατὰ Σωκράτους, καὶ ἵνα μὴ δεύτερον εἰς φιλοσοφίαν ἀσεβήσωσιν. » Καὶ ὑπεξῆλθεν εἰς Χαλκίδα τὴν ἐπὶ τῷ Εὐρίπῳ τῆς Εὐβοίας ἔνθα ὀλίγῳ ὕστερον, ἀμφὶ τὸ τκβ' ἔτος π. χ. ἐτελεύτησεν (ί.). Ἔσχε δὲ Ἀριστοτέλης Δημοσθένει τῷ ῥήτορι κοινὸν τὸ ἔτος τῆς τε γενέσεως καὶ τελευτῆς. καὶ τοῦτο συγκυρία τις τῶν μνήμης ἀξίων ἐστὶν, παρ' ὅσον πάντα τἄλλα ἐναντιώτατοι ἀλλήλοις οἱ ἄνδρες ἐγένοντο. Ἔνιοι δὲ τῶν μεταγενεστέρων συγγραφέων οὐκ ὤκνησαν τὸν Ἀριστοτέλους χαρακτῆρα ἐπιψέξαι, ἀλλ' ἄνευ λόγου, καθ' ὅσον οὐδὲν ἄχαρι ἔχοι τις ἂν αὐτῷ ἐνδίκως προσάψαι. Τοσοῦτον μέντοι ἀναμφισβήτητόν ἐστιν ὅτι οὐ πάνυ ἔξοχος τὸν χαρακτῆρα ἐγένετο, οὔτε ἀνὴρ θειοτέρας τινὸς ἐπιπνοίας ἀνάπλεως γεγονὼς οὔτε τὴν εἰωθυῖαν καὶ μετρίαν φύσιν ὑπερβεβηκώς. Χαρακτηριστικὴ δὲ τῆς τε φύσεως καὶ διανοίας αὐτοῦ

(ί.) Ἡ δ' ἐνσπαρεῖσα φήμη ὡς Ἀριστοτέλης ἀκόνιτον πιών, ἀπέθανεν ὅπως ἐκφύγοι τὸν διωγμὸν τῶν ἐχθρῶν, ἀδέσποτός ἐστιν. (Διογ. Λ. Ε, ς'. — Ἀνών. Μεναγ. σ. 13. Σουΐδ. καὶ Ἡσύχ.). Ἄλλοι δὲ σαφῶς ἱστορήκασιν αὐτὸν νόσῳ τελευτῆσαι. Διογ. Λ. Ε, ί. — Ἀνών. Μεναγ. σ. 13, 6.

ἦν μάλιστα ἡ ἐν παντὶ πράγματι διαφαινομένη κλίσις πρὸς μεσότητα καὶ μετριότητα. Εἰώθει γὰρ ἐπαινεῖν τε καὶ συνιστάναι ἐν παντὶ πράγματι τὸ μέσον καὶ μέτριον μεταξὺ τῶν ἐσχάτων ἄκρων τηρεῖν. ἥτε γὰρ μέση κτῆσίς ἐστι κατ' αὐτὸν ἡ ἀρίστη καὶ ἡ ἀρχὴ τῶν μέσων πολιτῶν ἀρίστη πολιτεία· καὶ αὐτὴν δὲ τὴν ἀρετὴν ὡς μέσον τι μεταξὺ ἀμφοῖν τοῖν ἐναντίοιν ἄκροιν ὂν ἀπεφαίνετο. Τὰ δὲ περὶ τὸ ἐξωτερικὸν αὐτοῦ εἶδος ἔχοντα (ιά.), ἰσχνός τε λέγεται καὶ λαγαρὸς τῷ σώματι γεγονέναι καὶ μικρόμματος καὶ τὴν φωνὴν ὑπότραυλος, περιθεῖν δὲ καὶ μωκίαν τινὰ ἐλαφρὰν περὶ τὸ στόμα καὶ τἆλλα ὅσα καὶ Αἰλιανὸς ἤδη ἐν τοῖς ἔμπροσθεν εἴρηκεν. Δ. Λ. Ε, ά. — Ἀνών. παρὰ Μεναγ. σ. ιδ' μ'. —

Ἔγημε δὲ ὁ Ἀριστοτέλης Πυθιάδα τὴν ἀδελφὴν ἢ θυγατέρα Ἑρμείου τοῦ Ἀταρνέως τυράννου (ιϐ'.)· καὶ κατέλιπεν ἐξ αὐτῆς θυγατέρα ὁμώνυμον τῇ μητρί. Κατέλιπε δὲ καὶ ἔκ τινος συνεύνου, ὄνομα Ἑρπυλλίδος, παῖδα Νικόμαχον καλούμενον, ἀφ' οὗ καὶ τὰ ἠθικὰ Νικομάχεια ἐπωνόμασται. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης

(ια'.) Ἐν τῷ μεγάρῳ Σπάδα τῷ ἐν Ῥώμῃ ἔστιν ἀνδριὰς καθήμενος, μανδύαν φιλοσοφικὸν περιϐεϐλημένος· ἐπὶ δὲ τῆς βάσεως ἀναγιγνώσκεται κατεψαισμένη ἐπιγραφὴ Ἀριστ—, ὅπερ πάντως Ἀ ρ ι σ τ ο τ έ λ η ς ὁλόγραφον ὑπῆρχεν.

(ιϐ'·) Ἀριστοτέλης, Πλάτωνος περὶ τὸ τμζ' ἔτος π. χ. τελευτήσαντος, Ἀθήνηθεν ἀπελθὼν δι' αἰτίαν ἄγνωστον ἡμῖν οὖσαν, ἐπορεύθη ἅμα Ξενοκράτει πρὸς Ἑρμείαν τὸν τυραννεύοντα τότε Ἀταρνέως τε καὶ Ἄσσου (πόλεων πρὸς τοῖς αἰγιαλοῖς τῆς μικρᾶς Ἀσίας ἀντικρὺ Λέσϐου κειμένων)· Οὗτος ὁ Ἑρμείας ἀκροώμενος πρότερον τοῦ Πλάτωνος Ἀθήνησι διέτριϐεν, ἔνθα καὶ Ἀριστοτέλει ἐς τὰ μάλιστα γνώριμος ἐγεγόνει. Ἑρμείου δὲ ὑπὸ Περσῶν δολερῶς ἀναιρεθέντος ὁ Ἀριστοτέλης ἔφυγε παραλαϐὼν μεθ' ἑαυτοῦ Πυθιάδα τὴν ἀδελφὴν ἐκείνου ἢ κατ' ἄλλους τὴν θυγατέρα ἢ ἀδελφιδῆν, ἣν ὕστερον γυναῖκα ἠγάγετο.

ἀμφοῖν τοῖν τέκνοιν μέμνηται ἐν τῇ ἑαυτοῦ διαθήκῃ, ἣν Διογένης ὁ Λαέρτιος ἡμῖν διέσωσεν.

§ λϐ′. Περὶ τῶν Ἀριστοτέλους συγγραμμάτων.

Περὶ δὲ τῆς τύχης τῶν Ἀριστοτέλους συγγραμμάτων διετεθρύλλητο παρὰ τοῖς πάλαι λόγος τις τῶν παραδόξων· Στράβων γὰρ (ἐν ΙΓ′. σ. χή.) παραπλησίως Πλουτάρχῳ (ἐν Σύλλ. κϛ′.) ἱστορεῖ ὡς «Ἀριστοτέλης τὴν ἑαυτοῦ (βιβλιοθήκην) Θεοφράστῳ παρέδωκεν, ᾧπερ καὶ τὴν σχολὴν ἀπέλιπε, πρῶτος ὧν ἴσμεν συναγαγὼν βιβλία καὶ διδάξας τοὺς ἐν Αἰγύπτῳ βασιλέας βιβλιοθήκης σύνταξιν. Θεόφραστος δὲ Νηλεῖ παρέδωκεν· ὁ δ' εἰς Σκῆψιν κομίσας τοῖς μετ' αὐτὸν παρέδωκεν ἰδιώταις ἀνθρώποις, οἵ κατάκλειστα εἶχον τὰ βιβλία, οὐδ' ἐπιμελῶς κείμενα. Ἐπειδὴ δὲ ᾔσθοντο τὴν σπουδὴν τῶν Ἀτταλικῶν βασιλέων, ὑφ' οἷς ἦν ἡ πόλις, ζητούντων βιβλία εἰς τὴν κατασκευὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης, κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι· ὑπὸ δὲ νοτίας καὶ σητῶν κακωθέντα, ὀψέ ποτε ἀπέδοντο οἱ ἀπὸ τοῦ γένους Ἀπελλίκωντι τῷ Τηΐῳ πολλῶν ἀργυρίων τά τε Ἀριστοτέλους καὶ τὰ τοῦ Θεοφράστου βιβλία. Ἦν δὲ ὁ Ἀπελλίκων φιλόβιβλος μᾶλλον, ἢ φιλόσοφος· διὸ καὶ ζητῶν ἐπανόρθωσιν τῶν διαβρωμάτων, εἰς ἀντίγραφα καινὰ μετήνεγκε τὴν γραφὴν ἀναπληρῶν οὐκ εὖ καὶ ἐξέδωκεν ἁμαρτάδων πλήρη τὰ βιβλία. Συνέβη δὲ τοῖς ἐκ τῶν περιπάτων, τοῖς μὲν πάλαι τοῖς μετὰ Θεόφραστον, ὅλως οὐκ ἔχουσι τὰ βιβλία, πλὴν ὀλίγων καὶ μάλιστα τῶν ἐξωτερικῶν, μηδὲν ἔχειν φιλοσοφεῖν πραγματικῶς, ἀλλὰ θέσεις ληκυθίζειν· τοῖς δ' ὕστερον, ἀφ' οὗ

τὰ βιβλία ταῦτα προῆλθεν, ἄμεινον μὲν ἐκείνων φιλοσοφεῖν καὶ Ἀριστοτελίζειν, ἀναγκάζεσθαι μέντοι τὰ πολλὰ εἰκότα λέγειν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν. Πολὺ δὲ εἰς τοῦτο καὶ ἡ Ῥώμη προςελάβετο. Εὐθὺς γὰρ μετὰ τὴν Ἀπελλίκωντος τελευτὴν Σύλλας ἦρε τὴν Ἀπελλίκωντος βιβλιοθήκην ὁ τὰς Ἀθήνας ἑλών. Δεῦρο δὲ κομισθεῖσαν Τυραννίων τε ὁ γραμματικὸς διεχειρίσατο φιλαριστοτέλης ὤν, θεραπεύσας τὸν ἐπὶ τῆς βιβλιοθήκης καὶ βιβλιοπῶλαί τινες γραφεῦσι φαύλοις χρώμενοι καὶ οὐκ ἀντιβάλλοντες, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει τῶν εἰς πρᾶσιν γραφομένων βιβλίων καὶ ἐνθάδε καὶ ἐν Ἀλεξανδρείᾳ.» Ἐκ τούτων οὖν τῶν περὶ τὰ βιβλία συμβεβηκότων πορίζονται οἱ ἱστορηκότες ὅτι οἱ περιπατητικοὶ οὔτ' εἶχον ἄρα οὔτ' ἐγίγνωσκον τὰ τοῦ Ἀρχηγέτου συγγράμματα ἐπὶ δύο ὅλας ἑκατονταετηρίδας, μέχρις οὗ ἐξέδωκεν αὐτὰ ὁ Ἀπελλίκων. Ἀλλὰ ταύτηνὶ τὴν εἰκασίαν καὶ καθ' αὑτὴν ἀπίθανον οὖσαν εὐχερῶς ἄν τις καὶ ἄλλως ἀνασκευάσειεν. καὶ γὰρ ὑπῆρχεν ἤδη τὰ Ἀριστοτέλους συγγράμματα ὁλοσχερῆ ἢ τά γε πλεῖστα ζῶντος ἔτι ἐκείνου ἐκδεδομένα· καὶ ἀντίγραφα δ' αὐτῶν ὑπῆρχε πάντοτε ἐν χερσὶ τῶν περιπατητικῶν. Πολλοί τε τῶν Ἀριστοτέλους αὐτοῦ μαθητῶν συνέταξαν εἰς αὐτὰ καὶ ὑπομνήματα (ά.). Τὴν δ' οὖν παρὰ Στράβωνι διήγησιν ὑποληπτέον ὡς εἰς τὰ γνήσια χειρόγραφα τοῦ Ἀριστοτέλους ἀναφορὰν ἔχουσαν.

Φέρονται δὲ τὰ Ἀριστοτέλους συγγράμματα παρὰ μὲν Διογένει τῷ Λαερτίῳ καὶ τῷ Μεναγίου Ἀνωνύμῳ τὸν ἀριθμὸν τετρακόσια· παρὰ δέ τινι ἄλλῳ (τῷ Δαβίδ, ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ εἰς τὰς Ἀριστοτ. κατηγ. σ.

(ά.) Ἴδε τὰ περὶ τούτου παρὰ τῷ σοφῷ Βρανδισίῳ ἐν Ἀριστ. 1, 71..

24, 19. ὅς τὸν Ἀνδρόνικον ἐπιμαρτύρεται) καὶ χίλια (β′.). γίγνονται δὲ τῶν συγγραμμάτων πάντων αἱ πᾶσαι μυριάδες στίχων τέτταρες καὶ τετταράκοντα πρὸς τοῖς πεντακισχιλίοις καὶ διακοσίοις ἑβδομήκοντα, καθ' ἅ φησι Διογένης ὁ Λαέρτιος. Πιστεύσας δέ τις τῇ μαρτυρίᾳ ταύτῃ ὡς ἀληθεῖ, εἰκότως ἂν ἔχοι συμπερᾶναι ὅτι μόλις τὸ πέμπτον μέρος τῶν Ἀριστοτέλους συγγραμμάτων εἰς ἡμᾶς περιγέγονεν.

Ὑπάρχουσι δ' ἡμῖν καὶ ἕτεροι δύο πίνακες τῶν Ἀριστοτέλους συγγραμμάτων, ἐξ ὧν ὁ μὲν παρὰ Διογένει τῷ Λαερτίῳ εὕρηται, ὁ δὲ ἔν τινι βίῳ τοῦ Ἀριστοτέλους ὑπὸ ἀνωνύμου τινός, ὃν ὁ Μενάγιος τὸ πρῶτον ἐξέδωκεν. φαίνονται δὲ ἀμφότεροι οἱ πίνακες οὐκ ὀλίγαις ἑκατονταετηρίσιν ὕστερον Ἀριστοτέλους συντεταγμένοι. Ἀλλ' οὐδὲν ἧσσον παραλλάσσουσι καὶ πολύ γε τῆς συντάξεως, ἐν ᾗ τὰ Ἀριστοτέλους συγγράμματα εἰς ἡμᾶς περιγέγονεν (γ′.). ἀναγέγραπται γὰρ ἐν

(β′.) Πλούταρχος ἐν Σύλλᾳ (κϛ′.) φησὶ παρὰ Τυραννίωνος τοῦ γραμματικοῦ « τὸν Ῥόδιον Ἀνδρόνικον, εὐπορήσαντα τῶν ἀντιγράφων εἰς μέσον θεῖναι (ἐκδοῦναι) καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. » Καὶ ὁ Πορφύριος ἐν βίῳ Πλωτίνου (§ κδ′.) λέγει ὅτι Ἀνδρόνικος ὁ περιπατητικὸς τὰ Ἀριστοτέλους συγγράμματα εἰς πραγματείας διεῖλε, τὰς οἰκείας ὑποθέσεις εἰς ταὐτὸν συναγαγών. Ὥστε ἐκ τούτων δῆλον ὡς Ἀνδρόνικος ὁ Ῥόδιος, σύγχρονος τῷ Κικέρωνι γεγονώς, ἀνεβάλετο διατάξαι τὰ Ἀριστοτέλους συγγράμματα εἰς πραγματείας ὁμοειδεῖς.

(γ′.) Ἡ μετὰ τὰ φυσικὰ λεγομένη πραγματεία ἐλλείπει, φέρ' εἰπεῖν, ἐν τῷ Διογένους πίνακι, ἤγουν ἐνυπολανθάνει ἴσως ὑπ' ἄλλας ἐπιγραφάς. ἄλλο δέ τι σύγγραμμα περὶ φιλοσοφίας ἐπιγραφόμενον μνημονεύεται πολλάκις καὶ ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους (Φυσ. Β, β.), ὅπως δ' ἔχει τὸ σύγγραμμα τοῦτο πρὸς τὴν μετὰ τὰ φυσικὰ πραγματείαν, ἧς ἡ ἐπιγραφὴ νεωτέρα πάντως ἐστὶν, οὐδαμῶς γιγνώσκομεν. τῶν τε πολιτικῶν ὅ,τε ἀριθμὸς τῶν βιβλίων καὶ ἡ ἐπιγραφὴ ποικίλως πάνυ φέρονται. Καὶ τὸ βιβλίον τὸ

αὐτοῖς βιβλία τινὰ, ἅπερ ἴσως ἐν τοῖς σωζομένοις τοῦ Ἀριστοτέλους συγγράμμασιν ὡς μέρη ἐμπεριλαμβάνεται. Ἐντεῦθεν ἄρα δῆλον ὅτι ἐν ᾧ γε χρόνῳ οἱ κατάλογοι ἐκεῖνοι συνετάχθησαν οὔπω ὑπῆρχεν ἡ νῦν διάταξις τῶν Ἀριστοτελικῶν συγγραμμάτων.

Ἀλλ' εἰ μὲν πάσης ἀμφιβολίας ἐκτὸς γίγνεται ὅτι αἱ Ἀριστοτέλους συγγραφαὶ πολλαχῶς διεσκευάσθησαν, ἀναφύεταί τις ἀπορία ἄλλη ἥδε, εἴ περ αὐτὸς ὁ Ἀριστοτέλης τὰ ἑαυτοῦ συγγράμματα ἐξεργασθεὶς ὁλοσχερῆ εἰς φῶς ἐξέδωκεν. καὶ ἡ ἀπορία αὕτη ἔχει τινὰ λόγον πάντως. Καὶ γὰρ τὰ συγγράμματα ταῦτα πάνυ ἀνίσως ἀπειργασμένα τυγχάνει, ἔςι μὲν ἃ ἐπιμελέςατα συντεταγμένα, ἔστι δ' ἃ οὕτως ἀτελῆ καὶ κατὰ τὸ λεκτικὸν καὶ κατὰ τὴν μέθοδον, ὥστε ἕκαστος δίκαιος ἂν εἴη ἀμφιβάλλειν, εἰ ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους τοιουτόσχημα εἰς φῶς ἐξενήνεκται. Τὴν γὰρ μετὰ τὰ φυσικὰ πραγματείαν, φέρ' εἰπεῖν, οὐδεὶς ὅστις πολλῶν ἕνεκα πιστεύσειεν ἂν καὶ ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους τοιαύτην ἐκδεδόσθαι οἵα περ τανῦν ἡμῖν ὑπάρχει (δ'.). Καὶ ὁ Σκαλίγερος ἄρα οὐ διὰ κενῆς ἄλλως εἴκασεν ὅτι

περὶ τῶν ποσαχῶς οὐθὲν ἄλλο ἴσως ἐστὶν ἢ τὸ πέμπτον βιβλίον τῆς καθ' ἡμᾶς πραγματείας μετὰ τὰ φυσικά· ταὐτὸν δέ που εἴποι τις ἂν καὶ περὶ πολλῶν ἄλλων συγγραμμάτων τῶν ἐν ἐκείνοις τοῖς καταλόγοις ἐμπεριειλημμένων.

(δ'.) Πρῶτον μὲν διὰ τὴν τῶν βιβλίων παντελῆ ἀσυναρτησίαν· καὶ γὰρ τὸ δεύτερον καὶ πέμπτον, φέρ' εἰπεῖν, ἔξωθέν ποθεν παρεισέφρησε, παρεκβάσεις ἀκαίρους τοῦ προκειμένου ἀποτελοῦντα. Δεύτερον δὲ διὰ τὰς ἐν αὐτοῖς ἐπαναλήψεις, οἷον π. χ. τὸ πρῶτον ἥμισυ τοῦ ἑνδεκάτου βιβλίου ἐπιτομή τις σχεδὸν κατὰ λέξιν ἐστὶ τοῦ γ', δ', καὶ ς' βιβλίου. καὶ ἐν τῷ ιγ' βιβλίῳ τὸ δ' καὶ ε' κεφάλαιον ἐπανάληψις σχεδόν τι κατὰ λέξιν ἐστὶ τοῦ ἐν τῷ πρώτῳ βιβλίῳ ἐννάτου κεφαλαίου.

τὰ Ἀριστοτέλους συγγράμματα συνέστη ἐξ ὧν ὑπομνημάτων ἑαυτοῖς ὑπεγράφοντο οἱ ἀκροαταὶ αὐτοῦ διδάσκοντος. ὅτι μὲν οὖν ἐν ταῖς Ἀθήνησι τῶν φιλοσόφων σχολαῖς ἔθος ἦν τοῖς ἀκροωμένοις καταγράφειν τὰ διδασκόμενα, τοῦτο πολλαχῶς μεμαρτύρηται (ε΄.)· καὶ ἡ τριχῶς συντεταγμένη πραγματεία τῶν ἠθικῶν, οἷα καὶ ἐς ἡμᾶς περιγέγονεν, ἔτι μᾶλλον συντελεῖ εἰς ἐπιβεβαίωσιν τῆς Σκαλιγέρου εἰκασίας. Ἄλλως τε ἔνια τῶν Ἀριστοτέλους συγγραμμάτων οὕτως ἀφοριστικῶς συντεθειμένα ὑπάρχει, ὥστε μᾶλλον ἄν τις αὐτὰ ὡς συνόψεις τινὰς καὶ ὑπογραφὰς ἐκλάβοι, ἅςπερ ἔοικεν Ἀριστοτέλης καταγράψας, ἰδίᾳ τε καὶ ἐπὶ παραδόσεων μάλιστα αὐταῖς κεχρῆσθαι.

Ἔνιοι δὲ τῶν μεταγενεστέρων καὶ δίχα διῃρήκασι τὰ τοῦ φιλοσόφου συγγράμματα εἰς ἐξωτερικὰ καὶ ἐσωτερικά, ἃ καὶ ἀκροαματικὰ προςείρηται (ϛ΄.). Καὶ ἐν μὲν

(ε΄.) Ἔπιθι Διογ. Λ. ϛ΄, 5. καὶ ζ΄, 20 — καὶ αἱ ὁμιλίαι τοῦ Πλάτωνος περὶ τοῦ ἀγαθοῦ κατεγράφησαν ὑπό τε Ἀριστοτέλους καὶ ἄλλων. Καὶ ἐν τῷ τέλει τῆς περὶ σοφιστικῶν ἐλέγχων πραγματείας, ἥτις ἐστὶν ἡ τελευταία τῶν ἐξ ὧν γε τὸ ὄργανον ἀπαρτίζεται, εὕρηται φανερά τις προςφώνησις πρὸς τοὺς ἀκροατὰς (γ΄, λγ΄.) αὕτη· « εἰ δὲ φαίνεται θεασαμένοις ὑμῖν κ.τ.λ. » ἀλλ᾽ ἴσως ἔχοι τις ἂν μᾶλλον εἰπεῖν αὐτὴν ὑπό τινος τῶν ἄγαν ζηλωτῶν μεταγεγράφθαι ἢ ὑπ᾽ αὐτοῦ τοῦ Ἀριστοτέλους κατὰ λέξιν ἐν τῷ αὐτογράφῳ ὑπομνήματι συνυφάνθαι.

(ϛ) Cic. de fin. V, 5, 12; (οἱ περιπατητικοὶ) de summo autem bono, quia duo genera librorum sunt, unum populariter scriptum, quod ἐξωτερικὸν appellabant, alterum limatius, quod in commentariis reliquerunt, non semper idem dicere videntur. Cic. ad Att. IV, 16, 2: in singulis libris utor prooemiis, ut Aristoteles in iis, quos ἐξωτερικοὺς vocat. Cic. ad Attic. XIII, 19, 4; quae autem his temporibus scripsi, ἀριστοτέλειον morem habent: in quo sermo ita inducitur ceterorum, ut penes ipsum sit principatus. Cic. ad Fam. I, 9, 23; scripsi aristotelico more, quemadmodum quidem volui,

τοῖς ἐξωτερικοῖς λόγοις ἐκθέσθαι φασὶ τὸν Ἀριστοτέλη φιλοσόφους τινὰς διατριβὰς ἐπὶ τὸ ἁπλούστερον ἐν εἴδει διαλογικῷ· ἐν δὲ τοῖς ἐσωτερικοῖς τὰς ἐν φιλοσοφίᾳ ὑψηλοτέρας θεωρίας τοῖς ἐκ τοῦ σύνεγγυς αὐτῷ ἀναστρεφομένοις συγγεγραφέναι. Ἀλλ' ἡ μαρτυρία αὕτη οὐκ ὀλίγον ἐνδοιασμὸν ὑποκινεῖ (ζ'.). Ὅτι μὲν οὖν Ἀριστοτέλης δημωφελῆ τινα συγγράμματα ἐν εἴδει διαλογικῷ συγγέγραφεν ἀναμφίλεκτόν ἐστιν, οὕτω σαφῶς τοῦ Κικέρωνος μαρτυροῦντος, ἀλλ' εἴπερ ταῦτα ὡς ἐξωτερικὰ ὑποληπτέα ἐστὶ, τοῦτο καὶ πάνυ ἀμφισβητήσιμον ἐλέγχεται. Καὶ γὰρ Ἀριστοτέλης αὐτὸς οὐδαμοῦ φαίνεται διαστέλλων ἐξωτερικὰ ἄλλων ἐσωτερικῶν συγγραμμάτων. ὅ,τε ὅρος ἐσωτερικὰ οὐδόλως παρ' αὐτῷ ἀπαντᾶται. Λέγων δ' ἐνιαχοῦ (ἐν Μ τῶν μετ. — καὶ ἐν πολιτ. καὶ ἠθ. Ν.) ὅτι διεξοδικώτερον ἐν τοῖς ἐξωτερικοῖς λόγοις περί τινος διέλαβεν, οὐδὲν ἄλλο βούλεται λέγειν ἢ ὅτι ἐν ἄλλῳ τόπῳ τὰ δέοντα εἴρηκε (ἡ'.). Καὶ ἐν τετάρτῳ τῶν φυσικῶν λόγοι ἐξωτερικοὶ προσαγορεύονται αἱ ἐφεξῆς ἑπόμεναι ζητήσεις ἐν τῷ αὐτῷ συγγράμματι. ἐκ τούτων τοίνυν οὕτω λεχθέντων συνάγεται ἐναργῶς τόδε· ὡς οὐδένα λόγον ἔχοι τις ἂν τῶν Ἀριστοτέλους συγγραμμάτων τὰ ὑ-

tres libros in disputatione ac dialogo de oratore.— Στράβ. ΙΓ', Α, νδ'. σ. χδ'. Ἐπειδὴ, φησὶν, οἱ τὸν Θεόφραστον διαδεδεγμένοι οὐκ εἶχον τὰ Ἀριστοτέλους βιβλία « πλὴν ὀλίγων καὶ μάλιστα τῶν ἐξωτερικῶν, » οὐκ ἠδύναντο διὰ τοῦτο « φιλοσοφεῖν πραγματικῶς » ἤτοι συστηματικῶς. — Ἴδε καὶ Πλούτ. ἐν 6. Ἀλεξ. ζ', καὶ Gell. X, 5. —

(ζ'.) Τὰ δὲ πάμπολλα τῶν νεωτέρων συγγράμματα περὶ τούτου τοῦ ζητήματος ἴδοις ἂν ἐν τῇ ἡμετέρᾳ σημειώσει εἰς τὸ Μ βιβλ. Α, ε' τῶν μετὰ τὰ φυσικά.

(ή.) Ταὐτὰ φησὶ καὶ ὁ Στάριος ἐν δευτέρῳ τῶν Ἀριστοτελείων σ. 272.

πάρχοντα εἰς ἐξωτερικά τε καὶ ἐσωτερικά ποτε διῃρῆσθαι ὑπολαμβάνειν, εἰ δὲ Ἀριστοτέλης καὶ ἐξωτερικὰ συγγράμματα συνέταξεν, ἅπαντα ἄρα ὁ χρόνος ἐξηφάνισεν.

Ἐπειδὴ δὲ τῶν Ἀριστοτελικῶν συγγραμμάτων ἡ φράσις καὶ αἱ ἀποδείξεις διά τε τὴν συντομίαν καὶ τὴν κατὰ σχῆμα ὑπερβατὸν παράλειψιν τῶν μέσων ἐν τοῖς συλλογισμοῖς δύσκολοι καὶ σκοτειναὶ συχνάκις καθίστανται, λίαν συντελεστικά ἐστιν εἰς κατάληψιν αὐτῶν τὰ ὑπὸ τῶν πάλαι Ἑλλήνων ἐξηγητῶν συγγεγραμμένα ὑπομνήματα. Ἐπιφανέστατοι δὲ πάντων τῶν ἑρμηνευτῶν εἰσιν Ἀλέξανδρός τε ὁ Ἀφροδισιεύς, ἐπὶ ἐμβριθείᾳ καὶ ἀκριβείᾳ ἑρμηνευτικῇ διαπρέπων, καὶ ὁ Σιμπλίκιος, διὰ πολυμάθειαν ὀνομαστὸς γενόμενος (θʹ.)· καὶ ὁ μὲν Ἀλέξανδρος περὶ τὴν ἀρχὴν τοῦ τρίτου μετὰ Χριστὸν αἰῶνος ἤκμαζεν, ὁ δὲ Σιμπλίκιος περὶ τὸν ἕκτον αἰῶνα.

(θʹ.) Ἀλέξανδρος ὁ ἐξ Ἀφροδισιάδος ἔζη ἐπὶ Σεπτιμίου Σεβήρου. ἔγραψε δὲ ὑπομνήματα εἰς πολλὰ βιβλία τοῦ ὀργάνου, εἰς τὰ μετεωρολογικὰ καὶ τὰ μετὰ τὰ φυσικά. Καὶ τὸ ὑπόμνημα τὸ εἰς τὰ μετὰ τὰ φυσικὰ ἐξεδόθη ὁλοσχερὲς ὑπὸ Βονισσίου. αωμζʹ. ἠξίωτο δὲ διὰ ταύτας τὰς ἐξηγήσεις καὶ τῆς προσωνυμίας, ὁ ἐ ξ η γ η τ ὴ ς κατ᾽ ἐξοχήν. Συνέγραψε δὲ καὶ ἄλλα ἴδια πονήματα· οἷον, περὶ εἱμαρμένης (ἤτοι περὶ ἐλευθέρας βουλήσεως καὶ αὐτοτελείας) καὶ φυσικὰς ἀπορίας καὶ λύσεις. — Ὁ δὲ Σιμπλίκιος ἔγραψεν ὑπομνήματα εἰς τὰ φυσικά, εἰς τὰς κατηγορίας, εἰς τὸ περὶ οὐρανοῦ καὶ τὸ περὶ ψυχῆς. Τὰ πλεῖστα δ᾽ ὧν ἴσμεν ἀποσπασμάτων τῶν πρὸ Σωκράτους διαλαμψάντων φιλοσόφων ἐν τούτοις τοῖς ὑπομνήμασιν ἡμῖν διεσώθη. γιγνώσκομεν δὲ τὰ ὑπομνήματα ταῦτα ὡς μὴ ὤφελε ἔτι καὶ νῦν μόνον ἐκ τῆς τοῦ Ἄλδου ἐκδόσεως· καὶ ἡ Βερολίνειος ἔκδοσις τῶν Ἀριστοτελικῶν σχολείων κατ᾽ ἐπιτομὴν αὐτὰ παραδίδωσιν.

§. λγ΄. Ὁ καθόλου χαρακτὴρ τῆς Ἀριστοτελικῆς φιλοσοφίας.

Ἄριστ' ἄν τις, οἶμαι, τὴν Ἀριστοτελικὴν φιλοσοφίαν χαρακτηρίσειεν, ἀντιπαραθέμενος αὐτὴν πρὸς τὴν Πλατωνικήν. Πλάτων μὲν γὰρ τὰ φιλοσοφικῇ θεωρίᾳ ὑποκείμενα ἐν τῷ ὑπὲρ αἴσθησιν κόσμῳ ἀνεζήτει, Ἀριστοτέλης δὲ εὑρίσκει αὐτὰ ἐν τοῖς πείρᾳ ληπτοῖς οὖσι. παρὰ μὲν οὖν ἐκείνῳ αἱ ἰδέαι ἤτοι αἱ μάλιστα καθόλου ἔννοιαι τὸ ὄντως ὄν ἐστι, τὰ δὲ ταῖς αἰσθήσεσι φαινόμενα οἷον ἀλλοπρόςαλλόν τι καὶ ἀμαυρὸν ἀπείκασμα τοῦ ὡς ἀληθῶς γε ὄντος· παρὰ δὲ τῷ Ἀριστοτέλει ἡ ἰδέα ἢ τὸ εἶδος, ὡς αὐτὸς εἴωθε λέγειν, καὶ ἐν τῷδε τῷ πείρᾳ ληπτῷ κόσμῳ ἔργῳ ἐπιτελεῖται. Ἔστιν οὖν κατ' αὐτὸν τὸ εἶδος, ὅπερ τοῖς οὖσι μορφὴν ὡρισμένην καὶ δὴ καὶ ἐνεργείᾳ ὀντότητα παρέχει. Εἰσὶν ἄρα αἱ τῶν ὄντων ἰδέαι οὐχὶ χωρισταὶ τῶν ὄντων ὡς οὐσίαι τινὲς αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς πράγμασιν οἷον ἐμπεφυκυῖαι, ὧν γ' εἰσὶ μορφαί.

Πάντως ἄρα ἐδέησε καὶ τὴν μέθοδον τοῦ Ἀριστοτέλους πάντη ἀλλοίαν τῆς τοῦ Πλάτωνος γενέσθαι. Πλάτων μὲν γὰρ ἀπὸ τῶν καθόλου ἀρχῶν ἤτοι τοῦ αὐτοτελοῦς καὶ ἀνυποθέτου ὁρμώμενος, ἐπὶ τὰ καθ' ἕκαςον καὶ ἐν ὑποθέσεως μέρει προςκαταβαίνει. (πολιτ. Ζ, σ. φια΄.)· Ἀριςοτέλης δὲ τοὐναντίον ἀπὸ τῶν ἐπὶ μέρους καὶ τῶν πείρᾳ δεδομένων ἀρχόμενος, εἰς τὸ τούτοις ἐνυπάρχον καθόλου προςαναβαίνει καὶ ἐκ τῶν πείρᾳ ληπτῶν, ἅπερ ὡς ἔνι μάλισθ' ὁλοσχερῶς πάντοθεν συλλέγει, ζητεῖ ἰδέας καθόλου πορίζεσθαι καὶ νόμους καὶ ἀξιώματα. Ὑποκειμένη ἄρα οἷον βάσις τῇ φιλοσοφίᾳ αὐτοῦ ἐστὶν ἡ πεῖ-

ρα, ἥ τε ἐπαγωγὴ μέθοδος. Ἐπὶ τῶν φυσικῶν δὲ μάλιστα ἐπιστημῶν διαῤῥήδην ἀποδοκιμάζει τὸ λογικῶς ἢ διαλεκτικῶς σκοπεῖν τὰ ὄντα, ὅ ἐστι τὸ χωρὶς τῆς ὑπαρχούσης πείρας λογίζεσθαι ἢ τὸ ἐνεργείᾳ ὑπάρχον ἐξ ἰδεῶν καί τινων γενικῶν προϋποθέσεων ἐθέλειν πορίζεσθαι (α), ἀντεισάγει δὲ μόνον τὸ φυσικῶς σκοπεῖν. ἔπιθι καὶ τὰ ἐμὰ ὑπομνήματα ἐν Ζ, δ, ε, τῶν μετὰ τὰ φυσικά.

Συνέβη ἄρα τῷ Ἀριστοτέλει, οἷα δὴ τῇ πείρᾳ τὰ πολλὰ χρωμένῳ, τὰς ἐμπειρίᾳ ληπτὰς ἐπιστήμας καὶ μάλιστα τὰ περὶ τὴν φύσιν καὶ τὴν ἱστορίαν πολλῷ καθολικώτερον καὶ ἀκριβέστερον παρ' ἑαυτῷ λαβεῖν ἤ τινι τῶν πρὸ αὐτοῦ ἐν φιλοσοφίᾳ διαλαμψάντων ἀνδρῶν. Ἀπεταμίευσε δὲ καὶ ἐν τοῖς παμπόλλοις αὐτοῦ συγγράμμασι ἄπλετον πλοῦτον γνώσεων θετικῶν, ὡς μαρτυρεῖ πρῶτον μὲν τὰ περὶ φύσεως ζῴων συγγράμματα, ἅπερ κατὰ τὸν Πλίνιον [H. N. VIII, 17. § 44.] ἐκ πεντήκοντά που συνέκειτο βιβλίων· εἶτα δὲ αἱ πολιτεῖαι, ἐν αἷς ἑκατὸν πεντήκοντα ὀκτὼ πόλεων Ἑλληνίδων τὰ πολιτεύματα περιέγραψεν, ὧν οὐκ ἐφείσατο ὁ χρόνος ἐπ' αϊδίῳ λύπῃ πάντων τῶν φιλομαθῶν (β).

(α.) Ὥσπερ οὖν καὶ οἱ Πυθαγόρειοι τὴν ἀντίχθονα ἐκ τῆς δεκάδος παρήγαγον, « οὐ πρὸς τὰ φαινόμενα τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας λόγους καὶ δόξας αὑτῶν τὰ φαινόμενα προσέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν.» περὶ Οὐρανοῦ β, ιγ'.

(β'.) Δ. Λ. Ε, κζ'. « Πολιτεῖαι πόλεων δυοῖν δεούσαιν ἑξήκοντα καὶ ἑκατόν, καὶ ἰδίᾳ δημοκρατικαί, ὀλιγαρχικαί, ἀριστοκρατικαὶ καὶ τυραννικαί. » καὶ Ἀνών. ἐν βίῳ Ἀριστ. σ. ιδ', θ'· — Συλλογὰς τῶν ἀποσπασμάτων ; Aristotelis rerumpubl. reliquias collegit C. F. Neumann. 1827.—Κάλλιον δὲ καὶ ὁλοσχερέστερον Müller fr. hist. gr. II, p. 105 —177.—Ἴδε καὶ τὴν καθολικὴν ἐφημερίδα (ἔτους αωνβ' ἀριθ. ρμζ', σελ.

πλὴν δὲ τούτων τὸ ἐπιγεγραμμένον συναγωγὴ τεχνῶν, ἐν ᾧ ὁλοσχερῆ ἱστορίαν πασῶν τῶν περὶ ῥητορικῆς τέχνης θεωριῶν ἐξέθετο (γ')· καὶ τέλος πολλαὶ ἱστορικαὶ μονογραφίαι, ἐν αἷς τὰ φιλοσοφήματα παλαιτέρων τινῶν καὶ συγχρόνων φιλοσόφων ἀφηγεῖτο (Δ. Λ. Ε, κέ). Οὐκ ὀλίγον δὲ τὴν ἱστορικὴν τοῦ ἀνδρὸς πορείαν χαρακτηρίζει καὶ ὁ λόγος ὅς κατεῖχεν ὅτι πρῶτος αὐτὸς βιβλιοθήκην συνεστήσατο [Στράβ. Α, νδ'. σ. χή.].

,βτμβ'), ἐν ᾗ μεταξὺ ἄλλων καὶ τὰ ἑξῆς φέρεται· ὅτι τὸ Οὐϊλλεμαίνου ἐγκώμιον ἐπὶ τῷ Μοντεσκιεῖ, πόνημα πρὸ πολλῶν ἤδη ἐτῶν ὑπὸ τῆς Γαλατικῆς Ἀκαδημίας στεφανωθὲν, παντοδαποῖς ὑπομνήμασιν ἐν τῷ μεταξὺ χρόνῳ ὑπὸ τοῦ ἐκδότου ἐπηυξήθη, ἐν οἷς ἐλπίδα παρέχει ὅτι σύγγραμμά τι τῶν διεξοδικῶν, τῷ χρόνῳ δ' ἠφανισμένων τοῦ Ἀριστοτέλους, ἡ κριτικὴ ἔκθεσις πάντων τῶν τότε γνωςῶν πολιτευμάτων, αἱ π ο λ ι τ ε ῖ α ι λεγόμεναι, παραπλησίως καὶ τοῦτο, ὥςπερ τὸ τοῦ Μοντεσκιέως, περί τε τῆς φύσεως καὶ οὐσίας τῶν νόμων τοῦ πάλαι κόσμου δηλονότι πραγματευόμενον, ἔτι καὶ νῦν εἰς τὸ Ἀραβικὸν μετενηνεγμένον ἐν ταῖς τῆς Ἀνατολῆς βιβλιοθήκαις ἢ ἐν τοῖς ἱεροῖς ἐγκαθιδρύμασι, ταῖς Μοσκέαις λεγομέναις, τῆς Μαυριτανίας ὑπάρχοι. Ὁ δὲ στρατάρχης Βουγώδιος καὶ ὁ στρατηγὸς Δυβιβιέριος ἐπηγγείλαντο ὑποκινῆσαί τε καὶ ὑποθάλψαι ἀναζητήσεις καθ' ἅπασαν τὴν Λιβύην περὶ τούτων τῶν φιλολογικῶν θησαυρῶν. μάλιστα δὲ ὁ Βουγώδιος μετὰ τὴν ἐν Ἰσλΰϊ γενομένην μάχην πάσῃ προθυμίᾳ καὶ ζήλῳ ἐνθέρμῳ ἀνεβάλετο ἀποστεῖλαι σύλλογον ἀνδρῶν Ἀραβιστῶν τε ἅμα καὶ Ἑλληνιστῶν κατὰ ζήτησιν χειρογράφων εἰς τὴν Μαυριτανίαν. Ὁ δ' ἕτερος ὁ στρατηγὸς, καίτοι πεντηκοντούτης ἤδη ὢν ἐπισταμένως τὰ Πολυβίου καὶ Στράβωνος καὶ Ἀῤῥιανοῦ μελετῶν, ἤρξατο ἤδη ἀποδύεσθαι εἰς τὴν Ἀραβικὴν φιλολογίαν καὶ ἔφεσιν ἐδήλωσε τοῦ ἀποπειραθῆναι αὐτὸς τῆς συλλέξεως παλαιῶν περγαμηνῶν κατὰ τὴν Μαυριτανίαν. Ἀμφοτέρων δὲ τῶν στρατηγῶν ἀποθανόντων, ἡ ἐπιχείρησις στερεῖται τῆς προσηκούσης προστασίας τε καὶ ὑποθάλψεως τῶν ἰσχυρῶν. εἰκάζουσι μέντοι ὅτι αἱ πολιτεῖαι ἔτι καὶ νῦν κατ' ἐκείνους τοὺς τόπους σώζονται ὑπὸ ταύτην τὴν ἐπιγραφήν· Κετὰβ Σιασσὰτ Ἀλμόδετ. » Ἔπιθι καὶ Ἑρβελώτου, Βιβλιοθήκην Ἀνατολικὴν σ. 971. — Καὶ Μυλλερίου Ἀποσπ. Ἑλλην. Ἱστορ. Β, ρβ'.

(γ'.) Σπεγγέλου, συναγωγὴ τεχνῶν, sive artium scriptores. αωκή. σ. ε.

§ λδ'. Διαίρεσις τῆς Ἀριστοτέλους φιλοσοφίας.

Ἐπεὶ δ' Ἀριστοτέλης πείρᾳ πραγμάτων τὸ πᾶν ἐν ταῖς ζητήσεσιν ἔνεμεν, ἑπόμενον ἄρα ἦν ταύτῃ τῇ μεθόδῳ μηδὲ περὶ πολλοῦ συστηματικὴν τῶν ὄντων διαίρεσιν ποιεῖσθαι. εἴωθε δὲ ἕκαστον τῶν ἐπιστητῶν καθ' ἑαυτὸ μετιέναι. καὶ τὸ εἰς πολλὰς ἰδίᾳ μαθήσεις τὴν ὅλην γνῶσιν τῶν ὄντων καὶ τὴν καθόλου σοφίαν διηρῆσθαι, ὥςπερ τι τῶν δεδομένων, οὕτως ἀπεδέχετο, πάσης ἄλλης αἰτιολογίας παραιτούμενος. Οὐδαμοῦ γὰρ φαίνεται ἀποπειρώμενος ἐκ συστήματός τινος τὰ μέρη παράγειν, ἐξ ὧν γε τὴν φιλοσοφίαν συναπαρτίζει. Οὐδ' ὑποβάλλεταί τινα διαίρεσιν τῷ ἑαυτοῦ συστήματι οἷον βάσιν οὐσιώδη καὶ πολὺ τὸ κῦρος ἔχουσαν. Διαιρεῖ δὲ ὡς ἐπὶ τὸ πολὺ τὴν φιλοσοφίαν εἰς θεωρητικὴν, πρακτικὴν ἤτοι ἠθικὴν, καὶ ποιητικὴν καθόλου λαμβανομένην ὡς ἐπιστήμην περὶ πάντα τὰ ἐλευθερίῳ τέχνῃ περαινόμενα (α). Πολλάκις δ' ἀρέσκει αὐτῷ καὶ ἡ διχῆ τῆς φιλοσοφίας διαίρεσις εἴς τε τὴν θεωρητικὴν καὶ πρακτικὴν [ἐν 6' τῶν μετὰ τὰ φυσ. α', ς'.]. τήν τε θεωρητικὴν φιλοσοφίαν ἀποφαίνεται πάλιν ἐκ τριῶν συγκεῖσθαι μερῶν τῆς μαθηματικῆς, φυσικῆς καὶ τῆς πρώτης φιλοσοφίας, ἥτις ἐστὶν ἡ καθ' ἡμᾶς βαρβαροφώνως μεταφυσικὴ καλουμένη [Μετ. Ε', α'.]. ἐπεὶ δ' Ἀριστοτέλης τὰ μαθήματα οὐδαμοῦ ὡς ἰδίαν ἐπιστήμην ἐπραγματεύθη, οὐδὲ τὴν ποιητικὴν ὁλοσχερῶς τε καὶ

(α'.) Ἐπιθ. τῶν μ. τ. Φυσ. Ε, α. — ἠθικ. Νικομ. Α, α. — Τοπ. Ζ, στ'. — Θ, α. — Περὶ Οὐρ. Γ, ζ'.

ἐπ' ἀκριβὲς μετῆλθεν (β'.) ὑπολείπεται ἄρα ἡ ἑξῆς διαίρεσις τοῦ φιλοσοφικοῦ αὐτοῦ συστήματος· πρῶτον μὲν εἰς θεωρητικὴν φιλοσοφίαν, ὑποδιαιρουμένην αὖθις εἴς τε τὴν περὶ τὰ φυσικὰ πραγματείαν καὶ τὴν μετὰ τὰ φυσικά· δεύτερον δὲ εἰς πρακτικὴν φιλοσοφίαν. αὕτη δὲ ἡ διαίρεσις συμβιβάζεται τῇ παρὰ Πλάτωνι εἰς διαλεκτικὴν, φυσικὴν καὶ ἠθικήν. Ταύταις δὲ ταῖς πραγματείαις προςτίθεται παρ' Ἀριστοτέλει καὶ ἡ νῦν τυπικὴ, μᾶλλον δὲ ὀργανικὴ λεγομένη λογικὴ, ἣν οὐχ ὡς οὐσιῶδες μέρος τῆς ὅλης φιλοσοφίας, ἀλλ' ὡς προπαιδευτικὴν ἐπιστήμην πραγματεύεται (γ'.). διὸ καὶ οὐδένα τόπον αὐτῇ ἐν τοῖς μέρεσι προςνέμει, ἐξ ὧν γε τὸ ὅλον σύστημα ἀπαρτίζεται.

(β'.) Καὶ ὁ κατ' ἐξοχὴν ὀρθόνους Βοίκχιος ἐν τῷ Γερμανικῷ Μουσείῳ, ἐφημερίδι ἐκδιδομένῃ ὑπὸ Προυσσίου [ᾳωνδ' ἀριθ. 9. σ. 310.], λέγει τὰ ἑξῆς. « Ὁ Ἀριστοτέλης οὐ πανταχοῦ ταύτης τῆς τριχῇ διαιρέσεως ἀντέχεται, ἀλλὰ πολλαχοῦ στέργει τῇ ἁπλῇ ἀντιθέσει τοῦ θεωρητικοῦ μέρους πρὸς τὸ πρακτικὸν, ὡς ἔμοι γε δοκεῖ, μετὰ λόγου· καὶ γὰρ ἡ ποιητικὴ ἐνέργεια ἔχει κοινὴν τῇ θεωρίᾳ τὴν κατὰ διάνοιαν καὶ ἐσωτερικὴν ὀπτασίαν, καί τις μοῖρα ἐκείνης οὐσιώδης ἡ κατ' ἐξοχὴν καλουμένη ποίησις ἐν τῇ αὐτῇ ὕλῃ τὸ ἑαυτῆς ἔργον περαίνει, ᾗ καὶ τὸ εἰδέναι ἐξ ἀνάγκης κέχρηται, ἤτουν ἐν λόγοις. αἵ τε καλαὶ τέχναι οὐδέν τι ἄλλο προτίθενται ἢ τὴν ἔκφανσιν ἐκείνης τῆς ἐσωτερικῆς ὀπτασίας, ἥτις εἰ μή γε τῇ γνώσει εἰς ταὐτὸν συνέρχεται, ἀλλ' ὡς ἀπίνδαλμα ταύτης οὖσα, ὁμοιοτάτη αὐτῇ ὑπάρχει. ὥστ' εἰκότως ἄν τις τὸ τοιοῦτον εἶδος τῶν τεχνῶν ἐγγυτέρω τῆς γνώσεως τυγχάνειν φαίη ἢ τῆς πράξεως. ἐξ ἐναντίας δὲ τὸ λοιπὸν τῆς ποιητικῆς ἐνεργείας συγγενέστερον τῇ πράξει ἢ τῇ θεωρίᾳ φαίνεται, πᾶν σχεδὸν περὶ πρᾶξίν τε καὶ ἐργασίαν ὂν καὶ τῇ χρείᾳ πολυειδῶς ὑπουργοῦν. Διὸ δὴ καὶ τὴν ὅλην ποιητικὴν ἐνέργειαν διχῇ τις ἂν ἔχοι διαλαβεῖν, τὸ μὲν αὐτῆς τῇ θεωρίᾳ τὸ δὲ τῇ πράξει προςνέμων.

(γ'.) Μετ. Γ, γ'. ζ'. δεῖ περὶ τούτων (τῶν ἀναλυτικῶν) ἥκειν προεπισταμένους.

§ Λέ. Περὶ τῆς Ἀριστοτέλους Λογικῆς.

Ἀριστοτέλης πρὸς πάντων πατὴρ ὁμολογεῖται γεγονέναι τῆς ὀργανικῆς λεγομένης Λογικῆς ἤ, ὡς αὐτός φησι, τῆς ἀναλυτικῆς. ὅσα δὲ συγγράμματα τοῦ φιλοσόφου εἰς ταύτην τὴν ἐπιστήμην ἀναφορὰν ἔχει, συμπεριείληπται πάντα ὑπὸ τῶν μεταγενεστέρων ἐν τῷ Ὀ ρ γ ά ν ῳ καλουμένῳ. Τὸ δ' ὄνομα ὄργανον ἐξ αὐτῆς τῆς τῶν περιπατητικῶν θεωρίας προῆλθε, τὴν λογικὴν μηδὲν μέρος τῆς φιλοσοφίας ἀποτελεῖν οἰομένων, ἀλλ' ἁπλῶς αὐτῆς ὄργανον ὑπάρχειν (α). καὶ τὸ κυριώτατον τῶν συγγραμμάτων ἐξ ὧν τὸ ὄργανον συνέστηκεν ἀμφότερά ἐστι τὰ ἀναλυτικά. ἐν μὲν οὖν τοῖς προτέροις ἀναλυτικοῖς διασαφεῖ ὁ Ἀριστοτέλης τὰ πρῶτα οἱονπερεὶ στοιχεῖα πάσης ἐπιστημονικῆς ἀποδείξεως, ἤτοι τὰ περὶ τοὺς συλλογισμούς· ἐν δὲ τοῖς ὑστέροις ἀναλυτικοῖς τὴν μέθοδον τοῦ ἐπιστημονικῶς συλλογίζεσθαι καθολικώτερον παραδίδωσιν.

Α. Τὰ καθόλου δὲ στοιχεῖα τοῦ λογικῶς διανοεῖσθαί ἐστι τὰ τρία ταῦτα πρότασις, ὅρος, καὶ συλλογισμός. «Πρότασις μὲν οὖν ἐστι λόγος καταφατικὸς ἢ ἀποφατικός τινος κατά τινος. οὗτος δὲ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστος.» Ὅρον δὲ καλεῖ «εἰς ὃν διαλύεται ἡ πρότασις, οἷον τό,τε κατηγορούμενον καὶ τὸ καθ' οὗ κατηγορεῖται, ἢ προστιθεμένου, ἢ διαιρουμένου τοῦ εἶναι

(α'.) Σιπλίκιος εἰς τὰς κατηγ. σχόλ. λθ', μϐ'. λέγει· «ἡ λογικὴ πᾶσα τὸ ὀργανικὸν μέρος ἐστὶ τῆς φιλοσοφίας.» — Καὶ ὁ Ἀνών. εἰς τὰ πρότ. Ἀναλυτ. σχόλ. ρμ'. μς'. «ἄξιόν ἐστι ζητῆσαι, τί ἂν εἴη ἡ λογικὴ Ἀριστοτέλει, πότερον μέρος ἢ ὄργανον; καὶ οἱ μὲν Στωϊκοὶ κατασκευάζουσιν, ὅτι μέρος ἐστὶν, οἱ δὲ περιπατητικοὶ ὅτι ὄργανον.»

καὶ μὴ εἶναι. Συλλογισμὸς δέ ἐστι λόγος, ἐν ᾧ τιθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει, τῷ ταῦτα εἶναι. λέγω δέ (φησι) τῷ ταῦτα εἶναι τὸ διὰ ταῦτα συμβαίνειν, τὸ δὲ διὰ ταῦτα συμβαίνειν τὸ μηδενὸς ἔξωθεν ὅρου προςδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. Τέλειον μὲν οὖν καλῶ συλλογισμὸν τὸν μηδενὸς ἄλλου προςδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, ἀτελῆ δὲ τὸν προςδεόμενον ἢ ἑνὸς ἢ πλειόνων, ἃ ἔστι μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων, οὐ μὴν εἴληπται διὰ προτάσεων. τὸ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θατέρου θάτερον ταὐτόν ἐστιν. Λέγομεν δὲ τὸ κατὰ παντὸς κατηγορεῖσθαι, ὅταν μηδὲν ᾖ λαβεῖν τῶν τοῦ ὑποκειμένου, καθ' οὗ θάτερον οὐ λεχθήσεται· καὶ τὸ κατὰ μηδενὸς ὡςαύτως. » τούτων οὖν τῶν τριῶν στοιχείων τοῦ λογικῶς διανοεῖσθαι τὰ δύο πρῶτα ἀτελῶς καὶ ἐπὶ τὸ εἰςαγωγικώτερον μόνον πραγματεύεται. τοῖς γε μὴν συλλογισμοῖς κατ' ἐξοχὴν ἐφίστησι τὴν διάνοιαν, περὶ ὧν οὕτως ἐμβριθῶς τε καὶ ἐπ' ἀκριβὲς διεξελήλυθεν ὥστε ἡ πραγματεία αὕτη οἷον ὑπογραμμὸς κατέστη πᾶσι τοῖς ὕστερον ἀναβαλομένοις ἐπὶ πλέον τὴν ὀργανικὴν λογικὴν ἐξακριβῶσαι. καὶ εἰκότως ἄν τις εἴποι ὅτι τὴν περὶ τοὺς ἁπλῶς κατηγορικοὺς συλλογισμοὺς μέθοδον Ἀριστοτέλης ἐστὶν ὁ εὑρών τε ἅμα καὶ τελειώσας· καὶ γὰρ κατὰ δύο μόνον μέρη ἡ νῦν λογικὴ τὸ Ἀριςοτελικὸν ἔργον συμπληροῖ, καθ' ὅσον πρὸς τῷ κατηγορικῷ συλλογισμῷ, ᾧ καὶ μόνῳ Ἀριστοτέλης τὸ νοῦν προςέσχε, τόν τε ὑποθετικὸν καὶ τὸν διαζευκτικὸν παραλαμβάνει, τοῖς δὲ τρισὶ πρώτοις σχήμασι τοῦ συλλογισμοῦ καὶ τέταρτον προςτίθησι. Καὶ ἐν τῇ λογικῇ δὲ

οὐχ ἧσσον φανερός ἐστιν Ἀριστοτέλης παντάπασιν ἐμπειρικῇ μεθόδῳ κεχρημένος, τὰς τοῦ νοῦ ἐνεργείας ἐμμελῶς ἐπισκεπτόμενος. πείρᾳ γὰρ ἀμφιλαφεῖ προειληφὼς οἶδεν, ὅταν ὁ νοῦς ἐνεργῇ, ὁποσαχῶς τοῦτο ποιεῖ. εἰ δ' ἐξ ἀνάγκης ἐπιστημονικῆς οἱ τοιοῦτοι τύποι τοῦ συλλογίζεσθαι συνάγονται, τούτου γε πέρι οὔπω φροντίζων ἔοικεν.

B. Ἡ συλλογιστικὴ μέθοδος, οἷον βάσις ὑπόκειται τῇ ἀποδεικτικῇ ἐπιστήμῃ καθόλου. Ἐπεὶ γὰρ πᾶσα ἐπιστήμη δι' ἀποδείξεως γίγνεται, πάσας ἄρα ἀνάγκη τὰς ἐπιστήμας καὶ τὰς ἀρχὰς αὐτῶν ἐκ προεγνωσμένων ἤδη συλλογιστικῶς παραλαμβάνειν. Ἀλλὰ γὰρ τοιαύτη τις ἀπόδειξις οὐδαμῶς ἐνδεχομένη ἂν ἦν, εἴ γε πάντα τὰ πρότερον προαποδειχθῆναι πάντως ἔδει ἤτουν ἐξ ἄλλων πρώτων ποερισθῆναι· φανερὸν ἄρα «ὅτι οὐκ ἔστι τὰς ἑκάστου ἰδίας ἀρχὰς ἀποδεῖξαι·» ἀπαιδευσία τε «τὸ μὴ γιγνώσκειν τίνων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων οὐ δεῖ. ὅλως μὲν γὰρ ἁπάντων ἀδύνατον ἀπόδειξιν εἶναι· εἰς ἄπειρον γὰρ ἂν βαδίζοι, ὥστε μηδ' οὕτως εἶναι ἀπόδειξιν.» (6'.) κατὰ δὴ οὖν τὸν λόγον τοῦτον τὰς τῶν ἐπιστημῶν ἀρχὰς προεγνωσμένας δεῖ παραλαμβάνειν· «ἡμεῖς φαμὲν οὐ πᾶσαν ἐπιστήμην ἀποδεικτικὴν εἶναι, ἀλλὰ τὴν τῶν μέσων ἀναπόδεικτον

(6'.) Ἀναλυτ. ὑστ. Α, θ'. σ. ος'., α, ις'. — Καὶ Μετ. Γ, δ'. — Ὡς φέρ' εἰπεῖν ἀδύνατός ἐστιν ἡ ἀπόδειξις τοῦ ἀξιώματος περὶ τῆς ἀντιφάσεως· οὐ γὰρ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι· διὸ καὶ Ἀριστοτέλης ἔδειξεν «ὅτι βεβαιοτάτη αὕτη τῶν ἀρχῶν πασῶν.» ὡσαύτως δὲ οὐδὲ τὸ ἀξίωμα τοῦ δυοῖν θἄτερον, μηδενὸς μέσου ἐγχωροῦντος (principium exclusi tertii s. medii) ἐνδέχεται ἀποδειχθῆναι. μόνη δ' ἐν τούτοις δυνατή ἐστιν ἡ εἰς ἀδύνατον ἀπαγωγή.

(γ'.) » Τὰ γὰρ ἄμεσα καὶ τὰς ἀρχὰς ἀμέσως πως ὁ ὀρθός γε νοῦς γιγνώσκει· « τῆς γὰρ ἀρχῆς τοῦ ἐπιστητοῦ οὐκ ἂν ἐπιστήμη εἴη· — λείπεται νοῦν εἶναι τῶν ἀρχῶν. Ἐπεὶ δ' οὐδὲν ἀληθέστερον ἐνδέχεται εἶναι ἐπιστήμης, ἢ νοῦν, νοῦς ἂν εἴη ἐπιστήμης ἀρχή » (δ'.).

Ταύτην δὲ τὴν ἔλλειψιν ἀποδεικτικῆς ἐφόδου ἐπ' ἀρχὴν τὴν ἐσχάτην ἰοῦσαν ἀναπληροῖ ἄλλη τις μέθοδος ἐπιστημονική, ἡ λεγομένη ἐπαγωγὴ (inductio). Ἔστι δὲ ἡ ἐπαγωγὴ ἔφοδος κατὰ τοὐναντίον τῇ ἀποδείξει βαδίζουσα· πορίζεται γὰρ τὰ καθόλου ἀπὸ τῶν καθ' ἕκαστον ὡς ἀπὸ γνωστοτέρων ἡμῖν ὁρμωμένη. ἐντεῦθεν ἄρα δῆλον ὅτι πρὸς κῦρος ἐπακτικὸν ἀναγκαία γνῶσίς ἐστιν ὁλοσχερὴς πάντων τῶν ἐπὶ μέρους. ἀλλὰ τοῦτό γε ἀμήχανον· ἄπειρα γὰρ τὸν ἀριθμὸν τὰ ἐπὶ μέρους. Στερκτέον οὖν τῷ ἐξ ἐνδόξων πορίζεσθαι τἀληθὲς ἑκάστοτε περὶ τῶν ὄντων. ἔνδοξα δέ φησι τὰ κοινῇ πᾶσι παραδεδεγμένα ἤτοι περὶ ὧν πάντες οἱ ἔμφρονες ὁμολογοῦσιν. δύο ἄρα αὗται, ἀλλήλας ἀναπληροῦσαι, μέθοδοί εἰσι τοῦ μετ' ἐπιστήμης τὴν τῶν ὄντων ἀλήθειαν παρ' ἑαυτῷ λαμβάνειν, ἥ τε ἀπόδειξις καὶ ἡ ἐπαγωγή. ἐς δέον τοίνυν ἀμφοτέραις χρωμένῳ συμβήσεται πάντως τὸ ἀσφαλῶς τὰ ὄντα εἰδέναι.

§ λϛ'. Περὶ τῆς Ἀριστοτελικῆς Μεταφυσικῆς.

α'. Ἥτις ἐστὶν ἡ πρώτη λεγομένη φιλοσοφία.

Εἰδέναι ἐστὶ τὸ τὴν πρώτην αἰτίαν ἑκάστου τῶν ὄντων

(γ'.) Ὑστέρων ἀναλυτικῶν Α, γ' σ. οβ'., Β, ιή.

(δ'.) Ἠθικῶν Νικομαχείων Ζ, ϛ'. — Καὶ ὑστέρ. ἀναλ. Β, ιθ'.

γνωρίζειν (ά.). Διὸ καὶ ὁ θεωρητικὸς ὁ τὸ διότι καὶ τὴν αἰτίαν εἰδὼς φρονιμώτερός τε καὶ σοφώτερος ὑποληπτέος τοῦ ἐμπειρικοῦ τοῦ τὸ ὅτι μόνον γνωρίζοντος. « Διὸ καὶ τοὺς ἀρχιτέκτονας περὶ ἕκαστον τιμιωτέρους καὶ μᾶλλον εἰδέναι νομίζομεν τῶν χειροτεχνῶν καὶ σοφωτέρους, ὅτι τὰς αἰτίας τῶν ποιουμένων ἴσασιν, τοὺς δ' ὥςπερ καὶ τῶν ἀψύχων ἔνια, ποιεῖν μὲν, οὐκ εἰδότα δὲ ποιεῖν ἃ ποιεῖ, οἷον καίει τὸ πῦρ. Τὰ μὲν οὖν ἄψυχα φύσει τινὶ ποιεῖν τούτων ἕκαστον, τοὺς δὲ χειροτέχνας δι' ἔθος, ὡς οὐ κατὰ τὸ πρακτικοὺς εἶναι σοφωτέρους ὄντας, ἀλλὰ κατὰ τὸ λόγον ἔχειν αὐτοὺς καὶ τὰς αἰτίας γνωρίζειν. » Ἐντεῦθεν ἄρα δῆλον ὅτι σοφία ἡ ἐπιστήμη τὸ τὰ αἴτια καὶ τοὺς λόγους ἐστὶν εἰδέναι. Ἐπιστῆμαι δὲ πολλαί· πασῶν δὲ κυριωτάτη τε καὶ τιμιωτάτη ἡ τῶν πρώτων ἀρχῶν καὶ αἰτιῶν θεωρητικὴ [Μετ. Α. β'.]. ταύτην δὲ τὴν ἐπιστήμην, ὡς περὶ τὰς πρώτας οὖσαν ἀρχὰς, πρώτην φιλοσοφίαν ὁ Ἀριστοτέλης ἀπεκάλεσεν (β'.), τὴν δὲ φυσικὴν δευτέραν εἶπε φιλοσοφίαν [Μετ. Ζ, ιά. πρβλ. Ε, ά.]. Ἡ πρώτη φιλοσοφία ἐστὶν « ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν, ᾗ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτό. αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή. οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι, περὶ τούτου θεωροῦσι τὸ συμβεβηκὸς, οἷον

(α'.) Μετ. Α, γ'. α'. — Β, β'. ιζ'. — Ὑστέρ. Ἀναλ. Α, β'. Β, ια'. « Ἐπίστασθαι οἰόμεθα, ὅταν εἰδῶμεν τὴν αἰτίαν. » ἴδε πλείονα περὶ τούτου ἐν τῇ ἡμετέρᾳ σημειώσει εἰς τὸ Α, α', τῶν μετὰ τὰ φυσικά.

(β'.) Μετ. Ε, α'. κ, ζ'. — Φυσ. Α, θ'. Β, β'. — Περὶ Οὐρ. Α, ή. — Περὶ γεν. καὶ φθορ. Α, γ'.

αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν » καὶ αἱ φυσικαί. [Μετ. Γ, ά.]. Αἱ μὲν γὰρ φυσικαὶ θεωροῦσι τὸ ὂν ὡς ὕλην ἔχον μετὰ κινήσεως, ἤγουν ὡς αὐτὸ τοῦτο φύσιν οὖσαν, αἱ δὲ μαθηματικαὶ ἐφ' ὅσον ἀριθμός ἐστιν, ἀλλ' ἡ πρώτη φιλοσοφία θεωρεῖ τὸ ὂν ᾗ ὄν, ὅ ἐστι τὴν οὐσίαν αὐτὴν ἀνερευνᾷ καὶ τὰ ἴδια τοῦ ὄντος [Μετ. Ε, ά. — Κ. δ'. — ζ', β'.].

Τῶν δὲ πρώτων ἀρχῶν τοῦ ὄντος, περὶ ὧν ἡ πρώτη φιλοσοφία ἐπισκοπεῖ, τὸ θεῖόν ἐστι μάλιστα, ἀΐδιον, ὑπὲρ φύσιν (χωριστόν), ἀμετάβλητον ὄν, αὐτὸ μὲν ἀκίνητον, κινήσεως δὲ τῇ φύσει αἴτιον. Διὸ καὶ τὴν πρώτην φιλοσοφίαν ὁ Ἀριστοτέλης καὶ Θεολογικὴν ἀποκαλεῖ, τιμιωτάτην πασῶν τῶν θεωρητικῶν ἐπιστημῶν, ὡς περὶ τὸ τιμιώτατον γένος οὖσαν. [Μετ. Ε, α, ιθ'.].

Ἀλλὰ δυσμενεῖ τύχῃ τὸ σύγγραμμα, ἐν ᾧ ὁ φιλόσοφος τὴν πρώτην φιλοσοφίαν ἐξέθετο οὐθ' ὁλοσχερὲς οὔτ' ἐν τῷ ἀρχῆθεν σχήματι εἰς ἡμᾶς περιγέγονεν. ἣν δὲ νῦν ἡμεῖς πραγματείαν γιγνώσκομεν « τὰ μετὰ τὰ φυσικὰ » ἐπιγραφὴν φέρουσαν, οὔ τι ὅλον ἄρτιόν τε καὶ συνεχὲς ἀποτελεῖ οὐδὲ μέθοδον ἔχει ὅλως, ἀλλὰ παλλιλογίᾳ καὶ λόγοις ἐπεισάκτοις συγκεχυμένη πως καθέστηκεν. ὥστ' οὐκ' ἂν εἰκότως τις εἴποι ὅτι οὕτως ἔχουσαν τὴν πραγματείαν αὐτὸς ὁ Ἀριστοτέλης εἰς φῶς ἐξενηνόχει. πολλῷ δ' ἂν μᾶλλον πιστεύσειεν ὅτι ἡ προκειμένη συγγραφὴ συλλογή τίς ἐστιν ἐκ πολλῶν ἄλλων κατὰ καιροὺς τῷ Ἀριστοτέλει συγγεγραμμένων διατριβῶν τε χωριστῶν καὶ δοκιμίων συνεσκευασμένη. Καὶ ἀναμφίλεκτόν μοι δοκεῖ ταυτηνὶ τὴν συλλογὴν τῶν χειρῶν προκύψαι τινὸς τῶν μεταγενεστέρων διασκευαστῶν τῶν Ἀριστοτελικῶν συγγραμμάτων,

'Ανδρονίκου ἴσως τοῦ 'Ροδίου, ὅς καὶ ἐπεχείρησε διορθῶσαί τε καὶ εἰς ὁμοειδεῖς διαμερίσαι πραγματείας τὰ τοῦ φιλοσόφου συγγράμματα. οὗτος οὖν ὁ διασκευαστὴς διέταξε τὸ ἐκ πολλῶν ἄλλων ἀπαρτισθὲν πόνημα μετὰ τὰ περὶ φύσεως συγγράμματα τοῦ φιλοσόφου· καὶ διὰ τοῦτο τὴν ἄλλως ἀλλόκοτον ἐπιγραφὴν « τὰ μετὰ τὰ φυσικὰ « αὐτῇ προςένειμεν (γ'.).

6'. 'Αριστοτέλους κρίσις περὶ τῆς Πλατωνικῆς ἰδεολογίας.

Κύριον ζήτημα τῆς πρώτης φιλοσοφίας ἐστὶ τί τὸ ὄν; τίς ἡ οὐσία; (δ'.) πρὸς δὲ τὸ ἐρώτημα τοῦτο ὁ 'Αριστέλης ἀποκρίνεται τὸ πρῶτον ἀποφατικῷ τῷ τρόπῳ, τὴν Πλατωνικὴν ἰδεολογίαν ἐν πολοῖς τόποις τῶν

(γ'.) 'Εκίνησε δὲ τὸν 'Ανδρόνικον προςνεῖμαι τῇ πραγματείᾳ ταύτῃ τὸν μετὰ τὰ φυσικὰ τόπον ἤτοι ὅτι ἐν αὐτῇ συχνάκις τῶν φυσικῶν γίγνεται μνεία, ἅπερ διὰ τοῦτο καὶ πρότερον συγγεγραμμένα ὑπολαμβάνεται· ἢ αὐτὸ τὸ φθέγμα τοῦ φιλοσόφου διδάσκοντος ὅτι τὰ κατὰ λόγον ἢ ἁπλῶς πρότερα, ὕστερά ἐστι τῇ γνώσει· ὥστε καὶ ἡ πρώτη φιλοσοφία (ἡ μεταφυσικὴ) ὑστέρα πώς ἐστι τῆς φυσικῆς, ἣν δευτέραν φιλοσοφίαν ἀπεκάλεσεν. 'Εν δὲ τῷ πίνακι τῷ παρὰ Διογένει τῷ Λαερτίῳ τῶν 'Αριστοτελικῶν συγγραμμάτων οὐδὲν σύγγραμμα « τὰ μετὰ τὰ φυσικὰ » ἐπιγραφὴν ἔχον ἀναγέγραπται. εὕρηται δὲ κατὰ πρῶτον ἡ ἐπιγραφὴ αὕτη παρὰ Νικολάῳ τῷ Δαμασκηνῷ, φιλοσόφῳ περιπατητικῷ ἐπὶ Αὐγούστου ἀκμάσαντι, ὅς «θεωρίαν τῶν 'Αριστοτέλους μετὰ τὰ φυσικὰ «συνέγραψεν. [ἔπιθι τῆς ὑπὸ Βρανδισίου τοῦ σοφοῦ ἐκδεδομένης Μεταφυσικῆς τοῦ 'Αριστοτέλους σελίδα 323 τή.] ὕστερον δὲ καὶ παρὰ Πλουτάρχῳ ἐν βίῳ 'Αλεξάνδρου (ζ'.) οὕτω λέγοντι « 'Αληθῶς ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα (νόει ὀρθῶς), τοῖς πεπαιδευμένοις γέγραπται. » ἔτι δὲ καὶ παρὰ τῷ ἀνωνύμῳ τοῦ Μεναγίου, σ. 13, 54. « μεταφυσικὰ κ'.

(δ'.) Μετ. Ζ, Α, ια'.

μετὰ τὰ φυσικὰ διαλεκτικῶς ἀνασκευάζων. [ὡς π. χ. Μετ. Α· θ΄. — Β, ϐ΄. — Ζ., ή. ιγ΄. ιδ΄. ις΄. — Μ, δ΄.].

Πλάτων μὲν οὖν φησι μόνας ἀληθεῖς οὐσίας εἶναι τὰς ἰδέας. καί εἰσιν αἱ ἰδέαι κατ' αὐτὸν ἀσώματοι, ἀμετάϐλητοι, χωρὶς τῶν καθ' ἕκαστον αἰσθητῶν ὄντων καθ' αὑτὰς οὖσαι, οὐσίαι χωρισταί. ἀλλὰ τὴν θεωρίαν ταύτην οὔ φησιν Ἀριστοτέλης κυρίαν εἶναι διὰ πολλοὺς λόγους.

Πρῶτον μὲν γὰρ οὐδένα λόγον ἀποχρῶντα οἱ Πλατωνικοὶ προφέρονται περὶ τῆς ὑπάρξεως τῶν ἰδεῶν καθ' αὑτάς. πᾶσαι γὰρ αὐτῶν αἱ περὶ τούτου ἀποδείξεις ἤτοι πλείονα τοῦ δέοντος ἢ οὐθὲν τὸ παράπαν λέγουσιν.

Δεύτερον δὲ ὅτι αἱ ἰδέαι οὐδ' ὁπωστιοῦν συμϐάλλονται οὔτε πρὸς τὸ ε ἶ ν α ι οὔτε πρὸς τ ὸ γ ί γ ν ε σ θ α ι τὰ ὄντα. πρὸς μὲν γὰρ τὸ εἶναι αὐτοῖς οὐδεμίαν ἔχουσι δύναμιν ὅτι γε τοῖς καθ' ἕκαστον οὖσιν οὐκ ἐνυπάρχουσιν, ἀλλ' οὐδὲ πρὸς γένεσίν πως αὖ τῶν ὄντων τὸ παράπαν ἰσχύουσιν· « οὔτε γὰρ κινήσεως οὔτε μεταϐολῆς οὐδεμιᾶς ἐστιν αἴτια αὐτοῖς. » [Α, ζ΄. — Α, θ΄. — Ζ, ή. — Λ, ς΄. — Λ, ί.]. Καί περ ἰδεῶν οὐσῶν, οὐθὲν μέντοι τῶν καθ' ἕκαστον ὄντων, ἃ ἐκείνων μετέχει, ἔστι πως γενέσθαι, εἰμή τι αἴτιον αὐτῷ ὑπάρχει, τὸ κ ι ν ο ῦ ν. [Α, θ΄. — Λ, γ΄. — Λ, ς΄. —] Ἄλλως τε, καὶ εἴ τιν' ἐνέργειαν ἔμελλον αἱ ἰδέαι ἀσκεῖν, μᾶλλον ἂν ἀκινησίας τε καὶ ἠρεμίας εἰκὸς ἦν εἶναι αὐτὰς αἰτίας ἢ γενέσεως τοῖς οὖσι [Α, ζ΄.]. πάμπαν ἄρα ἄπορος ἡ Πλατωνικὴ φιλοσοφία ἀρχῆς τινος τῶν αἰσθητῶν κινητικῆς ἤτοι αἰτίας, « ὅθεν ἡ ἀρχὴ τῆς μεταϐολῆς, » ὁπότε ἔργον φιλοσοφίας μάλιστά ἐστι τὴν πρώτην ἀρχὴν καὶ αἰτίαν τῶν ἐν τῇ φύσει γιγνομένων

ἀποδιδόναι. [Α, θ΄.] κινήσεως γὰρ ἄνευ οὔτε τις ἐπίσκεψις οὔτε διασάφησις τῶν ἐν τῇ φύσει δυνατὴ ὅλως ὑπάρχει [Α, θ΄.].

Τρίτον δὲ ὅπως αἱ ἰδέαι οὐθὲν πρὸς τὸ εἶναι τοῖς οὖσι συμβάλλονται, ὡςαύτως οὐδὲ πρὸς γνῶσιν αὐτῶν χρήσιμοί πως φαίνονται. καὶ γὰρ οἱ Πλατωνικοὶ ἑκάστῳ τῶν αἰσθήσει ληπτῶν ὁμώνυμόν τιν' ἰδέαν θέμενοι, ἔλαθον ἑαυτοὺς τηνάλλως πάντῃ τὰ ἐπιστητὰ διπλασιάσαντες (Α, κεφ.θ΄, ιγ΄.). ὁ γὰρ ἀριθμὸς τῶν ἰδεῶν πάντῃ ἴσος τοῖς ὁρατοῖς καθέστηκεν, ὧν ἰδέαι ἐκεῖναί εἰσιν. αἱ γὰρ ἰδέαι, ὡς ἁπλῶς εἰπεῖν, αὐτά ἐστι τὰ καθ' ἕκαστον ὁρώμενα, ὧν ἰδέαι ἐκεῖναί εἰσιν (Ζ, ις΄.)· διακρίνονται δ' ἀλλήλων παρ' ὅσον μόνον αἱ μὲν ἰδέαι ἀΐδιοί εἰσι, τὰ δ' ὁρατὰ μεταβλητά τε καὶ φθαρτὰ πάντα. (Β, β΄.) καὶ γὰρ τὰς τῶν καθ' ἕκαστον αἰσθητῶν οἱ Πλατωνικοὶ πορίζονται τὰς ἰδέας προςαρτῶντες ἁπλῶς ἑκάστῳ αὐτῶν τὴν λέξιν αὐτό, καὶ λέγουσί γε δὴ αὐτοάνθρωπος καὶ αὐτοΐππος καὶ ὅσα ἄλλα τοιαῦτα (Β, β΄. Ζ, ις΄.). Αἱ Πλατωνικαὶ ἄρα ἰδέαι οὐδὲν ἄλλο τυγχάνουσιν οὖσαι ἢ αἰσθητὰ ἀΐδια, ὥσπερ καὶ θεοὶ οἱ μυθολογούμενοι ἄνθρωποί εἰσιν ἀΐδιοι (Β, β΄.). Ὥστε ἀντὶ τοῦ τὴν οὐσίαν τῶν πραγμάτων ἀποδιδόναι, οἱ περὶ Πλάτωνα λέγουσι μόνον καὶ ἄλλας παρὰ ταῦτα οὐσίας εἶναι, ἃς τιθέμενοι, οὐθὲν πλέον ἀνύτουσιν πρὸς διασάφησιν τῶν ὄντων (Α, θ΄.).

Τέταρτον δὲ ὅτι περὶ τῆς σχέσεως τῶν ἐπὶ μέρους πραγμάτων πρὸς τὰς ἰδέας, ὅ ἐςιν ὅν τινά ποτε τρόπον αἱ ἰδέαι οὐσίαι εἰσὶ τῶν αἰσθητῶν ὄντων οὐδὲν σαφὲς καὶ πειστικὸν ὁ Πλάτων εἴρηκε. τὸ γὰρ λέγειν παραδείγματα τὰς ἰδέας εἶναι «καὶ μετέχειν αὐτῶν τἆλ-

λα κενολογεῖν ἐστι καὶ μεταφορὰς λέγειν ποιητικάς. Τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεται γὰρ καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν καὶ μὴ εἰκαζόμενον πρὸς ἐκεῖνο, ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος γένοιτ' ἂν οἷός περ Σωκράτης. ὁμοίως δὲ δῆλον ὅτι κἂν εἰ ἦν ὁ Σωκράτης αἴδιος. Ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ τὸ αὐτοάνθρωπος. » [Α, θ'.].

Καὶ τελευταῖον ὅτι τὸ ἰδέας τῶν πραγμάτων τιθέναι πρόοδός ἐστιν ἐπ' ἄπειρον βαδίζουσα. Εἰ μὲν γὰρ καθ' ἕκαστον τῶν ὄντων καὶ ὁμώνυμος ἰδέα ὑπάρχει, ἀνάγκη πᾶσα παρὰ ταύτην τὴν ἰδέαν καὶ τὰ ταύτης μετέχοντα καὶ ἄλλην τρίτην τιθέναι καὶ ταύτης πάλιν ἄλλην καὶ οὕτως ἐφεξῆς ἐπ' ἄπειρον [Μετ. Α, θ'.]. Σημαίνει δὲ τὴν ἔνστασιν ταύτην ὁ Ἀριστοτέλης συχνάκις λέγων ὅτι αἱ ἰδέαι ἄγουσιν ἐ π ὶ τ ὸ ν τ ρ ί τ ο ν ἄ ν θ ρ ω π ο ν. [Μετ. Α, θ'.— Ζ, ιγ'.].

Διὰ τούτους ἄρα τοὺς λόγους παραιτητέον λογίζεται τὴν Πλάτωνος θεωρίαν, ὅτι αἱ νοηταὶ τῶν ὄντων οὐσίαι ἤτοι αἱ ἰδέαι τῶν καθ' ἕκαστον αἰσθητῶν χωρισταί, αὗταί γε καθ' ἑαυτὰς ὑπάρχουσιν. Ὀρθῶς μὲν οὖν φησι τὸν Πλάτωνα δοξάζειν, τὸ καθόλου ἤτοι τὴν νοητὴν τῶν ὄντων οὐσίαν, ἧς περ ἔκφανσις ὁ ὁρισμός ἐστιν, ὡς τὸ ἀληθές γε ὂν καὶ οὐσιῶδες ἀποφαινόμενον. καὶ γὰρ « εἰ μὴ ἔστι τί (φησι) παρὰ τὰ καθ' ἕκαστα, τὰ δὲ καθ' ἕκαστα ἄπειρα, τῶν ἀπείρων πῶς ἐνδέχεται λαβεῖν ἐπιστήμην; ᾗ γὰρ καθόλου τι ὑπάρχει, ταύτῃ πάντα γνωρίζομεν. » — Καὶ ἀλλαχοῦ αὖθις « τὸ ἐπίστασθαί, φησι, πῶς ἔσται, εἰμή τι ἔσται ἓ ν ἐ π ὶ π ά ν τ ω ν; Εἰ

μὴ (γὰρ) καθόλου αἱ ἀρχαὶ, ἀλλ' ὡς τὰ καθ' ἕκαστα, οὐκ ἔσονται ἐπιστηταί· καθόλου γὰρ αἱ ἐπιστῆμαι πάντων». — Καὶ πάλιν « τὰς ἀρχὰς καθόλου εἶναι δεῖ, ἐάν περ μέλλῃ ἔσεσθαι αὐτῶν ἐπιστήμη. » (έ.) Ἀλλὰ γὰρ διὰ ταῦτα αὖ οὐδεμία ἀνάγκη τὸ καθόλου ἤτοι τὸ γένος καὶ εἶδος, ἑνὶ λόγῳ τὸ « ἓν κατὰ τῶν πολλῶν » χωριστὸν ποιεῖν τῶν καθ' ἕκαστον ὄντων [N, δ'. — M, θ'.], οὐ γὰρ δεῖ τιθέναι αὐτὸ ὡς ἓν παρὰ τὰ πολλὰ (ς'.) « εἴδη μὲν οὖν εἶναι ἢ ἕν τι παρὰ τὰ πολλὰ οὐκ ἀνάγκη, εἰ ἀπόδειξις ἔσται, εἶναι μέντοι ἓν κατὰ πολλῶν ἀληθὲς εἰπεῖν ἀνάγκη. Οὐ γὰρ ἔσται τὸ καθόλου, ἂν μὴ τοῦτο ᾖ· ἐὰν δὲ τὸ καθόλου μὴ ᾖ, τὸ μέσον (terminus medius) οὐκ ἔσται, ὥστ' οὐδ' ἀπόδειξις. δεῖ ἄρα τι ἓν καὶ τὸ αὐτὸ ἐπὶ πλειόνων εἶναι. ἀλλ' οὐθὲν πρᾶγμά ἐστι παρὰ τὰ μεγέθη τὰ αἰσθητὰ κεχωρισμένον· ἐν τοῖς εἴδεσιν ἄρα τοῖς αἰσθητοῖς τὰ νοητά ἐστιν. » καὶ γὰρ ἄπορόν ἐστι τὴν οὐσίαν ὑπολαμβάνειν ἐκτὸς εἶναι τοῦ πράγματος, οὗ τινος οὐσία ἐστίν [A, θ'.]· οἷον οὐδεμία, φέρ' εἰπεῖν, σφαῖρα ἐκτὸς τῆς αἰσθητῆς ὑπάρχει (Z, ή.), ἀλλ' ἡ νοητὴ τῶν ὄντων οὐσία, ἥν γε δὴ ὁ Πλάτων ἰδέαν ἀποκαλεῖ, κατ' ἀνάγκην ἐστὶ τοῖς πράγμασιν ἐ ν υ π ά ρ χ ο υ σ α· καὶ ἑνὶ λόγῳ ὅ,τι ὁ Πλάτων ὡς ἰδέαν αὐτὴν καθ' αὑτὴν οὖσαν ἀπεφήνατο, πολλῷ μᾶλλον εἰκὸς ὡς τοῖς καθ' ἕκαστον ἐνηρμοσμένον

(έ.) Ἀριστ. Μετ. B, δ'. — Μετ. M, θ'. Ἄνευ τοῦ καθόλου οὐκ ἔστιν ἐπιστήμην λαβεῖν, τὸ δὲ χωρίζειν αἴτιον τῶν συμβαινόντων δυσχερῶν περὶ τὰς ἰδέας ἐστίν. — Μετ. B, δ'. — B, ς'.

(ς'.) Ὑστερ. Ἀναλυτ. A, ια'. σ. οξ', α'. — Περὶ ψυχῆς Γ, ή. σ. υλϐ'. α'. —

ἢ ἐνόντα τύπον ἐκλαμβάνειν. τόν γε μὴν τύπον ἢ τὸ εἶδος φύσει ἀδύνατον χωρὶς εἶναι οὗτινός ἐστιν εἶδος.

Ἐκ τῶν ἄρτι οὖν λεχθέντων φανερὸν ὡς οὐκ ὀρθῶς τὸν Ἀριστοτέλην κατὰ τοὺς μέσους αἰῶνας καὶ ὕστερον ἔτι ὡς ἀρχηγὸν πρῶτόν τε καὶ κύριον τῆς ὀνοματολογικῆς αἱρέσεως ὑπελάμβανον. καὶ γὰρ διϊσχυρίζεται μὲν ὁ Ἀριστοτέλης πρὸς τὸν Πλάτωνα ἀντιλέγων ὅτι μόνον τὰ καθ' ἕκαστον πράγματα καὶ οὐχὶ τὰ καθόλου οὐσίαι ἐντελεχείᾳ εἰσὶν, οὐδὲ παρὰ τὰ πράγματα καὶ ἐκτὸς αὐτῶν τὸ καθόλου ὑπάρχει, παντελῶς δὲ τῷ Πλάτωνι ὁμολογεῖ τὰ καθόλου ὑποστατικὴν εἶναι οὐσίαν λέγοντι τῶν ὄντων καὶ εἰμή τι ἐπὶ πολλῶν ἦν, μηδεμίαν που ἂν ἐπιστήμην μηδαμῶς ἐνδέχεσθαι. Ὡςαύτως δὲ τὸ καθόλου ὡς κυριώτερον καὶ οὗτος δέχεται τῶν κατὰ μέρος πραγμάτων καὶ φύσει πρότερον· φησὶ γοῦν « τὴν κατὰ τὴν μορφὴν φύσιν κυριωτέραν εἶναι τῆς ὑλικῆς φύσεως (ζ'.)· Ἀλλ' οὐκ ἐς τοσοῦτον προβαίνει ὥστε συνδοξάσαι τῷ Πλάτωνι ὅτι προϋπῆρχεν αὐτὸ ἤδη καὶ πρότερόν που ἐκτὸς τῶν αἰσθητῶν. Τὰ γὰρ εἴδη τὰ γενικά φησι, καί περ ὑποστατικώτερα τῶν κατὰ μέρος ὄντων, ἀλλὰ τότε μόνον ἀληθινὴν ὕπαρξιν λαμβάνειν, ἐπειδὰν τοῖς καθ' ἕκαστον πράγμασιν, ὡς ἔπος εἰπεῖν, ἐμφύηται. ταύτῃ τοι οὖν ὁ Ἀριστοτέλης οὕτως ἥκιστα ὀνοματολόγος δείκνυται ὥστε πολλῷ δικαιότερον ἄν τις αὐτὸν καὶ ἀρχηγέτην ἡγήσαιτο τῶν ἀληθῶς οὐσιολόγων γεγονέναι. καὶ γὰρ ἐρ-

(ζ'. Ἀριστ. περὶ ζῴων μορίων Α, α'. σ. Χμ', 6. — Μετ. Ζ, γ'. εἰ τὸ εἶδος τῆς ὕλης πρότερον καὶ μᾶλλον ὄν, καὶ τοῦ ἐξ ἀμφοῖν πρότερον ἔσται διὰ τὸν αὐτὸν λόγον. —

γον μάλιστα ἀνεβάλετο, πρὸς τὴν ὑπὲρ φύσιν ὀντοθεσίαν τῆς Πλατωνικῆς ἰδεολογίας ἐναντιούμενος, καθ' ἣν τὸ καθόλου ὡς πρότερον ὂν τῶν πραγμάτων τίθεται, κύριον καταστῆσαι ὅτι τὸ καθόλου μόνον ἐν τοῖς αἰσθητοῖς πράγμασιν ὕπαρξιν λαμβάνει καὶ ἀληθῶς ὑπάρχει.

γ'. Ὁρισμὸς τῆς κατ' Ἀριστοτέλη οὐσίας.

Πρὸς ὃ ἄρα κύριον ζήτημα ἡ πρώτη καὶ θεωρητικὴ φιλοσοφία προβάλλεται, τίς ἡ οὐσία, ἀποκριτέον, οὔ τι καθόλου ἢ κοινὸν ἢ κοινῇ κατηγορούμενον, ἓν ἐπὶ πολλῶν, οὐσία ἐστίν· ἀλλὰ μόνον τὸ κατὰ μέρος οὐσία ἐστὶ, τὸ τόδε τι, τὸ καθ' ἕκαστον· « εἰ μὲν γὰρ αἱ ἀρχαί εἰσι καθόλου, οὐκ ἔσονται οὐσίαι· οὐδὲν γὰρ τῶν κοινῶν τόδε τι σημαίνει, ἀλλὰ τοιόνδε, ἡ δ' οὐσία τόδε τι. τὸ τόδε τι ταῖς οὐσίαις ὑπάρχει μόνον » (ή.). Οὐκ ἄρα ὁ ἵππος ὡς καθόλου ὅρος, ἀλλὰ μόνον ὅδε ὁ ἵππος, ὁ κατὰ μέρος ἵππος ἐστὶν οὐσία. Ὁριζόμενος δ' ἄν τις ὀρθῶς εἴποι ὡς « οὐσία ἐστὶν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος καὶ ἵππος, » καθ' οὗ τὰ λοιπὰ ὡς συμβεβηκότα κατηγορεῖται (θ'.). Ὁ ὅρος ἵππος, φέρ' εἰπεῖν, ὡς κατὰ πάντων τῶν ἰδίᾳ ἵππων λεγόμενος, οὐκ ἔστιν οὐσία· ἀλλὰ μόνον ὁ ἕκαστος καὶ

(ή.) Μετ. Β, ς. — Ζ, δ'. — Ζ, ή. — Ζ, ιγ'. Ζ, δ'. — Ζ, ις'. — κατηγ. έ. σ. γ'. ϐ, ί. Πᾶσα οὐσία δοκεῖ τόδε τι σημαίνειν. — Ἀναλ. ὕστ. Α, κϐ'. σ. πγ', Α. — τὰ οὐσίαν σημαίνοντα ὅπερ ἐκεῖνό τι σημαίνει, καθ' οὗ κατηγορεῖται.

(θ'.) Κατηγ. Ε'. — Μετ. Ζ, γ'. — Ζ, ιγ'. —

ὡρισμένος, ὁ τὶς ἵππος οὐσία ἐστὶν, ὅς οὐδενὸς ἄλλου ὄντος κατηγορεῖται. καὶ μὴν ἀπορία τις ἐνταῦθα φανερῶς ἀναφύεται· εἰ μὲν γὰρ τὰ καθ' ἕκαστον μόνον ὄντα οὐσία ἐςὶ, ταῦτα δὲ τὸν ἀριθμὸν ἄπειρα, πῶς οὖν ἂν εἴη ὅλως ἐπιστήμην οὐσίας λαβεῖν; ἐπιστήμην γὰρ μόνων τῶν καθόλου οἷόντέ ἐςι λαμβάνειν. [Μετ.Β, δ', κφξ.] Λύσιν δὲ τῆς ἀπορίας παρέχει, ὅτι ἓν μὲν ἕκαστον τῶν ἰδίᾳ ὄντων, ἐνεργείᾳ τε ὑπάρχει καὶ οὐσία ἐστὶν, ἀλλ' οὐχ ἧσσον τὸ τοῖς καθ' ἕκαστον οὖσιν ἑνὸν εἶδος ὑποστατικόν τέ ἐστι καὶ πρότερον τοῦ κατὰ μέρος αἰσθητοῦ· πρώτη γὰρ αὐτὸ οὐσία ἐστίν· « εἶδος δὲ λέγω (φησι) τὸ τί ἦν εἶναι ἑκάστῳ καὶ τὴν πρώτην οὐσίαν. λέγω δὲ οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι. » καὶ οὐσίαν δ' ἁπλῶς τὸ εἶδος καλεῖ λέγων « μίαν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι. — ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν. » [εὕροις δ' ἂν ταῦτα ἐν τοῖς ἑξῆς τόποις. Μετ. Ζ, γ'. — Ζ, ζ'. — Λ, γ'. — Ζ, ιά. — Η, ά. Καὶ πλείονα ἔτι τούτων ἐν τῷ ἡμετέρῳ ὑπομνήματι εἰς τὰ μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους Μ, ί. καὶ παρὰ Σελλερίῳ ἐν τῷ Β τόμῳ τῆς ἱστ. σελ. 405 κφξ.].

δ'. *Περὶ εἴδους καὶ ὕλης.*

Τὸ καθόλου ὂν ἢ ὅπερ Ἀριστοτέλης εἶδος (μορφὴν) ἀποκαλεῖ τότε μόνον ὄντως οὐσία καθίσταται, ἐπειδὰν τόδε τι γίγνηται ἤγουν ἐπειδάν τι τῶν καθ' ἕκαστον ἐνσωμάτων ἀπεργάζηται. ἀλλ' ἵνα τοῦτο γένηται καὶ δυνηθῇ τὸ εἶδος παραστατὸν γενέσθαι, ἀνάγκη πρὸς τῷ εἴδει καὶ ἄλλην τίν' ἀρχὴν δευτέραν συνελθεῖν, τὴν ὕλην λεγομένην. καὶ ἡ σφαῖρα ἄρα τότε μόνον ἀληθὴς

ὑπάρχει σφαῖρα, ὅταν ἐν ὕλῃ ὕπαρξιν λαβοῦσα, ὡς ξυλίνη ἢ λιθίνη σφαῖρα καθορᾶται. Πᾶσα τοίνυν οὐσία, πλὴν τῆς θείας μόνης, ἐξ ὕλης τε καὶ εἴδους συνέστηκεν, «σύνολον οὖσα ἐξ ὕλης καὶ εἴδους.» καὶ ἡ μὲν ὕλη ἐστὶ τὸ ὑποκείμενον· τὸ δὲ εἶδος, ὃ μέντοι οὐκ ἀεὶ ὡς τὴν ἐξωτερικὴν μορφὴν ἢ τὸν τύπον πράγματός τινος ἐκλαμβάνειν προςήκει, ἔστι κυρίως τὸ τὴν ὕλην ὁρίζον, ἡ νοητὴ τοῦ πράγματος οὐσία· φησὶ γάρ· «εἶδος λέγω τὸ τὶ ἦν εἶναι ἑκάστῳ καὶ τὴν πρώτην οὐσίαν. λέγω δ' οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι.» (ι). οἷον ὁ οἶκος, φέρ' εἰπεῖν, καθ' ὕλην μέν ἐστι λίθοι καὶ πλίνθοι καὶ ξύλα· κατ' εἶδος δὲ ἤτοι καθ' ὡρισμένην μορφὴν «ἀγγεῖον σκεπαστικὸν σωμάτων καὶ χρημάτων.» συνδυάσας δέ τις ἄμφω ταῦτα, ὁρίσεται τὸν οἶκον σύνολόν τι ἢ σύνθετον ἐξ ἐκείνοιν ἀμφοῖν. [Η, β', ιε'.] ὁπόταν δὲ βούληται ὁ Ἀριστοτέλης τὸ νῷ περιληπτὸν παντοςδήποτε πράγματος ἐκδηλοῦν, χρῆται καὶ τῇ ἀπαρεμφάτῳ εἶναι ἢ τῇ φράσει, « τὸ τί ἦν εἶναι » μετὰ τῆς συντακτικῆς δοτικῆς τοῦ προσώπου ἢ πράγματος· τὴν ἐπὶ τοῦ ἀνθρώπου νοητὴν οὐσίαν, λόγου χάριν, ταῖςδε ταῖς φράσεσιν σημαίνει, « τὸ ἀνθρώπῳ εἶναι ἢ τὸ τί ἦν εἶναι ἀνθρώπῳ· » ὡςαύτως « τὸ ἀγαθῷ εἶναι » λέγων, τὴν ἔννοιαν τοῦ ἀγαθοῦ ἐκφαίνει καὶ « τὸ ἑνὶ εἶναι, » τὴν τοῦ ἑνὸς ἔννοιαν. Τὸ δὲ τί ἦν εἶναι ἑκάστῳ ἐστὶν ἡ τῇ διανοίᾳ ὡς ἀληθὴς καὶ παραμόνιμος ἀναδειχθεῖσα οὐσία αὐτοῦ, ἧς ὁ ἐκπεφασμένος λόγος αὐτός ἐστιν ὁ ὁρισμὸς τοῦ πράγματος. ὡς καὶ αὐτὸς ἐν τῷ Ζῆτα (Ζ, έ, ιδ'.) τῶν μετὰ τὰ φυσικά φησιν « ὅτι μὲν οὖν ἐστὶν ὁ ὁρισμὸς ὁ τοῦ τί ἦν εἶναι λόγος, δῆ-

(ι.) Μετ. Ζ, ζ', —

λον.» Καὶ ἐν τῷ Ἦτα (Η, ά, ή.) τοῦ τί ἦν εἶναι λόγος ὁ ὁρισμός (ιά.).

Ἔστι δὲ ἡ ὕλη καὶ κατ' Ἀριστοτέλη παραπλησία πως τῷ κατὰ Πλάτωνα οὐκ ὄντι. καὶ γὰρ τὸ οὐκ ὂν ἢ οὔπω ὂν εἶναι τοῦ εἴδους ἐστὶ τὸ ἄμορφον, ἄπειρον, ἀόριστον, τὸ καθ' ἑαυτὸ ἄγνωστον ἤτοι τὸ λογισμῷ ἄληπτον παντὸς τοῦ ὑπάρχοντος. διαφέρει μέντοι κατὰ τοσοῦτον τῆς παρὰ Πλάτωνι ὕλης, καθ' ὅσον ἡ παρ' Ἀριστοτέλει ὑποκείμενόν τί ἐστι θετικὸν, ὅπερ τείνει τρόπον τινὰ ἀφ' ἑαυτοῦ πρὸς τὸ εἶδος, φύσει αὐτοῦ ἐφιέμενόν τε καὶ ὀρεγόμενον (Φυσ. Α, θ'.), τῷ τε εἴδει συμφυόμενον, συναίτιόν πως αὐτῷ γίγνεται τῆς ἐνεργείᾳ ὑπάρξεως, εἰ καὶ κατὰ συμβεβηκὸς αἰτία ἅμα αὐτὸ καθίσταται τοῦ ἐνδεοῦς καὶ ἀτελοῦς καὶ φαύλου.

Ἔστιν οὖν ἡ ὕλη καὶ τὸ εἶδος αἱ δύο κυριώταται ἀρχαὶ τῆς Ἀριστοτελικῆς φιλοσοφίας· ἀποδίδωσι μὲν γὰρ ἔστιν ὅτε ὁ Ἀριστοτέλης τέσσαρας ἀρχὰς τῶν ὄντων (π. χ. ἐν Μετ. Α, γ. — Δ, β'. κ. φ. ξ. — Η, δ'. — Φυσ. Β, γ'.), ἤγουν ὕλην, εἶδος (μορφὴν, τὸ τί ἦν εἶναι), ἀρχὴν τῆς κινήσεως (ἢ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως) καὶ τὸ οὗ ἕνεκα· ὅμως δ' ἀμφότεραι αἱ τελευταῖαι ἀρχαὶ, τό, τε κινοῦν καὶ τὸ οὗ ἕνεκα συνέρχονται, ὥσπερ καὶ

(ια'.) Πρβλ. περὶ τοῦ τί ἦν εἶναι τὰ ὑπὸ Τρενδελεμβούργου ἐν τῷ Ῥηνικῷ Μουσείῳ ἔτει αωκή, δ'. σ. 457 — 483. — καὶ τὰ ἐν τῷ δ' τόμῳ (σ. 369 — 379) τῆς ὑπ' ἐμοῦ γενομένης ἐκδόσεως τῶν μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους. τὸ ἦν ἀντ' ἐνεστῶτος εὕρηται καὶ ἐν τῷ συνήθει λόγῳ· ὡς φέρ' εἰπεῖν, πολλάκις ἀπαντᾶται παρ' Ἀριστοτέλει τὸ ἐρώτημα «τοῦτο τί ἦν τὸ πρᾶγμα;» οὐχ ὅτι ἀναφορὰν ἔχον εἴς τι παρελθὸν, ἀλλ' εἰς ἀμέσως παρόν· ἡ δὲ δοτικὴ συντακτική ἐστι τοῦ εἶναι, κτῆσιν σημαίνουσα. Ὥστε ἡ φράσις «τὸ ζῴῳ εἶναι» σημαίνει τὸ εἶναι τοῦ ζῴου ἤτοι τὴν οὐσίαν ἣν τὸ ζῷον ὡς ζῷον ἔχει.

αὐτὸς Ἀριστοτέλης ἐν ἄλλῳ τόπῳ φησὶν (ιβ΄.), εἰς τὴν δευτέραν ἀρχὴν ἤτοι τὸ εἶδος. Τὸ γὰρ κινοῦν αἴτιον κατὰ τὴν γένεσιν ἀνθρώπου ἄνθρωπός ἐστιν· «ἄνθρωπος ἄνθρωπον γεννᾷ.» ὥστε τὸ κινοῦν τῷ εἴδει τὸ αὐτό· (Μετ. Θ, η΄.) καὶ ὁ πρὸς ὃν δὲ τῶν ὄντων ἕκαστον τείνει σκοπὸς, αὐτὸ τὸ πραγματοποιεῖν ἐςὶ τὸ εἶδος τὸ ἑαυτοῦ. ὥστε τὸ κινοῦν αἴτιον καὶ ὁ σκοπὸς ἤτοι τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος, τὰ τρία ταῦτα εἰς ἓν πολλάκις συνέρχεται. κυρία ἄρα διαστολὴ ὑπολείπεται μόνη ἡ τοῦ εἴδους καὶ τῆς ὕλης.

ε΄. *Περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ εἶναι.*

Καθ' ὅσον μὲν ὁ Ἀριστοτέλης τὸ εἶδος καὶ τὴν ὕλην ὡς ἐσχάτας τῶν ὄντων ἀρχὰς τίθησι, δόξειεν ἂν ἴσως ἡ φιλοσοφία αὐτοῦ τὸν δυασμὸν (dualismus) ἔχουσα· ἀλλὰ καὶ τῆς ἀντιθέσεως ταύτης τῶν ἀρχῶν πρὸς ἀλλήλας τρόπον τινὰ οἷον ῥεούσης ἀντιλαμβάνεται καὶ μηδεμίαν βεβαιότητα ἐχούσης· καὶ γὰρ τὴν μὲν ὕλην εἰς τὸ δυνάμει εἶναι (ιγ) ὑπάγει, τὸ δὲ εἶδος εἰς τὸ ἐνεργείᾳ

(ιβ΄.) Φύσ. Β, ζ΄. σ. ρ7ή, α, κδ΄. « αἱ αἰτίαι τέτταρες, ἡ ὕλη, τὸ εἶδος, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα. ἔρχεται δὲ τὰ τρία εἰς τὸ ἓν πολλάκις. τὸ μὲν γὰρ τί ἐστι καὶ τὸ οὗνεκα ἕν ἐστι, τὸ δ' ὅθεν ἡ κίνησις τῷ εἴδει ταὐτὸ τούτοις. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· » Μετ. Ζ, ζ΄. ὁ γὰρ ἄνθρωπος κατὰ μὲν τὸ εἶδος αὐτοῦ ἄνθρωπός ἐστιν· ἡ δὲ κινοῦσα ἤτοι γεννῶσα αἰτία πάλιν ἄνθρωπος καὶ τὸ τέλος τῆς γενέσεως αὐτοῦ, τὸ ἄνθρωπον εἶναι. ὥστε ὕλη καὶ εἶδος ἀντίθετα ἀλλήλοιν ὑπολείπεται μόνα. Ἀλλὰ καὶ τὸ θεῖον αἴτιον ἅμα ὑπάρχει τοῦ εἴδους καὶ τῆς κινήσεως καὶ τοῦ σκοποῦ· ἐκτὸς δὲ τοῦ θείου μόνη ἡ ὕλη ἀνθυφίσταται.

(ιγ΄.) Μετ. Η, ά, ιά. « Ὕλην λέγω, ἣ μὴ τόδε τι οὖσα ἐνεργείᾳ, δυνάμει ἐστὶ τόδε τι. »

ἡ ἐντελεχείᾳ εἶναι, ὅπερ ἐστὶν ὕπαρξις ἐντελής. ὥστε ὁ μὲν χαλκὸς, δυνάμει ἐστὶν ἀνδριὰς, ὁ δ' ἐξειργασμένος, ἀνδριὰς ἐνεργείᾳ (Μετ. Θ, ϛ.)· λίθοι τε καὶ δοκοὶ δυνάμει εἰσὶν οἶκος, ὁ δ' ᾠκοδομημένος οἶκος, ἐντελεχείᾳ (Η, ϐ'.). ποιεῖ δὲ ὁ φιλόσοφος σαφῆ τὴν σχέσιν τοῦ ἐνεργείᾳ πρὸς τὸ δυνάμει εἶναι ἐν παραδείγμασιν οὐκ ὀλίγοις· οἷον ὁ πυρὴν ἔχει πρὸς τὸ δένδρον, ὡς ἔχει τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ εἶναι· καὶ ὁ παῖς πρὸς τὸν ἄνδρα· καὶ τμῆμα δὲ ξύλου δυνάμει Ἑρμῆς ἐστι, καὶ ὁ καθεύδων ἐγρηγορὼς, καὶ ὁ τὰς ὄψεις μύων ὁρῶν. ὡςαύτως καὶ ἡ ἡμίσεια γραμμὴ δυνάμει ἐν τῇ ὅλῃ ἐμπεριέχεται. [Μετ. Θ, ϛ'. — Θ, ή.]· τὸ δυνάμει ἄρα καὶ ἐνεργείᾳ, ἡ ὕλη καὶ τὸ εἶδος ἔχει πρὸς ἄλληλα κατὰ λόγον τοῦ μᾶλλον καὶ ἧσσον κινήσει γιγνομένου. ἕκαστον δὲ τῶν πραγμάτων ἀμφοῖν τούτοιν τοῖν λόγοιν ὁμοίως ἐνδέχεται ὑπαχθῆναι· πρὸς μὲν γὰρ τὸν ἄτμητον λίθον τὸ λατόμημα εἶδός ἐστι, πρὸς δὲ τὸν ᾠκοδομημένον οἶκον ὕλη. ἐν ταύτῃ οὖν τῇ σχέσει τῆς ὕλης πρὸς τὸ εἶδος ζητητέα ἐστὶν ἡ αἰτία, δι' ἣν ὁτιοῦν τῶν καθ' ἕκαστα αἰσθητῶν, καίτοι ἐξ ὕλης τε καὶ εἴδους συνεστὼς, οὐχ ἧσσον ἕν ἐστι. Δυνάμει γὰρ τὸ δυνάμει καὶ ἐνεργείᾳ ταὐτόν ἐστιν ἑκάτερον ἑκατέρῳ. [Η,ϛ'.κφξ.].

ϛ'. *Περὶ τοῦ κινοῦντος αἰτίου καὶ τοῦ γίγνεσθαι.*

Ἐπεὶ οὖν ἕκαστον τῶν αἰσθητῶν συναρμογή τίς ἐστιν ὕλης τε καὶ εἴδους, ἀναγκαῖον ἄρα πρὸς γένεσιν ἑκάστου αὐτῶν ὡρισμένον εἶδος ὡρισμένῃ ὕλῃ συνέρχεσθαι. αὐτὸ δὲ τὸ εἶδος οὔτε γένεσιν ἔχει οὔτε φθοράν· ἀΐδιον γάρ ἐστιν [Μετ. Ζ, ιέ, ϐ'.]. Ἀλλὰ καὶ ἡ ὕλη

ἐξ ἀϊδίου ὡςαύτως ὑπάρχει. [Λ, γ΄.]. Γένεσιν δ' ἔχει μόνον τὸ τ ό δ ε τ ι ἤτοι τὸ ἐξ ὕλης καὶ εἴδους σύνθετον καὶ κατὰ μέρος ὄν. [Ζ, ή. — Ζ, ιέ, κφξ΄. —]. Ὅπως δὲ ἡ ἐξ ὕλης τε καὶ εἴδους σύνθεσις συμβαίνῃ, ᾗ περ ὁτιοῦν τῶν αἰσθητῶν γίγνεται, ἀνάγκη πᾶσα ε ἶ ν α ί τ ι τ ὸ κ ι ν ο ῦ ν (ιδ΄.). Οἷον ὁ χαλκὸς γίγνεται ἀνδριὰς τῇ κινητικῇ αἰτίᾳ τοῦ χαλκοτύπου· καὶ ὁ κιθαριστὴς κιθαρίζειν μανθάνει, κιθαρίζων· [Θ, ή.] καὶ « ὁ ἐντελεχείᾳ ἄνθρωπος ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου ἄνθρωπον. » (ιέ.) καὶ ἑνί γε λόγῳ, οὔτε γένεσίς τις οὔτε κίνησις οὔτε μετάβασις δυνάμει τινὸς ὄντος ἐπί τι ἐνεργείᾳ δυνατή ἐστιν ἄνευ προτέρας αἰτίας κινητικῆς, ἥτις πάλιν ἐνεργείᾳ ἐστίν. πᾶν γὰρ τὸ δυνάμει ὂν ἐνεργείᾳ γίγνεται διά τινος ἐνεργείᾳ ὡςαύτως ὄντος (ις΄.). Καὶ ἡ ἐν τῇ γενέσει ἄρα κίνησις, ἥπερ ἐν τῷ παντὶ ἰσχύει, ὑστέρα ἐστὶν ἄλλου πρώτως κινοῦντος. Πρῶτον δέ τι πρώτως κινοῦν ἀνάγκη ὑπολαμβάνειν καὶ δι' ἄλλας τινὰς αἰτίας τὰς ἐφεξῆς· πᾶν

(ιδ΄.) Λ, θ΄.—Ζ, ή. — οὐδεμία (φησὶν) ἀνάγκη ἰδέας, ἀλλ' « ἱκανὸν τὸ γεννῶν ποιῆσαι (αἴτιον ποιητικὸν εἶναι) καὶ τοῦ εἴδους αἴτιον εἶναι ἐν τῇ ὕλῃ. » Λ, γ΄, ς΄, ή. « Τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι. » Λ, ι΄. Ὅπως δὲ τὸ εἶδος καὶ τὸ πρᾶγμα ἕν, οὐδείς πώ (φησι) τῶν πρότερον πεφιλοσοφηκότων εἴρηκεν, « οὐδ' ἐνδέχεται εἰπεῖν, ἐὰν μὴ ὡς ἡμεῖς εἴπῃ, ὡς τὸ κινοῦν ποιεῖ. » — Φυσ. Η΄, α΄. « ἅπαν τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι. » Σελλερίου Β, 430. σημ. β΄. Περὶ γεν. καὶ φθορ. σ. τλέ, β΄, κθ΄. « Τῆς ὕλης τὸ πάσχειν ἐστὶ καὶ τὸ κινεῖσθαι, τὸ δὲ κινεῖν ἑτέρας δυνάμεως. δῆλον δὲ καὶ ἐπὶ τῶν τέχνῃ καὶ ἐπὶ τῶν φύσει γινομένων. οὐ γὰρ αὐτὸ ποιεῖ τὸ ξύλον κλίνην, ἀλλ' ἡ τέχνη. τλζ΄, α, ιζ΄. ἀνάγκη εἶναί τι τὸ κινοῦν, εἰ κίνησις ἔσται.

(ιέ.) Μετ. Θ, ή. — Φυσ. Γ. β΄.

(ις΄.) Μετ. Θ, η΄. — Περὶ γενέσ. ζῴων. Β, α΄. « Ὅσα φύσει γίγνεται ἢ τέχνῃ, ὑπ' ἐνεργείᾳ ὄντος γίνεται ἐκ τοῦ δυνάμει ὄντος. » —

γὰρ τὸ ἐνεργείᾳ ὂν ἔκ τινος ἑαυτῷ ὁμοειδοῦς δυνάμει ὄντος γίγνεται, τὸ φυτὸν ἐκ τοῦ σπόρου καὶ ἡ ἀλεκτορὶς ἐκ τοῦ ᾠοῦ. ἀλλὰ καὶ τοῦτο τὸ δυνάμει ὂν γίγνεται πάλιν ἔκ τινος πρότερον ἐνεργείᾳ ὄντος, τὸ ᾠὸν πάλιν ἐκ τῆς ἀλεκτορίδος. καὶ εἴτις ἐπὶ πλέον ἴοι, καὶ ἐπ' ἄπειρον βαδίζοι ἄν. Ἀλλὰ τοιαύτη τις περιαγωγὴ ἀπ' αἰτιατοῦ εἰς αἴτιον, ἀπὸ δὲ τούτου αὖ εἰς ἄλλο ἐπ' ἄπειρον ἰοῦσα, ἄτοπος ἐν φιλοσοφίᾳ ἤδη προελήλεγκται. [Μετ. Β, β'.]. Εἰ μὲν γὰρ πᾶσα ἀρχὴ αἰτιατὸν ἦν ἄλλης ἀρχῆς προτέρας καὶ αὕτη αὖ ἄλλης προτέρας, οὐδεμία ἂν ἦν οὕτως ἀρχὴ πρώτη, ἀλλ' « ἀεὶ τῆς ἀρχῆς ἀρχή. » [Λ, ί.] προὔργου ἄρα καὶ λυσιτελὲς ἅμα ἀπολήγειν που τῆς αἰτιολογίας, ὡς πασῶν δὲ τῶν ἄλλων πρώτην ἀρχὴν θετέον πρώτως τι κινοῦν καὶ ἐνεργείᾳ ὑπάρχον (ιζ'.). Εἰ μὲν γάρ τι δυνάμει ὄν, οἷον πρωτογενές τι χάος ὡς ἀρχὴ τῶν ὄντων πάντων ἐτίθετο, τάχ' ἄν που μηδὲ τὸ παράπαν τι ὑπῆρχεν· πᾶν γὰρ τὸ δυνάμει ὂν εἶναί τε ἐνδέχεται καὶ μὴ εἶναι ὡςαύτως. [Θ, ή, κφξ. — καὶ Λ, ς'. —]. Ἀνάγκη ἄρα πρῶτόν τι κινοῦν τιθέναι, ὅπερ ἂν καὶ ἐνεργείᾳ ἅμα εἴη. ἔτι δὲ πρῶτον κινοῦν καὶ αὐτῆς γε τῆς ὕλης ἕνεκα θετέον καὶ γὰρ ἀδύνατον τὴν ὕλην αὐτὴν ἑαυτὴν κινεῖν· κινητικῆς ἄρα ἀρχῆς προςδεῖται· « οὐ γὰρ ἡ ὕλη κινήσει αὐτὴ ἑαυτὴν, ἀλλὰ τεκτονική. (ιή.).

ζ'. *Περὶ τοῦ Θείου Ὄντος.*

Τοῦτο τὸ πρῶτον κινοῦν, ἡ πρώτη ἀρχὴ τῆς τε κι-

(ιζ'.) Μετ. Θ, ή, κς'.
(ιή.) Λ, ς', ί.

νήσεως καὶ τῆς ἐν τῷ σύμπαντι διακοσμήσεώς ἐστιν ὁ Θεός. Ἐκ δὲ ταύτης τῆς ἰδέας τοῦ θείου ὄντος οἱ ἑξῆς ὁρισμοὶ τῆς οὐσίας αὐτοῦ συνάγονται.

Αον· ὁ Θεός ἐστι κατ' οὐσίαν ἁπλῶς ἐνέργεια (ιθ'.), ὡς καὶ ἐξ αὐτῶν ἤδη τῶν λόγων συνάγεται, ὧν περ ἕνεκεν ὡς πρῶτόν τι κινοῦν ἐτέθη. Εἰ μὲν γὰρ δύναμις ἦν, ἐνεδέχετ' ἂν αὐτῇ καὶ μὴ κινεῖν (δύναμις γάρ ἐστι καὶ τὸ ἐναντίον ἐνδεχόμενον) ἢ παύσασθαί ποτε τοῦ κινεῖν· ἀλλὰ συναμφότερον ἀμήχανον ὅλως: ἡ γὰρ κίνησις ἄναρχος οὖσα, καὶ ἀτελεύτητός ἐστι κατ' ἀνάγκην [Θ, η'. κ.φ.ξ. — Λ, ς'. — Φυσ. Θ, ά.].

Βον· δὲ ὁ Θεός ἐστιν ἀΐδιος (κ'.)· ἐπεὶ γὰρ ἡ κίνησις ἡ ἐν τῷ κόσμῳ ἀΐδιός ἐστιν, οὔτε ἀρχὴν ἔχουσα, οὔτε τέλος, ἀνάγκη πᾶσα καὶ τὸ πρώτως κινοῦν τὸν κόσμον ἀΐδιον εἶναι [Μετ. Λ, ή.] « ἀνάγκη, φησὶ, τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι. »

Γον· δὲ ὁ Θεός ἐστιν ἄϋλος. (κά.) « τὸ γὰρ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶτον· ἐντελέχεια γάρ· » καὶ δὴ καὶ ἀμερής τέ ἐστι καὶ ἀδιαίρετος· ἔτι δὲ ἀναλλοίωτος· (κϐ'.) « οὐ γὰρ ἐνδέχεται ἄλλως ἔχειν οὐδαμῶς· » καὶ ἀπαθής. (κγ'.) εἰ μὲν γὰρ ὕλης μετεῖχε, κινήσει τε ὑποκείμενος ἂν ἦν καὶ μεταϐολῇ (κδ.), πρὸς δὲ τούτοις ἐνδεχόμενον ἂν ἦν αὐτῷ καὶ ἄλλως πως ἔχειν (κε), μη-

(ιθ'.) Μετ. Λ, ς'. «δεῖ ἄρα τὴν ἀρχὴν τοιαύτην, ἧς ἡ οὐσία ἐνέργεια.» ζ', ϐ'. « Οὐσία καὶ ἐνέργεια οὖσα. » ζ', ιζ'.

(κ'.) Λ, ζ'. ιή. κά.— η'.

(κά.) Λ, ζ'. — Λ, η'.

(κϐ'.) Μετ. Λ, ζ'.

(κγ'.) Λ, ζ'.

(κδ'.) Φυσ. Θ, ς'.

(κέ.) Μετ. Θ, ή. — Λ, ς'.

κέτι τοῦ λοιποῦ κινητικὴν εἶναι τοῦ κόσμου αἰτίαν, ὅπερ ὅλως τῇ ἰδέᾳ αὐτοῦ ἀντιμάχεται· ἔτι δὲ καὶ μέγεθος ἔδει ἂν αὐτὸν ἔχειν, εἴπερ σωματοειδὴς ἦν· ἀλλὰ πᾶν μέγεθος πεπερασμένον ἐστὶν (κϛ)· πᾶν δὲ τὸ πεπερασμένον ἀδύνατον ἀπέραντον ἀσκεῖν ἐνέργειαν· ἀλλ' ὁ Θεός, ἀϊδίως κινῶν, ἀπέραντον ἀσκεῖ ἐνέργειαν. [Λ, ζ'. — Φυσ. Θ, ι'.]

Δον. δὲ ὁ Θεός ἐστιν ἀκίνητος (κζ), ἄϋλος ὤν· κίνησιν γὰρ ἔχει, ὥςπερ ἤδη καὶ ἐν τοῖς περὶ φύσεως λόγοις δέδεικται (θ, ε', σ. σνζ', α, λγ'.) μόνον τὸ μόρια καὶ δὴ καὶ ὕλην ἔχον. Ἀλλ' ἡ ἀκινησία τοῦ πρῶτον κινοῦντος συμπεραίνεται καὶ ἐκ τῆς συνεχείας καὶ παραμονιμότητος τῆς κινήσεως· πᾶν γὰρ τὸ κινούμενον μεταβλητόν τέ ἐϛι καὶ ἀνίκανον ἰσοτενῆ κίνησιν ἀσκεῖν(κή). Αὕτη δὲ ἡ ἀκινησία τοῦ πρῶτον κινοῦντος ἴσως ἂν κατὰ τοσοῦτον ἄπορος φανείη, καθ' ὅσον περ ἄλλως οὔτε ποιεῖν ἄνευ τοῦ πάσχειν, οὔτε κινεῖν ἄνευ τοῦ ἀντικινεῖσθαι ὑπάρχει. [περὶ γεν. καὶ φθορ. Α, ϛ'. σ. τκγ'. α, ιϐ'. κφξ. — περὶ γεν. ζῴ. Δ, γ'. χξή, Β, ιή.]· Ἀλλ' ἡ ἐνέργεια τοῦ πρῶτον κινοῦντός ἐστιν οἷα περ ἡ ἐνέργεια τοῦ νοητοῦ καὶ ὀρεκτοῦ. Καὶ γὰρ τὸ καλὸν καὶ ἐράσμιον, οἷον καλλιτέχνημα οἱονδή τι κινεῖ οὐ κινούμενον. ὡςαύτως δὲ καὶ περὶ τοῦ θείου ὄντος, « κινεῖ οὐ κινούμενον. » [Μετ. Λ, ζ'. ή.]· κινεῖ δὲ ὡς ὀρεκτόν, ὡς τὸ νοητόν, πρὸς ὃ ἡ εἴδους χρήζουσα ὕλη ἀεὶ τείνει, «κινεῖ ὡς ἐρώμενον.» [Λ, ζ'.—].

Εον. Ἐκ τοῦ ἄϋλον εἶναι τὸν Θεὸν συνάγεται καὶ ὅτι

(κϛ'.) Φυσ. Γ, έ. — Μετ. Κ, ί.
(κζ'.) Μετ. Λ, ζ'. κά. η'. κφξ.
(κή.) Φυσ. Θ, ϛ'. σ. σνθ', ϐ, κϐ'.

εἷς ἐστι· πᾶν γὰρ ὅ πολλά ἐστι τὸν ἀριθμὸν, ὕλην ἔχει [Λ, ή, κδ'.]. Μαρτυρεῖ δὲ τὴν ἑνότητα τοῦ Θεοῦ καὶ ἡ τοῦ κόσμου κίνησις· συνεχὴς γάρ· ἄρα μία· τοιαύτη δ' ἑνοειδὴς κίνησις ἐκ κινοῦντος ἑνὸς γίγνοιτ' ἂν μόνου (Μετ. Λ. ή.) « Ἐπεὶ ἀνάγκη (φησὶ) τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι καὶ τὴν μίαν ὑφ' ἑνός. » [Φυσ. Θ', ς'.] Τὸ Σύμπαν ἄρα τόδε, καθ' ὅσον ὑπὸ μιᾶς κυβερνᾶται ἀρχῆς, παραπλήσιόν ἐστι πολιτείᾳ εὖ καὶ καλῶς ἡρμοσμένῃ· καὶ μὴν καὶ περὶ τοῦ τῶν ὅλων διακόσμου τὸ ὁμηρικὸν φθέγμα ἰσχύει λεγόμενον· « οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος. » [Μετ. Λ, ι'.] τοῦτον ἄρα τὸν τρόπον ὁ Ἀριστοτέλης φανερός ἐστι τό, τε ἐν τῇ Φύσει τὸν Θεὸν εἶναι καὶ ἅμα ὑπὲρ Φύσιν, ἄμφω πρὸς ἄλληλα συνδυάζων. καὶ γὰρ τἀγαθὸν ἐνυπάρχει μὲν τῷ παντὶ ὡς εὐταξία τε καὶ πρόνοια, ὑπάρχει μέντοι καὶ μᾶλλον ἔτι ἐκτὸς τοῦδε τοῦ Σύμπαντος αὐτὸ καθ' αὑτὸ ὡς πρώτη αἰτία τῆς εὐταξίας ἐκείνης καὶ λυσιτελείας, καθάπερ καὶ στρατιὰ εὔτακτος τὴν τοῦ ἀγαθοῦ ἰδέαν ἐν ἑαυτῇ τε ἔχει ὡς εὐταξίαν τε καὶ πειθαρχίαν καὶ ἐκτὸς αὖ ἑαυτῆς ἐν αὐτῷ τῷ στρατηγοῦντι (Μετ. Λ, ι'. κφξ.).

ς^ον. Ἐπεὶ ὁ Θεὸς πάντῃ ἁγνὸς ὕλης ὑπάρχει, δῆλον ἄρα ὅτι ἡ οὐσία αὐτοῦ τὸ εἶδός ἐστιν αὐτὸ καθ' αὑτὸ ἤτοι τὸ τί ἦν εἶναι τὸ πρῶτον. (Μετ. Λ, ή.). Αὕτη δὲ ἡ χωρὶς ὕλης οὐσία καὶ ζωὴ τοῦ Θεοῦ ἡ νόησίς ἐστιν. νόησις ἄρα εἰλικρινὴς ὡς πρόσωπον ἑαυτῷ συνειδός ἐστιν ὁ Θεὸς ἤτοι νοῦς ὁ κατ' ἐξοχήν. [Λ, ζ', ιε'.]. Οὐδεμία δὲ πρακτικὴ ἢ ποιητικὴ ἐνέργεια πρόσεστι τῷ Θεῷ· ἀμφότεραι γὰρ πρὸς τέλος τι ἐκτὸς ἑαυτῶν τείνουσι, κατά τινα χρείαν τε καὶ ἔνδειαν τῷ ἔχοντι

προςγιγνόμεναι· τἀναντία δὲ ὁ Θεὸς οὐδενός ἐστι χρήζων· Καὶ δὴ καὶ οὐδενὸς σκοποῦ ἐκτὸς ἑαυτοῦ στοχάζοιτ' ἄν· τελειότατος γάρ ἐστι καὶ αὐτοτελέστατος· « τῷ ὡς ἄριστα ἔχοντι (φησὶν) οὐδὲν δεῖ πράξεως· ἔστι γὰρ αὐτὸ τὸ οὗ ἕνεκα. » (κθ'.). Οὐδεμία ἄρα τῷ Θεῷ ἐνέργεια ὑπολείπεται ἄλλη παρὰ τὴν θεωρητικήν· « τῷ δὲ ζῶντι (φησὶ) τοῦ πράττειν ἀφαιρουμένου, ἔτι δὲ μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρία; ὥστε ἡ τοῦ Θεοῦ ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη » (λ'.). Τῆς μὲν οὖν θεωρίας ἡδίστης τε καὶ ἀρίστης οὔσης (λά.), δῆλον ἄρα ὡς ὁ Θεὸς πρὸς τοιαύτῃ θεωρίᾳ ἀεὶ ὤν, ἄριστον καὶ μακαριστότατον βίον τὸν πάντα χρόνον διάγει (λϐ'.). τὸ δὲ νοητὸν παρὰ τῷ Θεῷ οὐκ ἐνδέχεται ἕτερον εἶναι τοῦ νοοῦντος αὐτοῦ· Εἰ γὰρ ἕτερον τοῦ κατ' ἐξοχὴν νοῦ τὸ νοούμενον ἦν, ἐπεὶ ὁ τοιοῦτος νοῦς τὸ ϐέλτιστον καὶ ἄριστον ἀεὶ νοεῖ, συνέϐαινεν ἂν ἄρα κατ' ἀνάγκην τὸ νοούμενον βέλτιον εἶναι αὐτοῦ τοῦ νοοῦντος νοῦ· ὅπερ ἄπορον. πολλῷ τοι ἄρα μᾶλλον ἑαυτόν γε ὁ νοῦς καὶ οὐδὲν ἕτερον ἑαυτοῦ, ὡς τὸ ἄριστον καὶ ϐέλτιστον νοεῖ κατὰ μετάληψιν τοῦ νοητοῦ, ὅ ἐστι μετὰ συνεπιγνώσεως ἑαυτοῦ· καὶ ἔστιν ἄρα ἡ νόησις νοήσεως νόησις. [Μετ. Λ, ζ'. θ'.].

Περαίνων δὲ τὸν περὶ τῆς φύσεως τοῦ Θεοῦ λόγον ὁ Ἀριστοτέλης ὧδέ πως σεμνολογεῖ. ἔστιν οὖν ἡ νο-

(κθ'.) Περὶ οὐρ. Β, ιϐ'. σ. σ7δ', ϐ, δ'. — Ἠθικ. Νικ. Κ, ή. — Πολιτ. Ζ, γ'.

(λ'.) Ἠθικ. Νικ. Κ, ή.

(λά.) Μετ. Λ. ζ'.

(λϐ'.) Μετ. Λ, ζ'. ιζ'. — Ἠθικ. Νικ. Κ, ή. μακαριότητι διαφέρουσαν.

ερὰ θεωρία, ἣν ὁ Θεὸς ἀϊδίως ἔχει τὸ ἥδιστον καὶ ἄριστον. « εἰ οὖν οὕτως εὖ ἔχει (ὡς ἡμεῖς ποτὲ) ὁ Θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, ἔτι θαυμασιώτερον. ἔχει δὲ ὡδί. καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνος δὲ ἡ ἐνέργεια· ἐνέργεια δὲ ἡ καθ' αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ ἀΐδιος. Φαμὲν δὲ τὸν Θεὸν εἶναι ζῷον ἀΐδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς καὶ ἀΐδιος ὑπάρχει τῷ Θεῷ· τοῦτο γὰρ ὁ Θεός. ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζώων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον· οἷον πρότερον ἄνθρωπον ἂν φαίη τις εἶναι τοῦ σπέρματος, οὐ τὸν ἐκ τούτου γενόμενον, ἀλλ' ἕτερον, ἐξ οὗ τὸ σπέρμα. Ὅτι μὲν οὖν ἔστιν οὐσία τις ἀΐδιος καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων. Δέδεικται δὲ καὶ ὅτι μέγεθος οὐθὲν ἔχειν ἐνδέχεται ταύτην τὴν οὐσίαν, ἀλλ' ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν· κινεῖ γὰρ τὸν ἄπειρον χρόνον, οὐθὲν δ' ἔχει δύναμιν ἄπειρον πεπερασμένον. Ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι μέγεθος, ἄπειρον δ' ὅτι ὅλως οὐκ ἔστιν οὐθὲν ἄπειρον μέγεθος. ἀλλὰ μὴν καὶ ὅτι ἀπαθὲς καὶ ἀναλλοίωτον· πᾶσαι γὰρ αἱ ἄλλαι κινήσεις ὕστεραι τῆς κατὰ τόπον. Ταῦτα μὲν οὖν δῆλα διότι τοῦτον ἔχει τὸν τρόπον » (Μετ. Λ. ζ'. — περὶ οὐρ. Β, γ'. σ,

σπς', α, θ'.) «Θεοῦ ἐνέργεια ἀθανασία· τοῦτο δὲ ἐστὶ ζωὴ ἀίδιος.»

Η'. Κρίσις περὶ τῆς Ἀριστοτελικῆς Θεολογίας.

Ἡ περὶ τοῦ Θεοῦ πραγματεία τοῦ Ἀριστοτέλους, καθ' ὅσον πρώτη πασῶν μετ' ἐπιστήμης τὴν τοῦ Θεοῦ ἰδέαν ἐξακριβοῦν ἀποπειρᾶται, πάσης προσοχῆς καὶ μελέτης ἀξία ὑπάρχει. καὶ ὁμολογητέον ὅτι αὕτη ἡ διατριβὴ ἄγχιστα τῆς λοιπῆς τοῦ φιλοσόφου θεωρίας ἔχεται. μάλιστα δ' ἄν τις εὐλόγως αὐτὴν ὡς συνέπειαν ἀναγκαίαν τοῦ Ἀριστοτελικοῦ δόγματος ὑπολάβοι, ὅτι οὐχ οἵα τέ ἐστιν ἡ ὕλη αὐτὴ ἑαυτὴν κινεῖν, ἀλλ' ἵνα κινηθῇ κινητικῆς τινος αἰτίας πάντως χρήζει (λγ'). ἀλλὰ καὶ ὅτι τοῦτο τὸ πρῶτον κινοῦν οὐχ ὡς δύναμίν τινα οἱασοῦν συνειδήσεως ἄμοιρον, ἀλλ' ὡς ἰδίᾳ τι ὂν καὶ νοῦν ἔχον ὡρίσατο, καὶ τοῦτο πάλιν ἐξ ἄλλης δόξης τοῦ αὐτοῦ ἀναγκαίως συνάγεται, καθ' ἥν γε μόνον τὸ τόδε τι οὐσία ἐστὶ καὶ ἐνεργείᾳ ὕπαρξιν ἔχει. Ἄλλως μέντοι αὕτη ἡ περὶ τοῦ Θεοῦ θεωρία ἀπορίαις τε καὶ δυσκολίαις οὐ ταῖς τυχούσαις ὑπόκειται. καὶ γὰρ ἡ ἀπὸ αἰτιατοῦ εἰς αἴτιον ἀναδρομή, ᾗ περ Ἀριστοτέλης χρώμενος πρῶτόν τι κινοῦν πορίζεται, σχολῇ γε εἰς ὕπαρξιν πρώτης τινὸς αἰτίας λογικῶς ἀπολήγει· ἀλλ' ἐπ' ἄπειρον ἰοῦσα, ἄπειρον περιαγωγὴν ἀπὸ αἰτιατοῦ εἰς αἴτιον ὑποδείκνυσιν. ἀλλ' εἴπερ ἡ τοιαύτη μέθοδος καὶ κῦρός τι ἔχουσα ἐφαίνετο, πρὸς οὐδὲν ἄλλο τῷ Ἀρι-

(λγ'.) Μετ. Α. κεφ. θ'. Λ, κεφ. γ'. ς'. ή,

στοτέλει ὑπούργει ἂν ἢ πρὸς τὸ ἀποδεῖξαι ὅτι πρῶτόν τι κινοῦν ὑπάρχει, ἀλλ' οὐ διὰ τοῦτο καὶ ἀποχρῶσα ἐφαίνετ' ἂν πρὸς ἀπόδειξιν ὄντος τινὸς νοῦν ἔχοντος καὶ φρόνησιν, μακαριωτάτου τε ἁπάντων καὶ ἀρίστου ὄντος, ὅπερ ἂν ἐνδίκως πρεσβύτερόν τε καὶ τιμιώτερον τῆς ἁπλῶς κινητικῆς τῶν ὄντων αἰτίας ἐπιφημίζοιτο. Ἔτι δὲ πρὸς τούτοις ὁ Ἀριστοτέλης καὶ τὸ ὅπως ὁ Θεὸς τὸν κόσμον τόνδε διέπει ἀσαφὲς πάντῃ κατέλιπεν. Φησὶ μὲν οὖν τὸν Θεὸν ὡς πρῶτον κινοῦν τὸν κόσμον πάντα κινεῖν. Ἀλλὰ πάλιν εἴπερ αὐτὸς ἀκίνητος πάμπαν ἐστίν, πῶς ἂν ἑτέρῳ τινὶ κινήσεως μόριον μεταδιδόναι δύναιτο; Ἵνα δὲ τὴν ἀντίφασιν ταύτην ὁ Ἀριστοτέλης ἀπὸ τοῦ μέσου ἄρῃ προςφεύγει εἰς λόγον ὅλως τεχνητόν. Ὥςπερ γὰρ τὸ καλόν, φησι, καὶ ἐπιθυμητὸν δύναμίν τιν' ἀσκεῖ κινητικὴν, αὐτὸ μηδ' ὁπωςτιοῦν κινούμενον, παραπλησίως καὶ ὁ Θεὸς, καίτοι κινήσεως οἱαςοῦν ὑπεριδρυμένος, προςάγεται μέντοι καὶ ἐφελκύεταί πως ὡς ὀ ρ ε κ τ ό ν τε καὶ ἐ ρ ώ μ ε ν ο ν τὴν ὕλην, ἥ περ πόθῳ τινὶ τοῦ εἴδους ἐφίεται. Ἀλλὰ πόθον τῇ ὕλῃ καὶ ἔφεσιν τοῦ θείου ἀποδιδοὺς, οὐθὲν ἄλλο ὡς ἀληθῶς ποιεῖ ἢ μεταφοράς τινας ποιητικὰς καὶ ἐπὶ τὸ μυθικώτερον λέγει, οὐθὲν πρὸς διασάφησιν τοῦ πράγματος αὐτοῦ ἀνυούσας. καὶ πρὸς τοῖς ἄλλοις εἴπερ ἡ ὕλη ἐμφύτῳ τινὶ ὀρέξει ἑαυτὴν κινεῖν ἠδύνατο, δῆλον ἂν ὡς εἶχεν ἤδη ἀπὸ πρώτης εὐθὺς ἐνδογενῆ τὴν ἀρχὴν κινήσεως ἰδίας, ὅπερ ἄλλως διαψεύδει ὁ Ἀριστοτέλης. οὐχ' ἧσσον δὲ καὶ ἄλλη τις ἀναφύεται δυςχέρεια ἐκ τοῦ λόγου, ὃν ἄλλοθι ἰσχυρίζεται λέγων ὅτι πᾶν τὸ κινοῦν θίξει τινὶ καὶ ἁφῇ μόνῃ

κινεῖ τὸ κινούμενον (λδ΄.). «Κινεῖν τε γάρ (φησι) μὴ ἁπτόμενον ἀδύνατον.» τὸ δ' αὐτὸ συνεπῶς ὑπολαμβάνει καὶ ἐν τῇ κινήσει τοῦ κόσμου γίγνεσθαι ὑπὸ τοῦ πρῶτον κινοῦντος (λέ.). ὅπως δὲ ἄϋλόν τι ὂν θίξει ἢ ἀφῇ ἕτερόν τι ἑαυτοῦ κινήσει, τοῦτό γε οὐ σαφῶς ἐστι συνιδεῖν. ἔλλειψιν δ' ἄν τις τῆς Ἀριστοτέλους θεωρίας καὶ τόδ' ἴσως ἐξαγγείλειεν, ὅτι τὸ τοῦ Θεοῦ ἑνοειδὲς οὐ διὰ πάντων ἐπ' ἀκριβὲς διεξάγει. τὸ γοῦν πρώτως κινοῦν τὸν πρῶτόν φησι κινεῖν οὐρανὸν ἤτοι τὸν τῶν ἀπλανῶν ἀστέρων μόνον (λϛ΄.). τὰς δὲ τῶν πλανητῶν σφαίρας, ὑπεναντίας πως τοῖς ἀπλανέσι κινουμένας, δῆλον ἔφη, ὡς τῆς ὕλης μηδαμῶς αὐτοκινήτου οὔσης, ὑπ' ἄλλων ὄντων κινεῖσθαι ἰδίᾳ κινούντων. καὶ τούτους δὴ τοὺς τὰς σφαίρας τῶν πλανητῶν κινοῦντας εἶδός τι Θεῶν εἶναί ἀπεφήνατο ὑποδεεστέρων. Παραπλησίαν γὰρ Θεῷ φύσιν ἔχειν καὶ τούτους ἔφη, ἀϊδίους καὶ ἀκινήτους καὶ ὕλης οἱασοῦν ἀπηλλαγμένους. πολλὰ δὲ πράγματα ὡς ἀληθῶς παρέχουσιν οὗτοι οἱ ὑποδεέστεροι Θεοὶ, καθ' ὅσον μάλιστα πολλοί γε ὄντες τὸν ἀριθμὸν πολυκοιρανίην τινὰ πάντως ἀπαιτοῦσιν· οὐδὲ σαφὲς ἡμῖν ποιοῦσιν ὅπως ποτὲ πρὸς τὸ πρώτως κινοῦν ἐθέλουσιν ἔχειν. Ὥστ' εἴπερ Ἀριστοτέλης τὴν εὐταξίαν τε καὶ πρόνοιαν τὴν ἐν τῷ κόσμῳ εἰς Θεὸν τὸν ὕψιστον ἀναγράφει, οὐκ ἔστι μέντοι συμβαλεῖν, ὅν περ λόγον ἔχει τοῦτο ποιῶν [Μετ. Λ, ί. κφξ.]. Ἐνεργὲς γάρ φησι εἶναι τὸ πρῶτον κινοῦν ἐν τῷ κόσμῳ καθ'

(λδ΄.) Φυσ. Γ, β΄. — Ζ, ά. — Περὶ ζῴων γεν. Β, ά. —
(λέ.) Περὶ γεν. καὶ φθορᾶς Α, ϛ΄. — Φυσ. Θ, ί.
(λϛ΄.) Μετ. Λ, ή.

ὅσον μόνον τὸν Οὐρανὸν πάντα κύκλῳ κινεῖσθαι ποιεῖ. [Φυσ. Θ, ς'. ή. — Μετ. Λ, ς'. ή.] ὥστε πολλοῦ γε ἐνδεῖ τοῦ σαφῶς τε καὶ ἱκανῶς εἰρηκέναι περὶ τῆς πρὸς λόγον τῶν ἁπάντων συντάξεώς τε καὶ εὐκοσμίας. ὡς δὲ καὶ ἄλλως ἐν κεφαλαίῳ εἰπεῖν, ἡ Ἀριστοτέλους περὶ τοῦ Θεοῦ θεωρία οὕτω μεστὴ ἀπορίας ἀφείθη, ὥστε πολλὰ κατόπιν ἀλλήλων φυόμενα ζητήματα, ἐν οἷς, φέρ' εἰπεῖν, καὶ τόδε ἐστίν· ὅπως ποτὲ τὸ θεῖον, οἱασοῦν ὕλης ἀμιγὲς εἶδος ὄν, πρὸς τὰ ὡρισμένα εἴδη τῶν αἰσθήσει ληπτῶν ἔχει, ἀμήχανον ὅλως τοῦτο καὶ ἄλλα κατ' ἐκείνην τὴν δόξαν διασαφῆσαι.

§ λζ'. Περὶ τῆς Φυσικῆς τοῦ Ἀριστοτέλους

Μόνον τὸ Θεῖόν ἐστιν εἶδος ἁπλῶς, οἱασοῦν ὕλης ἀλλότριον· πᾶν δὲ τὸ λοιπὸν ὑπάρχον ἐξ ὕλης τε καὶ εἴδους σύνθετον ὑπάρχει. ἀλλ' ὁ τρόπος τε καὶ λόγος τῆς τοιαύτης μίξεως διάφορός ἐστιν ἐφ' ἑκάστου τῶν φυσικῶν ὄντων. Ὅσῳ μὲν οὖν μᾶλλον ἡ ὕλη ἐν τῇ μίξει πλεονάζει, τόσῳ ταπεινοτέραν τε καὶ ἀτελεστέραν μοῖραν τὸ μῖγμα λαμβάνει. ὅσῳ δὲ μᾶλλον τὸ εἶδος τῆς τυρβαζούσης καὶ μιαινούσης ὕλης ἐκνικᾷ, τόσῳ τελειότερον τὸ σύνθετον ὂν καθέστηκεν. Κατὰ τοῦτον ἄρα τὸν λόγον εἰκάσειεν ἄν τις τὸ σύμπαν τόδε, ὡς ἔπος εἰπεῖν, ἀναβαθμοὺς πολλοὺς ἀποτελεῖν, ἀπὸ τῶν κάτω πρὸς τὰ ἄνω κατὰ σμικρὸν ἀνιόντας, καὶ ἐπὶ μὲν τοῦ κατωτάτου βαθμοῦ τὰ ἀτελέστερα καὶ εἴδους ἐνδεέστερά πη τῶν ὄντων κεῖσθαι τῆς γε φύσεως τῆς στοιχειώδους, ἐπὶ δὲ τοῦ ἀνωτάτω τὸν ἄνθρωπον πάντων ὑπεριδρῦσθαι. ὁ γὰρ ἄνθρωπος, μάλιστα δὲ ὁ ἀνὴρ τὸ ἀ-

ωτον καὶ ὁ κύριος σκοπὸς συμπάσης ἐστὶ τῆς φύσεως, τιμιώτατον καὶ ἐντελέστατον πάντων τῶν λοιπῶν ζῴων. ἐν τούτῳ γὰρ ἡ φύσις εἰς εἶδος ἐντελὲς καὶ φρόνησιν ἐκορυφώθη. πρῶτος οὖν ὁ Ἀριστοτέλης συνενόησέ τε καὶ λόγῳ παρέδωκε τὴν ἐν πάσῃ φυσιολογίᾳ κυριεύουσαν δόξαν, καθ' ἣν τὰ ἐν τῇ φύσει ὄντα κατὰ βαθμοὺς τελειότητος ἀλλήλων διαστέλλεται.

Μεθόδῳ δὲ ὁ Ἀριστοτέλης ἐν τῇ φυσικῇ πραγματείᾳ τῇ ἐφεξῆς φαίνεται κεχρημένος, ἥπερ καὶ ἐκ τῆς ἀλληλουχίας τῶν περὶ φύσεως συγγραμμάτων σαφῶς συνάγεται· πρῶτον μὲν γὰρ περὶ τῶν καθόλου ὅρων πραγματεύεται, ὧν ἄνευ οὐδέν ἐστι τῶν ἐν τῇ φύσει ὑπαρκτόν, ἤτοι περὶ τόπου, χρόνου καὶ κινήσεως ἐν ὀκτὼ βιβλίοις, ἅπερ φυσικὴ ἀκρόασις ἐπιγέγραπται. εἶτα δὲ περὶ τοῦ κοσμικοῦ συστήματος ἐν τῷ περὶ οὐρανοῦ ἐκ τεσσάρων ἀπαρτιζομένῳ βιβλίων καὶ ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς ἐκ δυοῖν βιβλίων. τρίτον δὲ περὶ τῆς ὀργανικῆς φύσεως ἐν δέκα βιβλίοις, ἅπερ περὶ τὰ ζῷα ἱστορίαι ἐπιγραφὴν φέρει καὶ ἐν τῷ περὶ ζῴων μορίων ἐν τέσσαρσι βιβλίοις καὶ ἐν τῷ περὶ ζῴων γενέσεως ἐν πέντε βιβλίοις. καὶ τέλος περὶ ἀνθρώπου ἔν τε τῷ περὶ ψυχῆς ἐκ τριῶν βιβλίων συγκειμένῳ καὶ ἐν πολλαῖς ἄλλαις βραχυτέραις πραγματείαις ἀνθρωπολογικῆς ὕλης ἐχομέναις, οἷαι αἱ ἑξῆς· περὶ μνήμης καὶ ἀναμνήσεως, περὶ ὕπνου, περὶ ἐνυπνίων, περὶ μακροβιότητος καὶ βραχυβιότητος, περὶ ἀναπνοῆς.

ι΄. Τὰ Κεφαλαιωδέστατα τῆς κατ' Ἀριστοτέλη Φυσικῆς.

Τὰ καθόλου καὶ πρώτως ἀπαιτούμενα πρὸς πᾶσαν φυσικὴν ὕπαρξίν ἐστιν, ὡς εἴρηται, τόπος, χρόνος καὶ κίνησις. Τὸν μὲν οὖν τόπον ὁρίζεται ὁ Ἀριστοτέλης «τὸ πέρας εἶναι τοῦ περιέχοντος σώματος» ὡς πρὸς τὸ περιεχόμενον (β΄.). Ἐκ δὲ τούτου τοῦ ὁρισμοῦ δῆλός ἐστιν ὁ φιλόσοφος οὔπω τὴν ἀφῃρημένην ἔννοιαν τοῦ τόπου παρ' ἑαυτῷ λαβών, ἀλλὰ τόπον ἀποκαλεῖ διάστημα ὄγκῳ σώματος πληρούμενον. Διὸ οὐδὲ νοῆσαι ἔχει τὸν τόπον ἄνευ τοῦ ἄνω καὶ κάτω· ἐν τόπῳ τε εἶναι παρ' αὐτῷ οὐθὲν ἄλλο σημαίνει ἢ τὸ ὑφ' ἑτέρου τινὸς σώματος περιειλημμένον καὶ περιωρισμένον. Ἐκ ταύτης οὖν τῆς ἐννοίας τοῦ τόπου, καθ' ἥν γε τὸ πέρας ἐστὶ τοῦ περιέχοντος σώματος συμβαίνει τῷ Ἀριστοτέλει λογικῶς καὶ τὸ κενὸν τόπον μηδόλως ὑπάρχειν ἡγεῖσθαι (Φυσ. Γ, ς΄.).

Τὸν δὲ χρόνον ὁρίζεται ὡς μέτρον εἶναι ἢ ἀριθμὸν κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον καὶ ἐν ἄλλαις λέξεσιν, ὡς τὰ πολλὰ σημεῖα, ἅπερ δίδοται, ἐπειδὰν ἐν τῇ κινήσει τὸ πρότερον καὶ ὕστερον ἀλλήλων διαστέλληται, ἤτοι ἐπειδὰν ἡ κίνησις κατὰ διαδοχὴν νοῆται (γ΄.). Ἐκλαμβάνει ἄρα καὶ τὸ τοῦ χρόνου νοούμενον παραπλησίως ὡς τὸν τόπον ἤτοι ἐν στενοτέρᾳ ἐννοίᾳ ὡς ἀριθμὸν σημείων ἀλλήλοις ἐπακολουθούντων,

(β΄.) Φυσ. Δ, δ΄. σ. σιά, β, ιβ΄. νοηθείη δ' ἂν ὁ τόπος διὰ τὸ περιέχειν ὡς ταὐτὸν τῇ μορφῇ· «ἔςι μὲν οὖν ἄμφω (μορφή τε καὶ τόπος) πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τὸ μὲν εἶδος τοῦ πράγματος, ὁ δὲ τόπος τοῦ περιέχοντος σώματος.

(γ΄) Φυσ. Δ, ιά ἐν τέλει· «Ὅτι μὲν τοίνυν ὁ χρόνος ἀριθμός ἐστι κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον, φανερόν.»

καθ' ὃν παράτασις μετρεῖται καὶ ταχύτης κινήσεώς τινος ἔργῳ ὑπαρχούσης, οὐχὶ δ' ὡς τὸ καθόλου δυνατὸν ἀλληλουχίας τινὸς ἁπλῶς νοουμένης. καὶ τόπος δὲ καὶ χρόνος καὶ κίνησις ἐνεργείᾳ ὑπάρχειν φαίνοιντ' ἂν καὶ κατ' ἀνθυπόστασιν· ὡς πρὸς δὲ τὸν χρόνον δέον τῷ Ἀριστοτέλει, καθ' ἥν γε ἔννοιαν αὐτῷ ἀπένειμε, προςθεῖναι ὅτι καὶ κατ' ἐνδιάθεσίν ἐστι κατὰ τοσοῦτον, καθ'ὅσον περ ἄνευ τοῦ ἀριθμήσοντος νοῦ οὐδεμία ἂν ἀρίθμησις τῶν σημείων κινήσεώς τινος ἐνδέχοιτο καὶ δὴ καὶ οὐδ' ἂν ὁ χρόνος εἴη τῶν δυνατῶν· «πότερον δέ (φησι) μὴ οὔσης ψυχῆς εἴη ἂν ὁ χρόνος, ἢ οὔ, ἀπορήσειεν ἄν τις· ἀδυνάτου γὰρ ὄντος εἶναι τοῦ ἀριθμήσοντος, ἀδύνατον καὶ ἀριθμητόν τι εἶναι, ὥστε δῆλον ὅτι οὐδ' ἀριθμός. Εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης.» (δ'.). Προκειμένου δὲ ζητήματος, πότερον πεπερασμένον δεῖ τὸν τόπον τε καὶ χρόνον νοεῖν ἢ ἀπέραντον, ἀποφαίνεται ὁ Ἀριστοτέλης περὶ μὲν τοῦ χρόνου, ὡς ἀνάγκη ἀπέραντον νοεῖν, τουτέστιν ὡς οὔτ' ἀρχὴν ἔχοντα οὔτε τέλος· ἐπεὶ ἕκαστον χρόνου μόριον, ἕκαστόν γε Νῦν μεταξὺ προτέρου τινὸς καὶ ὑστέρου τὸ μέσον εἴληφεν, ὥστε διαγενόμενόν τινα ἤδη χρόνον, ἕτερον δὲ ἐπακολουθοῦντα ὑποδείκνυσιν. περὶ δὲ τοῦ τόπου τἀναντία· ἀμήχανον γάρ φησιν ἀπέραντον αὐτὸν νοῆσαι. καὶ γὰρ τόπος τὸ πέρας εἶναι προείρηται τοῦ περιέχοντος σώματος, ὥστ' εἴπερ τις ἀπέραντος ἦν τόπος, ἀπέραντον ἂν ἦν καὶ σῶμα· τοῦτο δέ γε φανερῶς τῷ λόγῳ ἀντιμαχόμενον φαίνεται.

(δ'.) Φυσ. Δ, ιδ'. σ. σκγ'. α, κά.— «τὸ πρότερον μὲν καὶ ὕστερον ἐν κινήσει ἐστὶν, χρόνος δὲ ταῦτ' ἐστιν, ᾗ ἀριθμητά ἐστιν.»

Ἐπεὶ δ' Ἀριστοτέλης οὐκ ἔφη κενὸν καὶ ἄπειρον ὑπάρχειν τόπον, ἑαυτῷ ὁμολογῶν διϊσχιρύσατο ὅτι καὶ ἐκτὸς τοῦδε τοῦ κόσμου οὐδεὶς ἄλλος τόπος ὑπάρχοι, οὐδ' ὁ κόσμος ὅδε ὡς ὅλον τι ἐν τόπῳ εἴη, ἀλλὰ μόνον τὰ ἑκασταχοῦ μόρια τοῦ κόσμου. Ἐπ' ἄπειρον μέντοι διαιρετὸν τόν τε τόπον καὶ τὸν χρόνον ἀπεφήνατο εἶναι· ἐνεργείᾳ μὲν οὔ, δυνάμει δὲ μόνον ἀπείρως διαιρετόν· καὶ ἔδοξεν αὐτῷ αὕτη ἡ διαστολὴ ἱκανὴ εἶναι ἀνασκευάσαι πάντας τοὺς λόγους, οὕς ποτε Ζήνων ὁ ἐλεάτης ἐπήνεγκε, βουλόμενος ἀποδεῖξαι τόν τε τόπον καὶ τὸν χρόνον ὡς οὐκ ἀληθῶς ὑπάρχοντας. Διεξελθὼν δὲ ἱκανῶς ὅσα περὶ τόπου καὶ χρόνου ἔδοξεν αὐτῷ, ἐπιχειρεῖ ἐχομένως εἰπεῖν καὶ περὶ κινήσεως. τριχῇ δὲ τὴν κίνησιν διαιρεῖ, εἰς κίνησιν κατὰ τὸ ποσόν, τὴν αὔξησιν νοῶν καὶ φθίσιν· κίνησιν κατὰ τὸ ποιὸν ἤγουν ἀλλοίωσιν. καὶ κίνησιν κατὰ τὸ ποῦ, ἥτις ἐστὶ τόπου μεταβολὴ ἤτοι φορά. Ἀλλ' ἡ κατὰ τόπον μεταβολὴ περιλαμβάνει πάλιν ἐν ἑαυτῇ τήν τε κατὰ τὸ ποσὸν καὶ τὴν κατὰ τὸ ποιὸν, καθ' ὅσον αὔξησις μὲν καὶ φθίσις τῆς ὕλης ἅμα καὶ μεταβολή ἐστι τῶν τοπικῶν σχέσεων, ἀλλοίωσις δὲ μετάβασίς τις ἅμ' ἐστὶν ὕλης τινὸς ὁπωσδήποτ' ἤδη συντεθειμένης ἐπ' ἄλλην ὕλης σύνθεσιν. Ἀλλ' οὐ μέντοι διὰ ταῦτά γε ὁ Ἀριστοτέλης καὶ τὴν τῶν ἀτομικῶν περὶ φύσεως θεωρίαν προςίεται, πᾶσαν γένεσιν μηδὲν εἶναι ἄλλο φασκόντων ἢ ἁπλῶς μεταβαλλομένην μῖξιν ἤτοι ἁπλῆν τόπου μεταλλαγήν· ἀλλὰ πολλῷ μᾶλλον κατ' οὐσίαν γε μετάπτωσιν δοξάζει ἤτοι ἀληθῆ κατὰ ποιὸν τῆς ὕλης μεταβολήν. καὶ ταύτῃ μάλιστα τῇ δόξῃ πίσυνος ὤν, ἐκεῖνο τὸ δυνάμει εἶναι ἀπὸ τοῦ ἐνεργείᾳ διαςέλλει. ἀλλ' οὔ φησι καὶ ἀπόλυτόν τινα γένεσιν εἶναι ὄντων

καὶ φθορὰν ἤγουν γένεσιν ἐκ τοῦ μηδενὸς καὶ εἰς τὸ μηδὲν φθοράν. πᾶν γὰρ τὸ ὂν ἐξ ὄντος τινὸς πάντως γίγνεσθαί φησι καὶ εἰς ὂν ἀλλοιοῦσθαι πάλιν· μόνον δὲ τὸ τόδε τι ἤτοι τὸ ὡρισμένον πρᾶγμα γίγνεσθαί τε τὴν ἀρχήν φησι καὶ ἀπόλλυσθαι. Περαίνων δὲ τὸν περὶ φύσεως λόγον, πορίζεται ὡς ἀναγκαίαν πρώτην τινὰ κινητικὴν αἰτίαν ἐξ αὐτῆς γε ταύτης τῆς κινήσεως ἀεί τι κινοῦν προαπαιτούσης. καὶ οὗτος ὁ συλλογισμὸς ἀποτελεῖ τὴν μετάβασιν ἀπὸ τῆς φυσικῆς πραγματείας ἐπὶ τὴν θεωρητικὴν καὶ πρώτην λεγομένην φιλοσοφίαν.

β'. *Περὶ τοῦ συστήματος τοῦ παντός.*

Ὁ ὑφ' ἑνὸς τοῦ κινοῦντος κινούμενος κόσμος εἷς, ὥσπερ καὶ τὸ πρῶτον κινοῦν ἕν. (ε'.). «Οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία·» (ϛ'.) ἀλλὰ σύνολόν τι ἄρτιον ἐμφαίνει, εὖ διατεταγμένον καὶ ἐνδελεχὲς σύστημα. ἔστι δὲ τὸ σύμπαν τόδε σφαιροειδὲς τὸ σχῆμα, μάλιστα δὲ ἐπ' ἀκριβὲς συντετελεσμένη σφαῖρα, «κατ' ἀκρίβειαν ἔντορνος·» τοῦτο μὲν ὅτι ἡ σφαῖρα τελεώτατον πάντων σχημάτων ὑπάρχει· τοῦτο δὲ ὅτι μόνον οὕτω παγκόσμιον κίνησιν ἐνδέχεται νοῆσαι ἄνευ κενοῦ τόπου ἐκτὸς τῆς σφαίρας, ὡς ἀναγκαίου ὄντος. ἀποφαίνεται δὲ ταῦτα ὡς ἐφεξῆς· «Εἴπωμεν δὲ καθόλου περὶ τῶν σχημάτων, τὸ ποῖον ἐ-

(ε'.) Μετ. Λ, η'. «Ἓν ἄρα καὶ λόγῳ καὶ ἀριθμῷ τὸ πρῶτον κινοῦν· καὶ τὸ κινούμενον ἄρα ἀεὶ καὶ συνεχῶς ἓν μόνον. εἷς ἄρα οὐρανὸς μόνος.» — περὶ οὐρ. Α, ή.

(ϛ'.) Μετ. Ν, γ'. — Λ, ι'.

στι πρῶτον, καὶ ἐν ἐπιπέδοις καὶ ἐν στερεοῖς. ἅπαν δὴ σχῆμα ἐπίπεδον ἢ εὐθύγραμμόν ἐστιν ἢ περιφερόγραμμον. καὶ τὸ μὲν εὐθύγραμμον ὑπὸ πλειόνων περιέχεται γραμμῶν, τὸ δὲ περιφερόγραμμον ὑπὸ μιᾶς. ἐπεὶ δὲ πρότερον τῇ φύσει ἐν ἑκάστῳ γένει τὸ ἓν τῶν πολλῶν καὶ τὸ ἁπλοῦν τῶν συνθέτων, πρῶτον ἂν εἴη τῶν ἐπιπέδων σχημάτων ὁ κύκλος. Ἔτι δὲ εἴπερ τέλειόν ἐστιν οὗ μηδὲν ἔξω λαβεῖν αὐτοῦ δυνατὸν, ὥςπερ ὥρισται πρότερον, καὶ τῇ μὲν εὐθείᾳ πρόςθεσίς ἐστιν ἀεὶ, τῇ δὲ τοῦ κύκλου οὐδέποτε, φανερὸν ὅτι τέλειος ἂν εἴη ἡ περιέχουσα τὸν κύκλον· ὥστ' εἰ τὸ τέλειον πρότερον τοῦ ἀτελοῦς, καὶ διὰ ταῦτα πρότερον ἂν εἴη τῶν σχημάτων ὁ κύκλος. ὡςαύτως δὲ καὶ ἡ σφαῖρα τῶν στερεῶν· μόνη γὰρ περιέχεται μιᾷ ἐπιφανείᾳ, τὰ δ' εὐθύγραμμα πλείοσιν· ὡς γὰρ ἔχει ὁ κύκλος ἐν τοῖς ἐπιπέδοις, οὕτως ἡ σφαῖρα ἐν τοῖς στερεοῖς.— Ὅτι μὲν οὖν πρῶτόν ἐστιν ἡ σφαῖρα τῶν στερεῶν σχημάτων, δῆλον. — ἐπεὶ δὲ τὸ μὲν πρῶτον σχῆμα τοῦ πρώτου σώματος, πρῶτον δὲ σῶμα τὸ ἐν τῇ ἐσχάτῃ περιφορᾷ, σφαιροειδὲς ἂν εἴη τὸ τὸ τὴν κύκλῳ περιφερόμενον φοράν. καὶ τὸ συνεχὲς ἄρα ἐκείνῳ. τὸ γὰρ τῷ σφαιροειδεῖ συνεχὲς σφαιροειδές. ὡςαύτως δὲ καὶ τὰ πρὸς τὸ μέσον τούτων· τὰ γὰρ ὑπὸ τοῦ σφαιροειδοῦς περιεχόμενα καὶ ἁπτόμενα ὅλα σφαιροειδῆ ἀνάγκη εἶναι· τὰ δὲ κάτω τῆς τῶν πλανητῶν ἅπτεται τῆς ἐπάνω σφαίρας. ὥστε σφαιροειδὴς ἂν εἴη πᾶσα· πάντα γὰρ ἅπτεται καὶ συνεχῆ ἐστι ταῖς σφαίραις. ἔτι δὲ ἐπεὶ φαίνεται καὶ ὑπόκειται κύκλῳ περιφέρεσθαι τὸ πᾶν, δέδεικται δ' ὅτι τῆς ἐσχάτης περιφορᾶς οὔτε κενόν ἐςιν ἔξωθεν οὔτε τόπος, ἀνάγκη καὶ διὰ ταῦτα σφαιροειδῆ εἶναι αὐτόν. εἰ γὰρ ἔσται εὐθύγραμμος, συμβήσεται καὶ

τόπον ἔξω εἶναι καὶ σῶμα καὶ κενόν· κύκλῳ γὰρ στρεφόμενον τὸ εὐθύγραμμον οὐδέποτε τὴν αὐτὴν ἐφέξει χώραν, ἀλλ' ὅπου πρότερον ἦν σῶμα, νῦν οὐκ ἔσται, καὶ οὗ νῦν οὐκ ἔστι, πάλιν ἔσται διὰ τὴν παράλλαξιν τῶν γωνιῶν. ὁμοίως δὲ κἂν εἴτι ἄλλο σχῆμα γένοιτο μὴ ἴσας ἔχον τὰς ἐκ τοῦ μέσου γραμμὰς, οἷον φακοειδὲς ἢ ᾠοειδές· ἐν ἅπασι γὰρ συμβήσεται καὶ τόπον ἔξω καὶ κενὸν εἶναι τῆς φορᾶς διὰ τὸ μὴ τὴν αὐτὴν χώραν κατέχειν τὸ ὅλον.» Τὴν δ' ἐξωτάτην τοῦ κόσμου ἄντυγα ὁ τῶν ἀπλανῶν ἀστέρων οὐρανὸς ἀποτελεῖ ἢ ὡς αὐτός φησιν, ὁ π ρ ῶ τ ο ς οὐρανὸς, τὸν πάντα κόσμον ἐν ἑαυτῷ περιλαμβάνων· ἐκτὸς δὲ τούτου οὔτε τόπος ὑπάρχει οὔτε χρόνος. Ἔστι δὲ σφαιροειδὴς θόλος, ἐφ' ᾧ ἄπειροι τὸν ἀριθμόν ἐπίσης σφαιροειδεῖς ἀστέρες προςπεπορπημένοι σελαγίζουσιν. οἱ γὰρ πάλαι πάντες (;) οὔπω εἶχον τῇ διανοίᾳ λαβεῖν ὡς τὰ οὐράνια σώματα ἐν ἐλευθέρῳ τῷ περιέχοντι κινοῦνται, ἀλλ' ὑπελάμβανον τοὺς ἀστέρας ἐπὶ συνεσφαιρωμένου τινὸς στερεώματος πεπηγότας ἀμαρύσσειν· τούτου δὲ κύκλῳ ὅλου δινουμένου δινεῖσθαι ἅμα κἀκείνους. Ἔστι δὲ καὶ ἡ κίνησις τοῦ οὐρανοῦ τῶν ἀπλανῶν ἀςέρων, ὡς εἴρηται, κυκλική· αὕτη γὰρ τελεωτάτη πασῶν ἐστι τῶν κινήσεων καὶ ὡς εἰς ἑαυτὴν μόνη αὕτη ἀεὶ ἐπανιοῦσα, αἴδιος πέφυκεν εἶναι, ἡ δ' εὐθύγραμμος οὐκ αἴδιος. ἔτι δὲ ἰσόῤῥοπός ἐστιν ἁπάντῃ ἡ τοῦ οὐρανοῦ κίνησις καὶ πρὸς τὰ ἄριστα ἤτοι τὰ δεξιὰ ἀμετατρέπτως ἔχουσα. καὶ τὴν ἄλλην δὲ φύσιν τελεωτάτη μοῖρα παντὸς τοῦ κόσμου ὁ οὐρανός ἐστι τῶν ἀπλανῶν ἀστέρων, καθ' ὅσον ἐγγυτάτω τοῦ πρῶτον κινοῦντος ὑπάρχει, ὡς τὸ πρώτως κινούμενον. ἥ τε σύστασις αὐτοῦ ἐκ μιᾶς οὐσίας ἁπλῆς, ἐξ αἰθέρος ἐστὶ καὶ διὰ ταυτηνὶ

τὴν αἰτίαν οἱασοῦν μεταβολῆς ἀνεπίδεκτος· πᾶσα γὰρ γένεσις ἀπὸ ἐναντίου τινὸς εἰς ἐναντίον μετάβασις τυγχάνει οὖσα. ἔστι δὲ καὶ ὁ τόπος, ἐν ᾧ τελεία οὐσία τε καὶ ζωὴ, θεσπεσία θέα εὐκοσμίας τε καὶ εὐταξίας ἀϊδίου. οἱ δ' ἀστέρες, ἐξ ὧν γε ὁ οὐρανὸς συνήρμοσται, ὄντα ἀπαθῆ ἐστι καὶ ἐς ἀεὶ ἀγήρω, μακαριώτατόν τινα βίον διάγοντα, αἴδια ἐν ἀπόνῳ ἐνεργείᾳ ἀγαλλόμενα, πολλῷ γε θειότερα ἢ κατ' ἀνθρώπου μοῖραν. τἀληθὲς ἄρα καὶ οἱ ἡμέτεροι πρόγονοι ὑπώπτευσαν, τοὺς ἀστέρας Θεοὺς ἄντικρυς εἶναι νομίσαντες. Μετ. Λ, η'.

Ἐντὸς δὲ τοῦ πρώτου οὐρανοῦ καὶ τούτῳ ὁμόκεντρος ἡ τῶν πλανητῶν ὕπεστι χώρα, πρὸς οἷς γε Ἀριστοτέλης, ἐκτὸς τῶν πέντε τοῖς πάλαι γνωστῶν πλανητῶν, τόν τε Ἥλιον καὶ τὴν σελήνην, ὡς εἰκὸς, ἐναριθμεῖ. Ἔστι δὲ δὴ καὶ τούτου γε ἕνεκα τοῦ τῶν ἀπλανῶν ἀστέρων οὐρανοῦ ἀτελεστέρα ὅτι καὶ ἀπωτέρω ὑπάρχει τοῦ πρῶτον κινοῦντος. Ἔτι δὲ κατὰ τἀναντία πρός τὸν πρῶτον οὐρανὸν, οὗ γε μία σφαῖρα πάντας τοὺς ἀστέρας ἅμα περιείληφεν, ἡ τῶν πλανητῶν χώρα εἰς πολλὰς ἄλλας διασχίζεται σφαίρας, ἐξ ὧν ἑκάστη ἕνα μόνον ἀστέρα ἔχει. ἥ τε κίνησις τούτων τῶν σφαιρῶν οὐκέτι ἁπλῶς κυκλικὴ ὑπάρχει, ἀλλὰ ἄνισος, ἄτακτος, σύνθετος κίνησις ἐν τροχιαῖς τελουμένη λοξαῖς. οὐδ' αὖ ὅπως ἡ τῆς ἀπλανοῦς σφαίρας ἐξ εὐωνύμων πρὸς τὰ δεξιὰ φέρεται, ἀλλ' ἀντίστροφα, ἀπὸ τῶν δεξιῶν πρὸς τὰ εὐώνυμα. οὐδ' ἂν εἴποι τις ἄρα αὐτὴν ὡς ἐκ τῆς τῶν ἀπλανῶν σφαίρας τὴν ἀρχὴν λαμβάνειν. Διὸ ἀναγκαῖον ἔδοξεν εἶναι τῷ Ἀριστοτέλει ἑκάστῃ τούτων τῶν ἑπτὰ σφαιρῶν ἴδιόν τι τὸ κινοῦν προσνεῖμαι. Τούτους δὴ τοὺς

τοῖς πλανήταις τὴν κίνησιν παρέχοντας αὐτῷ γε τῷ θείῳ παραπλησίους ἐδόξαζεν εἶναι, ἀϊδίους, ἀκινήτους, ἀΰλους ὄντας. « ἐπεὶ ὁρῶμεν (φησὶ) παρὰ τὴν τοῦ παντὸς ἁπλῆν φορὰν, ἥν κινεῖν φαμεν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους, ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου τε κινεῖσθαι καὶ ἀϊδίου οὐσίας. Φανερὸν τοίνυν, ὅτι τοσαύτας οὐσίας ἀναγκαῖον εἶναι τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καὶ ἄνευ μεγέθους » (ζ.). Ταῦτα μὲν οὖν ἄν τις ἐπιεικῶς εἴποι ὡς ἀναγκαίως ἀκολουθοῦντα τῇ καθόλου περὶ κινήσεως θεωρίᾳ τοῦ Ἀριστοτέλους, ἀλλὰ γὰρ πρὸς τῷ κατ' ἐξοχὴν θείῳ ὄντι ἐκτόπως πως ὡς ἐνεργοῦντες καὶ ἄλλοι συνεισάγονται θεοὶ ὑποδεέστεροι· πάντων δὲ μάλιστα τὸ τῆς πληθύος αὐτῶν δυσχέρειαν παρέχει· καὶ γὰρ ὁμολόγηταί που ἤδη αὐτῷ ἐν τοῖς μετὰ τὰ φυσικὰ ὅτι πᾶν τὸ εἰς π ο λ λ ὰ ὁμοειδῆ ἀποσχιζόμενον ὕλης πάντως μετέχειν ἀνάγκη.

Τὸ δὲ μέσον τοῦ σύμπαντος κόσμου εἴληφεν ἡ γῆ, σφαιροειδὴς μὲν ἐπίσης οὖσα, ἀλλ' ἀκινήτως ἔχουσα. Ἐπεὶ δὲ ποῤῥωτάτω τοῦ πρῶτον κινοῦντος ἵδρυται, φανερὸν ὅτι καὶ τὸ ἀτελέστατόν ἐστι μέρος τοῦ κόσμου. ἐπ' αὐτῆς γὰρ, ἀντὶ τῆς ἀμεταβλησίας τῆς ἐν τῷ κόσμῳ τῶν ἀπλανῶν ἀστέρων, ἀδιάλειπτος ἐπικρατεῖ γένεσίς τε τῶν ὄντων καὶ φθορά. Αἴτιον δὲ τῆς μεταλλαγῆς ταύτης, ἥπερ ἐν τῇ ὑποσελήνῳ χώρᾳ ἐκνικᾷ, τὸ ἄνισόν ἐστι τῆς κινήσεως τῶν πλανητῶν. Εἰ μὲν οὖν μόνος ὁ τῶν ἀπλανῶν ἀστέρων οὐρανὸς ἐπὶ

(ζ) τῶν μετ. τ. φυσ. Λ, η'.

τῆς γῆς δύναμιν ἤσκει, δυοῖν θάτερον πάντως ἂν ἐπ' αὐτῆς συνέβαινεν, ἤτοι αἴδιος γένεσις ἢ αἴδιος φθορὰ μόνον, ὡς ἐξ ἁπάντη μονοειδοῦς οὔσης τῆς κινήσεως προερχομένη. Ἀλλ' οἱ πλανῆται πάντων δὲ μάλιστα ὁ Ἥλιος, ἀνωμάλως κινούμενοι, ἀνώμαλον καὶ ἐνέργειαν ἐπὶ τῆς γῆς ἔχουσι, νῦν μὲν ἐγγύτερον, νῦν δ' ἀπώτερον αὐτῆς γιγνόμενοι, ἐξ οὗ δὴ καὶ ἡ ἐπὶ γῆς φαινομένη ἐναλλαγὴ τῆς τε γενέσεως καὶ φθορᾶς τῶν ὄντων συμβαίνει. [περὶ γεν. καὶ φθορ. Β. ί.]. Ὅμως δ' οὖν, καὶ ταύτῃ τῇ ἐναλλαγῇ τῆς ὕλης ὑποκειμένη ἡ Γῆ, μετείληχέ γέ πως καθ' ἥν περ φύσιν ἔχει, τῆς τε εὐσταθείας τοῦ τῶν δεδεμένων ἄστρων οὐρανοῦ καὶ τῆς ἐνδελεχοῦς κινήσεως αὐτοῦ, καθ' ὅσον περ ἡ εἰς ἄλληλ' ἀναλλαγὴ τῶν ὄντων ἐκείνη ἡ ἐπὶ γῆς εἰς αἴδιον ἀνακύκλησιν περιίσταται. κατὰ δὴ οὖν τὸ ἄληκτον τῆς τῶν ὄντων γενέσεως μιμεῖταί πως τὰ γήϊνα τὴν αϊδιότητα καὶ μονιμότητα τῶν οὐρανίων. ἐπεὶ οὖν ὕπαρξιν αἴδιον ἀμήχανον ἦν τῇ γῇ ὥσπερ καὶ τοῖς ἀστράσι προσνεῖμαι, διὰ τὸ πορρωτάτω αὐτὴν τοῦ πρῶτον κινοῦντος ἱδρῦσθαι, προσένειμεν αὐτῇ ὁ ἰδίᾳ θεὸς ἐς ἀεὶ ἀτελεύτητον ὄντων γένεσιν. [περὶ γεν. καὶ φθορ. Β, ί.].

Ἐκ δὲ δὴ τούτων φανερὸν ὅτι τὸ σύμπαν τόδε κατ' Ἀριστοτέλη δίχα διήρηται εἴς τε τ ὰ ἐ κ ε ῖ κ α ὶ τ ὰ ἐ ν θ ά δ ε. καὶ τὰ ἐκεῖ μὲν ἤτοι ὁ ἀστροφανὴς οὐρανὸς ὁ τόπος ἐστὶ τῆς ἀμεταβλήτου ὑπάρξεως καὶ τῆς ἐς ἀεὶ ἰσοτενοῦς κινήσεως· τὰ δὲ ἐνθάδε ἤτοι τὰ ὑπὸ σελήνην ἐστὶν ὁ τόπος, ἐν ᾧ ἀτελεύτητος τῆς ὕλης ἀλλοίωσις, ἅμα δὲ πλησμονή τε καὶ μεταλλαγὴ τῆς ὀργανικῆς ζωῆς διὰ τὴν ἄνωθεν ἐνέργειαν τῶν οὐρανίων σωμάτων ἀναπτύσσεται.

β'. Περὶ τῆς ὀργανικῆς Φύσεως.

Ἡ Φύσις μερικώτερον λαμβανομένη, ἐμφαίνει τὸ ὅλον τῆς ὀργανικῆς ζωῆς, ἥ περ τὴν ἐπιφάνειαν τῆς ἡμετέρας γῆς ζωοποιεῖ. πάντα δὲ τὰ ἐκ τῆς ὀργανικῆς φύσεως γεννώμενα κατά τε τὴν σύστασιν καὶ τὰς ζωτικὰς λειτουργίας οὐ τὴν τυχοῦσαν πρόνοιαν ἐλέγχει, ἀεὶ πρός τι τέλος χρήσιμον τείνουσαν. ἐντεῦθεν οὖν φανερὸν ὡς ὁ Θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην καὶ ὡς ἔτυχε ποιοῦσιν. « Οὐθέν (φησὶ) ποιεῖ περίεργον οὔτε μάτην ἡ φύσις, » ἀλλὰ πρὸς τὸ χρήσιμον καὶ ἐκ τῶν ἐνδεχομένων ποιεῖ ἀεὶ τὸ βέλτιστον, πρὸς παράδειγμα βλέπουσα τέλειον, ὅπερ ἔργῳ ἐπιτελέσαι ἀδιαλείπτως προθυμεῖται (ή.). Εἰ δ' ἔστιν ὅτε τοῦ σκοπουμένου διαμαρτάνει, περισσόν τι καὶ πρὸς οὐδὲν τέλος καὶ ἄχαρι γεννῶσα ἐκ δισσῆς τινος αἰτίας τοῦτο ἔοικε συμβαίνειν· τοῦτο μὲν ὅτι οὐ σύνοιδεν ἑαυτῇ ἡ φύσις ἐνεργοῦσα· πᾶν γὰρ ὅ,τι ποιεῖ οὐ κατ' ἀνθρωπικὴν σκέψιν καὶ λόγον καθαρὸν ποιεῖ, ἀλλ' ἐξ ἐμφύτου τινὸς ὁρμῆς τὰ πάντα τεχνᾶται (Φυσ. Β, ή.)· τοῦτο δὲ ὅτι καὶ αὐτὴ ἡ ὕλη ἐμποδών πως τῇ φύσει γίγνεται βουλομένῃ εἶδός τι ἀεὶ τελεώτερον ἐκείνῃ περιάψαι. ἐκ ταύτης οὖν τῆς ἐναντιώσεως συμβαίνει τὸ πολὺ τυχαῖον γίγνεσθαι τὸ π ε π η ρ ω μ έ ν ο ν καὶ π ε ρ ι τ τ ὸ ν καὶ πάνθ' ὅσα ἡ φύσις τ έ ρ α τ α παράγει. καὶ μὴ ὅτι γε τὰ ὡς ἀληθῶς τέρατα, ἀλλὰ καὶ τὰ κατὰ φύσιν ὑποδεέστερα τῶν ὄντων γένη διὰ τὴν τῆς ὕλης ἐναντίωσιν συμβαίνειν ὁ Ἀριστοτέλης οἴεται. καὶ γὰρ β ο ύ λ ε σ θ α ι μὲν πολλάκις τὴν

(ή.) Περὶ οὐρ. Α, δ'.—β, ή.— περὶ γεν. ζώων Β, ς'. — περὶ ζώων μορ. Δ, ί.—καὶ μάλιστα Φυσ. β, ή. —

φύσιν βελτίονα παράγειν, οὐ μέντοι δύνασθαί φησιν (θ'.) Εἰ μὲν γὰρ οἷα τε ἦν ἡ φύσις εὐθὺς ἐκ πρώτης ἐπιβολῆς παντελῶς τῆς ὕλης ἐπικρατῆσαι, αὐτίκα ἂν τοῦ τέλους ἠὐστόχει ἤτοι τῆς τοῦ ἀνθρώπου δημιουργίας. ἠδυνήθη μέντοι, ὡς καὶ πάσῃ τέχνῃ συμβαίνειν φιλεῖ, διὰ συχνοῦ χρόνου πρότερον, ὡς ἔπος εἰπεῖν, ἀσκηθεῖσα, τὰ ἄριστα παραγαγεῖν καὶ ἐδέησεν ἄρα αὐτῇ πρὶν τοῦ τέλους ἐξικέσθαι πολλὰς ἀποπείρας μάτην ποιήσασθαι καὶ ὄντα ἀτελέστερα πολλάκις γεννῆσαι. κατὰ ταύτην οὖν τὴν δόξαν εἴη ἂν ἡ φύσις μηδὲν ἄλλο ἢ λειτουργία τις καθ' ἣν τὸ εἶδος ἀεὶ μᾶλλον, ὥςπερ ἐπαναβαθμοῖς χρώμενον, τῆς ὕλης ὑπερισχύει. ταύτην οὖν τὴν τῆς φύσεως ἐνέργειαν κατὰ λεπτὸν ὁ Ἀριστοτέλης διακριβούμενος, τοῦτο μάλιστα φανερὸν ποιῆσαι βούλεται, ὡς ἡ φύσις κατὰ σμικρὸν ἀεὶ τελειοῦται, ἀπὸ τῶν ἀτελεστέρων ἐπὶ τὰ τελειότερα ἀπαύστως προϊοῦσα.

Αἱ δὲ φάσεις ἅςπερ τῆς ὀργανικῆς φύσεως οἷον ἀναβαθμοὺς διακρίνων ἀποδίδωσι, τρεῖς εἰσὶ τὸν ἀριθμόν, τὰ φυτά, τὰ ζῷα καὶ ὁ ἄνθρωπος. πᾶσι δὲ τούτοις ψυχή τις πρόςεστι· ψυχὴν γὰρ εἶναί φησι τὸ τὴν ὀργανικὴν φύσιν τῆς ἀνοργάνου διαστέλλον· διαφέρειν μέντοι ἀλλήλων τὰς τούτων ψυχὰς κατὰ βαθμούς· τοῖς μὲν γὰρ φυτοῖς θ ρ ε π τ ι κ ή ν τινα ψυχὴν ἐνεῖναι μόνην, τοῖς δὲ ζῴοις θρεπτικήν τε ἅμα κ α ὶ α ἰ σ θ η τ ι κ ὴ ν τῷ ἀνθρώπῳ τέλος πρὸς ἀμφοτέραις ἐκείναις καὶ τρίτον τὸν νοῦν φησιν ἐμπεφυκέναι. [περὶ ψυχῆς Β, β'.—].

(θ'.) Πολιτ. Α, β'. (ς'. σ. ͵ανε', β, α.) «ἀξιοῦσιν, ὥςπερ ἐξ ἀνθρώπου ἄνθρωπον καὶ ἐκ θηρίων γίνεσθαι θηρίον, οὕτω καὶ ἐξ ἀγαθῶν ἀγαθόν· ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν πολλάκις, οὐ μέντοι δύναται.» Ὁμοίαν δὲ ἔννοιαν ἔχει καὶ τὸ ἑξῆς· «βούλεται μὲν ἡ φύσις—συμβαίνει δὲ πολλάκις τοὐναντίον.» Πολιτ. Α, β'. (ε'. σ. ͵ανδ'. β, κζ'.—

Τῶν μὲν οὖν φυτῶν τὴν ζωὴν εἰς μηδὲν ἄλλο τείνειν φησὶν ἢ εἰς θρέψιν τε καὶ τοῦ εἴδους διάδοσιν. κινήσεως δὲ καὶ διαφορᾶς γένους καὶ αἰσθήσεως καὶ, ὅλως εἰπεῖν, κέντρου τινὸς ζωτικοῦ, ὅπερ μεσότητα αὐτὸς ἀποκαλεῖ, πάντων τούτων ἐλλείπει τὰ φυτὰ, ὡς πάρεστι μάλιστα ἰδεῖν ἐν πολλοῖς αὐτῶν, ἅπερ καὶ τμηθέντα οὐχ ἧσσον ζῶντα διατελεῖ (περὶ ψυχ. Β, ιϐ'.).

Ταύτην δὲ τὴν εἰς ἓν συναρμογὴν τῆς τε σωματικῆς φύσεως καὶ τῆς ψυχικῆς ἧς περ τὰ φυτὰ στερεῖται, κέκτηται τὰ ζῷα. τὸ μὲν οὖν ἑνιαῖον τοῦ κατὰ τὸ σῶμα ὀργανικοῦ συστήματος τῶν ζῴων ἐν τούτῳ ἐστὶν, ὅτι τὸ μὲν ὅλον σῶμα τῆς ψυχῆς ἕνεκα καὶ ὡς ὄργανον αὐτῆς συμπέφυκεν. ἕκαστον δὲ τοῦ σώματος μόριον ἕνεκά του, τουτέστι λειτουργίας τινὸς ἕνεκεν ὡρισμένης ὑπάρχει. «Ἐπεὶ δέ (φησιν) τὸ ὄργανον πᾶν ἕνεκά του, τῶν δὲ τοῦ σώματος μορίων ἕκαστον ἕνεκά του, τὸ δὲ οὗ ἕνεκα πρᾶξίς τις, φανερὸν ὅτι καὶ τὸ σύνολον σῶμα συνέστηκε πράξεώς τινος ἕνεκα. ὥστε καὶ τὸ σῶμά πως τῆς ψυχῆς ἕνεκεν, καὶ τὰ μόρια τῶν ἔργων ἕνεκεν, πρὸς ἃ πέφυκεν ἕκαστον.» (ί.) Ἔχει δὲ τὰ ζῷα καὶ μέσον τι κατὰ τὸ σωματικὸν σύστημα, ὅπερ παρὰ τοῖς τελειοτέροις ἡ καρδία ἐστίν. πρὸς δὲ ταύτῃ τῇ τοῦ σώματος ἑνότητι πρόςεστι τῷ ζῴῳ καὶ ἑνότης τῆς ψυχικῆς ἐνεργείας. καὶ γὰρ αἱ ἔξωθεν προςϐολαὶ συνέρχονται πᾶσαι εἰς τὸ μέσον ψυχῆς αἴσθησιν ἐχούσης, αὐτίκα δὲ τῇ αἰσθήσει ἡδονὴ παρομαρτεῖ ἢ λύπη. καὶ τῇ αἰ-

(ί.) Περὶ ζῴων μορ. Α, έ. σ. χμέ, ϐ, ιδ'. —καὶ ἐν ὅλῳ δὲ συγγράμματι ὁ Ἀριστοτέλης, τῷ «περὶ ζῴων μορίων» ταύτην τὴν δόξαν προτίθεται διεξαγαγεῖν, ἥτις ἄνω ἄρτι εἴρηται.

σθήσει ἀκόλουθόν ἐστι καὶ τὸ ὀρεκτικόν. Ἔτι δὲ πρὸς τούτοις ἐπὶ τῶν ζώων καὶ τὸ γένος δίχα κεχώρισται· ἑκατέρῳ γὰρ ἡ φύσις τὰς γεννητικὰς λειτουργίας διαλαβοῦσα, προςένειμε, καθ' ἅς περ τὸ ἄῤῥεν πρὸς τὸ θῆλυ παραπλησίως πέφυκεν εἶναι, ὥςπερ καὶ ἡ μορφὴ καὶ κινητικὴ αἰτία πρὸς τὴν ὕλην· ἐπὶ γὰρ τῆς γενέσεως ζῴου οὑτινοςοῦν τὸ μὲν ἄῤῥεν τὴν ψυχὴν ἐνῆκε, τὸ δὲ θῆλυ τὴν ὕλην ἢ τὸ σῶμα παρέσχε. σκέψασθαι δ' ἄξιόν ἐστι καὶ ἐπὶ τῶν ζώων ὡς ἡ φύσις βαθμηδὸν ἐπὶ τὰ τελεώτερα προβαίνει. καὶ μὴν τὰ τελεώτερα τῶν ζῴων γένη πολλοῖς τῶν ἀτελεστέρων προέχει, τῷ τε ὀρθὴν τὴν στάσιν ἔχειν καὶ τῷ κατὰ βούλησιν τόπον ἀμείβειν καὶ ζῶντα τίκτειν, φωνῆς τε εὐμοιρεῖν πρὸς τὸ δηλοῦν τὰ αἰσθήματα, ἐπὶ δὲ πᾶσι τούτοις καὶ τῷ μετεῖναι αὐτοῖς φαντασίας τε καὶ μνήμης. ἁπάντων δὲ τῶν ζῴων τελεώτατον ἄνθρωπος «τοῦτο τὸ ζῷον φησὶ ἀποτετελεσμένην» τὴν φύσιν ἔχειν (ιά.). Ἀλλὰ πρὸς τῇ τελειότητι τοῦ κατὰ τὸ σῶμα ὀργανικοῦ συστήματος ἔνεστιν αὐτῷ καὶ νοῦς, ἐφ' ᾧ γε δὴ τῶν λοιπῶν ζῴων πάντων μάλιστα διενήνοχε.

§ δ'. Περὶ τοῦ ἀνθρώπου.

Ὁ ἄνθρωπός ἐστι κυριώτατον τέλος καὶ σκοπὸς συμπάσης τῆς φύσεως· τελεώτατος γάρ ἐστι τό,τε σῶμα καὶ τὴν ψυχήν. τῆς μὲν γὰρ θρεπτικῆς ψυχῆς συμμετέχει τοῖς φυτοῖς, τῆς δὲ αἰσθητικῆς συμμετέχει τοῖς ἄλλοις ζῴοις, προτερεύει δ' ἀμφοτέρων εἰς τὸ νοῦν τε

(ιά.) Τῶν περὶ τὰ ζῷα ἱστοριῶν I, ά. σ. χή. 6, ζ'.

καὶ λόγον αὐτὸν ἁπάντων ἔχειν. καὶ ταῦτά ἐστι τὰ τρία μόρια, μᾶλλον δὲ ἡ διὰ τριῶν ἀναβαθμῶν τελέωσις τῆς ψυχῆς τῆς ἀνθρωπικῆς, οὕςπερ Ἀριστοτέλης ἀλλήλων διαστέλλει. Εἰ δέ τις ὅμως πρὸς αὐτὴν τὴν διάνοιαν τῶν λεγομένων ἀποβλέψειεν, εἰκότως ἂν εἴποι ὅτι μόνον τὰς δύο πρώτας λειτουργίας τήν τε θρέψιν καὶ αἴσθησιν ὁ Ἀριστοτέλης τῇ ψυχῇ ἀπέδωκε, τὸν δὲ νοῦν οὐσιωδῶς τῆς ψυχῆς διέσταλκεν (ιϐ΄.).

Α΄. Ἡ ψυχὴ κατὰ μερικωτέραν ἐκδοχὴν οὐθὲν ἄλλο τυγχάνει οὖσα ἢ μορφὴ καὶ ζωῆς ἀρχὴ τῷ ὀργανικῷ σώματι, ἡ ἔνδον ἐπίκεντρος ἑνότης τῶν ζωϊκῶν λειτουργιῶν καὶ ὡς αὐτός φησιν, « εἴτι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ» (ιγ΄.). Πέφυκε δὲ πρὸς τὸ σῶμα, καθάπερ ἡ μορφὴ πρὸς τὴν ὕλην. Αὐτόθεν ἄρα δῆλον ὅτι ἡ ψυχὴ ἄνευ σώματος ἢ χωριζομένη τοῦ σώματος, οὐδαμῶς ἂν δύναιτο ὑπάρχειν, ὡς οὔτ' ἂν μορφὴ τῆς ὕλης κεχωρισμένη, οὔτ'ἂν ἀνδριὰς τοῦ χαλκοῦ χωρὶς γιγνόμενος. καθαπεροῦν μήτε βαδίζειν ἔχοιμεν ἂν ἄνευ ποδῶν νοῆσαι, μήθ' ὁρᾶν ἄνευ ὀμμάτων, οὕτω μηδὲ ψυχὴν ὅλως ὑπάρχειν σῶμα μὴ ἔχουσαν. Τὴν ψυχὴν φησὶν «ἄνευ σώματος ἀδύνατον ὑπάρχειν, οἷον βαδίζειν ἄνευ ποδῶν.» (ιδ΄.). Ἐπίσης δὲ ἄτοπον ἡγεῖται τὸ ἐρωτᾷν εἰ-

(ιϐ΄.) Ἔοικε δὲ ὑπολαμβάνειν τὸν νοῦν ὡς τῆς ψυχῆς μόριον ἐν Λ τῶν μετὰ τὰ φυσικὰ (κεφ. γ΄.) ἔνθα φησὶ «ψυχὴ μὴ πᾶσα, ἀλλ' ὁ νοῦς.» καὶ ὡς διάφορον αὖ τῆς ψυχῆς ἐν δευτέρῳ τοῦ περὶ ψυχῆς (κεφ. ϐ΄.), ἐν ᾧ λέγει «ὁ νοῦς ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ· τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς οὐκ ἔστι χωριστά. »

(ιγ΄.) ἐν τῷ περὶ ψυχῆς β, ά.

(ιδ΄.) Περὶ γεν. ζῴων β, γ΄.—

περ ἡ ψυχὴ καὶ τὸ σῶμα ἓν καὶ ταὐτὸν ἄμφω ἐστὸν, ὥσπερ καὶ τὸ ἐρωτᾷν εἰ ὁ κηρὸς καὶ τὸ ἐν τῷ κηρῷ ἔκμαγμα ἓν καὶ ταὐτόν ἐστιν. ἔςι γάρ πως ἓν ἄμφω καὶ οὐχ ἕν. νοήσει μὲν γὰρ διάφορά ἐστιν ἀλλήλων· οὔτε γὰρ σῶμά ἐστιν ἡ ψυχὴ οὔτε τι μέγεθος ἐκτατόν· ὡς πρὸς ὕπαρξιν μέντοι ἀχώριστά ἐστιν ἀλλήλων· οὔτε γὰρ ἡ ψυχὴ σώματος ἄνευ δύναται ὑπάρχειν, οὔτ' αὖ σῶμα ἄνευ ψυχῆς· ἀμφότερα ἄρα ἀναπτύσσεταί τε καὶ ἐπιτελεῖται δι' ἀλλήλων. Αὐτόθεν ἄρα δῆλος ἂν εἴη Ἀριστοτέλης ἀθανασίαν ψυχῆς ἑκάστης, ὡς προσώπου οὐ νομίζων· ἀλλὰ καὶ πάνυ σαφῶς λέγει ὅτι ἡ μὲν ψυχὴ φθαρτή ἐστι, μόνος δὲ ὁ νοῦς ἀθάνατός τε καὶ ἀΐδιος (ιέ.). οὐ μέντοι τὸν νοῦν ταὐτὸν εἶναι φησὶ τῷ ἑνὶ ἀνθρώπῳ ἀλλὰ θ ύ ρ α θ ε ν αὐτὸν τῷ ἀνθρώπῳ ἐπιγιγνόμενον τῆς σωματικῆς τούτου ὑπάρξεως χ ω ρ ι σ τ ὸ ν ὄντα, ὃς καὶ οἰχομένου τοῦ ἑνός τινος ἀνθρώπου, ἀθάνατος παραμένει καὶ ἀΐδιος, «ὁ νοῦς (φησι) χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ. Χωρισθεὶς δ' ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστὶ, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον. ὁ δὲ παθητικὸς νοῦς φθαρτός.»

β'. Οὐσιωδῶς δὲ διάφορός ἐστι τῆς ψυχῆς ὁ νοῦς ἢ ἡ νόησις. ἔχεται μὲν γάρ πως καὶ κατὰ τοσοῦτον ἀλλήλοιν ἄμφω, καθ' ὅσον ὁ νοῦς οὔτ' ἂν δῆλος ἐγίγνετο, εἰ μὴ ὁ ψυχικὸς βίος ἀνεπτυγμένος ἦν, οὔτ' ἐγερθεὶς ποθ' ἅπαξ ὀλιγώρως ἂν ἔχειν δύναιτο τῆς διὰ τῶν αἰ-

(ιέ.) Μετ. Λ, γ'. «εἰ (μετὰ τὴν διάλυσιν τῆς τε ὕλης καὶ τῆς μορφῆς) ὕστερόν τι ὑπομένει, σκεπτέον· ἐπ' ἐνίων γὰρ οὐδὲν κωλύει, οἷον εἰ ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα, ἀλλ' ὁ νοῦς· πᾶσαν γὰρ ἀδύνατον ἴσως.» — περὶ ψυχ. Γ, έ.— καὶ ἄλλα δὲ χωρία εὕροις ἂν ἐν τῇ ἐμῇ σημειώσει εἰς τὰ Μετ. Λ, γ'. ι'.—καὶ παρὰ Σελλερίῳ τ. β, 497.

σθήσεων ψυχικῆς ἐνεργείας, ἤτοι τῶν ἀντιλήψεων (ις'.) οὐχ ἧσσόν γε μὴν διάφορα ταῦτα τὰ τῆς ψυχῆς μόριά ἐςι κατ' οὐσίαν ἑκάτερον ἑκατέρου. Ἡ μὲν γὰρ ἰδίᾳ ψυχὴ ἐν χρόνῳ τε γέγονε καὶ ἄνευ τοῦ σώματος οὐ δύναται ὑπάρχειν· ὥστ' οἰχομένου τούτου, οἴχεται ἅμα κἀκείνη. ὁ δὲ νοῦς οὔτε γένεσιν ἔχων οὔτε φθοράν, ἀΐδιός ἐστι καὶ τοῦ σώματος πάντῃ ἐλεύθερος. ἔτι δὲ πᾶσα μὲν τῆς ψυχῆς ἐνέργεια ἤτοι ἀνάμνησις καὶ ἐπιθυμία καὶ ἔρως σωματικῇ τινι ἐνεργείᾳ συνῆπται, ὁ δὲ νοῦς οὐδ' ὁπωςτιοῦν ὑπὸ τοῦ σώματος διατίθεται· «οὐδὲν (φησὶ) τῇ ἐνεργείᾳ τοῦ νοῦ κοινωνεῖ σωματικὴ ἐνέργεια» (ιζ'.). καὶ τέλος αἱ μὲν τῆς ψυχῆς δυνάμεις κατ' ὀλίγον ἐξ ἀλλήλων τε καὶ δι' ἀλλήλων παράγονται, ἐκ μὲν τῆς θρέψεως ἡ αἴσθησις, ἐκ δὲ ταύτης ἡ φαντασία καὶ ἐκ τῆς φαντασίας ἥ τε ἐπιθυμία καὶ ἡ κίνησις· ὁ δὲ νοῦς οὐχ' ὁμοίως ἐκείναις πέφυκεν· οὐ γὰρ ἂν εὐλόγως τις τὸν νοῦν ὡς αὐτοῦ τοῦ ψυχικοῦ βίου τρόπον τινὰ τελεωτέραν φάσιν ὑπολάβοι, ἀλλ' ὡς ἰδίαν τινὰ ὅλως ἀρχὴν καὶ αὐτὴν καθ' αὑτὴν οὖσαν. Ἔστι γὰρ παντάπασιν ἁπλοῦς τε καὶ ἄϋλος, ἀπαθής τε καὶ ἀδιάλυτος, ὅλως τι ἀλλότριον τῆς φύσεως, ἐν ᾗ γε ὑπάρχει· ἔξωθεν γάρ ποθεν, ὡς αὐτός που σαφῶς λέγει, θύραθεν εἰς τὸν ἄνθρωπον ἐπεισέρχεται (ιή.), οὐ τῷ ἰδίᾳ ἀνθρώπῳ προσήκων οὐδ' ὑπὸ τοῦ θανάτου τῆς λοιπῆς ψυχῆς ἐπηρεαζόμενος. ἔστι γὰρ ἡ καθόλου καὶ ἐν ἑκάστῳ γε τῶν ἰδίᾳ ἀνθρώπων ἡ αὐτὴ

(ις'.) Ἐπεὶ γὰρ αἱ καθόλου ἔννοιαι οὐ χωρισταὶ τῶν αἰσθητῶν ὄντων ὑπάρχουσιν, ἀνάγκη πᾶσαν ἔννοιαν μετὰ φ α ν τ ά σ μ α τ ό ς τινος ἀεὶ γίγνεσθαι·

(ιζ'.) Ἐν τῷ περὶ γεν. καὶ φθορ. β, γ'.—

(ιή.) Ἐν τῷ περὶ γεν. καὶ φθορ. β, γ'. σ. ψλς', 6, κζ'. «λείπεται, τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι, καὶ θεῖον εἶναι μόνον.»

ἀεὶ οὖσα οὐσία τοῦ νοῦ. Νοῶν δὲ ὁ νοῦς τὰ ὄντα, ἑαυτὸν νοεῖ· οὐδαμῶς γὰρ τῇ τῶν ὄντων ὕλῃ κοινωνεῖ, ἀλλὰ μόνον τῇ ἰδέᾳ αὐτῶν ἤτοι τῷ ἐν αὐτοῖς νοητῷ, ὥστε πᾶσα ἡ τοῦ νοῦ ἐνέργεια, περὶ οὐδὲν ἄλλο ἐστὶν ἢ περὶ ὅπερ τῇ νοήσει αὐτῇ ταὐτόν ἐστιν. (Μετ. Λ, θ'. περὶ ψυχ. Γ, δ'.). Ἐκ πάντων οὖν τῶν γνωρισμάτων, ὅσα Ἀριστοτέλης τῷ νῷ φέρων προςνέμει, φανερὸν ὅτι τὸν ἐν τῷ ἀνθρώπῳ ἐνεργοῦντα νοῦν αὐτόν γε τὸν θεῖον εἶναι νοῦν ὑπείληφεν. ἔτι δὲ καὶ θεῖον αὐτὸν ἄντικρυς προςαγορεύει· ὥστε δῆλον ὅτι κατὰ τοῦτό γ' ἑαυτῷ ὁμολογῶν φαίνεται, ὅταν ἔξωθεν αὐτὸν τῷ ἀνθρώπῳ ἐπειςάγῃ. Ἀλλὰ τούτου πέρι ἀπορήσειεν ἄν τις εἰκότως, ὅτῳ ποτὲ τρόπῳ τοῦτον τὸν θεῖον νοῦν ὡς εἰς ταὐτὸν τῇ ψυχῇ ἡρμοσμένον προςήκει νοεῖν, εἴπου μέλλει τὸ ἑνιαῖον τοῦ ψυχικοῦ βίου ἔτι ἀκήρατον σωθῆναι· ἐρώτημα τοῦτο ἀπορώτατον πάντων, ὅσα ἐκ τῆς Ἀριςοτελικῆς φιλοσοφίας ἡμῖν ὑπαντᾷ· ὅτι μὲν οὖν αὐτὸς ὁ θεῖος Νοῦς ὅνπερ τόπον καὶ ὁ ἀνθρωπικὸς νοῦς ἀμέσως ἐπέχει, ἥ τε ἀνθρώπου νόησις οὕτω ταὐτὸν καθίσταται τῇ θείᾳ νοήσει, τοιοῦτόν τι ἀδύνατόν φημι τὸν Ἀριστοτέλη ποτὲ δοξάσαι· καὶ γὰρ ὁ ἐνί γε ἑκάστῳ τῶν ἀνθρώπων ἐνυπάρχων νοῦς ἐν χρόνῳ ἐστὶ τελειούμενος, ἡ δὲ τοῦ θείου νοῦ οὐσία πάσης τελειώσεως καὶ μεταβολῆς ὑπερτέρα φαίνεται. Ἵνα δὲ τὴν δυςχέρειαν ταύτην ἐκ μέσου ἄρῃ, δισσόν τινα τὸν ἐν τῷ ἀνθρώπῳ νοῦν ὑποτίθεται, τὸν μὲν πεπερασμένον καὶ φθαρτόν, τὸν ἐνί γ' ἑκάστῳ ἀνθρώπῳ προςιδιάζοντα, ἅμ' αὐτῷ γιγνόμενόν τε καὶ θνήσκοντα· τὸν δ' αὖ ἀίδιον, τοῦ σώματος χωριστὸν τῷ τε θείῳ νῷ τὸν αὐτὸν ὄντα. Καὶ τὸν μὲν θνητὸν καὶ νοῦν παθητικὸν προςείρηκε, τὸν δ' ἀίδιον καὶ νοῦν ποιη-

τικόν. οὗτος δὴ ὁ ποιητικός ἐστιν ὁ ἁπλῶς καὶ τῷ ὄντι νοῦς, ὁ ὡς ἀληθῶς ἐνεργείᾳ ὤν· ὁ δὲ παθητικὸς ὀφείλει πρότερον ἀπὸ τοῦ δυνάμει εἶναι εἰς τὸ ἐνεργείᾳ τελειωθῆναι· ἐπεὶ δὲ πᾶν τὸ δυνάμει εἶναι ἐνεργείᾳ γίγνεται μόνον ὑπό τινος ἐνεργείᾳ πρότερον ὑπάρχοντος, δῆλον ὅτι νοῦ τοῦ ποιητικοῦ ἐστι πάντως χρῄζων ὁ παθητικός. τοῦτο δὲ τὸ ἐξ ἀρχῆς δυνάμει εἶναι τοῦ ἀνθρωπικοῦ νοῦ βουλόμενος ὁ Ἀριστοτέλης σαφὲς καταστῆσαι, πρὸς ἄγραφον παραβάλλει πινάκιον, ὅπερ δυνάμει μὲν βιβλίον ἐστὶν, ἐνεργείᾳ μέντοι οὔπω· «ὁ νοῦς (δηλονότι ὁ παθητικὸς, φησὶν) ὥςπερ γραμματεῖον ἐν ᾧ μηδὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον» (ιθʹ.). τοιοῦτός τις ἄρα ἐννοιῶν ἀπλήρωτος τόπος ἐστὶν ὁ παθητικὸς νοῦς, ἔς τ' ἂν ὑπὸ τοῦ ἐνεργείᾳ νοῦ τοιοῦτος γένηται, οἷός περ τέως δυνάμει ἦν. ἀπαράλλακτα ἄρα νοῦς ὁ ποιητικὸς κοινωνεῖ τῷ παθητικῷ, ὅπως καὶ τὸ πρῶτον κινοῦν τῷ κόσμῳ, κηδόμενος. ἄμφω δ' οὐδέποτε οὐδαμῶς ἓν καὶ ταὐτὸν γένοιτ' ἄν. Ἀλλ' ἅμα οὐδ' εὐχερές ἐςι συνιδεῖν ὅπως ποτὲ ἔχοι τις ἂν τὸ ἑνιαῖον τοῦ ψυχικοῦ βίου τῷ δόγματι τούτῳ συμβιβάσαι. ἑνὶ δὲ λόγῳ ὁμολογητέον ὅτι τοῦτο τὸ μέρος ἡ Ἀριστοτελικὴ φιλοσοφία καὶ ἐν ᾧγε μάλιστα τὸν ὁρισμὸν τοῦ παθητικοῦ νοῦ βούλεται ἀποδοῦναι σκοτεινότητος καὶ ἀσαφείας οὐχ ὑπερτέρα ἐλέγχεται (κʹ.).

(ιθʹ.) Ἐν τῷ περὶ ψυχῆς Γ, δʹ.—

(κʹ.) Οὐ γάρ ἐστι σαφῶς συνιδεῖν ὅπως ποτὲ τὸν παθητικὸν νοῦν πρὸς τὰς τῆς ψυχῆς δυνάμεις ἔχειν νοητέον. ὁτὲ μὲν γὰρ διακρίνει αὐτὸν ὁ Ἀριστοτέλης τῶν λοιπῶν τῆς ψυχῆς μορίων, ὁτὲ δὲ προςεπινέμει αὐτὸν τῷ θνητῷ ἐκείνης μέρει. ὁ δὲ Τρενδελεμβοῦργος εἰς τὸ περὶ ψυχῆς (σ. υϟγʹ.) ἐξηγεῖται τὸν παθητικὸν νοῦν ὡς τὸ σύνολον τῶν ὑποδεεστέρων τῆς ψυχῆς δυνάμεων ἐν σχέσει ὂν πρὸς τὸν ἐνεργείᾳ νοῦν ἤτοι τὸν ποιητικόν.

§ λή'. Περὶ τῆς κατ' Ἀριστοτέλη ἠθικῆς.

Περὶ μὲν οὖν τοῦ ἀνθρώπου, ὡς αἰσθήσεις τε ἅμα καὶ νοῦν ἔχοντος, τεθεώρηται ἤδη, ὡς εἰκὸς ἐν τῇ περὶ φύσεως πραγματείᾳ. ὅπως δὲ ταύτην τὴν ἑαυτοῦ φύσιν ἐν τῷ βίῳ ἐκφαίνει καὶ τῷ ἔξω κόσμῳ, ὡς ἔπος εἰπεῖν, ἐνεργάζεται, ἤτοι ἐν πράξεσιν ἀντιπαρίστησι, τούτου πέρι τὰ δέοντα διαλαβεῖν τῆς πρακτικῆς ἐστι φιλοσοφίας ἔργον. καὶ ταύτης αὖ ἡ μὲν ἠθικὴ πραγματεία διδάσκει ὅπως ἐν τῷ ἰδίᾳ ἠθικῷ βίῳ χρὴ τὸν ἄνθρωπον τὴν ἑαυτοῦ φύσιν ἔργῳ δηλοῦν, ἡ δὲ πολιτικὴ ὅπως ἐν ἠθικῇ ἀνθρώπων κοινωνίᾳ. Ἐπισκεπτέον δὲ μάλιστά ἐστιν ἐν τῇ ἠθικῇ πραγματείᾳ τὰ τρία ταῦτα· ὅ,τι ποτὲ τὸ ἠθικῶς πράσσειν ἐστὶν, ὅ,τι δὲ τὸ ἀγαθὸν τὸ ἀκρότατον καὶ τέλος περὶ τῆς ἀρετῆς, ἥτις αὖ ἡ ἀρετή ἐστι, κατ' οὐσίαν.

α'. Ὅ,τι ποτὲ τὸ ἠθικῶς πράσσειν ἐστίν.

Πᾶσα πρᾶξις ἠθικὴ ἐκ δυοῖν τινων πάντως ὁρμᾶται, ἔκ τε τῆς φυσικῆς ὁρμῆς καὶ τῆς λογικῆς συνέσεως. ἑκάστῳ γὰρ τῶν ἀνθρώπων φυσικαί τινες ἕξεις ἐνοικοῦσιν, ὁρμαὶ καὶ κλίσεις, αἵπερ εἰς πράξεις αὐτὸν παρορμῶσι καὶ τὴν ὅλην ἐνέργειαν αὐτοῦ διορίζουσιν. ταύτας μέντοι τὰς φυσικὰς ὁρμὰς οὐδείς πω ἠθικὰς ἀρετὰς ὀρθῶς ἂν προσαγορεύοι. τῶν γὰρ τοιούτων καὶ τὰ παιδία μετέχει καὶ αὐτὰ τὰ ζῷα τὰ ἄλογα, ἐπιθυμιῶν, λέγω, καὶ φόβων καὶ ὀργῆς καὶ συμπαθείας καὶ αἰδοῦς. μάλιστα δὲ ἐὰν ὑπερβολικαί τε καὶ ἀτημέλητοι ἀφεθῶσι, γένοιντ' ἂν τέλος αἱ αὐταὶ καὶ κακίαι. Ἀλλ' οὐδὲν ἧσσόν εἰσιν ἐν αὐταῖς αἱ ἰδιότητες αἱ ἠθικαὶ τρόπον τινὰ

προϋπάρχουσαι· ἀρεταὶ γὰρ φυσικαί εἰσιν αἵπερ φρονήσεώς ποτε ἰσχυσάσης, ἀρεταὶ κύριαι καθίστανται. ['Ηθ. Νικ. Ζ, ιγ'.]· τὸ ἠθικῶς ἄρα πράσσειν σύνθετον ἀναπέφανται ὂν ἔκ τε φυσικῆς ἀρετῆς καὶ ἐκ φρονήσεως ἢ νοῦ ἢ λόγου· καὶ δῆλον δ' ὅτι νοῦς ἐστιν ὁ πᾶσαν πρᾶξιν ἠθικὴν ἀπεργαζόμενος· καὶ γὰρ πᾶσα πρᾶξις εἰκότως ἂν ἠθικὴ λογίζοιτο, οὐχ ὅταν ἐξ ὁρμῆς τινος καὶ πάθους γίγνηται, ἀλλ' ὅταν ἐκ φρονήσεώς τε καὶ μετὰ λόγου. «Διόπερ τινές φασι πάσας τὰς ἀρετὰς φρονήσεις εἶναι, καὶ Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει, τῇ δ' ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετὰς ἡμάρτανεν, ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγεν. σημεῖον δέ· καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετὴν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἅ ἐστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν. ἐοίκασι δὴ μαντεύεσθαί πως ἅπαντες ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κατὰ τὴν φρόνησιν. δεῖ δὲ μικρὸν μεταβῆναι· οὐ γὰρ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις ἀρετή ἐστιν. ὀρθὸς δὲ λόγος περὶ τοιούτων ἡ φρόνησίς ἐστιν. Σωκράτης μὲν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι (ἐπιστήμας γὰρ εἶναι πάσας), ἡμεῖς δὲ μετὰ λόγου.» Μόνος γὰρ ὁ θεωρητικὸς νοῦς ἤτοι ὁ λόγος οὐδεμιᾶς εὐμοιρεῖ δυνάμεως οἵας τε οὔσης ἡμᾶς εἰς ἐνέργειαν κινῆσαι, κρίνει δὲ μόνον καὶ συλλογίζεται. ὄρεξις δέ ἐστιν τὸ εἰς ἔργα ἡμᾶς ἐξοτρῦνον καὶ ἡ εἰς ἓν σύνοδος ἀμφοῖν τούτοιν τῆς τε ὀρέξεως καὶ τῆς φρονήσεως, ἡ διανοητικὴ, ὡς αὐτός φησιν, ἢ ὀρθὴ ὄρεξις τὴν ἠθικὴν ἀρετὴν ἀπεργάζεται. ['Ηθ. Νικ. Ζ, β'.]. Σωκράτης οὖν βέλτιον μὲν τῶν ἄλλων περὶ τῶν ἀρετῶν εἴρηκεν, «οὐκ ὀρθῶς δ' οὐδ' οὗτος· τὰς

γὰρ ἀρετὰς (ὥσπερ καὶ ἔναγχος ἐλέχθη) ἐπιστήμας ἐποίει, τοῦτο δ' ἐστὶν ἀδύνατον. συμβαίνει γὰρ αὐτῷ ἐπιστήμας ποιοῦντι τὰς ἀρετὰς ἀναιρεῖν τὸ ἄλογον μέρος τῆς ψυχῆς, τοῦτο δὲ ποιῶν ἀναιρεῖ καὶ πάθος καὶ ἦθος· διὸ οὐκ ὀρθῶς ἥψατο ταύτῃ τῶν ἀρετῶν» (α΄.).

Ἔτι δὲ ἀμφότεραι αἱ αἰτίαι πάσης πράξεως ἠθικῆς, ὁρμή τε ἡ φυσικὴ καὶ φρόνησις συναπεργάζονται μὲν αὐτὸ τοῦτο τὰς ἰδίᾳ ἠθικὰς πράξεις, οὐ μέντοι οἷαί τε εἰσι καὶ τὸν ἠθικὸν χαρακτῆρα συντελέσαι· δέον γὰρ καὶ τρίτον τι παραλαβεῖν τὴν ἄσκησιν ἢ τὸ ἔθος εἴπερ ἡ ἠθικὴ ἀρετὴ ὡς ἰδιότης τῆς βουλήσεως ἀχώριστος ἤτοι ὡς ἕξις καί, ὥς γ' εἰπεῖν, δευτέρα φύσις μέλλει ἔσεσθαι. τοῦτο δὲ οὐ μόνῳ τῷ εἰδέναι κατορθοῦται, ἀλλὰ συνεχὴς πρᾶξις ἠθικὴ τοιαύτην συνήθειαν καὶ ἕξιν παρασκευάζει, δι' ἧς πᾶν ἔργον ἀγαθὸν οὐκέτι ἀπόῤῥοια προςκαίρου καὶ ἐκ τοῦ παραχρῆμα, ἀλλὰ παραμονίμου ἐστὶ βουλήσεως, ἥτις ἐστὶν ὁ ἠθικὸς λεγόμενος χαρακτήρ. κἀντεῦθεν ἄρα δῆλον ὅτι Σωκράτης οὐκ ὀρθῶς πάνυ τὴν ἀρετὴν πᾶσαν τῷ εἰδέναι ἀνατίθησι· καὶ γὰρ ἐνδέχεταί τινα τὸν καθόλου ἠθικὸν νόμον εὖ μάλα εἰδότα, ἥσσονα μέντοι τῶν διὰ τοῦ σώματος ἡδονῶν ὄντα, ἀδυνατεῖν αὐτῷ ἀκολουθεῖν δι' ἠθικὴν ἀσθένειαν ἐν τοῖς καθ' ἕκαστον ἔργοις. [Ἠθ. Νικ. Ζ, ε΄.]. ὥστ' εἴτις τὰ ἐξ ὧν γε ἡ ἠθικὴ ἀρετὴ τελειοῦται ἅμα λαβεῖν ἐθέλει, λεγέτω τὰ τρία ταῦτα φύσιν, ἔθος, λόγον (β΄.).

(α΄.) Ἠθ. μεγ. Α, α΄.

(β΄.) Πολιτ. Ζ, ιβ΄. (ιγ΄ βκκ.) «ἀλλὰ μὴν ἀγαθοὶ καὶ σπουδαῖοι γίνονται διὰ τριῶν· τὰ τρία δὲ ταῦτά ἐστι φύσις, ἔθος, λόγος.»

Περὶ τοῦ ἄκρου ἀγαθοῦ.

Ἕν τε ἕκαστον τῶν ἀνθρωπείων ἔργων καὶ πάντα ὡς ἐν συνόλῳ λαμβανόμενα πρός τινα σκοπὸν ἔσχατον ἀεὶ τείνει. ἔστι δ'οὗτος τὸ ἄκρον ἀγαθὸν προςαγορευόμενον. ζητητέον δὲ πρῶτον ἐνταῦθα τί ποτε πρὸς τὸν ἄνθρωπον τοῦτο τὸ ἐφετὸν καὶ ἄκρον ἀγαθόν ἐστι. κατὰ μὲν οὖν τὸ ὄνομα πάντες ὁμοφωνοῦσιν, ἀγαθὸν αὐτὸ καὶ εὐδαιμονίαν ἀποκαλοῦντες. ἀλλὰ περὶ τοῦ τίς ποτ᾽ ἐστὶν αὕτη ἡ εὐδαιμονία, τούτου πέρι οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ φιλοσοφοῦντες. Ἴσως δ' ἄν τις ὀρθῶς ὁρίσαιτο ὧδέ πως εἰπών· ἐπεὶ ὁ ἄνθρωπος φύσει πρακτικόν ἐστιν, ἀγαθὸν ἄρα καὶ εὐδαιμονία ἡ κατ᾽ ἄνθρωπον, ἤτοι τὸ βέλτιστον οὗ περ ἄν τις μάλιστα, ὅσα γε τἀνθρώπεια, ἐξικέσθαι δύναιτο, τὸ καλῶς ἐπιτυγχάνειν ἐστὶν οὗ γε ἕνεκα καὶ δεδημιούργηται, ἤτοι τὸ τὰ τῆς οἰκείας φύσεως ἔργα ὡς ἐντελέστατ᾽ ἐπιτελεῖν. Ἀλλὰ γὰρ τίποτ᾽ ἐστὶ τοῦτο τὸ ἴδιον ἔ ρ γ ο ν τ ο ῦ ἀ ν θ ρ ώ π ο υ; μὴ ἄρα ἡ θρέψις; οὔ· ταύτης γὰρ καὶ τὰ φυτὰ συμμετέχει. τὶ δέ; ἡ αἴσθησις; Οὐδ' ἡ αἴσθησις· καὶ γὰρ ταύτης συμμετέχει καὶ τὰ ζῷα. οὐδὲν ἄρα ἄλλ᾽ ἐστὶ τὸ ἰδιάζον ἀνθρώπῳ ἔργον ἢ «ψ υ-χ ῆ ς ἐ ν έ ρ γ ε ι α κ α τ ὰ λ ό γ ο ν ἢ μ ὴ ἄ ν ε υ λ ό-γ ο υ.» Ἐκ τῶν πρόσθεν οὖν ῥηθέντων συνάγεται ὅτι εὐπραγία τε καὶ εὐδαιμονία ἡ κατ᾽ ἄνθρωπον ἐν τῷ εὐστόχως ἐστὶ τὰ οἰκεῖα ἐπιτελεῖν ἔργα ἢ ἐν τῷ τὴν μετὰ λόγου τῆς ψυχῆς ἐνέργειαν εὖ καὶ λυσιτελούντως ἀποβαίνειν. ἀλλ' ὁ οὕτως ἀποδοθεὶς τοῦ πράγματος ὁρισμὸς οὔπω ἐντελής. καὶ γὰρ ἀπαιτηθέντος τοῦ τὴν μετὰ λόγου τῆς ψυχῆς ἐνέργειαν εὖ ἑκάστοτ᾽ ἀποβαίνειν, φανερὸν ὅτι καὶ τελειότης τις ἢ ἀρετὴ περὶ τὴν τοιαύ-

τὴν ἐνέργειαν προϋποτίθεται· ὥστε εἴη ἂν ὁ τῆς εὐδαιμονίας ἢ τοῦ ἄκρου ἀγαθοῦ ὁρισμὸς ὁλοσχερὴς «ψυχῆς ἐνέργεια κατ' ἀρετὴν» λεγόμενος. [Ἠθ. Νικ. Α, α'—ζ'. Κ, ζ'.—Πολιτ. Δ, θ'.].

Ἀλλ' οὐχ οὕτω μονομερῶς καὶ κατ' ἐνδιάθεσιν ὁ Ἀριστοτέλης τὴν εὐδαιμονίαν ἐκλαμβάνει ὥστε καὶ ὅσαπερ ἀγαθὰ οὐκ ἐκ τῆς ἠθικῆς τοῦ ἀνθρώπου ἐνεργείας ἐκβλαστάνει, ἀλλὰ φύσει τε μόνον καὶ τύχῃ τινὶ παραγίγνεται, πάντα τῆς εὐδαιμονίας ἀποκλείειν. οὐδ' εἰς τοῦτο πραγματείας ἰδανικῆς ἐλήλυθεν, ὥστε μόνην τὴν τῆς ἀρετῆς κτῆσιν αὐτάρκη πρὸς εὐδαιμονίαν εἶναι οἰόμενος, τὰ οὐκ ἐφ' ἡμῖν πάντα, ἀγαθὰ ἢ κακὰ πάντῃ ἀδιάφορα ἀποφαίνεσθαι, ὥςπερ τοὺς Στωϊκοὺς τοῦτο πεποιηκότας πάντες που ἴσμεν,πολλῷ δὲ μᾶλλον διατείνεται ὅτι πρὸς τελείαν εὐδαιμονίαν, οἷον δὴ ἐνέργειαν ἀρίστην τε οὖσαν καὶ ἀνεμπόδιστον (γ'.), σωματικῶν τε καὶ ἄλλων ἔξωθεν ἀγαθῶν προσδεῖ, τὴν τοῦ ἀνθρώπου ἐνέργειαν ὑποθαλπόντων τε καὶ προαγόντων· ἔστι δὲ ταῦτα μακροχρόνιος βίος, ὑγίεια, κάλλος, πλοῦτος, εὐγένεια, εὐτεκνία καὶ ἀγαθῶν φίλων κτῆσις. καὶ οὐχ ὅτι τὰ ἀγαθὰ ταῦτα ὡς τὰ ὧν οὐκ ἄνευ πρὸς εὐδαιμονίαν ἁπλῶς λογίζεται, ἀλλ' ὡς εἰς τελείαν ἀνθρώπῳ εὐδαιμονίαν οὐκ ὀλίγον συμβαλλόμενα· ἀρωγὰ γὰρ καὶ συντελεστικὰ πρὸς τὴν ἀνεμπόδιστον καὶ ἀρίστην ἐνέργειαν τυγχάνει ὄντα. καὶ βαρεῖαν δὲ συμφορὰν ὡς θροοῦσαν καὶ περικείρουσαν τὸ μακάριον ἡγεῖται· οὐδεὶς γὰρ ἂν

(γ'.) Ἠθ. Νικ. Α, θ'. ι'. Κ, θ'.— Πολιτ. Δ, Θ', β'. «ὁ εὐδαίμων βίος ὁ κατ' ἀρετὴν ἀνεμπόδιστος.»

εὐδαίμων κληθείη Πριαμικαῖς περιπεσὼν συμφοραῖς· (δ'.) οὐδ' αὖ ἄθλιον δύναιτ' ἂν τὰ ἔξωθεν κακὰ καταστῆσαι τὸν κατ' ἀρετὴν τὸν βίον διάγοντα καὶ δὴ καὶ δύναμιν ἔχοντα ἀνδρείως τε καὶ ἀσαλεύτως πρὸς αὐτὰ ἀντιπαλαίειν τῶν τε ἑκάστοτ' ἐνδεχομένων τὰ ἄριστα ἀεὶ προαιρούμενον διαπράσσεσθαι. Ἄξιον δ' ἡγοῦμαι τοὺς λόγους αὐτοῦ τοῦ φιλοσόφου ἐνταῦθα παραθέσθαι. « Νενεμημένων δὴ τῶν ἀγαθῶν τριχῇ, καὶ τῶν μὲν ἐκτὸς λεγομένων, τῶν δὲ περὶ ψυχὴν καὶ σῶμα, τὰ περὶ ψυχὴν κυριώτατα λέγομεν καὶ μάλιστα ἀγαθά. τὰς δὲ πράξεις καὶ τὰς ἐνεργείας τὰς ψυχικὰς περὶ ψυχὴν τίθεμεν. ὥςε καλῶς ἂν λέγοιτο κατά γε ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν φιλοσοφούντων. ὀρθῶς δὲ καὶ ὅτι πράξεις τινὲς λέγονται καὶ ἐνέργειαι τὸ τέλος· οὕτω γὰρ τῶν περὶ ψυχὴν ἀγαθῶν γίνεται, καὶ οὐ τῶν ἐκτός. συνᾴδει δὲ τῷ λόγῳ καὶ τὸ εὖ ζῆν καὶ τὸ εὖ πράττειν τὸν εὐδαίμονα· σχεδὸν γὰρ εὐζωία τις εἴρηται καὶ εὐπραξία. φαίνεται δὲ καὶ τὰ ἐπιζητούμενα περὶ τὴν εὐδαιμονίαν ἅπανθ' ὑπάρχειν τῷ λεχθέντι. τοῖς μὲν γὰρ ἀρετή, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις εἶναι δοκεῖ, τοῖς δὲ ταῦτα ἢ τούτων τι μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς· ἕτεροι δὲ καὶ τὴν ἐκτὸς εὐετηρίαν συμπαραλαμβάνουσιν. τούτων δὲ τὰ μὲν πολλοὶ καὶ παλαιοὶ λέγουσιν, τὰ δὲ ὀλίγοι καὶ ἔνδοξοι ἄνδρες· οὐδετέρους δὲ τούτων εὔλογον διαμαρτάνειν τοῖς ὅλοις, ἀλλ' ἕν γέ τι ἢ καὶ τὰ πλεῖστα κατορθοῦν. τοῖς μὲν οὖν λέγουσι τὴν ἀρετὴν ἢ

(δ'.) Ἠθ. Νικ. Α, ια'. «ἄθλιος μὲν οὔ, οὐ μὴν μακάριός γε, ἂν Πριαμικαῖς τύχαις περιπέσῃ.»

ἀρετήν τινα συνῳδός ἐστιν ὁ λόγος· ταύτης γάρ ἐστιν ἡ κατ' αὐτὴν ἐνέργεια. διαφέρει δὲ ἴσως οὐ μικρὸν ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ. τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται μηδὲν ἀγαθὸν ἀποτελεῖν ὑπάρχουσαν, οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι, τὴν δ' ἐνέργειαν οὐχ οἷόν τε· πράξει γὰρ ἐξ ἀνάγκης, καὶ εὖ πράξει. ὥςπερ δ' Ὀλυμπίασιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται, ἀλλ' οἱ ἀγωνιζόμενοι (τούτων γάρ τινες νικῶσιν), οὕτω καὶ τῶν ἐν τῷ βίῳ καλῶν κἀγαθῶν οἱ πράττοντες ὀρθῶς ἐπήβολοι γίγνονται. ἔστι δὲ καὶ ὁ βίος αὐτῶν καθ' αὑτὸν ἡδύς. τὸ μὲν γὰρ ἥδεσθαι τῶν ψυχικῶν, ἑκάστῳ δ' ἐςὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος, οἷον ἵππος μὲν τῷ φιλίππῳ, θέαμα δὲ τῷ φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ καὶ ὅλως τὰ κατ' ἀρετὴν τῷ φιλαρέτῳ. τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα μάχεται διὰ τὸ μὴ φύσει τοιαῦτ' εἶναι, τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα. τοιαῦται δ' αἱ κατ' ἀρετὴν πράξεις, ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι καὶ καθ' αὑτάς. οὐδὲν δὴ προςδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν, ὥπερ περιάπτου τινός, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. πρὸς τοῖς εἰρημένοις γὰρ οὐδ' ἐστὶν ἀγαθὸς ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν· οὔτε γὰρ δίκαιον οὐδεὶς ἂν εἴποι τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν, οὔτ' ἐλευθέριον τὸν μὴ χαίροντα ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰδ' οὕτω, καθ' αὑτὰς ἂν εἶεν αἱ κατ' ἀρετὴν πράξεις ἡδεῖαι. ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί, καὶ μάλιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος· κρίνει δ' ὡς εἴπομεν. ἄριστον ἄρα καὶ κάλλι-

στον καὶ ἥδιστον ἡ εὐδαιμονία, καὶ οὐ διώρισται ταῦτα κατὰ τὸ Δηλιακὸν ἐπίγραμμα·

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν
ἥδιστον δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν.

ἅπαντα γὰρ ὑπάρχει ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις. ταύτας δὲ, ἢ μίαν τούτων τὴν ἀρίστην, φαμὲν εἶναι τὴν εὐδαιμονίαν. φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προςδεομένη, καθάπερ εἴπομεν· ἀδύνατον γὰρ ἢ οὐ ῥᾴδιον τὰ καλὰ πράττειν ἀχορήγητον ὄντα. πολλὰ μὲν γὰρ πράττεται, καθάπερ δι' ὀργάνων, διὰ φίλων καὶ πλούτου καὶ πολιτικῆς δυνάμεως· ἐνίων δὲ τητώμενοι ῥυπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης ἢ δυςγενὴς ἢ μονώτης καὶ ἄτεκνος, ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν ἢ φίλοι, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσιν. καθάπερ οὖν εἴπομεν, ἔοικε προςδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας· ὅθεν εἰς ταὐτὸ τάττουσιν ἔνιοι τὴν εὐτυχίαν τῇ εὐδαιμονίᾳ, ἕτεροι δὲ τὴν ἀρετήν. ὅθεν καὶ ἀπορεῖται πότερόν ἐστι μαθητὸν ἢ ἐθιστὸν ἢ ἄλλως πως ἀσκητὸν, ἢ κατά τινα θείαν μοῖραν ἢ καὶ διὰ τύχην παραγίνεται. εἰ μὲν οὖν καὶ ἄλλο τί ἐστι θεῶν δώρημα ἀνθρώποις, εὔλογον καὶ τὴν εὐδαιμονίαν θεόσδοτον εἶναι, καὶ μάλιστα τῶν ἀνθρωπίνων ὅσῳ βέλτιστον. Ἀλλὰ τοῦτο μὲν ἴσως ἄλλης ἂν εἴη σκέψεως οἰκειότερον, φαίνεται δὲ κἂν εἰ μὴ θεόπεμπτός ἐστιν, ἀλλὰ δι' ἀρετὴν καί τινα μάθησιν ἢ ἄσκησιν παραγίνεται, τῶν θειοτάτων εἶναι· τὸ γὰρ τῆς ἀρετῆς ἆθλον καὶ τέλος ἄριστον εἶναι φαίνεται καὶ θεῖόν τι καὶ μακάριον. εἴη δ' ἂν καὶ πολύκοινον· δυνατὸν γὰρ ὑπάρξαι πᾶσι τοῖς μὴ πε-

πηρωμένοις πρὸς ἀρετὴν διά τινος μαθήσεως καὶ ἐπιμελείας. εἰ δ' ἐστὶν οὕτω βέλτιον ἢ διὰ τύχην εὐδαιμονεῖν, εὔλογον ἔχειν οὕτως, εἴπερ τὰ κατὰ φύσιν, ὡς οἷόν τε κάλλιστα ἔχειν οὕτω πέφυκεν. ὁμοίως δὲ καὶ τὰ κατὰ τέχνην καὶ πᾶσαν αἰτίαν, καὶ μάλιστα κατὰ τὴν ἀρίστην. τὸ δὲ μέγιστον καὶ κάλλιστον ἐπιτρέψαι τύχῃ λίαν πλημμελὲς ἂν εἴη. συμφανὲς δ' ἐστὶ καὶ ἐκ τοῦ λόγου τὸ ζητούμενον· εἴρηται γὰρ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ποιά τις. τῶν δὲ λοιπῶν ἀγαθῶν τὰ μὲν ὑπάρχειν ἀναγκαῖον, τὰ δὲ συνεργὰ καὶ χρήσιμα πέφυκεν ὀργανικῶς. ὁμολογούμενα δὲ ταῦτ' ἂν εἴη καὶ τοῖς ἐν ἀρχῇ· τὸ γὰρ τῆς πολιτικῆς τέλος ἄριστον ἐτίθεμεν, αὕτη δὲ πλείστην ἐπιμέλειαν ποιεῖται τοῦ ποιούς τινας καὶ ἀγαθοὺς τοὺς πολίτας ποιῆσαι καὶ πρακτικοὺς τῶν καλῶν. εἰκότως οὖν οὔτε βοῦν οὔτε ἵππον οὔτ' ἄλλο τῶν ζῴων οὐδὲν εὔδαιμον λέγομεν· οὐδὲν γὰρ αὐτῶν οἷόν τε κοινωνῆσαι τοιαύτης ἐνεργείας. διὰ ταύτην δὲ τὴν αἰτίαν οὐδὲ παῖς εὐδαίμων ἐστίν· οὔ πω γὰρ πρακτικὸς τῶν τοιούτων διὰ τὴν ἡλικίαν· οἱ δὲ λεγόμενοι διὰ τὴν ἐλπίδα μακαρίζονται. δεῖ γάρ, ὥσπερ εἴπομεν, καὶ ἀρετῆς τελείας καὶ βίου τελείου. πολλαὶ γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον, καὶ ἐνδέχεται τὸν μάλιστ' εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς ἡρωϊκοῖς περὶ **Πριάμου** μυθεύεται· τὸν δὲ τοιαύταις χρησάμενον τύχαις καὶ τελευτήσαντα ἀθλίως οὐδεὶς εὐδαιμονίζει. πότερον οὖν οὐδ' ἄλλον οὐδένα ἀνθρώπων εὐδαιμονιστέον ἕως ἂν ζῇ, κατὰ Σόλωνα δὲ χρεὼν τέλος ὁρᾶν; εἰ δὲ δὴ καὶ θετέον οὕτως, ἆρά γε καὶ ἔστιν εὐδαίμων τότε ἐπειδὰν ἀποθάνῃ; ἢ τοῦτό γε παντελῶς ἄτοπον, ἄλλως τε καὶ τοῖς λέ-

γουσιν ἡμῖν ἐνέργειάν τινα τὴν εὐδαιμονίαν; εἰδὲ μὴ λέγομεν τὸν τεθνεῶτα εὐδαίμονα, μηδὲ Σόλων τοῦτο βούλεται, ἀλλ' ὅτι τηνικαῦτα ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον ὡς ἐκτὸς ἤδη τῶν κακῶν ὄντα καὶ τῶν δυστυχημάτων, ἔχει μὲν καὶ τοῦτ' ἀμφισβήτησίν τινα· δοκεῖ γὰρ εἶναί τι τῷ τεθνεῶτι καὶ κακὸν καὶ ἀγαθόν, εἴπερ καὶ τῷ ζῶντι μὴ αἰσθανομένῳ δέ, οἷον τιμαὶ καὶ ἀτιμίαι καὶ τέκνων καὶ ὅλως ἀπογόνων εὐπραξίαι τε καὶ δυστυχίαι. ἀπορίαν δὲ καὶ ταῦτα παρέχει· τῷ γὰρ μακαρίως βεβιωκότι μέχρι γήρως καὶ τελευτήσαντι κατὰ λόγον ἐνδέχεται πολλὰς μεταβολὰς συμβαίνειν περὶ τοὺς ἐκγόνους, καὶ τοὺς μὲν αὐτῶν ἀγαθοὺς εἶναι καὶ τυχεῖν βίου τοῦ κατ' ἀξίαν, τοὺς δ' ἐξεναντίας. δῆλον δ' ὅτι καὶ τοῖς ἀποστήμασι πρὸς τοὺς γονεῖς παντοδαπῶς ἔχειν αὐτοὺς ἐνδέχεται. ἄτοπον δὴ γίνοιτ' ἄν, εἰ συμμεταβάλλοι καὶ ὁ τεθνεὼς καὶ γίνοιτο ὁτὲ μὲν εὐδαίμων, πάλιν δ' ἄθλιος. ἄτοπον δὲ καὶ τὸ μηδὲν μηδ' ἐπί τινα χρόνον συνικνεῖσθαι τὰ τῶν ἐκγόνων τοῖς γονεῦσιν. ἀλλ' ἐπανιτέον ἐπὶ τὸ πρότερον ἀπορηθέν· τάχα γὰρ ἂν θεωρηθείη καὶ τὸ νῦν ἐπιζητούμενον ἐξ ἐκείνου· εἰ δὴ τὸ τέλος ὁρᾷν δεῖ καὶ τότε μακαρίζειν ἕκαστον οὐχ ὡς ὄντα μακάριον, ἀλλ' ὅτι πρότερον ἦν, πῶς οὐκ ἄτοπον, εἰ ὅτ' ἐστὶν εὐδαίμων, μὴ ἀληθεύσεται κατ' αὐτοῦ τὸ ὑπάρχον διὰ τὸ μὴ βούλεσθαι τοὺς ζῶντας εὐδαιμονίζειν διὰ τὰς μεταβολάς, καὶ διὰ τὸ μόνιμόν τι τὴν εὐδαιμονίαν ὑπειληφέναι καὶ μηδαμῶς εὐμετάβολον, τὰς δὲ τύχας πολλάκις ἀνακυκλεῖσθαι περὶ τοὺς αὐτούς; δῆλον γὰρ ὡς εἰ συνακολουθοίημεν ταῖς τύχαις, τὸν αὐτὸν εὐδαίμονα καὶ πάλιν ἄθλιον ἐροῦμεν πολλάκις, χαμαιλέοντά τινα τὸν εὐδαίμονα ἀποφαίνοντες καὶ σαθρῶς

ἱδρυμένον· ἢ τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν οὐδαμῶς ὀρθόν· οὐ γὰρ ἐν ταύταις τὸ εὖ ἢ κακῶς, ἀλλὰ προσδεῖται τούτων ὁ ἀνθρώπινος βίος, καθάπερ εἴπαμεν, κύριαι δ' εἰσὶν αἱ κατ' ἀρετὴν ἐνέργειαι τῆς εὐδαιμονίας, αἱ δ' ἐναντίαι τοῦ ἐναντίου. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὸ νῦν διαπορηθέν· περὶ οὐδὲν γὰρ οὕτως ὑπάρχει τῶν ἀνθρωπίνων ἔργων βεβαιότης ὡς περὶ τὰς ἐνεργείας τὰς κατ' ἀρετήν· μονιμώτεραι γὰρ καὶ τῶν ἐπιστημῶν αὗται δοκοῦσιν εἶναι. τούτων δ' αὐτῶν αἱ τιμιώταται μονιμώταται διὰ τὸ μάλιστα καὶ συνεχέστατα καταζῆν ἐν αὐταῖς τοὺς μακαρίους· τοῦτο γὰρ ἔοικεν αἰτίῳ τοῦ μὴ γίγνεσθαι περὶ αὐτὰ λήθην. ὑπάρξει δὴ τὸ ζητούμενον τῷ εὐδαίμονι, καὶ ἔσται διὰ βίου τοιοῦτος· ἀεὶ γὰρ ἢ μάλιστα πάντων πράξει καὶ θεωρήσει τὰ κατ' ἀρετήν, καὶ τὰς τύχας οἴσει κάλλιστα καὶ πάντῃ πάντως ἐμμελῶς ὅγ' ὡς ἀληθῶς ἀγαθὸς καὶ τετράγωνος ἄνευ ψόγου. πολλῶν δὲ γινομένων κατὰ τύχην καὶ διαφερόντων μεγέθει καὶ μικρότητι, τὰ μὲν μικρὰ τῶν εὐτυχημάτων, ὁμοίως δὲ καὶ τῶν ἀντικειμένων, δῆλον ὡς οὐ ποιεῖ ῥοπὴν τῆς ζωῆς, τὰ δὲ μεγάλα καὶ πολλὰ γιγνόμενα μὲν εὖ, μακαριώτερον τὸν βίον ποιήσει (καὶ γὰρ αὐτὰ συνεπικοσμεῖν πέφυκεν, καὶ ἡ χρῆσις αὐτῶν καλὴ καὶ σπουδαία γίγνεται), ἀνάπαλιν δὲ συμβαίνοντα θλίβει καὶ λυμαίνεται τὸ μακάριον· λύπας τε γὰρ ἐπιφέρει καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις. ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλόν, ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, μὴ δι' ἀναλγησίαν, ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος. Εἰ δ' εἰσὶν αἱ ἐνέργειαι κύριαι τῆς ζωῆς, καθάπερ εἴπομεν, οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα.

τὸν γὰρ ὡς ἀληθῶς ἀγαθὸν καὶ ἔμφρονα πάσας οἰόμεθα τὰς τύχας εὐσχημόνως φέρειν καὶ ἐκ τῶν ὑπαρχόντων ἀεὶ τὰ κάλλιστα πράττειν, καθάπερ καὶ στρατηγὸν ἀγαθὸν τῷ παρόντι στρατοπέδῳ χρῆσθαι πολεμικώτατα καὶ σκυτοτόμον ἐκ τῶν δοθέντων σκυτῶν κάλλιστον ὑπόδημα ποιεῖν· τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἄλλους τεχνίτας ἅπαντας. εἰ δ' οὕτως, ἄθλιος μὲν οὐδέποτε γένοιτ' ἂν ὁ εὐδαίμων, οὐ μὴν μακάριός γε, ἂν Πριαμικαῖς τύχαις περιπέσῃ. οὐδὲ δὴ ποικίλος γε καὶ εὐμετάβολος· οὔτε γὰρ ἐκ τῆς εὐδαιμονίας κινηθήσεται ῥᾳδίως, οὐδ' ὑπὸ τῶν τυχόντων ἀτυχημάτων, ἀλλ' ὑπὸ μεγάλων καὶ πολλῶν, ἔκ τε τῶν τοιούτων οὐκ ἂν γένοιτο πάλιν εὐδαίμων ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' εἴπερ, ἐν πολλῷ τινὶ καὶ τελείῳ, μεγάλων καὶ καλῶν ἐν αὐτῷ γενόμενος ἐπήβολος. τί οὖν κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα καὶ τοῖς ἐκτὸς ἀγαθοῖς ἱκανῶς κεχορηγημένον, μὴ τὸν τυχόντα χρόνον ἀλλὰ τέλειον βίον; ἢ προσθετέον καὶ βιωσόμενον οὕτω καὶ τελευτήσοντα κατὰ λόγον, ἐπειδὴ τὸ μέλλον ἀφανὲς ἡμῖν, τὴν εὐδαιμονίαν δὲ τέλος καὶ τέλειον τίθεμεν πάντῃ πάντως. εἰ δ' οὕτω μακαρίους ἐροῦμεν τῶν ζώντων, οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα, μακαρίους δ' ἀνθρώπους. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον διωρίσθω, τὰς δὲ τῶν ἀπογόνων τύχας καὶ τῶν φίλων ἁπάντων τὸ μὲν μηδοτιοῦν συμβάλλεσθαι λίαν ἄφιλον φαίνεται καὶ ταῖς δόξαις ἐναντίον· πολλῶν δὲ καὶ παντοίας ἐχόντων διαφορὰς τῶν συμβαινόντων, καὶ τῶν μὲν μᾶλλον συνικνουμένων τῶν δ' ἧττον, καθ' ἕκαστον μὲν διαιρεῖν μακρὸν καὶ ἀπέραντον φαίνεται, καθόλου δὲ λεχθὲν καὶ τύπῳ τάχ' ἂν ἱκανῶς ἔχοι· εἰ δή, καθάπερ καὶ τῶν περὶ αὐτὸν ἀτυχη-

μάτων τὰ μὲν ἔχει τι βρῖθος καὶ ῥοπὴν πρὸς τὸν βίον, τὰ δ' ἐλαφροτέροις ἔοικεν, οὕτω καὶ τὰ περὶ τοὺς φίλους ὁμοίως ἅπαντας, διαφέρει δὲ τῶν παθῶν ἕκαστον περὶ ζῶντας ἢ τελευτήσαντας συμβαίνειν πολὺ μᾶλλον ἢ τὰ παράνομα καὶ δεινὰ προϋπάρχειν ἐν ταῖς τραγῳδίαις ἢ πράττεσθαι, συλλογιστέον δὴ καὶ ταύτην τὴν διαφορὰν, μᾶλλον δ' ἴσως τὸ διαπορεῖσθαι περὶ τοὺς κεκμηκότας εἴ τινος ἀγαθοῦ κοινωνοῦσιν ἢ τῶν ἀντικειμένων· ἔοικε γὰρ ἐκ τούτων εἰ καὶ διϊκνεῖται πρὸς αὐτοὺς ὁτιοῦν, εἴτ' ἀγαθὸν εἴτε τοὐναντίον, ἀφαυρόν τι καὶ μικρὸν ἢ ἁπλῶς ἢ ἐκείνοις εἶναι, εἰ δὲ μὴ, τοσοῦτόν γε καὶ τοιοῦτον ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας μηδὲ τοὺς ὄντας ἀφαιρεῖσθαι τὸ μακάριον. συμβάλλεσθαι μὲν οὖν τι φαίνονται τοῖς κεκμηκόσιν αἱ εὐπραξίαι τῶν φίλων, ὁμοίως δὲ καὶ αἱ δυςπραξίαι, τοιαῦτα δὲ καὶ τηλικαῦτα ὥστε μήτε τοὺς εὐδαίμονας μὴ εὐδαίμονας ποιεῖν μήτ' ἄλλο τῶν τοιούτων μηδέν.» [ἠθ. Νικ. Α, ή. κεφξ.].

Οὗτοι δὲ οἱ λόγοι περὶ τῆς ἀνθρωπικῆς εὐδαιμονίας μαρτυροῦσιν ἱκανῶς τήν τε σύνεσιν καὶ εὐβουλίαν τοῦ φιλοσόφου, εἰ καὶ τῶν στωϊκῶν τινες ἐμέμψαντο αὐτὸν ὡς εἰςαγαγόντα ἠθικὴν ἀνειμένην καὶ ἧσσον τοῦ δέοντος τὸ ἀνδρῶδες ἔχουσαν. —Ἔτι δὲ περὶ τῶν ἐξωτερικῶν ἀγαθῶν γνώμην ἀποφαίνεται τοιάνδε, ὅτι τὸ μέτριον ἄριστόν ἐστι· τὰ γὰρ τοιαῦτα ἀγαθὰ χρήσιμά ἐστι μόνον πρὸς ἐνέργειαν τὴν κατ' ἀρετὴν, ἥ περ μάλιστα τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν ἀποτελεῖ ἤτοι τὸ κυριώτατον τῶν ἀγαθῶν. ὑπερβολὴ δὲ τῶν ὑπαρχόντων ἀγαθῶν μᾶλλον βλάβην ἢ ὄφελος τῷ ἀνθρώπῳ παρασκευάζει· τὸ γὰρ ἄγαν ἐν τούτοις, εἰ μήτι γε ἄλλο,

ἀλλ' ἀνωφελὲς γοῦν φιλεῖ ἀποβαίνειν· ἐξεναντίας δὲ ἕκαστον τῶν περὶ ψυχὴν ἀγαθῶν, ὅσῳ περ ἂν ὑπερβάλλῃ, τοσούτῳ ὀνησιμώτερόν τε καὶ λυσιτελέστερον ἀποβαίνει. [πολιτ. Η, ά.—ἠθ. Νικ. Α, ή. Κ, θ'].

Πάνυ δὲ καλῶς καὶ εὐλόγως συμβιβάζει ὁ Ἀριστοτέλης τὴν ἡδονὴν τῇ κατ' ἀρετὴν ἐνεργείᾳ. τὴν γὰρ πάλαι ἐν φιλοσόφοις ὑπάρχουσαν ἀμφισβήτησιν, πότερον τὸ ἄκρον ἀγαθὸν ἐν τῇ μετὰ λόγου ἐνεργείᾳ ἐστὶν ἢ ἐν τῇ ἡδονῇ, πειρᾶται διαλῦσαι, τὴν τοιαύτην αἵρεσιν ὅλως ἀναιρῶν· τὴν γὰρ ὡς ἀληθῶς ἡδονὴν καὶ τὴν μετὰ λόγου ἐνέργειαν φύσει ἀλλήλαις συνηρμόσθαι ἀποφαίνεται· καὶ γὰρ τὴν ἡδονὴν ὡς ἀνάγκῃ ἐπακολουθοῦν τέλος πάσῃ κατὰ φύσιν ἐνεργείᾳ, πάσῃ πράξει ἐννόμῳ ἐκλαμβάνει. Φησὶ γάρ· « κατὰ πᾶσαν αἴσθησίν ἐστιν ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δὲ ἡ τελειοτάτη, τελειοτάτη δὲ ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὐτήν. — τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα » (έ). Ἔστιν οὖν ἡ ἡδονὴ αἴσθημα ἀγαπήσεως καὶ θυμηδίας, οὗ περ ὁ ἄνθρωπος ἐν ἑκάστῃ κατά γε τὴν ἑαυτοῦ φύσιν ἐνεργείᾳ (οἷον καὶ ἐν ἑκάστῃ διὰ τῶν αἰσθήσεων καλῶς ἀποβαινούσῃ τῶν ὄντων ἀντιλήψει) καὶ δὴ καὶ ἐν ἑκάστῃ κατ' ἀρετὴν ἐνεργείᾳ αἰσθάνεται· καὶ πρὸς τοῦτο οὐδεμιᾶς ἄλλης ἐπεισάκτου ἡδονῆς προσδεῖται· « αἱ κατ' ἀρετὴν (φησι) πράξεις τοῖς φιλοκάλοις εἰσὶν ἡδεῖαι καθ' αὑτάς. οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν ὥσπερ π ε ρ ι ά π τ ο υ, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν

(έ) ἠθ. Νικομ. Κ; δ'.

ἑαυτῷ » (ς'). ὥστε τὰ ἀγαθὰ ἔργα φύσει τῆς ἡδονῆς ἀχώριστα ὑπάρχει. κατὰ δὴ οὖν τὴν ἔννοιαν ταύτην ἐκλαβόντι τὴν ἡδονὴν συμβήσεται, ὡς εἰκός, περί τε τῶν παντοίων αὐτῆς εἰδῶν ἑκάστοτ' ὀρθῶς κρίνειν καὶ τὰς καλὰς καὶ ἀληθεῖς ἀπὸ τῶν φαύλων καὶ ψευδῶν ἱκανῶς διαστέλλειν. πᾶσα γὰρ ἡδονὴ κατὰ τοσοῦτόν γε ἀξία λόγου ἐστί, καθ' ὅσον περ καὶ ἡ πρᾶξις, ἐξ ἧς ὁρμᾶται σπουδαία ὑπάρχει. Καὶ συνελόντι εἰπεῖν, γενναία καὶ μακαριστὴ οὐδεμία ἄλλη ἡδονὴ ἀξία ἐστὶ κεκλῆσθαι πλὴν ἡ ἐφ' ᾗ γε ὁ καλὸς κἀγαθὸς εὐφραίνεται, ἀγαλλίασίς τις καὶ γῆθος ἐνδοφυές, ὅπερ ἐξ ἔργων καλῶν θάλλει τε καὶ λάμπει. Ἡ δὲ διὰ τοῦ σώματος ἡδονὴ οὐδέποτε τέλος κυριώτατον τοῦ βίου γένοιτ' ἄν, ὡς τῷ ἀλόγῳ καὶ θηριώδει μορίῳ τοῦ ἀνθρώπου προσήκουσα, καὶ ὅλως εἰπεῖν τοσοῦτον ἀνεκτή ἐστιν, ἐφ' ὅσον γε τῆς ἀρετῆς μὴ ἀφίστηται· ὁ δὲ λόγον καὶ φρόνησιν ἔχων στέργει ἤδη καὶ ἱκανὸν ἔχει, ἐὰν μὴ μόνον, ὑπὸ τοῦ σωματοειδοῦς παραλυπούμενος, τῆς καλῆς ἐνεργείας κωλύηται ἤτοι ἐὰν μόνον ἀλυπίας τε καὶ ἀπονίας τῆς κατὰ τὸ σῶμα ἀπολαύῃ (ἠθ. Νικ. Κ, β'. δ'. ε. Ζ, ιγ'. ιδ').

γ'. *Θεωρία περὶ τῆς ἀρετῆς.*

Ἐν μὲν οὖν τοῖς μέχρι τοῦδε λεχθεῖσιν περὶ τῆς κατ' ἀρετὴν πράξεως καθόλου ὁ λόγος ἐγένετο, ὡς περὶ τοῦ ἄκρου ἀγαθοῦ καὶ τοῦ ἐσχάτου τέλους, πρὸς ὃ ὁ ἀνθρωπικὸς βίος τείνει. ζητητέον δὲ νῦν ἐγγύτερον ἐν τίνι ἐστὶ τὸ κατ' ἀρετὴν πράσσειν, ὅπως ἐν τοῖς καθ' ἕκαστα

(ς') ἠθ. Νικ. Α, θ'.

ἔργοις πρακτέον ἐςὶν ἵνα αὐτὸ τοῦτο κατ' ἀρετὴν πάντα πράσσηται; πρὸς ταῦτα ὁ Ἀριστοτέλης ὧδέ πως λέγει· περὶ πᾶν πάθος καὶ πᾶσαν πρᾶξιν ἔστι τι μᾶλλον τοῦ δέοντος καί τι ἧσσον, τὸ δὲ μεταξὺ ἀμφοῖν τοῖν ἄκροιν μέσον ἄριστον· « ἡ ἠθική ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. » (ζ'.). Ἔστιν οὖν ἀγαθὸν καὶ ἐπαινετὸν ἀεὶ πᾶν ὅ,τι τὸ μέσον καὶ δὴ καὶ τὸ ὀρθὸν εἴληφεν. ἐξεναντίας δὲ τ ὰ ἄ κ ρ α οὐδέποτ' ἀγαθὰ, ἀλλ' ἀεὶ μεμπτά ἐστιν· « ἐν πᾶσιν ἡ μεσότης ἐπαινετέον, τὰ δ' ἄκρα οὔτ' ὀρθὰ οὔτ' ἐπαινετὰ, ἀλλὰ ψεκτά» (η'.). — «Οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ' αἱρεῖται, μ έ σ ο ν δ ὲ ο ὐ τ ὸ τ ο ῦ π ρ ά γ μ α τ ο ς, ἀ λ λ ὰ τ ὸ π ρ ὸ ς ἡ μ ᾶ ς. εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ' ἀφελεῖν ἔστιν οὔτε προςθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σωζούσης), οἱ δ' ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται, ἡ δ' ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστὶν, ὥςπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐςι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον· οἷον καὶ φοβηθῆναι καὶ θαῤῥῆσαι καὶ ἐπιθυμῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως

(ζ') ἠθ. Νικ. Β, ε̕—αὐτόθι σ. αρς', Β. κγ'. « περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ μέσον. »

(η') ἠθ. Νικ. Β, ζ'.—Β, ε̕, σ. αρς', Β, ε̕.—Πολιτ. Δ, θ'. « τὸ μέτριον ἄριστον καὶ τὸ μέσον ».

ἡσθῆναι καὶ λυπηθῆναι ἔστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ· τὸ δ' ὅτε δεῖ καὶ ἐφ' οἷς καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐςὶ τῆς ἀρετῆς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐςὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. ἡ δ' ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστὶν, ἐν οἷς ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται καὶ ἡ ἔλλειψις ψέγεται, τὸ δὲ μέσον ἐπαινεῖται καὶ κατορθοῦται· ταῦτα δ' ἄμφω τῆς ἀρετῆς. μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετὴ, στοχαστική γε οὖσα τοῦ μέσου. ἔτι τὸ μὲν ἁμαρτάνειν πολλαχῶς ἐστιν (τὸ γὰρ κακὸν τοῦ ἀπείρου, ὡς οἱ Πυθαγόρειοι εἴκαζον, τὸ δ' ἀγαθὸν τοῦ πεπερασμένου), τὸ δὲ κατορθοῦν μοναχῶς· διὸ καὶ τὸ μὲν ῥᾴδιον, τὸ δὲ χαλεπὸν, ῥᾴδιον μὲν τὸ ἀποτυχεῖν τοῦ σκοποῦ, χαλεπὸν δὲ τὸ ἐπιτυχεῖν. καὶ διὰ ταῦτ' οὖν τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δ' ἀρετῆς ἡ μεσότης· « ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί ». (θ'.).

Εἶτα δὲ διεξέρχεται ὁ Ἀριστοτέλης τὰς κατὰ μέρος ἀρετὰς ἵνα τὸ ἐν τοῖς ἔμπροσθεν λεχθὲν καταδείξῃ ὅτι πᾶσα ἀρετὴ μεταξὺ δύο κακιῶν τὸ μέσον ἐστί· λέγει δὲ οὕτως· « Δεῖ δὲ τοῦτο μὴ μόνον καθόλου λέγεσθαι, ἀλλὰ καὶ τοῖς καθ' ἕκαστα ἐφαρμόττειν· ἐν γὰρ τοῖς περὶ τὰς πράξεις λόγοις οἱ μὲν καθόλου κενώτεροί εἰσιν, οἱ δ' ἐπὶ μέρους ἀληθινώτεροι· περὶ γὰρ τὰ καθ' ἕκαστα αἱ πράξεις, δέον δ' ἐπὶ τούτων συμφωνεῖν. ληπτέον οὖν ταῦτα ἐκ τῆς διαγραφῆς. περὶ μὲν οὖν φόβους καὶ θάῤῥη ἀνδρεία μεσότης· τῶν δ' ὑπερβαλλόντων ὁ μὲν τῇ ἀφοβίᾳ ἀνώνυμος (πολλὰ δ' ἐστὶν ἀνώνυμα), ὁ

(θ') ἠθ· Νικ. Β, ε—θ'.—

δ' ἐν τῷ θαῤῥεῖν ὑπερβάλλων θρασύς, ὁ δὲ τῷ μὲν φοβεῖσθαι ὑπερβάλλων τῷ δὲ θαῤῥεῖν ἐλλείπων δειλός. περὶ ἡδονὰς δὲ καὶ λύπας οὐ πάσας, ἧττον δὲ καὶ περὶ τὰς λύπας, μεσότης μὲν σωφροσύνη, ὑπερβολὴ δὲ ἀκολασία. ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς οὐ πάνυ γίνονται· διόπερ οὐδ' ὀνόματος τετυχήκασιν οὐδ' οἱ τοιοῦτοι, ἔστωσαν δὲ ἀναίσθητοι. περὶ δὲ δόσιν χρημάτων καὶ λῆψιν μεσότης μὲν ἐλευθεριότης, ὑπερβολὴ δὲ και ἔλλειψις ἀσωτία καὶ ἀνελευθερία. ἐναντίως δ' ἑαυταῖς ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ μὲν γὰρ ἄσωτος ἐν μὲν προέσει ὑπερβάλλει ἐν δὲ λήψει ἐλλείπει, ὁ δ' ἀνελεύθερος ἐν μὲν λήψει ὑπερβάλλει ἐν δὲ προέσει ἐλλείπει. Νῦν μὲν οὖν τύπῳ καὶ ἐπὶ κεφαλαίῳ λέγομεν, ἀρκούμενοι αὐτῷ τούτῳ· ὕστερον δὲ ἀκριβέστερον περὶ αὐτῶν διορισθήσεται. περὶ δὲ τὰ χρήματα καὶ ἄλλαι διαθέσεις εἰσί, μεσότης μὲν μεγαλοπρέπεια (ὁ γὰρ μεγαλοπρεπὴς διαφέρει ἐλευθερίου· ὁ μὲν γὰρ περὶ μεγάλα, ὁ δὲ περὶ μικρά), ὑπερβολὴ δὲ ἀπειροκαλία καὶ βαναυσία, ἔλλειψις δὲ μικροπρέπεια· διαφέρουσι δ' αὗται τῶν περὶ τὴν ἐλευθεριότητα, πῇ δὲ διαφέρουσιν, ὕστερον ῥηθήσεται. περὶ δὲ τιμὴν καὶ ἀτιμίαν μεσότης μὲν μεγαλοψυχία, ὑπερβολὴ δὲ χαυνότης τις λεγομένη, ἔλλειψις δὲ μικροψυχία· ὡς δ' ἐλέγομεν ἔχειν πρὸς τὴν μεγαλοπρέπειαν τὴν ἐλευθεριότητα, περὶ μικρὰ διαφέρουσαν, οὕτως ἔχει τις καὶ πρὸς τὴν μεγαλοψυχίαν, περὶ τιμὴν οὖσαν μεγάλην, αὐτὴ περὶ μικρὰν οὖσα· ἔστι γὰρ ὡς δεῖ ὀρέγεσθαι τιμῆς καὶ μᾶλλον ἢ δεῖ καὶ ἧττον, λέγεται δ' ὁ μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος, ὁ δ' ἐλλείπων ἀφιλότιμος, ὁ δὲ μέσος ἀνώνυμος, ἀνώνυμοι δὲ καὶ αἱ διαθέσεις, πλὴν ἡ τοῦ φιλοτίμου φιλοτιμία· ὅθεν

ἐπιδικάζονται οἱ ἄκροι τῆς μέσης χώρας. καὶ ἡμεῖς δὲ ἔστι μὲν ὅτε τὸν μέσον φιλότιμον καλοῦμεν, ἔςι δ' ὅτε ἀφιλότιμον, καὶ ἔστιν ὅτε μὲν ἐπαινοῦμεν τὸν φιλότιμον, ἔστι δ' ὅτε τὸν ἀφιλότιμον. διὰ τίνα δ' αἰτίαν τοῦτο ποιοῦμεν, ἐν τοῖς ἑξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν λοιπῶν λέγωμεν κατὰ τὸν ὑφηγημένον τρόπον. ἔστι δὲ καὶ περὶ ὀργὴν ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης, σχεδὸν δὲ ἀνωνύμων ὄντων αὐτῶν, τὸν μέσον πρᾶον λέγοντες, τὴν μεσότητα πραότητα καλέσομεν· τῶν δ' ἄκρων ὁ μὲν ὑπερβάλλων ὀργίλος ἔστω, ἡ δὲ κακία ὀργιλότης, ὁ δ' ἐλλείπων ἀόργητός τις, ἡ δ' ἔλλειψις ἀοργησία. εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες, ἔχουσαι μέν τινα ὁμοιότητα πρὸς ἀλλήλας, διαφέρουσαι δ' ἀλλήλων· πᾶσαι μὲν γάρ εἰσι περὶ λόγων καὶ πράξεων κοινωνίαν, διαφέρουσι δὲ ὅτι ἡ μέν ἐστι περὶ τἀληθὲς τὸ ἐν αὐτοῖς, αἱ δὲ περὶ τὸ ἡδύ· τούτου δὲ τὸ μὲν ἐν παιδιᾷ τὸ δ' ἐν πᾶσι τοῖς κατὰ τὸν βίον. ῥητέον οὖν καὶ περὶ τούτων, ἵνα μᾶλλον κατίδωμεν ὅτι ἐν πᾶσιν ἡ μεσότης ἐπαινετὸν, τὰ δ' ἄκρα οὔτ' ὀρθὰ οὔτ' ἐπαινετὰ, ἀλλὰ ψεκτά. ἔστι μὲν οὖν καὶ τούτων τὰ πλείω ἀνώνυμα· πειρατέον δ', ὥςπερ καὶ ἐπὶ τῶν ἄλλων, αὐτοὺς ὀνοματοποιεῖν σαφηνείας ἕνεκα καὶ τοῦ εὐπαρακολουθήτου. περὶ μὲν οὖν τὸ ἀληθὲς ὁ μὲν μέσος ἀληθής τις καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω, ἡ δὲ προςποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζὼν, ἡ δ' ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων. περὶ δὲ τὸ ἡδὺ, τὸ μὲν ἐν παιδιᾷ ὁ μὲν μέσος εὐτράπελος καὶ ἡ διάθεσις εὐτραπελία, ἡ δ' ὑπερβολὴ βωμολοχία καὶ ὁ ἔχων αὐτὴν βωμολόχος, ὁ δ' ἐλλείπων ἀγροῖκός τις καὶ ἡ ἕξις ἀγροικία· περὶ δὲ τὸ λοιπὸν ἡδὺ τὸ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς

ὢν φίλος καὶ ἡ μεσότης φιλία, ὁ δ' ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα, ἄρεσκος, εἰ δ' ὠφελείας τῆς αὐτοῦ, κόλαξ, ὁ δ' ἐλλείπων καὶ ἐν πᾶσιν ἀηδὴς δύςερίς τις καὶ δύςκολος. εἰσὶ δὲ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς περὶ τὰ πάθη μεσότητες· ἡ γὰρ αἰδὼς ἀρετὴ μὲν οὐκ ἔστιν, ἐπαινεῖται δὲ καὶ ὁ αἰδήμων. καὶ γὰρ ἐν τούτοις ὁ μὲν λέγεται μέσος, ὁ δ' ὑπερβάλλων, ὡς ὁ καταπλὴξ, ὁ πάντα αἰδούμενος· ὁ δ' ἐλλείπων ἢ ὁ μηδὲ ὅλως ἀναίσχυντος· ὁ δὲ μέσος αἰδήμων. Νέμεσις δὲ μεσότης φθόνου καὶ ἐπιχαιρεκακίας. εἰσὶ δὲ περὶ λύπην καὶ ἡδονὴν τὰς ἐπὶ τοῖς συμβαίνουσι τοῖς πέλας γινομένας· ὁ μὲν γὰρ νεμεσητικὸς λυπεῖται ἐπὶ τοῖς ἀναξίως εὖ πράττουσιν, ὁ δὲ φθονερὸς ὑπερβάλλων τοῦτον ἐπὶ πᾶσι λυπεῖται, ὁ δ' ἐπιχαιρέκακος τοσοῦτον ἐλλείπει τοῦ λυπεῖσθαι ὥστε καὶ χαίρειν. ἀλλὰ περὶ μὲν τούτων καὶ ἄλλοθι καιρὸς ἔσται· περὶ δὲ δικαιοσύνης, ἐπεὶ οὐχ ἁπλῶς λέγεται, μετὰ ταῦτα διελόμενοι περὶ ἑκατέρας ἐροῦμεν πῶς μεσότητές εἰσιν· ὁμοίως δὲ καὶ περὶ τῶν λογικῶν ἀρετῶν. —Ὅτι μὲν οὖν ἐστὶν ἡ ἀρετὴ ἡ ἠθικὴ μεσότης καὶ πῶς, καὶ ὅτι μεσότης δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολὴν τῆς δὲ κατ' ἔλλειψιν, καὶ ὅτι τοιαύτη ἐστὶ διὰ τὸ στοχαστικὴ τοῦ μέσου εἶναι τοῦ ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσιν, ἱκανῶς εἴρηται. διὸ καὶ ἔργον ἐστὶ σπουδαῖον εἶναι· ἐν ἑκάστῳ γὰρ τὸ μέσον λαβεῖν ἔργον, οἷον κύκλου τὸ μέσον οὐ παντὸς, ἀλλὰ τοῦ εἰδότος. οὕτω δὲ καὶ τὸ μὲν ὀργισθῆναι παντὸς καὶ ῥᾴδιον, καὶ τὸ δοῦναι ἀργύριον καὶ δαπανῆσαι· τὸ δ' ᾧ καὶ ὅσον καὶ ὅτε καὶ οὗ ἕνεκα καὶ ὥς, οὐκέτι παντὸς οὐδὲ ῥᾴδιον· διόπερ τὸ εὖ καὶ σπάνιον καὶ ἐπαινετὸν καὶ καλόν. διὸ δεῖ τὸν στοχαζόμενον τοῦ μέσου πρῶτον μὲν ἀποχωρεῖν τοῦ μᾶλ-

λον ἐναντίου, καθάπερ καὶ ἡ Καλυψὼ παραινεῖ « τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε νῆα ». τῶν γὰρ ἄκρων τὸ μέν ἐστιν ἁμαρτωλότερον, τὸ δ' ἧττον· ἐπεὶ οὖν τοῦ μέσου τυχεῖν ἄκρως χαλεπὸν, κατὰ τὸν δεύτερόν φασι πλοῦν τὰ ἐλάχιστα ληπτέον τῶν κακῶν· τοῦτο δ' ἔσται μάλιστα τοῦτον τὸν τρόπον ὃν λέγομεν. Σκοπεῖν δὲ δεῖ πρὸς ἃ καὶ αὐτοὶ εὐκατάφοροί ἐσμεν· ἄλλοι γὰρ πρὸς ἄλλα πεφύκαμεν. τοῦτο δ' ἔσται γνώριμον ἐκ τῆς ἡδονῆς καὶ τῆς λύπης τῆς γινομένης περὶ ἡμᾶς. εἰς τοὐναντίον δ' ἑαυτοὺς ἀφέλκειν δεῖ· πολὺ γὰρ ἀπαγαγόντες τοῦ ἁμαρτάνειν εἰς τὸ μέσον ἥξομεν, ὅπερ οἱ τὰ διεστραμμένα τῶν ξύλων ὀρθοῦντες ποιοῦσιν. ἐν παντὶ δὲ μάλιστα φυλακτέον τὸ ἡδὺ καὶ τὴν ἡδονήν· οὐ γὰρ ἀδέκαστοι κρίνομεν αὐτήν. ὅπερ οὖν οἱ δημογέροντες ἔπαθον πρὸς τὴν Ἑλένην, τοῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν ἡδονὴν, — καὶ ἐν πᾶσι τὴν ἐκείνων ἐπιλέγειν φωνήν· οὕτω γὰρ αὐτὴν ἀποπεμπόμενοι, ἧττον ἁμαρτησόμεθα. ταῦτ' οὖν ποιοῦντες, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, μάλιστα δυνησόμεθα τοῦ μέσου τυγχάνειν. χαλεπὸν δ' ἴσως τοῦτο, καὶ μάλιστ' ἐν τοῖς καθ' ἕκαστον· οὐ γὰρ ῥᾴδιον διορίσαι πῶς καὶ τίσι καὶ ἐπὶ ποίοις καὶ πόσον χρόνον ὀργιστέον· καὶ γὰρ ἡμεῖς ὁτὲ μὲν τοὺς ἐλλείποντας ἐπαινοῦμεν καὶ πράους φαμὲν, ὁτὲ δὲ τοὺς χαλεπαίνοντας ἀνδρώδεις ἀποκαλοῦμεν. ἀλλ' ὁ μὲν μικρὸν τοῦ εὖ παρεκβαίνων οὐ ψέγεται, οὔτ' ἐπὶ τὸ μᾶλλον οὔτ' ἐπὶ τὸ ἧττον, ὁ δὲ πλέον· οὗτος γὰρ οὐ λανθάνει· ὁ δὲ μέχρι τίνος καὶ ἐπὶ πόσον ψεκτὸς οὐ ῥάδιον τῷ λόγῳ ἀφορίσαι· οὐδὲ γὰρ ἄλλο οὐδὲν τῶν αἰσθητῶν· τὰ δὲ τοιαῦτα ἐν τοῖς καθ' ἕκαστα, καὶ ἐν τῇ αἰσθήσει ἡ κρίσις. τὸ μὲν ἄρα τοσοῦτο δῆλον ὅτι ἡ μέση ἕξις ἐν πᾶσιν ἐπαι-

νετὴ, ἀποκλίνειν δὲ δεῖ ὁτὲ μὲν ἐπὶ τὴν ὑπερβολὴν, ὁτὲ δ' ἐπὶ τὴν ἔλλειψιν· οὕτω γὰρ ῥᾷστα τοῦ μέσου καὶ τοῦ εὖ τευξόμεθα. » ἠθικ. Νικ. Β, ζ'.—Ἐπεὶ οὖν χαλεπὸν ἐν πᾶσι τὸ εὖ καὶ τὸ μέσον αἱρεῖσθαι (παντοῖαι γὰρ αἱ καθ' ἕκαστον πράξεις τῶν ἀνθρώπων καὶ ἡμεῖς εὐεπίφοροί πως πρὸς ἡδονάς τε καὶ πάθη πεφύκαμεν)· δῆλον ὡς οὐ ῥᾴδιον ἐν τύπῳ λαβόντας καθόλου τινὰς νόμους ὑποθέσθαι, οἷς παρακολουθῶν τις εὐεπήβολος γένοιτ' ἂν καὶ εὔστοχος τῆς τελείας ἀρετῆς· τοσοῦτον δὲ μόνον ῥητέον ὡς χρὴ ὀρθὸν καὶ καλὸν μέσον ἡγεῖσθαι ἀεὶ τὸ καὶ τοῖς φρονίμοις καὶ συνετοῖς ὡς τοιοῦτον δοκοῦν. « Ἔστι γὰρ (φησιν) ἡ ἀρετὴ ἕ ξ ι ς π ρ ο α ι ρ ε τ ι κ ὴ, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡ ρ ι σ μ έ ν η λ ό γ ῳ κ α ὶ ὡ ς ἂ ν ὁ φ ρ ό ν ι μ ο ς ὁ ρ ί σ ε ι ε ν. » ἠθ. Νικ. Β, ϛ', καὶ Ζ, ά.—

Αὕτη οὖν ἡ περὶ ἀρετῆς πραγματεία διανοίας μὲν λεπτότητα καὶ πάνυ ἐμφαίνει, ἔτι δὲ πεῖραν ἀμφιλαφῆ, ἥν περ ὁ φιλόσοφος εἶχε περὶ τὰς τῆς ψυχῆς ἐνεργείας τε καὶ τὰ πάθη, ἐπιϛημονικῆς μέντοι συναρμογῆς καταδεεστέρα φαίνεται· οὐ γὰρ ἀνεβάλετο οὔτε λογικῶς τὰς ἀρετὰς ἐξ ἀλλήλων παραγαγεῖν, οὔτε καθ' οἷονδή τι σύστημα αὐτὰς εἰς γένη διορίσαι. καὶ γὰρ δέχεται μὲν αὐτὰς ὡς πολλάς τε καὶ παντοίας οὔσας καὶ πρὸς τὴν ἐναντίαν τοῦ Σωκράτους γνώμην ἀντιλέγων, εἰςηγεῖται ὅτι ἡ ἠθικὴ φύσις καὶ ἐνέργεια παρ' ἄλλοις ἄλλη ἐστίν· ἄλλη μὲν γάρ που ἀρετὴ ἡ δούλου καὶ ἄλλη ἡ ἀνδρὸς ἐλευθέρου, ἄλλη ἡ γυναικὸς καὶ ἄλλη ἡ ἀνδρός· ἀλλὰ τὴν πληθὺν ταύτην οὔτε ὁρίζεται οὔτε ἱκανῶς αἰτιολογεῖ· διεξιὼν γὰρ περὶ μιᾶς ἑκάστης τῶν ἀρετῶν ἀμέσως

αὐτὰς ἐκ τοῦ πρακτικοῦ παραλαμβάνει βίου καὶ τῆς κοινῇ χρήσεως τῆς λεκτικῆς.

Πασῶν δὲ τῶν ἀρετῶν ἀρίστη καὶ ἡ τὰ μάλιστα μακάριον τὸν ἔχοντα ποιοῦσα, ἔστι κατ' Ἀριστοτέλη οὐχ ἡ πρακτικὴ, ἀλλ' ἡ θεωρητικὴ ἀρετὴ, ἐνέργειά τις οὖσα τοῦ κρατίστου ἐν τῷ ἀνθρώπῳ ἤτοι τοῦ νοῦ. Ἔστι δὲ καὶ αὐτὴ τὸ κράτιστον· παντὸς γὰρ ἐξωτερικοῦ σκοποῦ καὶ πάσης ἄλλης χορηγίας ἔτι δὲ κωλύματος παντὸς ἁγνή ἐστι καὶ πάντῃ πάντως ἀπηλλαγμένη, αὐταρκεστάτη τε οὖσα καὶ πασῶν ἡ ἀρίστη. ἐνέργεια γάρ τίς ἐστιν, ἧπερ ὁ ἄνθρωπος ὅ,τι ἐγγυτάτω γίγνεται τοῦ θείου καὶ τῆς ἀθορυβήτου μακαριότητος. ἐκθειάζει δ' αὐτὴν ὁ φιλόσοφος παραπλησίοις ῥήμασι μεγαλείοις, οἵοις περ καὶ τὸν μακάριον βίον τοῦ κρατίστου καὶ παγκοσμίου Νοῦ ἐγκωμιάζει. ἀρήγει δὴ οὖν πρὸς ὁλοσχερεστέραν τῶν τοιούτων κατάληψιν καὶ αὐτοῦ τοῦ φιλοσόφου τοὺς λόγους ἀκοῦσαι, ὧδέ πως ἔχοντας·

«Εἰ δ' ἐστὶν ἡ εὐδαιμονία κατ' ἀρετὴν ἐνέργεια, εὔλογον κατὰ τὴν κρατίστην· αὕτη δ' ἂν εἴη τοῦ ἀρίστου. εἴτε δὴ νοῦς τοῦτο εἴτε ἄλλο τι, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖσθαι καὶ ἔννοιαν ἔχειν περὶ καλῶν καὶ θείων, εἴτε θεῖον ὂν καὶ αὐτὸ ἢ τῶν ἐν ἡμῖν τὸ θειότατον, ἡ τούτου ἐνέργεια κατὰ τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. ὅτι δ' ἐστὶ θεωρητικὴ, εἴρηται. ὁμολογούμενον δὲ τοῦτ' ἂν δόξειεν εἶναι καὶ τοῖς πρότερον καὶ τῷ ἀληθεῖ. κρατίστη τε γὰρ αὕτη ἐστὶν ἡ ἐνέργεια· καὶ γὰρ ὁ νοῦς τῶν ἐν ἡμῖν, καὶ τῶν γνωστῶν, περὶ ἃ ὁ νοῦς. ἔτι δὲ συνεχεστάτη· θεωρεῖν τε γὰρ δυνάμεθα συνεχῶς μᾶλλον ἢ πράττειν ὁτιοῦν, οἰόμεθά τε δεῖν ἡδονὴν παραμεμῖχθαι τῇ εὐδαιμονίᾳ, ἡδίστη δὲ τῶν

κατ' ἀρετὴν ἐνεργειῶν ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως ἐστίν· δοκεῖ γοῦν ἡ φιλοσοφία θαυμαστὰς ἡδονὰς ἔχειν καθαριότητι καὶ τῷ βεβαίῳ, εὔλογον δὲ τοῖς εἰδόσι τῶν ζητούντων ἡδίω τὴν διαγωγὴν εἶναι. ἥτε λεγομένη αὐτάρκεια περὶ τὴν θεωρητικὴν μάλιστ' ἂν εἴη· τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων καὶ σοφὸς καὶ δίκαιος καὶ οἱ λοιποὶ δέονται, τοῖς δὲ τοιούτοις ἱκανῶς κεχορηγημένων ὁ μὲν δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει καὶ μεθ' ὧν, ὁμοίως δὲ καὶ ὁ σώφρων καὶ ὁ ἀνδρεῖος καὶ τῶν ἄλλων ἕκαστος, ὁ δὲ σοφὸς καὶ καθ' αὑτὸν ὢν δύναται θεωρεῖν, καὶ ὅσῳ ἂν σοφώτερος ᾖ μᾶλλον· βέλτιον δ' ἴσως συνεργοὺς ἔχων, ἀλλ' ὅμως αὐταρκέστατος. δόξαι τ' ἂν αὐτὴ μόνη δι' αὑτὴν ἀγαπᾶσθαι· οὐδὲν γὰρ ἀπ' αὐτῆς γίνεται παρὰ τὸ θεωρῆσαι, ἀπὸ δὲ τῶν πρακτῶν ἢ πλεῖον ἢ ἔλαττον περιποιούμεθα παρὰ τὴν πρᾶξιν. δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ εἶναι· ἀσχολούμεθα γὰρ ἵνα σχολάζωμεν, καὶ πολεμοῦμεν ἵν' εἰρήνην ἄγωμεν. τῶν μὲν οὖν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς ἢ ἐν τοῖς πολεμικοῖς ἡ ἐνέργεια· αἱ δὲ περὶ ταῦτα πράξεις δοκοῦσιν ἄσχολοι εἶναι, αἱ μὲν πολεμικαὶ καὶ παντελῶς· οὐδεὶς γὰρ αἱρεῖται τὸ πολεμεῖν τοῦ πολεμεῖν ἕνεκα, οὐδὲ παρασκευάζει πόλεμον· δόξαι γὰρ ἂν παντελῶς μιαιφόνος τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίγνοιντο. ἔστι δὲ καὶ ἡ τοῦ πολιτικοῦ ἄσχολος, καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι περιποιουμένη δυναστείας καὶ τιμὰς ἢ τήν γε εὐδαιμονίαν αὐτῷ καὶ τοῖς πολίταις, ἑτέραν οὖσαν τῆς πολιτικῆς, ἣν καὶ ζητοῦμεν δῆλον ὡς ἑτέραν οὖσαν. εἰ δὴ τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ πολεμικαὶ κάλλει καὶ μεγέθει προέχουσιν, αὗται δ'

ἄσχολοι καὶ τέλους τινὸς ἐφίενται καὶ οὐ δι' αὑτὰς αἱρεταί εἰσιν, ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδῇ τε διαφέρειν δοκεῖ, θεωρητικὴ οὖσα, καὶ παρ' αὐτὴν οὐδενὸς ἐφίεσθαι τέλους, ἔχειν τε ἡδονὴν οἰκείαν, αὕτη δὲ συναύξει τὴν ἐνέργειαν, καὶ τὸ αὔταρκες δὴ καὶ σχολαστικὸν καὶ ἄτρυτον ὡς ἀνθρώπῳ, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμεται, κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα. Ἡ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπου, λαβοῦσα μῆκος βίου τέλειον· οὐδὲν γὰρ ἀτελές ἐστι τῶν τῆς εὐδαιμονίας. ὁ δὲ τοιοῦτος ἂν εἴη βίος κρείττων ἢ κατ' ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός ἐστιν οὕτω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει· ὅσῳ δὲ διαφέρει τοῦτο τοῦ συνθέτου, τοσούτῳ καὶ ἡ ἐνέργεια τῆς κατὰ τὴν ἄλλην ἀρετήν. εἰ δὴ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τοῦτον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. οὐ χρὴ δὲ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρονεῖν ἄνθρωπον ὄντα, οὐδὲ θνητὰ τὸν θνητόν, ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ· εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρόν ἐστι, δυνάμει καὶ τελειότητι πολὺ μᾶλλον πάντων ὑπερέχει. δόξειε δ' ἂν καὶ εἶναι ἕκαστος τοῦτο, εἴπερ τὸ κύριον καὶ ἄμεινον· ἄτοπον οὖν γίνοιτ' ἄν, εἰ μὴ τὸν αὑτοῦ βίον αἱροῖτο, ἀλλά τινος ἄλλου. τό λεχθέν τε πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει κράτιστον καὶ ἥδιστόν ἐστιν ἑκάστῳ. καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ τοῦτο μάλιστα ἄνθρωπος. οὗτος ἄρα καὶ εὐδαιμονέστατος.

Δευτέρως δ' ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατ' αὐτὴν ἐνέργειαι ἀνθρωπικαί· δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ ἄλλα τὰ κατὰ τὰς ἀρετὰς πρὸς ἀλλήλους πράττομεν ἐν

συναλλάγμασι καὶ χρείαις καὶ πράξεσι παντοίαις ἔν τε τοῖς πάθεσι διατηροῦντες τὸ πρέπον ἑκάστῳ. ταῦτα δ' εἶναι φαίνεται πάντα ἀνθρωπικά. ἔνια δὲ καὶ συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ, καὶ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετή. Συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετὰς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν κατὰ τὴν φρόνησιν. Συνηρτημέναι δ' αὗται καὶ τοῖς πάθεσι περὶ τὸ σύνθετον ἂν εἶεν· αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαί. καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία. ἡ δὲ τοῦ νοῦ κεχωρισμένη· τοσοῦτον γὰρ περὶ αὐτῆς εἰρήσθω· διακριβῶσαι γὰρ μεῖζον τοῦ προκειμένου ἐστίν· δόξειε δ' ἂν καὶ τῆς ἐκτὸς χορηγίας ἐπὶ μικρὸν ἢ ἐπ' ἔλαττον δεῖσθαι τῆς ἠθικῆς· τῶν μὲν γὰρ ἀναγκαίων ἀμφοῖν χρεία καὶ ἐξ ἴσου ἔστω, εἰ καὶ μᾶλλον διαπονεῖ περὶ τὸ σῶμα ὁ πολιτικὸς, καὶ ὅσα τοιαῦτα· μικρὸν γὰρ ἄν τι διαφέροι· πρὸς δὲ τὰς ἐνεργείας πολὺ διοίσει. τῷ μὲν γὰρ ἐλευθερίῳ δεήσει χρημάτων πρὸς τὸ πράττειν τὰ ἐλευθέρια, καὶ τῷ δικαίῳ δὴ εἰς τὰς ἀνταποδόσεις (αἱ γὰρ βουλήσεις ἄδηλοι, προςποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δικαιοπραγεῖν), τῷ ἀνδρείῳ δὲ δυνάμεως, εἴπερ ἐπιτελεῖ τι τῶν κατὰ τὴν ἀρετὴν, καὶ τῷ σώφρονι ἐξουσίας· πῶς γὰρ δῆλος ἔσται ἢ οὗτος ἢ τῶν ἄλλων τις; ἀμφισβητεῖται δὲ πότερον κυριώτερον τῆς ἀρετῆς ἡ προαίρεσις ἢ αἱ πράξεις, ὡς ἐν ἀμφοῖν οὔσης. τὸ δὴ τέλειον δῆλον ὡς ἐν ἀμφοῖν ἂν εἴη. πρὸς δὲ τὰς πράξεις πολλῶν δεῖται, καὶ ὅσῳ ἂν μείζους ὦσι καὶ καλλίους, πλειόνων. τῷ δὲ θεωροῦντι οὐδενός τῶν τοιούτων πρός γε τὴν ἐνέργειαν χρεία, ἀλλ' ὡς εἰπεῖν καὶ ἐμπόδιά ἐςι

πρός γε τὴν θεωρίαν· ᾗ δ' ἄνθρωπός ἐστι καὶ πλείοσι συζῇ, αἱρεῖται τὰ κατ' ἀρετὴν πράττειν· δεήσεται οὖν τῶν τοιούτων πρὸς τὸ ἀνθρωπεύεσθαι. ἡ δὲ τελεία εὐδαιμονία ὅτι θεωρητική τίς ἐστιν ἐνέργεια, καὶ ἐντεῦθεν ἂν φανείη. τοὺς θεοὺς γὰρ μάλιστα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας εἶναι· πράξεις δὲ ποίας ἀπονεῖμαι χρεὼν αὐτοῖς; πότερα τὰς δικαίας; ἢ γελοῖοι φανοῦνται συναλλάττοντες καὶ παρακαταθήκας ἀποδιδόντες καὶ ὅσα τοιαῦτα; ἀλλὰ τοὺς ἀνδρείους, ὑπομένοντας τὰ φοβερὰ καὶ κινδυνεύοντας, ὅτι καλόν; ἢ τὰς ἐλευθερίους; τίνι δὲ δώσουσιν; ἄτοπον δ' εἰ καὶ ἔσται αὐτοῖς νόμισμα ἤ τι τοιοῦτον· αἱ δὲ σώφρονες τί ἂν εἶεν; ἢ φορτικὸς ὁ ἔπαινος, ὅτι οὐκ ἔχουσι φαύλας ἐπιθυμίας; διεξιοῦσι δὲ πάντα φαίνοιτ' ἂν τὰ περὶ τὰς πράξεις μικρὰ καὶ ἀνάξια θεῶν· ἀλλὰ μὴν ζῆν τε πάντες ὑπειλήφασιν αὐτοὺς καὶ ἐνεργεῖν ἄρα· οὐ γὰρ δὴ καθεύδειν ὥςπερ τὸν Ἐνδυμίωνα. τῷ δὴ ζῶντι τοῦ πράττειν ἀφαιρουμένου, ἔτι δὲ μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρία; ὥστε ἡ τοῦ θεοῦ ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη. καὶ τῶν ἀνθρωπίνων δὴ ἡ ταύτῃ συγγενεςάτη εὐδαιμονικωτάτη. σημεῖον δὲ καὶ τὸ μὴ μετέχειν τὰ λοιπὰ ζῷα εὐδαιμονίας, τῆς τοιαύτης ἐνεργείας ἐστερημένα τελείως. τοῖς μὲν γὰρ θεοῖς ἅπας ὁ βίος μακάριος, τοῖς δ' ἀνθρώποις, ἐφ' ὅσον ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας ὑπάρχει· τῶν δ' ἄλλων ζῴων οὐδὲν εὐδαιμονεῖ, ἐπειδὴ οὐδαμῇ κοινωνεῖ θεωρίας. ἐφ' ὅσον δὴ διατείνει ἡ θεωρία, καὶ ἡ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει τὸ θεωρεῖν, καὶ εὐδαιμονεῖν, οὐ κατὰ συμβεβηκός, ἀλλὰ κατὰ τὴν θεωρίαν· αὐτὴ γὰρ καθ'

αὐτὴν τιμία. ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις.» Ἠθ. Νικ. Κ, ζ', η'.

§ λθ'. Περὶ τῆς κατ' Ἀριστοτέλη πολιτικῆς.

α'. Ὁρισμὸς τῆς πολιτείας.

Ἐν μὲν οὖν τῇ ἠθικῇ πραγματείᾳ τεθεώρηται ἤδη τὸ ἄκρον ἀγαθὸν, καθ' ὅσον γε μόνον ἐν τῷ ἰδίᾳ ἑκάστου τῶν ἀνθρώπων βίῳ ἐνδέχεται τελεῖσθαι. Ἀλλ' ἡ ἐν ἰδιωτείαις ἀρετὴ οὔπω ἐστὶν ἡ κατ' ἐντέλειαν ἠθική· ταύτης γὰρ ἂν οὐκ ἐνδέχοιτο τυχεῖν μονήρη βίον διάγοντα. πολλαὶ γὰρ τῶν ἀρετῶν, ἐν αἷς καὶ ἡ δικαιοσύνη, μόνον ἐν πολιτικῇ κοινωνίᾳ ἐπίτευκτοί εἰσιν· καὶ γὰρ «ὁ δίκαιός (φησι) δεῖται πρὸς οὓς δικαιοπραγήσει καὶ μεθ' ὧν.» (α). καὶ, ὡς ἐν ὅλῳ εἰπεῖν, μόνον ἐν κοινωνίᾳ καὶ βίῳ πολιτικῷ εὖ διατεταγμένῳ, ἐν ᾧ περ ἡ ἀρετὴ νόμῳ τε καὶ ἀγωγῇ καλῶς προάγεται, οἷα τ' ἂν εἴη ἡ ἠθικὴ ἐνέργεια καὶ σὺν αὐτῇ ἡ ἀνθρωπικὴ εὐδαιμονία ὁλοσχερῆ τε ἐπίδοσιν λαβεῖν καὶ παραμονιμότητα (ἠθ. Νικ. Κ, ι'.). Ἄλλως τε καὶ προώρισται ἐπὶ πολιτικῷ βίῳ ὁ ἄνθρωπος· ὑφηγεῖται γὰρ αὐτῷ ἡ φύσις πρὸς τοῦτο. φύσει ζῶον πολιτικὸν ὁ ἄνθρωπος (β'.)· ἐντέτηκε γὰρ αὐτῷ φίλτρον καὶ πόθος τοῦ μετὰ τῶν ὁμοίων συζῆν· «καὶ μηδὲν δεόμενοι (οἱ ἄνθρωποί φησι) τῆς παρ' ἀλλήλων βοηθείας, οὐκ ἔλαττον ὀρέγονται τοῦ συζῆν.» Γ, δ'. — Καλὸν δὲ καὶ ἐνταῦθα παραθέσθαι αὐτοὺς τοὺς λόγους τοῦ φιλοσόφου, οἳ καὶ ὁλοσχερέστερον καὶ συλ-

(α') Ἠθ. Νικ. Κ, ς'. σ. αρος', α. λ'.
(β') Πολιτ. Α, α'.

λογιστικώτερον τὴν περὶ συστάσεως πόλεως δόξαν αὐτοῦ διασαφηνίζουσιν· φησὶ δ' ὡς ἐφεξῆς·

«Εἰ δή τις ἐξ ἀρχῆς τὰ πράγματα φυόμενα βλέψειεν, ὥςπερ ἐν τοῖς ἄλλοις, καὶ ἐν τούτοις κάλλιστ' ἂν οὕτω θεωρήσειεν. Ἀνάγκη δὴ πρῶτον συνδυάζεσθαι τοὺς ἄνευ ἀλλήλων μὴ δυναμένους εἶναι, οἷον θῆλυ μὲν καὶ ἄῤῥεν τῆς γενέσεως ἕνεκεν (καὶ τοῦτο οὐκ ἐκ προαιρέσεως, ἀλλ' ὥςπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι οἷον αὐτὸ, τοιοῦτον καταλιπεῖν ἕτερον), ἄρχον δὲ φύσει καὶ ἀρχόμενον διὰ τὴν σωτηρίαν· τὸ μὲν γὰρ δυνάμενον τῇ διανοίᾳ προορᾷν ἄρχον φύσει καὶ δεσπόζον φύσει, τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα ποιεῖν ἀρχόμενον καὶ φύσει δοῦλον. Διὸ δεσπότῃ καὶ δούλῳ ταὐτὸ συμφέρει. φύσει μὲν οὖν διώρισται τὸ θῆλυ καὶ τὸ δοῦλον. οὐθὲν γὰρ ἡ φύσις ποιεῖ τοιοῦτον οἷον χαλκοτύποι τὴν Δελφικὴν μάχαιραν πενιχρῶς, ἀλλ' ἓν πρὸς ἕν· οὕτω γὰρ ἂν ἀποτελοῖτο κάλλιστα τῶν ὀργάνων ἕκαστον, μὴ πολλοῖς ἔργοις ἀλλ' ἑνὶ δουλεῦον. ἐν δὲ τοῖς βαρβάροις τὸ θῆλυ καὶ δοῦλον τὴν αὐτὴν ἔχει τάξιν. αἴτιον δ' ὅτι τὸ φύσει ἄρχον οὐκ ἔχουσιν, ἀλλὰ γίνεται ἡ κοινωνία αὐτῶν δούλης καὶ δούλου. Διὸ φασὶν οἱ ποιηταὶ « βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκὸς », ὡς ταὐτὸ φύσει βάρβαρον καὶ δοῦλον ὄν. Ἐκ μὲν οὖν τούτων τῶν δύο κοινωνιῶν οἰκία πρώτη, καὶ ὀρθῶς Ἡσίοδος εἶπε ποιήσας « οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα·» ὁ γὰρ βοῦς ἀντ' οἰκέτου τοῖς πένησίν ἐςτιν. ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἶκός ἐστιν, οὓς χαρώνδας μὲν καλεῖ ὁμοσιπύους, Ἐπιμενίδης δὲ ὁ Κρὴς ὁμοκάπους. Ἡ δ' ἐκ πλειόνων οἰκιῶν κοινωνία πρώτη χρήσεως ἕνεκεν μὴ ἐφημέρου

κώμη. μάλιστα δὲ κατὰ φύσιν ἔοικεν ἡ κώμη ἀποικία οἰκίας εἶναι· οὓς καλοῦσί τινες ὁμογάλακτας παῖδάς τε καὶ παίδων παῖδας. Διὸ καὶ τὸ πρῶτον ἐβασιλεύοντο αἱ πόλεις, καὶ νῦν ἔτι τὰ ἔθνη· ἐκ βασιλευομένων γὰρ συνῆλθον. πᾶσα γὰρ οἰκία βασιλεύεται ὑπὸ τοῦ πρεσβυτάτου, ὥστε καὶ αἱ ἀποικίαι διὰ τὴν συγγένειαν. καὶ τοῦτ' ἐστὶν ὃ λέγει Ὅμηρος, « θεμιστεύει δὲ ἕκαστος παίδων ἠδ' ἀλόχων. » σποράδες γάρ· καὶ οὕτω τὸ ἀρχαῖον ᾤκουν. καὶ τοὺς θεοὺς δὲ διὰ τοῦτο πάντες φασὶ βασιλεύεσθαι, ὅτι καὶ αὐτοὶ οἱ μὲν ἔτι καὶ νῦν, οἱ δὲ τὸ ἀρχαῖον ἐβασιλεύοντο· ὥςπερ δὲ καὶ τὰ εἴδη ἑαυτοῖς ἀφομοιοῦσιν οἱ ἄνθρωποι, οὕτω καὶ τοὺς βίους τῶν θεῶν. ἡ δ' ἐκ πλειόνων κωμῶν κοινωνία τέλειος πόλις, ἡ δὴ πάσης ἔχουσα πέρας τῆς αὐταρκείας ὡς ἔπος εἰπεῖν, γινομένη μὲν οὖν τοῦ ζῆν ἕνεκεν, οὖσα δὲ τοῦ εὖ ζῆν. Διὸ πᾶσα πόλις φύσει ἐστὶν, εἴπερ καὶ αἱ πρῶται κοινωνίαι· τέλος γὰρ αὕτη ἐκείνων, ἡ δὲ φύσις τέλος ἐστίν· οἷον γὰρ ἕκαστόν ἐστι τῆς γενέσεως τελεσθείσης, ταύτην φαμὲν τὴν φύσιν εἶναι ἑκάστου, ὥςπερ ἀνθρώπου, ἵππου, οἰκίας. Ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος βέλτιστον· ἡ δ' αὐτάρκεια τέλος καὶ βέλτιστον. Ἐκ τούτων οὖν φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστὶ, καὶ ὅτι ἄνθρωπος φύσει ἡ πόλις ἐστὶ, καὶ ὅτι ἄνθρωπος φύσει πολιτικὸν ζῷον καὶ ὁ ἄπολις διὰ φύσιν καὶ οὐ διὰ τύχην ἤτοι φαῦλός ἐστιν ἢ κρείττων ἢ ἄνθρωπος, ὥςπερ καὶ ὁ ὑφ' Ὁμήρου λοιδορηθεὶς «ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος.» ἅμα γὰρ φύσει τοιοῦτος καὶ πολέμου ἐπιθυμητὴς, ἅτε περ ἄζυξ ὢν ὥςπερ ἐν πεττοῖς. Διότι δὲ πολιτικὸν ὁ ἄνθρωπος ζῷον πάσης μελίττης καὶ παντὸς ἀγελαίου ζῴου μᾶλλον, δῆλον. οὐθὲν γὰρ, ὡς φαμὲν, μάτην ἡ φύσις ποιεῖ,

λόγον δὲ μόνον ἄνθρωπος ἔχει τῶν ζῴων. Ἡ μὲν οὖν φωνὴ τοῦ λυπηροῦ καὶ ἡδέος ἐστὶ σημεῖον, διὸ καὶ τοῖς ἄλλοις ὑπάρχει ζῴοις· μέχρι γὰρ τούτου ἡ φύσις αὐτῶν ἐλήλυθεν, ὥστε αἰσθάνεσθαι τοῦ λυπηροῦ καὶ ἡδέος καὶ ταῦτα σημαίνειν ἀλλήλοις. ὁ δὲ λόγος ἐπὶ τῷ δηλοῦν ἐστι τὸ συμφέρον καὶ τὸ βλαβερόν, ὥστε καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον. Τοῦτο γὰρ πρὸς τἆλλα ζῷα τοῖς ἀνθρώποις ἴδιον, τὸ μόνον ἀγαθοῦ καὶ κακοῦ καὶ δικαίου καὶ ἀδίκου καὶ τῶν ἄλλων αἴσθησιν ἔχειν. ἡ δὲ τούτων κοινωνία ποιεῖ οἰκίαν καὶ πόλιν. καὶ πρότερον δὴ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαστος ἡμῶν ἐστίν. τὸ γὰρ ὅλον πρότερον ἀναγκαῖον εἶναι τοῦ μέρους· ἀναιρουμένου γὰρ τοῦ ὅλου οὐκ ἔσται πούς οὐδὲ χείρ, εἰ μὴ ὁμωνύμως, ὥςπερ εἴ τις λέγει τὴν λιθίνην· διαφθαρεῖσα γὰρ ἔσται τοιαύτη. πάντα δὲ τῷ ἔργῳ ὥρισται καὶ τῇ δυνάμει, ὥςτε μηκέτι τοιαῦτα ὄντα οὐ λεκτέον τὰ αὐτὰ εἶναι, ἀλλ' ὁμώνυμα. ὅτι μὲν οὖν ἡ πόλις καὶ φύσει καὶ πρότερον ἢ ἕκαστος, δῆλον· εἰ γὰρ μὴ αὐτάρκης ἕκαστος χωρισθείς, ὁμοίως τοῖς ἄλλοις μέρεσιν ἕξει πρὸς τὸ ὅλον· ὁ δὲ μὴ δυνάμενος κοινωνεῖν, ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν, οὐθὲν μέρος πόλεως, ὥστε ἢ θηρίον ἢ Θεός. φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν πᾶσιν ἐπὶ τὴν τοιαύτην κοινωνίαν, ὁ δὲ πρῶτος συστήσας μεγίστων ἀγαθῶν αἴτιος. ὥςπερ γὰρ καὶ τελεωθὲν βέλτιστον τῶν ζῴων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης χείριστον πάντων. χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ, οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα. Διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον. ἡ δὲ δικαιοσύνη πολιτικόν· ἡ γὰρ δίκη πολιτικῆς κοινω-

νίας τάξις ἐστίν· ἡ δὲ δίκη τοῦ δικαίου κρίσις. » (γ'.).

Ἐντεῦθεν οὖν δῆλον ἂν γένοιτο τί ποτε ἡ πόλις ἐςὶ καὶ τί τὸ τέλος τοῦ βίου τοῦ πολιτικοῦ. τέλος γὰρ αὐτοῦ κύριον τὸ ἐπιτελεῖν ἐστι τὸ ἄκρον ἀγαθὸν ἐν ἰδέᾳ μεγάλης ἀνθρώπων κοινωνίας, τῇ ἑαυτῶν φύσει οἰκειόταθ' ἀλλήλοις συνηρμοσμένων. ἔτι δὲ εὐδαιμονία ἡ καθολικὴ ὑπὸ τῆς κοινῆς πάντων τῶν πολιτῶν ἀρετῆς κατορθουμένη· πρῶτον ἄρα πάντων πᾶσα πόλις προτίθεται τοῦτο· τὸ πάντας τοὺς πολίτας ὡς ἔνι μάλιστα καλούς τε κἀγαθοὺς ἀποδεικνύναι. οὐ γὰρ συμμαχία τις ἁπλῆ ἡ πόλις ἐστὶ σωτηρίας ἕνεκεν τῶν πολιτῶν καὶ τῶν κτημάτων (δ'.) ἀλλὰ « κοινωνία ζωῆς τελείας χάριν καὶ αὐτάρκους » (έ.). καὶ ὡς ἐν ἄλλῳ λόγῳ εἰπεῖν, κοινωνία, ἐν ᾗ ἡ κατ' ἀρετὴν ἐνέργεια καὶ δὴ καὶ ἡ εὐδαιμονία ἡ ἀνθρωπικὴ ἐν μεγάλῳ κατορθοῦται.

Εἰ μὲν οὖν κατὰ ταύτην τὴν καθόλου ἠθικὴν τῆς πόλεως ἐκδοχὴν ὁμογνωμονεῖ ὁ Ἀριςοτέλης τῷ Πλάτωνι, κατὰ τὸν μερικώτερον ὅμως ὁρισμὸν αὐτῆς καὶ τοὺς θεσμοὺς οὐκ ὀλίγον ἐκείνου ἀφίσταται. Διὸ καὶ κριτικὴν ἐξέλεγξιν τῆς ἀρίστης παρὰ Πλάτωνι πολιτείας δεξιῶς πάνυ καὶ μετὰ λόγου ποιεῖται. [Πολιτ. Β, ά. 6'.]. Ἀποδοκιμάζει δὲ μάλιστα ἐν αὐτῇ ὅτι ὁ Πλάτων τὴν ἐς τὸ δυνατὸν ἑνότητα τῆς πολιτείας (τὸ μίαν εἶναι τὴν πόλιν) ὡς τὸν κυριώτατον νόμον αὐτῆς ὑπείληφεν, χάριν τε ταύτης τῆς ἑνότητος ἄρδην τὸν ἰδίᾳ βίον ἀνεῖλε, μάλιστα δὲ τὴν ἑκάστῳ φύσει προςήκουσαν κτῆσιν καὶ τὴν

(γ'.) Πολιτ. Α, 6'.

(δ'.) Πολιτ. Γ, έ. ιγ'.

(έ.) Πολιτ. Γ, έ. — « ἡ πόλις κοινωνία ἐστὶν ἕνεκα ζωῆς τῆς ἐνδεχομένης ἀρίστης. » Η, ζ'.

οἰκιακὴν συμβίωσιν. τοὐναντίον δὲ πρὸς ταῦτα Ἀριστοτέλης ἀντιλέγων, φησὶ τὴν πόλιν τῆς τε οἰκίας καὶ τοῦ ἑνὸς ἑκάστου ἤτοι τοῦ ἰδιώτου διαστέλλεσθαι, καθ' ὅσον περ ἔν γε τῇ πόλει, οὐχ ὥςπερ καὶ ἐν ἑκατέρῳ τῶν ἄλλων « τὸ ἓν εἶναι » κυριώτατος ὑπάρχει νόμος. Μόνος γὰρ ὁ εἷς γ' ἕκαστος ἔστι τι ἓν ἁπλῶς, καὶ ἡ οἰκία δὲ οὐκέτι μία ὅλως, ἡ δὲ πόλις κατ' αὐτὸ τοῦτο μάλιστα καὶ τῆς οἰκίας διακρίνεται, κατὰ τὸ πλῆθός τι τὴν φύσιν αὐτὴν ὑπάρχειν. Καὶ « οὐ μόνον ἐκ πλειόνων ἐστὶν ἡ πόλις, ἀλλὰ καὶ ἐξ εἴδει διαφερόντων » φησίν. [Β, ά.]. ὥστ' εἴπέρ τις τῇ πόλει τὸ ἑνιαῖον, ὡς ἀναγκαῖον ὄν, ἀποδοίη, ὑποβιβάσειεν ἂν αὐτὴν εἰς τάξιν οἰκίας, καὶ οὐδ' ἂν εἴη τοῦ λοιποῦ αὐτό γε τοῦτο ἡ πόλις. κατὰ ταύτην δὴ οὖν τὴν ὑποκειμένην τῇ πολιτείᾳ ἔννοιαν ὁ Ἀριστοτέλης τῷ Πλάτωνι ἀντιλέγει, καὶ κατὰ τοὺς ἐν αὐτῇ νενομοθετημένους νόμους ὡσαύτως. ὡς ἀλυσιτελεῖς γὰρ καὶ ἀνηνύτους καὶ τούτους ὄντας εὐλόγως ἐξελέγχει. περί τε τῆς παρὰ Πλάτωνι ἀξιώσεως, κοινὰς τὰς οὐσίας πάντων πᾶσι νομίζεσθαι, ἀποφαίνεται ὅτι, μηδεμίαν κτῆσιν ἐξόν γ' ἔχειν τοὺς πολίτας ἰδίαν, ὅ τε φύσει ἐντετηκὼς τοῖς ἀνθρώποις ἔρως τοῦ κτᾶσθαι ἀπομαραίνεται καὶ πᾶσα εἰς ἐργασίαν ἐξόρμησις παραλύεται. Φύσει γὰρ οἱ ἄνθρωποι τὸ μὲν ἴδιον ἐς τὰ μάλιςα φιλοῦσι (Β, ά.), τῶν δὲ κοινῶν πολλῷ τοι ἧσσον φροντίζουσιν. Ἔτι δὲ τῆς ἰδίας κτήσεως ἀναιρουμένης, ἀναιροῦνται ἅμα καὶ πολλαὶ ἀρεταί, οἷον ἡ ἐλευθεριότης καὶ ἡ φιλοξενία (Β, β'. ς'. ζ'.). Πρὸς δὲ τοῖς εἰρημένοις καὶ πρακτικῶς ἀκοτόρθωτος πάμπαν φαίνεται ἡ διὰ νόμων κοινότης τῶν κτημάτων· καὶ γὰρ ἔνθα ἂν πολλοὶ τοῦ αὐτοῦ πράγματος κοινωνῶσι, πολλῷ ῥᾶον ἀλλήλοις δια-

στασιάζουσιν ἢ ἔνθα ἂν εἷς ἕκαστος τὸ ἑαυτοῦ κτῆμα ἴδιον ἔχῃ· ὥστε ἡ κοινὴ χρῆσις τῶν ὑπαρχόντων πηγὴ ἀέννaος γίγνοιτ' ἂν διχοστασιῶν τε καὶ ἐρίδων ἀλήκτων. [Β, 6'. θ'.]. Τοῦ μὲν οὖν ἀντέχεσθαι διαφερόντως ἕκαστον τῶν ἑαυτοῦ, δῆλον ὅτι ἡ αἰτία ἐν τῷ φιλεῖν ἑαυτὸν ὑπάρχει· ἀλλά γε τὸ ἑαυτὸν φιλεῖν οὐκ ἄνευ λόγου ἐστί· φυσικὸν γάρ· ἐφ' ὅσον ἂν ἄρα τὸ ἑαυτὸν φιλεῖν τὸ μέτριον μὴ ὑπερβαίνῃ, εἰς φιλαυτίαν ἄκρατον ἀποκλῖνον, οὔτε ὀνήσιμον οὔτε λόγον που ἔχοι ἂν τὸ ἄρδην αὐτὸ ἐθέλειν ἀναιρεῖν, ὃ δὴ καὶ ἄλλως ἂν ἀδύνατον ἐλεγχθείη ὅλως καὶ ἀκατόρθωτον.

β'. *Περὶ εἰδῶν ἢ τρόπων πολιτείας.*

Σκεπτέον δὴ νῦν « πότερον μίαν θετέον πολιτείαν ἢ πλείους, κἂν εἰ πλείους, τίνες καὶ πόσαι, καὶ διαφοραὶ τίνες αὐτῶν εἰσίν. Ἔστι δὲ πολιτεία πόλεως τάξις τῶν τε ἄλλων ἀρχῶν καὶ μάλιστα τῆς κυρίας πάντων. Κύριον μὲν γὰρ πανταχοῦ τὸ πολίτευμα τῆς πόλεως, πολίτευμα δ' ἐστὶν ἡ πολιτεία. Λέγω δ' οἷον ἐν μὲν ταῖς δημοκρατικαῖς κύριος ὁ δῆμος, οἱ δ' ὀλίγοι τοὐναντίον ἐν ταῖς ὀλιγαρχίαις· φαμὲν δὲ καὶ πολιτείαν ἑτέραν εἶναι τούτων. — Φανερὸν δὲ ὡς ὅσαι μὲν πολιτεῖαι τὸ κοινῇ συμφέρον σκοποῦσιν, αὗται μὲν ὀ ρ θ α ὶ τυγχάνουσιν οὖσαι κατὰ τὸ ἁπλῶς δίκαιον. ὅσαι δὲ τὸ σφέτερον μόνον τῶν ἀρχόντων, ἡμαρτημέναι πᾶσαι καὶ παρεκβάσεις τῶν ὀρθῶν πολιτειῶν· δεσποτικαὶ γάρ, ἡ δὲ πόλις κοινωνία τῶν ἐλευθέρων ἐστίν.

Διωρισμένων δὲ τούτων ἐχόμενόν ἐστι τὰς πολιτείας ἐπισκέψασθαι, πόσαι τὸν ἀριθμὸν ταὶ τίνες εἰσὶ, καὶ πρω-

τον τὰς ὀρθὰς αὐτῶν· καὶ γὰρ αἱ παρεκβάσεις ἔσονται φανεραὶ τούτων διορισθεισῶν. Ἐπεὶ δὲ πολιτεία μὲν καὶ πολίτευμα σημαίνει ταὐτὸν, πολίτευμα δ' ἐστὶ τὸ κύριον τῶν πόλεων, ἀνάγκη δ' εἶναι κύριον ἢ ἕνα ἢ ὀλίγους ἢ τοὺς πολλοὺς, ὅταν μὲν ὁ εἷς ἢ οἱ ὀλίγοι ἢ οἱ πολλοὶ πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσι, ταύτας μὲν ὀρθὰς ἀναγκαῖον εἶναι τὰς πολιτείας, τὰς δὲ πρὸς τὸ ἴδιον ἢ τοῦ ἑνὸς ἢ τῶν ὀλίγων ἢ τοῦ πλήθους παρεκβάσεις· ἢ γὰρ οὐ πολίτας φατέον εἶναι τοὺς μετέχοντας, ἢ δεῖ κοινωνεῖν τοῦ συμφέροντος. καλεῖν δ' εἰώθαμεν τῶν μὲν μοναρχιῶν τὴν πρὸς τὸ κοινὸν ἀποβλέπουσαν συμφέρον βασιλείαν, τὴν δὲ τῶν ὀλίγων μὲν πλειόνων δ' ἑνὸς ἀριστοκρατίαν, ἢ διὰ τὸ τοὺς ἀρίστους ἄρχειν, ἢ διὰ τὸ πρὸς τὸ ἄριστον τῇ πόλει καὶ τοῖς κοινωνοῦσιν αὐτῆς. ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ κοινὸν πολιτεύηται συμφέρον, καλεῖται τὸ κοινὸν ὄνομα πασῶν τῶν πολιτειῶν, πολιτεία. Συμβαίνει δ' εὐλόγως· ἕνα μὲν γὰρ διαφέρειν κατ' ἀρετὴν ἢ ὀλίγους ἐνδέχεται, πλείους δ' ἤδη χαλεπὸν ἠκριβῶσθαι πρὸς πᾶσαν ἀρετὴν, ἀλλὰ μάλιστα τὴν πολεμικήν· αὕτη γὰρ ἐν πλήθει γίγνεται· διόπερ κατὰ ταύτην τὴν πολιτείαν κυριώτατον τὸ προπολεμοῦν, καὶ μετέχουσιν αὐτῆς οἱ κεκτημένοι τὰ ὅπλα. παρεκβάσεις δὲ τῶν εἰρημένων τυραννὶς μὲν βασιλείας, ὀλιγαρχία δὲ ἀριστοκρατίας, δημοκρατία δὲ πολιτείας. Ἡ μὲν γὰρ τυραννίς ἐστι μοναρχία πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος, ἡ δ' ὀλιγαρχία πρὸς τὸ τῶν εὐπόρων, ἡ δὲ δημοκρατία πρὸς τὸ συμφέρον τὸ τῶν ἀπόρων· πρὸς δὲ τὸ τῷ κοινῷ λυσιτελοῦν οὐδεμία αὐτῶν.

Δεῖ δὲ μικρῷ διὰ μακροτέρων εἰπεῖν τίς ἑκάστη τούτων τῶν πολιτειῶν ἐστιν· καὶ γὰρ ἔχει τινὰς ἀπορίας,

τῷ δὲ περὶ ἑκάστην μέθοδον φιλοσοφοῦντι καὶ μὴ μόνον ἀποβλέποντι πρὸς τὸ πράττειν οἰκεῖόν ἐστι τὸ μὴ παρορᾶν μηδέ τι καταλείπειν, ἀλλὰ δηλοῦν τὴν περὶ ἕκαστον ἀλήθειαν. Ἔστι δὲ τυραννὶς μὲν μοναρχία, καθάπερ εἴρηται, δεσποτικὴ τῆς πολιτικῆς κοινωνίας, ὀλιγαρχία δ' ὅταν ὦσι κύριοι τῆς πολιτείας οἱ τὰς οὐσίας ἔχοντες, δημοκρατία δὲ τοὐναντίον ὅταν οἱ μὴ κεκτημένοι πλῆθος οὐσίας ἀλλ' ἄποροι. πρώτη δ' ἀπορία πρὸς τὸν διορισμὸν ἐστίν· εἰ γὰρ εἶεν οἱ πλείους ὄντες εὔποροι κύριοι τῆς πόλεως, δημοκρατία δ' ἐστὶν ὅταν ᾖ κύριον τὸ πλῆθος, ὁμοίως δὲ πάλιν κἂν εἴπου συμβαίνῃ τοὺς ἀπόρους ἐλάττους μὲν εἶναι τῶν εὐπόρων, κρείττους δ' ὄντας κυρίους εἶναι τῆς πολιτείας, ὅπου δ' ὀλίγον κύριον πλῆθος, ὀλιγαρχίαν εἶναί φασιν, οὐκ ἂν καλῶς δόξειεν διωρίσθαι περὶ τῶν πολιτειῶν. Ἀλλὰ μὴν κἄν τις συνθεὶς τῇ μὲν εὐπορίᾳ τὴν ὀλιγότητα τῇ δ' ἀπορίᾳ τὸ πλῆθος, οὕτω προσαγορεύῃ τὰς πολιτείας, ὀλιγαρχίαν μὲν ἐν ᾗ τὰς ἀρχὰς ἔχουσιν οἱ εὔποροι ὀλίγοι τὸ πλῆθος ὄντες, δημοκρατίαν δὲ ἐν ᾗ οἱ ἄποροι πολλοὶ τὸ πλῆθος ὄντες, ἄλλην ἀπορίαν ἔχει. τίνας γὰρ ἐροῦμεν τὰς ἄρτι λεχθείσας πολιτείας, τὴν ἐν ᾗ πλείους οἱ εὔποροι καὶ ἐν ᾗ ἐλάττους οἱ ἄποροι, κύριοι δ' ἑκάτεροι τῶν πολιτειῶν, εἴπερ μηδεμία ἄλλη πολιτεία παρὰ τὰς εἰρημένας ἐςίν; Ἔοικε τοίνυν ὁ λόγος ποιεῖν δῆλον ὅτι τὸ μὲν ὀλίγους ἢ πολλοὺς εἶναι κυρίους συμβεβηκός ἐστιν, τὸ μὲν ταῖς ὀλιγαρχίαις τὸ δὲ ταῖς δημοκρατίαις, διὰ τὸ τοὺς μὲν εὐπόρους ὀλίγους, πολλοὺς δ' εἶναι τοὺς ἀπόρους πανταχοῦ· διὸ καὶ οὐ συμβαίνει τὰς ῥηθείσας αἰτίας γίνεσθαι διαφορᾶς. ᾧ δὲ διαφέρουσιν ἥ τε δημοκρατία καὶ ἡ ὀλιγαρχία ἀλλήλων, πενία καὶ πλοῦτός ἐστιν. καὶ ανα-

γκαῖον μὲν, ὅπου ἂν ἄρχωσι διὰ πλοῦτον, ἄν τ' ἐλάττους ἄν τε πλείους, εἶναι ταύτην ὀλιγαρχίαν, ὅπου δ' οἱ ἄποροι, δημοκρατίαν. (ς'.) Ἀλλὰ συμβαίνει, καθάπερ εἴπομεν, τοὺς μὲν ὀλίγους εἶναι, τοὺς δὲ πολλούς· εὐποροῦσι μὲν γὰρ ὀλίγοι, τῆς δ' ἐλευθερίας μετέχουσι πάντες· δι' ἃς αἰτίας ἀμφισβητοῦσιν ἀμφότεροι τῆς πολιτείας. » πολιτ. Γ, ς'—θ'. Ὁρίζεται δὲ ὁ Ἀριστοτέλης τῶν πολιτειῶν τούτων τὴν φύσιν καὶ οὕτως, ἐν μὲν γὰρ τῇ ἀριστοκρατίᾳ φησὶν ἄρχειν τὴν ἀρετὴν, ἐν δὲ τῇ ὀλιγαρχίᾳ τὸν πλοῦτον καὶ ἐν τῇ δημοκρατίᾳ τὴν ἐλευθερίαν (Δ, ς'.—Ζ α.).

Διεξιὼν δὲ καθ' ἓν ἕκαστον τὰ ἓξ εἰρημένα εἴδη τῶν κυρίων πολιτευμάτων, ὁρίζεται μὲν τὴν ἰδίαν ἑκάστου φύσιν, σκοπεῖ δὲ πότε καὶ πῶς ἕκαστον αὐτῶν προκύπτει, τίσι δ' αἰτίαις ἕκαστον καταλύεται, καὶ οἷς τισι μὲν τρόποις ἐνδέχεται ἕκαστον σώζεσθαι, οἷς δ' ἄν ποτ' εὐχερῶς διαφθείρεσθαι, τίς τε πολιτεία ἐπὶ τίνα ἄλλην τὰ πολλὰ φιλεῖ μεταβαίνειν· καὶ ὡς ἂν ἑνί γε λόγῳ εἰπεῖν, τοὺς κατὰ φύσιν νόμους ἐξακριβοῖ, οἵπερ τὰ τῶν πολιτευμάτων γένη ἀποτελοῦσι. καὶ πρὸς τοῦτο οὐκ ὀλίγον λυσιτελὴς αὐτῷ ἐγένετο ἡ ἀμφιλαφὴς ἱστορία, ἣν εἶχε, τῶν πολιτευμάτων παμπόλλων πόλεων ἑλληνίδων. καὶ ὡς ἀληθῶς πλείστας ὅσας γνώσεις, πείρᾳ εἰλημμένας, ἐν τούτῳ τῷ συγγράμματι τοῖς ὕστερον παρέδωκεν.

(ς') Τὴν δημοκρατίαν κατὰ ταύτην τὴν ἐκδοχὴν ἀπεκάλεσαν οἱ ὕστερον ὀχλοκρατίαν· τοῦτο δὲ τοὔνομα οὐ παρ' Ἀριστοτέλει εὕρηται, ἀλλὰ παρὰ Πολυβίῳ τὸ πρῶτον ἀπαντᾶται ς', δ', ς'. ἔνθα φησὶ « γένη μὲν ἓξ εἶναι ῥητέον τῶν πολιτειῶν· τρία μὲν, ἃ πάντες θρυλλοῦσιν, βασιλεία, ἀριστοκρατία, δημοκρατία (προβλ. ς', γ, ε.), τρία δὲ τούτοις συμφυῆ, λέγω δὲ μοναρχίαν, ὀλιγαρχίαν, ὀχλοκρατίαν » ς', νζ', θ'.

Καὶ οὐχ ἁπλῷ λόγῳ τὰ εἰρημένα πολιτεύματα ὁ Ἀριστοτέλης ἐπεξῆλθεν, ἀλλὰ καὶ τὴν ἰδίαν κρίσιν περὶ αὐτῶν ἐποιήσατο. καὶ διссῶς γε αὐτὰ ἔκρινεν κατά τε τὴν καθόλου καὶ τὴν εἰδικὴν ἀξίαν ἑνὸς ἑκάστου αὐτῶν. καὶ καθ' ὅσον μὲν περὶ αὐτῶν καθόλου θεωρεῖ, σκοπῶν ἥτίς ποτε πολιτεία ὡς ἄριστα τοῦ πολιτικοῦ τέλους εὐστοχεῖ, ἐν ἄλλαις λέξεσι, τίς ἐστιν ἁ π λ ῶ ς ἡ ἀρίστη, ἀποδίδωσι τὰ πρωτεῖα τῇ βασιλείᾳ καὶ ἀριστοκρατίᾳ πρὸ πασῶν τῶν ἄλλων, ὅτι ἐν ἑκατέρᾳ τούτων ἡ ἀνωτάτη ἀρχὴ τῷ ἀρίστῳ ἢ τοῖς ἀρίστοις ὑπάρχει, καὶ δὴ καὶ κατὰ λόγον τῆς ἀρετῆς προςνενέμηται τῷ κρατοῦντι. Ἐκ δὲ τῶν παρεκβάσεων τὴν δημοκρατίαν ἤτοι τὴν τοῦ πλήθους ἀρχὴν ὡς ἥκιστα μοχθηρὰν οὖσαν ἀποφαίνεται· « ἥκιστα (φησὶ) μοχθηρόν ἐστιν ἡ δημοκρατία· ἐπὶ μικρὸν γὰρ παρεκβαίνει τὸ τῆς πολιτείας εἶδος». — καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησὶ « μετριωτάτη ἡ δημοκρατία ». (ζ'.). τὴν δὲ ὀλιγαρχίαν χείρονα ἐκείνης ἡγεῖται· ἀλλὰ πασῶν χειρίστην τὴν τυραννίδα λέγει· « ἡ τυραννὶς (φησὶ) ἐξ ἐναντίας τῇ βασιλείᾳ. καὶ φανερώτατον ἐπὶ ταύτης ὅτι χειρίστη· κάκιστον δὲ τὸ ἐναντίον τῷ βελτίστῳ. » (ή). Εἰ μέν τοι ἡ βασιλεία αἱρετωτέρα ἐστὶ τῆς ἀριστοκρατίας ἢ τὸ ἀνάπαλιν, τούτου πέρι οὐ πάνυ σαφῶς, ἀλλ' ἀμφιῤῥεπῶς πως τὴν ἑαυτοῦ ἀποφαίνεται γνώμην· καὶ γὰρ πῇ μὲν « αἱρετώτερον (φησὶ) ταῖς πόλεσιν ἀριστοκρατία βασιλείας », πῇ δὲ « τῶν πολιτειῶν βελτίστη μὲν ἡ βασιλεία, χειρίστη δ' ἡ τιμοκρατία». καὶ ἀλλαχοῦ πάλιν περὶ τῆς τυραννίδος φησὶν ὅτι « παρέκ-

(ζ') ἠθ. Νικ. θ'. ιβ'. — πολιτ. Δ, β'.

(η') ἠθ. Νικ. θ'. ιβ'. — πολιτ. Δ, β'.

βασίς ἐστι τῆς πρώτης καὶ θειοτάτης πολιτείας », θειοτάτην λέγων τὴν βασιλείαν (θ΄).

Ἀλλὰ πολλῷ μᾶλλον ἐφίστησι τὴν διάνοιαν ὁ Ἀριστοτέλης περὶ τοῦ τίς ἐστιν ἔκ γε τῶν ἐνδεχομένων ἡ ἀρίστη πολιτεία. ἐν γὰρ τῷ πρακτικῷ βίῳ οὐχ ἥτις ἡ ἁπλῶς ἀρίστη ζητεῖται, ἀλλ᾽ ἥτις πρὸς τὰς ὑπαρχούσας χορηγίας τε καὶ χρείας ὡς ἀρίστη κρίνεται καὶ ὡς αὐτός φησιν « ἡ ἐκ τῶν ὑποκειμένων ἀρίστη. » καὶ εἰς τοῦτο ἄρα διαφέρει τῆς τοῦ Πλάτωνος γνώμης ἡ τοῦ Ἀριστοτέλους. Πλάτων μὲν γὰρ ἐν τῇ ἑαυτοῦ πολιτείᾳ τὴν ὡς ἔνι μάλιστ᾽ ἀρίστην πολιτείας ἰδέαν ἀνεβάλετο ἀποδοῦναι, ὡς τὸ ἄριςον πάντων παράδειγμα· ἐξ ἐναντίας δὲ ὁ Ἀριστοτέλης οὐδέποτε τὸ πείρᾳ ληπτὸν παραβλέπων, ὁρμᾶται ἐκ τῶν ἔργῳ ὑπαρχουσῶν πολιτειῶν εἰς ζήτησιν τῆς ἐνδεχομένης ἀρίστης. οὔτε γὰρ ἂν πᾶσι τοῖς σώμασιν ἡ αὐτὴ δίαιτα καὶ τὸ αὐτὸ φάρμακον καὶ ἡ αὐτὴ ἐσθὴς ἁρμόσειεν, οὔτε πάσαις ταῖς πόλεσι τὸ αὐτὸ πολίτευμα λυσιτελὲς ἂν γένοιτο. Διὸ οὐκ ἰδανικήν τινα πολιτείαν ἤ, ὡς αὐτός φησιν, πολιτείαν κατ᾽ εὐχὴν γιγνομένην, ὡς σκοπὸν δεῖ προβάλλεσθαι, ἀλλὰ πολλῷ μᾶλλον πάσης πόλεως τὸ πολίτευμα πρὸς τοὺς παρόντας καιροὺς καὶ τὰς ὑπαρχούσας χρείας προςήκει ἀεὶ συντιθέναι. Διὸ ἐν ᾗ μὲν ἂν πόλει εἷς ἢ ὀλίγοι ἐπὶ ἰδίᾳ ἀρετῇ ἢ εὐγενείᾳ τῶν λοιπῶν πάντων διαπρέπωσιν, ταύτην εἰκότως ἄν τις μοναρχίαν ἢ ἀριστοκρατίαν ἀποκαλέσειεν· ἐν ᾗ δ᾽ ἂν τὸ τῶν ἀπόρων πλῆθος ὑπερισχύῃ, συμβαίνει καὶ τὸ πολίτευμα φύσει πως πρὸς δημοκρατίαν ἀποκλίνειν, καὶ πρὸς τὴν ἀρίστην μέν, ὅταν

(θ΄). Πολιτ. Γ, ι΄. — Γ, ιά. ἠθ. Νικ. θ, ιβ΄. — πολ. Δ, β΄.

τὸ γεωργικὸν, πρὸς δὲ τὴν χειρίστην, ὅταν τὸ τῶν δημιουργῶν καὶ τῶν μισθαρνούντων πλῆθος πλεονάζῃ· ἐπὰν δὲ τὸ τῶν πλουσίων γένος τῶν λοιπῶν ἁπάντων ὑπερφέρῃ, φύσει ὀλιγαρχία φύεται καὶ πολιτεία τέλος ὅταν τὸ τῶν μέσων ὑπερέχῃ τῶν ἄλλων. οὐχ ἧσσον δὲ τήν τε παιδείαν καὶ τὴν οἰκονομίαν τὴν κοινὴν ὡς βρῖθός τι καὶ ῥοπὴν ἐπὶ τοῦ εἴδους τῆς πολιτείας ἐχούσας ὁ Ἀριστοτέλης καταλογίζεται. οὕτω τοίνυν πρός γε τὰ τοιαῦτα πρακτικώτερον σκοποῦντι, συμβαίνει αὐτῷ μεθαρμόζειν τὴν ἑαυτοῦ γνώμην περὶ τῶν πολιτευμάτων· ὥστ' εἰ μὲν πρότερον ἐξ ἁπλῆς θεωρίας ὁρμώμενος, τὴν βασιλείαν καὶ τὴν ἀριστοκρατίαν ὡς πασῶν ἀρίστας τῶν λοιπῶν προείλετο πολιτειῶν, νῦν ὅμως αὐτὰ τὰ πράγματ' ἀνασκοπῶν τ ὴ ν μ έ σ η ν π ο λ ι τ ε ί α ν ἤτοι τὴν τοῦ μέσου γένους τῶν πολιτῶν ἀρχὴν ὡς τὴν πασῶν λυσιτελεστάτην ἀποφαίνεται. ὡς γὰρ ἐν παντὶ πράγματι τὸ μέσον κράτιστον καὶ ἡ ἀρετὴ αὐτὴ μεσότης τις τυγχάνει οὖσα, ὡςαύτως φησὶ καὶ τὴν οὐσίαν τὴν μέσην εἶναι ἀρίστην· διὸ καὶ τῶν πολιτικῶν κοινωνιῶν ταύτην εὐδαιμονεστάτην εἶναι εἰκὸς, ἐν ᾗ γ' ἂν μήτε ἄγαν πλούσιοι ὑπάρχωσι μήτε πολλοὶ ἄγαν πένητες, ἀλλ' ἐν ᾗ ἂν οἱ μέσοι τὸ κῦρος ἔχωσιν [Δ, θ'.]. Κυριώτατον δὲ πλεονέκτημα ταύτης τῆς μέσης πολιτείας τίθεται ὁ Ἀριστοτέλης τὸ ὑπὲρ πάσας τὰς ἄλλας διὰ τὴν τῶν οὐσιῶν ἰσότητα ταραχῶν τε καὶ στάσεων παντοίων ἀπηλλάχθαι. τὰς γὰρ ἑτεροκλινεῖς πολιτείας βραχύν τε ἔφη χρόνον παραμένειν καὶ εὐχερῶς εἰς ἀλλήλας παρεκβαίνειν (ι').

(ι') Πολ. Δ, θ'. « ἡ μέση βελτίστη, μόνη γὰρ ἀστασίαστος ».

Κύριον δὲ μέλημα τῆς κατ' αὐτὸν ἀρίστης πόλεως οὔσης, τόδε εἶναι ἔφη, τὸ ὅσον οἷόν τε μάλιστα τοὺς πολίτας ὀρθῶς παιδαγωγεῖν καὶ καλούς τε κἀγαθοὺς ἄνδρας αὐτοὺς ἀποδεικνύναι. μὴ μέντοι ὃν τρόπον τῷ Πλάτωνι ἔδοξε, τοῦτον δεῖν γίγνεσθαι τοῖς πολίταις τὴν παίδευσιν, κοινῇ τινι ἀγωγῇ τὸν οἰκιακὸν βίον ἄρδην ἀναιρούσῃ, ἀλλὰ νόμοις (ἠθ. Νικ. Κ, ι'.) τοιούτοις, οἵ περ ἂν λυσιτελούντως ἔχοιεν πρὸς τὸ τὰ ἤθη τῶν πολιτῶν διακοσμεῖν κατὰ τὸ παράδειγμα τῆς καθόλου καὶ, ὅσα γε τἀνθρώπεια, τελειοτάτης ἀρετῆς καὶ μὴ μόνης τῆς ἐν πολέμῳ χρησίμης οὔσης ἀνδρείας. καὶ γὰρ οὐχ ἧσσον τούτου γε ἕνεκα καὶ πᾶσαν κοινωνίαν καὶ ἀρχὴν πολιτικὴν, ὀρθῶς γε ἔχουσαν, συνεστηκέναι φησὶν, ἐπὶ τῷ τοὺς πολίτας εἰς ἐπίγνωσιν μὲν καὶ ἐπιμέλειαν τῶν καλῶν τε καὶ σεμνῶν, ὡς ἔνι μάλιστα, προςβιβάζειν, ἀπὸ δὲ τῶν ἐναντίων τούτοις, ἀγριότητός τε καὶ ἀκολασίας καὶ, ὅσα ἄλλα τοιαῦτα, δραστηρίως ἀποτρέπειν. Πολ. Η, ά-γ'. ιγ'-ιέ. καὶ Θ.

§ μ'. Περὶ τῶν περιπατητικῶν φιλοσόφων.

Οἱ τῆς Ἀριστοτελικῆς αἱρέσεως διάδοχοι τῇ τοῦ ἀρχηγέτου πραγματείᾳ, σχεδόν τι ὡς ἀρχῆθεν εἶχεν, ἐμπέδως ἐνέμειναν, καὶ οὐ πάνυ τι εἰς περαιτέρω ἐπίδοσιν αὐτῆς συνετέλεσαν. κυριώτατον γὰρ ἔργον ἀνεβάλοντο τὸ τὰ φυσικὰ ὄντα ἀνασκοπεῖν καὶ τὰς ἐμπειρικὰς γνώσεις πληθύνειν, πολυμάθειάν τινα πάντοθεν μεταδιώκοντες. τῶν δὲ ὑπερφυσικῶν θεωριῶν ὀλίγην ἐπιμέλειαν ἐποιήσαντο.

Ὀνομαστότατος δὲ τῶν περιπατητικῶν ἁπάντων ἐγέ-

νετο Θεόφραστος ὁ Λέσβιος (α'.) ὃς καὶ αὐτὸν τὸν Ἀριστοτέλη διεδέξατο (β'.). Προέστη δὲ τῆς περιπατητικῆς σχολῆς ὀλίγων δέοντα πεντήκοντα ἔτη ὑπὸ πάντων θαυμαζόμενος καὶ ἐγκωμιαζόμενος. Συνέγραψε δὲ καὶ συγγραμμάτων ἀριθμὸν πολύν, ἐξ ὧν τὰ πλεῖστα ἐμπειρικῆς, μάλιστα δὲ φυσικῆς ἱστορίας ἐχόμενα ἦν (γ'.). Καὶ τὸ περιώνυμον δ' αὐτοῦ σύγγραμμα ὅπερ « ἠθικοὶ χαρακτῆρες » ἐπιγέγραπται πείρας ὡςαύτως πολυχρονίου ἔργον πάγκαλόν ἐστιν. ἔτι δὲ Εὔδημος ὁ Ῥόδιος, ἐφ' ᾧ καὶ τὰ ἠθικὰ Εὐδήμια ἐπιγέγραπται, ὁμιλητὴς καὶ οὗτος Ἀριστοτέλους καὶ ἐν τοῖς περιπατητικοῖς τῶν τὰ

(α'.) Λέγεται δὲ ὡς πρότερον Τύρταμος καλούμενος, « διὰ τὸ τῆς φράσεως θεσπέσιον» τὴν προςηγορίαν Θεόφραςος εἴληφεν.» Δ. Λ. Δ', λή.— Cic. Orat. 19, 62: Theophrastus divinitate loquendi nomen invenit. —Quint. inst. X, I, 83: in Theoprasto tam est loquendi nitor ille divinus, ut ex eo nomen quoque traxisse dicatur.

(β'.) Φέρεται δὲ παρὰ Γελλίῳ καὶ τὸ ἑξῆς διηγημάτιον· ὡς Ἀριστοτέλους ἤδη γεγηρακότος καὶ νοσακερῶς ἔχοντος ἐδεήθησαν οἱ περὶ αὐτὸν διάδοχον ἑαυτοῖς ἀναδεῖξαι. Πάντων δὲ τῶν ὁμιλητῶν δύο μάλιστα διέφερον, Θεόφραστος ὁ Λέσβιος καὶ Εὔδημος ὁ Ῥόδιος. Ὁ δ' οὖν Ἀριστοτέλης ἐκέλευσε κομισθῆναι αὐτῷ οἶνος Λέσβιος καὶ Ῥόδιος καὶ γευσάμενος πρῶτον μὲν τοῦ Ῥοδίου ἐπήνεσεν αὐτόν· εἶτα δὲ τοῦ Λεσβίου, ἐπήνεσεν ὡςαύτως, ἐπειπὼν ἅμα ὡς ἡδίων ὁ Λέσβιος. Is erat e Lesbo Theoprastus, homo suavitate insigni linguae pariter atque vitae. οὕτως οὖν οἱ ὁμιληταὶ συνείκασαν τὸν ὑπαινιγμὸν καί, ἀποθανόντος τοῦ Ἀριστοτέλους, προεστήσαντο ἀρχηγὸν τὸν Θεόφραστον. Gell. XIII, 15,

(γ'.) Φέρεται δὲ κατάλογος τῶν συγγραμμάτων τούτων παρὰ Διογ. τῷ Λ. Δ', μθ'—ν'. περιγεγόνασι δὲ ἐς ἡμᾶς αἱ « περὶ φυτῶν ἱστορίαι », τὸ « περὶ λίθων » « οἱ ἠθικοὶ χαρακτῆρες » καὶ τὰ μετὰ τὰ φυσικά. Theophrasti, quae supersunt opera ed. Schneider, 5 Tom. 1818—21. Τῶν δὲ ἠθικῶν χαρακτήρων πολλαὶ ἐγένοντο ἐκδόσεις. τὰ δὲ μετὰ τὰ φυσικὰ ἐξέδωκε καὶ Βρανδίσιος ὁ σοφὸς ὡς ἐν ἐπιμέτρου εἴδει τῶν μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους.

πρῶτα φερόντων ἔργον ἰδίᾳ φαίνεται ἀναβαλέσθαι τὸ ἐξηγῆσαι ἁπλῶς καὶ ἑρμηνεῦσαι τὰ τῷ αἱρεσιάρχῃ δόξαντα. Διὸ καὶ οἱ ὕστερον μνείαν Εὐδήμου ποιοῦνται, ὁσάκις ἂν βούλωνταί τι τῶν Ἀριςοτέλους διασαφηνίσαι. Μετὰ δὲ Θεόφραστον σχολαρχήσαντα προέστη τῆς αἱρέσεως ὁ μαθητὴς αὐτοῦ Στράτων ὁ Λαμψακηνὸς ἐπὶ ὀκτωκαίδεκα ἔτη. Ἤδη δὲ καὶ ἡ προςηγορία, ἣν ἔσχε, φυσικὸς ἐπικληθεὶς, δῆλον ποιεῖ ὅτι ἐπὶ τὴν τῶν φυσικῶν θεωρίαν μάλιστά πῃ ἀπέκλινεν. καὶ πάντων δὲ τῶν ἄλλων περιπατητικῶν οὗτος μάλιςα οὐ μόνον τοῦ Ἀριστοτελικοῦ κύρους ἑαυτὸν τρόπον τινὰ ἀπέλυσεν, ἀλλὰ καὶ πρὸς τὰ ἐκείνῳ δεδογμένα φανερῶς τι ἀντεῖπεν. Καὶ γὰρ τὴν ὑπερφυσικὴν ἀρχὴν, ἥν περ Ἀριστοτέλης ἐκ περιουσίας εἰςήγαγεν, τὸν θεῖον νοῦν, ὡς μηδαμῶς ἀναγκαίαν ὑπόθεσιν οὖσαν παρῆκεν (δ′.), τήν τε κίνησιν καὶ τὴν ζωὴν τὴν ἐν τῷ κόσμῳ ἐν αὐτῇ τε τῇ φύσει οὖσαν ἀποφηνάμενος καὶ τῇ ἀπ' ἀρχῆς ἐνυπαρχούσῃ αὐτῇ εἰδοποιῷ δυνάμει. Διὸ καὶ θεὸν αὐτὴν τὴν φύσιν εἶναι ὑπείληφεν (ε′.). ἀκόλουθον ἄρα τούτοις ἦν καὶ τὸ δοξάσαι αὐτὸν ὡς τὸ μὲν νοεῖν ἐκ τῶν κατὰ τὸ σῶμα αἰσθήσεων τῷ ἀνθρώπῳ προςγίγνεται καὶ αὐτὸς δὲ ὁ νοῦς ἴδιόν τι ὄργανον ἐν αὐτῷ τῷ σώματι κατέχει. Φιλοσοφῶν οὖν ὁ Στράτων τοῦτο μάλιςα δῆλον ποιῆσαι ἠβούλετο ὅτι τὸ τὰ πάντα ἐμψυχοῦν τε καὶ διακοσμεῖν δοκοῦν μηδὲν ἕτερον εἴη αὐτῆς γε τῆς φύσεως τῆς αἰσθητῆς. αὐτῇ γὰρ

(δ′) Cic. Acad. IV, 38, 121: Strato negat opera deorum se uti ad fabricandum mundum. qaecunqae sint, docet omnia esse effecta natura.

(ε′) Cic. de nat. Deorum. I, 13, 35; omnem vim divinam in natura sitam esse censet.

τῇ φύσει ἔφη ἐνδογενῆ ἐνυπάρχειν τήν τε εἰδοποιὸν καὶ ζωϊκὴν δύναμιν· μηδὲ νοῦν θεῖον χωριστὸν αὐτῆς ὑπάρχειν, ὥςπερ Ἀριστοτέλης εἴρηκεν, ἑτεροφυεῖς τε καὶ ἀσυνδυάστους ἀλλήλαις ἀρχὰς (ἤτοι τὸν φιλοσοφικὸν λεγόμενον δυασμὸν) ἐν τῇ φιλοσοφίᾳ εἰςαγαγών. Οἱ δ' ὕστερον περιπατητικοὶ πάνυ ἄσημοι ἐν φιλοσοφικαῖς θεωρίαις ἐγένοντο· οἱ πλεῖστοι γὰρ αὐτῶν, πολυμαθεῖς ἄνδρες γενόμενοι, προείλοντο ἁπλῶς τὰ Ἀριστοτέλους συγγράμματα ἐξηγῆσαί τε καὶ ἑρμηνεῦσαι. πρῶτος δὲ τῶν ὑπομνηματιστῶν ἐγένετο Ἀνδρόνικος ὁ Ῥόδιος, περὶ τὸ ἑβδομηκοστὸν ἔτος πρὸ Χριστοῦ ἀκμάσας, ἐνδέκατος οὗτος διάδοχος τῆς τῶν περιπατητικῶν σχολῆς, ὃς καὶ πρῶτος τὰ τοῦ Ἀριστοτέλους συγγράμματα κριτικῇ ἐρεύνῃ διορθώσας ὁλοσχερῆ εἰς φῶς ἐξέδοτο.

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

ΠΕΡΙ ΤΗΣ ΜΕΤ' ΑΡΙΣΤΟΤΕΛΗ ΦΙΛΟΣΟΦΙΑΣ.

§. μά. Οἵα τις ἦν, ὡς καθόλου εἰπεῖν, ἡ μετ' Ἀριστοτέλη φιλοσοφία.

Οἱ μετ' Ἀριστοτέλη φιλοσοφήσαντες τῶν Ἑλλήνων ὅλως καινὴν ὁδὸν ἐν φιλοσοφίᾳ ἐτράποντο. Μέχρι μὲν γὰρ Ἀριστοτέλους τὸ θεωρητικῶς εἰδέναι ὡς τέλος καθ' ἑαυτὸ τοῦ φιλοσοφεῖν κύριον ἐλελόγιστο. νῦν μέν τοι ὡς ὄργανον ἁπλῶς ἐκλαμβάνουσιν οἱ φιλοσοφοῦντες, πρὸς τὸ λελογισμένως πράσσειν ἐν τῷ βίῳ χρήσιμον ὄν. Φιλοσοφοῦσι γὰρ πάντες ἀπὸ τοῦ νῦν πρὸς τὴν ἐν τῷ βίῳ χρείαν ἀποβλέποντες. Μέχρι μὲν οὖν τοῦ δεῦρο τῶν ὄντων αὐτῶν καθ' ἑαυτὰ λογιζομένων τὴν οὐσίαν τε καὶ φύσιν ἐζήτησαν οἱ κορυφαῖοι τῶν φιλοσόφων ἀνευρεῖν· οἱ δὲ νῦν ἀνασκοποῦνται ὅπως ποτὲ πρὸς αὐτὸν τὸν ἄνθρωπον τὰ φυσικὰ ὄντα ἔχει, ὅπως τ' αὖ αὐτόν γε δεῖ τὸν ἄνθρωπον ἑαυτὸν ἐκλαμβάνειν πρὸς τὰ ἐκτὸς ἔχειν ὄντα. Διὸ καὶ ἐν ταῖς ἑαυτῶν πραγματείαις οὐκ ἐν πρώτου λόγου μέρει τὸ θεωρητικῶς τὰ ὄντ' ἀνασκοπεῖν τίθενται, μάλιστα δὲ εἰκότως ἄν τις εἴποι ὅτι καὶ ὀλιγώρως ἔχουσι πάσης ἐπιστημονικῆς γνώσεως, ἣν ἂν μὴ οἴοιντο ὀνήσιμόν τέ πως καὶ λυσιτελῆ πρὸς τὸν καθ' ἡμέραν βίον εἶναι. πᾶσαν γὰρ ἐπιστήμην εἰς πρακτικὴν παίδευσιν καὶ εὐδαιμονίαν τοῦ ἀνθρώπου ἀναρτᾷν εἰώ-

θασι. Μάλιστα δὲ τὴν περὶ τὰ φυσικὰ πραγματείαν ἀπὸ τοῦ νῦν οὐχ ὡς σπουδῆς τινος ἀξίαν καθ' ἑαυτὴν ἡγοῦνται, ὥς που τῶν τε Στωϊκῶν ἡ φυσικὴ μαρτυρεῖ, οὐδὲν ἄλλο σχεδόν τι οὖσα ἢ αὐτὰ ἐκεῖνα τὰ Ἡρακλείτου δόγματα αὖθις ἀνακυκλούμενα, καὶ ἡ τοῦ Ἐπικούρου, ὃς τὰ τῷ Δημοκρίτῳ ποτὲ δόξαντα περὶ τῶν τῆς ὕλης ἀτόμων ἐκ νέου αὖθις κυρῶσαι βούλεται. Ἀλλὰ καὶ διαῤῥήδην ὁ Ἐπίκουρος ἀποφαίνεται, ὡς μηθὲν ἂν φυσιολογίας προςεδεόμεθα, εἰ μή γε οἱ ἀπὸ τῶν μύθων ἐντηκόμενοι ἡμῖν φόβοι τε καὶ ἐκπλήξεις πρὸς τὰς ἀδήλους τῶν μετεώρων αἰτίας, ἔτι τε αἱ ὑποψίαι περί τε τοῦ θανάτου καὶ τῶν μετὰ θάνατον τήν τε ἡσυχίαν καὶ ἡδονὴν ἡμῶν παρηνόχλουν· « οὐκ ἦν (φησὶ) τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτάτων, μὴ κατειδότα τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτευόμενόν τι τῶν κατὰ τοὺς μύθους· ὥστ' οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίους τὰς ἡδονὰς ἀπολαμβάνειν. Οὐθὲν τ' ὄφελος ἦν τὴν κατ' ἀνθρώπους ἀσφάλειαν κατασκευάζεσθαι, τῶν ἄνωθεν ὑπόπτων καθεστώτων καὶ τῶν ὑπὸ γῆς καὶ ἁπλῶς τῶν ἐν τῷ ἀπείρῳ. » [Διογ. τῷ Λ. Ι', ρμγ']. καὶ ὡς ἑνὶ λόγῳ δηλῶσαι, τὰ ἐν ταύτῃ τῇ τρίτῃ περιόδῳ ἀναβλαστήσαντα φιλοσοφήματα, τὸ τῶν Στωϊκῶν, τοῦ Ἐπικούρου καὶ τῶν Σκεπτικῶν μέτρον πάντων χρημάτων τὸν νοῦν τὸν ἀνθρώπειον προβάλλονται, καὶ συστήματα κατ' ἐνδιάθεσιν προςαγορεύσειεν ἄν τις αὐτὰ, κατ' ἀντίθεσιν πρὸς τὰ ἄχρι τοῦδε γενόμενα συστήματα τὰ κατ' ἀνθυπόστασιν. προωδοποίησαν δ' αὐτοῖς τὴν τοιαύτην μέθοδον οἵ τε κυνικοὶ καὶ οἱ Κυρηναϊκοί· καὶ γὰρ τῶν μὲν κυνικῶν τὰ δόγματα οἷον βάσις τῇ τῶν Στωϊκῶν ἠθικῇ ὑπόκειται, τῶν δὲ Κυρηναϊκῶν τῇ τῶν Ἐπικου-

ρείων. Διαστέλλεται δὲ τῆς δευτέρας ἡ περίοδος αὕτη ἡ τρίτη κατὰ τοσοῦτον, καθ' ὅσον περ τὸ πρὸς τὸν ἄνθρωπον πάντα τὰ ἄλλα ὄντα κρίνειν ἐν ταύτῃ μάλιστα ὑπερισχύει, ἥ τε παρὰ τοῖς κυνικοῖς καὶ Κυρηναϊκοῖς οὐδενὸς λόγου ἀξιωθεῖσα φυσικὴ καὶ νῦν οὐχ ἧσσον πρὸς τὸ πρακτικὸν ὄφελος τοῦ ἀνθρώπου σπουδῆς τινος ἀξία κρίνεται.

Ταύτης δὲ τῆς ἐπιγενομένης μεταβολῆς περὶ τὴν ἑλληνικὴν φιλοσοφίαν δύο μάλιστα αἰτίαι ἐγένοντο αὗται· πρῶτον μὲν γὰρ ἡ μεταβολὴ αὕτη ἐκ τῆς τῶν ἄλλων πραγμάτων μεταβολῆς φύσει πως προῆλθεν· ὡς γὰρ καθόλου εἰπεῖν, ἥ τε φιλοσοφία καὶ ὁ ἄλλος βίος τῶν ἀνθρώπων ἀεὶ ἀλλήλοις ἀντεπιδρᾶν πως πεφύκασιν· ὥστε ἡ ἑκάστοτε ἀναφυομένη φιλοσοφία ἔκφανσίς τις ἀεὶ τυγχάνει οὖσα τῶν καθεστώτων πραγμάτων. Καὶ μὴν ἀπὸ Ἀλεξάνδρου τοῦ μεγάλου τὰ τῶν Ἑλλήνων ὁσημέραι ἀεὶ ἐπὶ τὸ χεῖρον ἔβαινον καὶ ταχέως παρήκμαζον. καὶ μετ' οὐ πολὺ οὔτε πολιτικὸς βίος κατὰ πόλεις ὑπῆρχεν, οὔτε κοινὸν τοῖς πολίταις φρόνημα, ἀλλ' ἕκαστος τῶν ἀνθρώπων ἔπρασσε τὰ ἑαυτοῦ, κατ' ἰδίαν βίον διάγων· οὐδὲ τὸ ἔθος τὸ πᾶν κῦρος εἶχε τανῦν ὡς προτοῦ· καὶ ἑνί γε λόγῳ τῶν Ἑλλήνων ἕκαστος κύριος ἑαυτοῦ καθέστηκεν, οὐδὲν ἄλλο ἐπιμελὲς ποιούμενος ἢ ὅπως ἂν δύναιτο τῇ ἑαυτοῦ διανοίᾳ καὶ βουλήσει ἰσχύν τε καὶ ἐλευθερίαν παρασκευάσαι. Ἐντεῦθεν ἄρα κατ' ἀνάγκην συνέβη καὶ τὴν φιλοσοφίαν ἐν τούτῳ τῷ χρόνῳ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν ἢ πρὸς αὐτὸν τὸν φιλοσοφοῦντα ἄνθρωπον καὶ τὰς ἀνάγκας αὐτοῦ. ὥστε κυριώτατον ζήτημα τῆς φιλοσοφικῆς θεωρίας καθέστηκε νῦν ὁ σκοπὸς καὶ τὸ τέλος τοῦ ἀνθρωπικοῦ βίου καὶ ὁ ἀνώτατος νόμος,

ᾧ περ ἂν ὡς ἄριστα πάντα πράσσοιτο τὰ ἐν ἀνθρώποις ἔργα. Οὕτως οὖν ἡ πρακτικὴ φιλοσοφία καθύπερθεν ἀξίᾳ ἐγένετο νῦν τῆς θεωρητικῆς, ὡς ἔπος εἰπεῖν, δεσπόσασα. καὶ δὴ καὶ ἡ ἠθικὴ ἄλλην νῦν μορφὴν εἴληφεν παρ' ἣν τὸ πρότερον εἶχεν, πρὸς τοὺς παρόντας καιροὺς καὶ τὸν ἰσχύοντα τρόπον τοῦ ζῆν ἀνάλογον. πρῴην μὲν γὰρ ὅπως ὁ ἰδίᾳ βίος ἄγχιστα εἴχετο τοῦ κοινῇ, οὕτω καὶ ἡ ἠθικὴ μετὰ τῆς πολιτικῆς ἀναποσπάτως ἦν συνηρμοσμένη. Πλάτων δὲ καὶ Ἀριστοτέλης διϊσχυρίσαντο μάλιστα ὡς οὐδ' ἔστιν ἄλλοθι ἀρετῆς ἐπιτυχεῖν τελείας ἢ ἐν πολιτείᾳ τῇ ἄριστα κειμένῃ. Νῦν μέν τοι πᾶν τοὐναντίον, τὸ ἰδίᾳ πρὸς ἀρετὴν τὸν βίον διάγειν μέλημα τοῖς φιλοσοφοῦσι καθέστηκε κύριον, εἰδὲ βούλει, καὶ ὡς τελεία εὐδαιμονία ἀληθῶς φιλοσοφοῦντος ἀνδρός μακαρίζεται νῦν τὸ πάντῃ ἐλεύθερον, ἀδιάφορον καὶ ἀλλότριον μένειν τῶν πάντων καὶ πολιτείας καὶ οἰκίας καὶ πατρίδος καὶ πάσης ἄλλης κοινωνίας ἐν ἀνθρώποις.

Δευτέρα δὲ αἰτία τῆς πρόσθεν λεχθείσης μεταβολῆς ἦν καὶ ἡ ὁδὸς, ἣν μέχρι τοῦδε αὐτὴ ἡ φιλοσοφία ἐβάδισεν. Πλάτων μὲν γὰρ καὶ Ἀριστοτέλης τὸ θεωρητικῶς τὰ κατ' ἀνθυπόστασιν ὄντα ἐπιγνῶναι σκοπὸν τῆς ἑαυτῶν φιλοσοφίας προεβάλοντο, οὐ μέντοι ἱκανῶς τοῦ ζητουμένου ηὐστόχησαν. Ὑποθέσεις γάρ τινας ἐπισφαλεῖς περὶ τῶν ὑψίστων προβλημάτων τῆς πρώτης λεγομένης φιλοσοφίας εἰσενεγκόντες, οὐχ οἷοί τε δὲ γενόμενοι συμβιβάσαι τε καὶ τρόπον τινὰ διαλλάξαι πρὸς ἄλληλα τὸ μὲν εἶδος πρὸς τὴν ὕλην, τὴν δ' ἰδέαν πρὸς τὸ ἐντελεχείᾳ ὑπάρχον, τὸ δὲ νοήσει καὶ λογισμῷ περιληπτὸν ἐν γένει πρὸς τὰ αἰσθητὰ καὶ φυσικὰ, ἐδίχασαν οὕτω τὰ ὄντα καὶ κατά γε τοῦτο ἀτελὲς τὸ τῆς φιλοσοφίας ἔργον κα-

τέλιπον. Διὸ καὶ τὰ φιλοσοφήματα αὐτῶν ἐνδεέστερόν πως εἶχε πρὸς τὸ διδάξαι τούτους τοὺς ὕστερον ἐπελθόντας ὅ,τι παρὰ τῆς φιλοσοφίας εἴπέρ ποτε καὶ νῦν ἠπείγοντο παραλαβεῖν, ὁπότε γε μάλιστα καὶ ἡ θρησκευτικὴ πίστις ἀκροσφαλῶς ἐσάλευε, τὸ πρῴην κῦρος ἤδη ἀποβαλοῦσα. Ἔχρῃζον δὲ οἱ νῦν τοιαύτης τινὸς θεωρίας, ἥ περ ἂν ἱκανή που εἶναι δόξειεν, πίστιν μὲν βεβαίαν τῷ φιλοσοφοῦντι παρασχεῖν περὶ τῶν τὰ μάλιστ' ἀνθρώπῳ διαφερόντων, τὰς περὶ τούτων ὑπενδοιάσεις τε καὶ ἐναντιολογίας παντελῶς ἀνελοῦσα, τὴν δὲ θρησκείαν καὶ τἆλλα ἤθη τὰ βιωτικὰ ἐπὶ τὸ ἀσφαλέςερον μεθαρμόσαι, τήν τε μετέωρον διάνοιαν καὶ φαντασίαν τῶν ἀπορούντων περί τε τῆς εἱμαρμένης καὶ τοῦ προορισμοῦ τῶν ἀνθρώπων ἡσυχαίαν τε καὶ ἤρεμον καταστῆσαι, ἀληθεῖ λόγῳ ἀναπείθουσα. Ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον ὤφειλον νῦν οἱ φιλοσοφοῦντες τἀληθὲς ἐπιγνῶναι, καθ' ὅσον γε εἰς ὄφελος συντελεῖ ἑκάστῳ τῶν ἀνθρώπων· πᾶν ἄρα ὅπερ οἱ πρῴην φιλοσοφήσαντες ἀδιόριστον τοῖς ὕστερον κατέλιπον, πειρῶνται οἱ νῦν ὡς ἔνι μάλιςα ἐξακριβώσασθαι, τοιαύτην τινὰ περὶ τῆς τῶν ὄντων φύσεως θεωρίαν ἀντεισάγοντες, ἣν ἱκανὴν εἶναι ἡγοῦνται τόν τε διχασμὸν τὸν ἐν τῇ φιλοσοφίᾳ τέως εἰςφρήσαντα ἀπὸ τοῦ μέσου ἀνελεῖν καὶ τὴν ἑνὸς ἑκάστου τῶν ἀνθρώπων διάνοιάν τε καὶ γνώμην πάσης διαπορίας περὶ τῆς τῶν ὄντων φύσεως καὶ παντὸς ἐνδοιασμοῦ ἐς δέον ἀπαλλάξαι. Ἀλλὰ μὴν καὶ οἱ Σκεπτικοί, εἰ καὶ ἄλλην μέθοδον μετέρχονται, ταὐτὸν μέν τοι τοῖς ἄλλοις ἐπιζητοῦσιν· καὶ γὰρ πᾶσαν γνῶσιν τῶν ὄντων ἀδύνατον εἶναι φάσκοντες, τοῦτο μάλιστα βούλονται ἐπιεικῶς ἀποδεῖξαι, ὅτι τότε μόνον ἕκαστος τῶν ἀνθρώπων ἐντε-

λοῦς ἠρεμίας τε καὶ εὐδαιμονίας ἀσφαλῶς ἐφικνεῖται, ὅταν ἠσκημένος τυγχάνῃ πρὸς πάνθ' ὁμοίως ἑαυτὸν ἀδιάφορον ἐπιδεικνύναι.

§. μϐ'. Περὶ τῆς ἀρχαιοτέρας στωϊκῆς φιλοσοφίας (ά.).

Ἀρχηγὸς τῆς στωϊκῆς φιλοσοφίας Ζήνων ὁμολογεῖται γενέσθαι ὁ Μνασέου (ἢ Δημέου) Κιτιεὺς ἀπὸ Κύπρου. ἦν δὲ τὸ Κίτιον πόλισμα ἑλληνικὸν Φοίνικας ἐποίκους ἔχον. Ἦν δὲ καὶ αὐτὸς τὸ γένος φοίνιξ περὶ τὸ τμ' ἔτος π. Χ. γεννηθείς (ϐ'). λέγεται δὲ ὅτι τὸν τράχηλον ἐπὶ θἄτερα νενευκὼς ἦν, ἰσχνός τε ὑπομήκης τε καὶ μελάγχρους. Πατρὸς δὲ ἐμπόρου γεγονὼς, ἤσκει καὶ αὐτὸς νέος ἔτι ὢν τὸ αὐτὸ ἐπιτήδευμα πορφύραν ἐμπορευόμενος ἀπὸ Φοινίκης Ἀθήναζε. καί ποτε ἀπὸ Φοινίκης πλέων καὶ πρὸς τῷ Πειραιεῖ ναυαγήσας, ἢ ὡς ἄλλως λέγεται, διατρίϐων ἤδη Ἀθήνησι καὶ ἀκούσας τὴν ναυαγίαν, εἶπεν « εὖγε ποιεῖς, τύχη, προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ.» (γ'.) οὕτως οὖν τὴν οὐσίαν ἀποϐαλὼν, ἔγνω, Ἀθήνησι παραμείνας τὸν λοιπὸν βίον περὶ τὴν

(ά.) Πηγαί. Τηδεμᾶνος, «σύστημα τῆς Στωϊκῆς Φιλοσ. Λειψ. 1776. Τόμ. 3. — Baguet, de Chrysippi vita, doctrina et reliquiis comment. Lovan. 1822. — Petersen, Philosophiae Chrysippeae fundamenta. Alt. 1827. — Lynden, disp. de Panaetio Rhodio. Lugd. Bat. 1802.— Bake, Posidonii Rhodii reliquiae. Lugd. Bat. 1810.

(ϐ') Δ. Λ. Ζ',ά, γ'. ἔνθα Φοινικίδιον προςφωνεῖται. ιέ, Φοίνισσα. κέ. δόγματα κλέπτων Φοινικικῶς. Poenulus κέκληται παρὰ Κικέρωνι de fin. IV, 20.

(γ') Δ. Λ. Ζ, ϐ'. έ. λά.—Sen. de tranq. an. 14: nuntiato naufragio Zeno noster, quum omnia sua audiret submersa, jubet, inquit, me fortuna expeditius philosophari.

φιλοσοφίαν σπουδάζειν, ἣν καὶ ἐκ παιδὸς ἤδη ἀγάμενος διετέλει. Λέγεται γὰρ καὶ τὸν πατέρα αὐτοῦ Μνασέαν ἅτ' ἔμπορον Ἀθήναζε παραγίγνεσθαι καὶ πολλὰ τῶν Σωκρατικῶν βιβλίων ἀποφέρειν ἔτι παιδὶ ὄντι τῷ Ζήνωνι· ὅθεν καὶ ἐν τῇ πατρίδι ἀμηγέπῃ συγκεκροτῆσθαι. καταμείνας οὖν Ἀθήνησι, πρῶτον μὲν πρὸς τὴν κυνικὴν ἀγωγὴν ἐτράπετο, πρὸς ἣν εἴτε ἡ παροῦσα τύχη καὶ ἡ ψυχικὴ διάθεσις εἴτε καὶ συγγενές τι ἦθος μάλιστα παρώρμησεν. καὶ ἐγένετο μαθητὴς Κράτητος τοῦ Κυνικοῦ. Ἔοικε δὲ καὶ οὐκ ὀλίγην δύναμιν ἐσχηκέναι ἐπ' αὐτοῦ τὰ τῶν κυνικῶν δόγματα καὶ ὁ τρόπος τοῦ φρονεῖν, καὶ πάντες δὲ οἱ παλαίτεροι τῶν στωϊκῶν ἐπίχρωσίν τινα κυνικὴν καὶ μάλα δηλοῦσιν (δ'.). Ἀλλ' ἡ ἀναισχυντία τοῦ κυνικοῦ βίου οὐκ ὀλίγην ἀποστροφὴν καὶ βδελυρίαν αὐτῷ ἐνεποίει, οὐδ' ἡ βαιὰ καὶ λιτὴ σοφία τοῦ Κράτητος οἷά τε ἦν ἱκανὴν αὐτῷ τροφὴν παρέχειν, ἐπιστημονικῆς μαθήσεως τὰ μάλιστ' ὀρεγομένῳ. Διὸ καὶ ἀποστὰς πρὸς τοὺς Μεγαρικοὺς, τοῦ Στίλπωνος διήκουσεν. ἀλλὰ καὶ ἀπὸ τούτων ὡσαύτως ἀπαλλάξας ἐπὶ τὴν Πλατωνικὴν μετέκλινεν φιλοσοφίαν, Πολέμωνι παραβαλὼν τῷ Ἀκαδημιακῷ. Ἐπεὶ οὖν εἴκοσιν ὅλα ἔτη διδασκόμενος διέτριψε καὶ, ὅπερ Πολέμων αὐτῷ ἐπέσκωψεν, ὥς περ φοίνιξ ἔμπορος πανταχόθεν τὰ

(δ'.) Περὶ δὲ τῆς πολιτείας αὐτοῦ ἔφασκέ τις τῶν συγχρονούντων τῷ φιλοσόφῳ, ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς αὐτὴν συγγεγραφέναι. Δ. Λ. Ζ', δ'. ἀποφαίνεται δ' ἐν αὐτῇ καὶ Ζήνων, ὥςπερ πρότερον Διογένης ὁ Σινωπεὺς καὶ ὕστερον ὁ Χρύσιππος ὅτι φύσει καλόν ἐστι τὸ τὰς γυναῖκας πᾶσι κοινὰς νομίζεσθαι. Ζ', λγ'. ρλά. « ἀρέσκει αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας δεῖν παρὰ τοῖς σοφοῖς, ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ πολιτείᾳ καὶ Χρύσιππος ἐν τῷ περὶ πολιτείας ».

ἐς τὸν βίον χρήσιμα ἀπηνθίσατο, ἰδίαν σχολὴν συνέστησεν ἐν τῇ ποικίλῃ στοᾷ, Πεισιανακτείῳ μὲν πρώην καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου ποικίλῃ προςηγορευμένῃ. ὑπὸ ταύτην οὖν τὴν στοὰν περιπατῶν τὰς φιλοσόφους διατριβὰς ἐποιεῖτο· Διὸ καὶ οἱ συνόντες αὐτῷ παρωνύμως τῇ στοᾷ στωϊκοὶ ἐκλήθησαν. Φασὶ δ' αὐτὸν ὀκτὼ καὶ πεντήκοντα ὅλα ἔτη τῆς σχολῆς προεστάναι, ἐλθεῖν δὲ καὶ εἰς γῆρας βαθύτατον μηδέποτε νοσήσαντα καὶ τέλος ἑκουσίως τὸν βίον καταςρέψαι (έ.). Ἀπέδειξε δὲ τὸν βίον ὅλον ὁ Ζήνων τῇ ἑαυτοῦ διδασκαλίᾳ πάντῃ συνᾴδοντα. κοσμιώτατός τε γὰρ ἀνθρώπων τὰ ἤθη ἐγένετο καὶ ἐγκρατέστατος καὶ πρὸς πάντα καρτερικώτατος· κομιδῇ τε λιτὸς καὶ ἀπέριττος πρὸς σιτία τε καὶ ποτὰ καὶ ἐσθῆτα καὶ οἴκησιν, ὥστε καὶ παροιμιωδῶς παρὰ τοῖς πάλαι ἐλέγετο «Ζήνωνος ἐγκρατέστερος» (ϛ'.). Ἐτιμᾶτο δὲ ἐπ' ἀρετῇ μεγάλως παρὰ πάντων· Καὶ αὐτοὶ οἱ κωμικοὶ ἐλάνθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων, ἐξ ὧν καὶ τόδε, ἔχον ὡς ἑξῆς·

Τὸν δ' οὔτ' ἄρ χειμὼν κρυόεις, οὐκ ὄμβρος ἀπείρων
οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ νόσος αἰνή,
οὐκ ἔροτις δήμου ἐναρεῖ μένος, ἀλλ' ὅγ' ἀτειρὴς
ἀμφὶ διδασκαλίῃ τέταται νύκτας τε καὶ ἦμαρ.

Ἀπεδέχετο δὲ μάλιστα αὐτὸν καὶ Ἀντίγονος ὁ βασιλεὺς καὶ εἴποτε Ἀθήναζε ἥκοι, ἀσμένως αὐτοῦ ἠκροᾶτο

(έ.) Δ. Λ. Ζ, κή. «Ἐτελεύτα δὴ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προςέπταισε καὶ τὸν δάκτυλον περιέῤῥηξε· παίσας δὲ τὴν γῆν τῇ χειρί, φησὶ τὸ ἐκ τῆς Νιόβης, Ἔρχομαι· τί μ' αὔεις ; καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν.» — Lact. inst. III, 18, 5.

(ϛ'.) Ἐπιθ. Σουΐδαν. Διογ. Λ. Ζ, κζ'.

καί ποτε ἐπιστείλας αὐτῷ παρεκάλεσεν ἐλθεῖν ὡς αὐτόν. Φέρεται δὲ καὶ ἡ ἐπιστολὴ ὧδέ πως ἔχουσα·

Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν.

Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τοῦ σοῦ βίου, λόγου δὲ καὶ παιδείας καθυστερεῖν καὶ τῆς τελείας εὐδαιμονίας, ἣν σὺ κέκτησαι. Διόπερ κέκρικα προςφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμὲ, πεπεισμένος σε μὴ ἀντερεῖν πρὸς τὸ ἀξιούμενον. Σὺ οὖν πειράθητι ἐκ παντὸς τρόπου συμμίξαι μοι, διειληφὼς τοῦτο, διότι οὐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. ὁ γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ κατ' ἀρετὴν, φανερός ἐστι καὶ τοὺς ὑποτεταγμένους παρασκευάζων πρὸς εὐανδρίαν. Οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ τὸ πολὺ γίγνεσθαι καὶ τοὺς ὑποτεταγμένους.

Ὁ δὲ Ζήνων παρῃτήσατο τὴν πρόςκλησιν οὑτωςὶ ἀντεπιστείλας,

Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν.

Ἀποδέχομαί σου τὴν φιλομάθειαν, καθόσον τῆς ἀληθινῆς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ' οὐχὶ τῆς δημώδους καὶ εἰς διαστροφὴν ἠθῶν ἀντέχῃ παιδείας. Ὁ δὲ φιλοσοφίας ὠρεγμένος, ἐκκλίνων δὲ τὴν πολυθρύλητον ἡδονὴν, ἣ τινῶν θηλύνει νέων ψυχὰς, φανερός ἐστιν οὐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων, ἀλλὰ καὶ προαιρέσει. Φύσις δὲ εὐγενὴς μετρίαν ἄσκησιν προςλαβοῦσα, ἔτι δὲ τὸν ἀφθόνως διδάξοντα, ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς. Ἐγὼ δὲ συνέχομαι σώματι ἀσθενεῖ διὰ γῆρας· ἐτῶν γάρ εἰμι ὀγδοήκοντα· διόπερ οὐ δύναμαί σοι συμμίξαι. ἀποστέλλω δὲ σοί τινας τῶν ἐμαυτοῦ συσχολαστῶν, οἳ τοῖς μὲν κατὰ ψυχὴν οὐκ ἀ-

πολείπονται ἐμοῦ, τοῖς δὲ κατὰ σῶμα προτεροῦσιν· οἷς συνὼν οὐδενὸς καθυστερήσεις τῶν πρὸς τὴν τελείαν εὐδαιμονίαν ἀνηκόντων.

Καὶ ὁ δῆμος δὲ ὁ τῶν Ἀθηναίων δημοσίᾳ αὐτὸν ἐπήνεσε τῷδε τῷ ψηφίσματι·

« Ἐπειδὴ Ζήνων Μνασέου Κιτιεὺς ἔτη πολλὰ κατὰ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος, ἔν τε τοῖς λοιποῖς ἀνὴρ ἀγαθὸς ὢν διετέλεσε καὶ τοὺς εἰς σύστασιν αὐτῷ τῶν νέων πορευομένους παρακαλῶν ἐπ' ἀρετὴν καὶ σωφροσύνην, παρώρμα πρὸς τὰ βέλτιστα, παράδειγμα τὸν ἴδιον βίον ἐκθεὶς ἅπασιν, ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετο, τύχῃ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Ζήνωνα Μνασέου Κιτιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον ἀρετῆς ἕνεκεν καὶ σωφροσύνης, οἰκοδομῆσαι δὲ αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ. Τῆς δὲ ποιήσεως τοῦ στεφάνου καὶ τῆς οἰκοδομῆς τοῦ τάφου χειροτονῆσαι τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἄνδρας ἐξ Ἀθηναίων (ἁπάντων), ἀναγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις δύο καὶ ἐξεῖναι αὐτῷ θεῖναι τὴν μὲν ἐν Ἀκαδημίᾳ, τὴν δὲ ἐν Λυκείῳ. Τὸ δὲ ἀνάλωμα τὸ εἰς τὰς στήλας γινόμενον μερίσαι τὸν ἐπὶ τῆς διοικήσεως, ὅπως ἅπαντες εἰδῶσιν ὅτι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τοὺς ἀγαθοὺς καὶ ζῶντας τιμᾷ καὶ τελευτήσαντας. » (ζ').

Τῶν δὲ συγγραμμάτων αὐτοῦ ὀλίγα μόνον λείψανα ἐς ἡμᾶς διασέσωσται. Διὸ οὐκέτι ἂν ἔχοιμεν τὰ δόξαντ' ἐκείνῳ ἀπὸ τῶν τοῖς ὕστερον προςπεπονημένων ἀκριβῶς

(ζ') Ἐπιθ: Δ. Λ. Ζ', ί. κ. φ. ξ·

διορίσαι, ἥκιστα δὲ ἀπὸ τῶν Χρυσίππῳ προςτεθειμένων, καθ᾽ὅσον γε παρὰ τοῖς ὕστερον συχνάκις ὁ Ζήνων ἐν μέρει τῶν στωϊκῶν ἁπάντων μνημονεύεται. Ἀλλὰ καὶ ὥς, λόγον ἂν ἔχοιμεν εἰπεῖν ὅτι οὗτός ἐστιν ὃς τὰ οὐσιώδη ἀξιώματα τοῦ ὕςερον ἀπαρτισθέντος συςήματος, μάλιστα δὲ πᾶν ὅ,τι τὸν ἰδιάζοντα χαρακτῆρα τῆς τῶν στωϊκῶν ἠθικῆς ἀποτελεῖ δεόντως ἤδη κατέθετο, εἰ καὶ μὴ πάντοθεν ἐπ᾽ ἀκριβὲς μετῆλθε μηδὲ φιλοσοφικῶς τὸν λόγον ἑνὸς ἑκάστου ἀπέδοτο (ή.).

Ζήνωνα δὲ διεδέξατο ὡς ἀρχηγὸς τῆς σχολῆς τῶν Στωϊκῶν ὁ μαθητὴς καὶ ἑταῖρος αὐτοῦ Κλεάνθης Φανίου Ἄσσιος, ἀνὴρ σεμνὸς εἰς ἄκρον καὶ γενναῖος τὴν φύσιν, ἀπτόητός τε ὅλως καὶ πρὸς πόνους καὶ ἡδονὰς καρτερικώτατος. Καὶ γὰρ ἀφικόμενος Ἀθήναζε καὶ τέσσαρας μόνον ἔχων δραχμάς, σφόδρα δ᾽ ἐφιέμενος τῶν Ζήνωνος ἀκροάσεων, ὥρμησε μισθοφορεῖν ἵνα τὰ πρὸς τὸν βίον ἀναγκαιότατα πορίζοιτο· « καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ᾽ ἡμέραν δ᾽ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. φασὶ δ᾽ αὐτὸν καὶ εἰς δικαςήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτ᾽ ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παρασχόντα, παρ᾽ ᾧ ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν παρ᾽ ᾗ τἄλφιτα ἔπεττεν. ἀποδεξαμένους δ᾽ αὐτὸν τοὺς Ἀρεοπαγίτας ψηφίσασθαι δέκα μνᾶς δοθῆναι, Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. — Φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατήν, διὰ τί ἀντλεῖ. τὸν δ᾽ εἰπεῖν· « ἀντλῶ γὰρ μόνον; τί δ᾽ οὐχὶ σκάπτω; τί δ᾽ οὐκ

(ή) Τοῦτο δὲ τὸ χωρὶς ἐπιστήμης τὰ δόξαντα ἁπλῶς διεξελθεῖν Διογένης ὁ Λαέρτιος λέγει « ἀφελέστερον διέλαβεν. » Ζ, πδ΄.

ἄρδω καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα;» καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. καί ποτ' ἀθροισθὲν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων καί φησι· «Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο. οἱ δ' ἔχοντες ὅθεν τραφήσονται παρ' ἑτέρων ἐπιζητοῦσι τἀπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες.» ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ἐπὶ τοῖς ἔργοις ἐκαλεῖτο. Ἦν δὲ πονικὸς μέν, ἀφυὴς δὲ καὶ βραδὺς ὑπερβαλλόντως· διὸ καὶ Τίμων περὶ αὐτοῦ φησιν οὕτως·

Τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν,
μωλύτης, ἐπέων λίθος Ἄσσιος, ὅλμος ἄτολμος;

καὶ σκωπτόμενος δ' ὑπὸ τῶν συμμαθητῶν ἠνείχετο· καὶ ὄνος ἀκούων προςεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον.» Λέγεται δὲ καὶ οὗτος ὥσπερ καὶ ὁ Ζήνων ἑκουσίως τὸ ζῆν καταστρέψαι. (*) κατέλιπε δὲ καὶ βιβλία οὐκ ὀλίγα καὶ ὡς λέγεται κάλλιστα, παντοδαπῆς ὕλης ἐχόμενα, μεταξὺ δ' ἄλλων καί τι ἐπιγραφὴν φέρον «περὶ τοῦ ὅτι ἡ αὐτὴ ἀρετὴ καὶ ἀνδρὸς καὶ γυναικός» Περιγέγονε δὲ ἐς ἡμᾶς ὁ ἐπὶ θρησκευτικῷ πτερώματι περίπυστος ὕμνος αὐτοῦ εἰς τὸν Δία, οὗ καὶ οἱ πατέρες τῆς Ἐκκλησίας πολλάκις μέμνηνται, ὡς μιᾶς τῶν προανακρούσεων, δι' ὧν ἡ τῶν

(*) Τοιάδε δὲ ἡ τελευτὴ ἐγένετο τοῦ ἀνδρός· «διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς· καί πως ἔσχε καλῶς, ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν. τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα, ἤδη αὐτῷ προωδοιπορῆσθαι, καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι, καθ' ἅ φασί τινες, ὀγδοήκοντα ἔτη βιώσαντα.» Δ. Λ. Ζ', ε.

ἐθνικῶν προαίσθησις τὴν μέλλουσαν ἐπιφάνειαν τῆς χριστιανικῆς μονοθείας ἤδη οἰωνίζονται. ἐν φιλοσοφίᾳ μέντοι ὁ Κλεάνθης, οἷον δὴ οὐ πάνυ εὐφυὴς τὴν διάνοιαν γενόμενος, ἠκολούθησε κατὰ πόδας σχεδόν τι ἐν πᾶσι τῷ Ζήνωνι.

Κλεάνθην δὲ διεδέξατο ὁ μαθητὴς Χρύσιππος ὁ Ἀπολλωνίου ἐν Σόλοις ἢ Ταρσῷ τῆς Κιλικίας περὶ τὸ σπϐ΄ ἔτος π. Χριστοῦ γεννηθείς· « Ἀνὴρ εὐφυὴς καὶ ὀξύτατος ἐν παντὶ μέρει οὕτως καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην.» πρῶτος οὗτος τὴν στωϊκὴν φιλοσοφίαν δεόντως διεπονήσατο, ἐπὶ τὸ μεθοδικώτερον αὐτὴν μεθαρμοσάμενος. καὶ πολλάκις ἔλεγε πρὸς Κλεάνθην «μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρήζειν, τὰς δὲ ἀποδείξεις αὐτὸς εὑρήσειν.» (θ΄.) τοιγαροῦν πρῶτος τῶν τέως ἀκμασάντων στωϊκῶν ὀνομαστὸς ἐν τοῖς διαλεκτικοῖς λέγεται γενέσθαι, καὶ οὕτως ὥστε καὶ πολλοὺς εἰπεῖν ὅτι «εἰ παρὰ θεοῖς ἦν ἡ διαλεκτική, οὐκ ἂν ἄλλη ἦν ἢ ἡ Χρυσίππειος.» τοσοῦτόν τε ἐπιστημονικώτερος τῶν ἄλλων στωϊκῶν εἶναι ἐδόκει, ὥστε καὶ λεχθῆναι ἐπ᾽ αὐτοῦ

οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι·

καὶ

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν στοά.

οἱ δ᾽ ὕστερον στωϊκοὶ διαφερόντως τὴν μνήμην αὐτοῦ ἐτίμων· πάντες γὰρ ὁμοφώνως τά τε ἄλλα καὶ τὴν δεινὴν τἀνδρὸς τέχνην ἐθαύμαζον, ἧπερ χρώμενος ὑπὲρ τῆς στωϊκῆς φιλοσοφίας πρὸς τοὺς ἀντιπάλους Ἐπικουρείους τε καὶ Ἀκαδημαϊκοὺς ἀπελογεῖτο. Ἦν δὲ καὶ ἐν

(θ΄) Δ. Λ. Ζ΄, ροθ΄.

τοῖς μάλιστα πολυμαθέστατος, ἀλλ' ὡς Διογένης ὁ Λαέρτιός φησι «πλεονάσας τοῖς πράγμασι τὴν λέξιν οὐ κατώρθωσε. πονικώτατός τε παρ' ὀντινοῦν γέγονεν, ὡς δῆλον ἐκ τῶν συγγραμμάτων αὐτοῦ· τὸν ἀριθμὸν γὰρ ὑπὲρ πέντε καὶ ἑπτακόσιά ἐστιν. ἐπλήθυνε δ' αὐτὰ πολλάκις ὑπὲρ τοῦ αὐτοῦ δόγματος ἐπιχειρῶν καὶ πᾶν τὸ ὑποπεσὸν γράφων καὶ διορθούμενος πλεονάκις, πλείςῃ τε τῶν μαρτυριῶν παραθέσει χρώμενος· ὥςτε καὶ ἐπειδήποτ' ἔν τινι τῶν συγγραμμάτων παρ' ὀλίγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρέθετο καί τις μετὰ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν πυθόμενον τί ἄρα ἔχοι, ἔφη· «Χρυσίππου Μήδειαν.» — Ἡ δὲ παρεδρεύουσα πρεσβῦτις αὐτῷ, ὥς φησι Διοκλῆς, ἔλεγεν ὡς πεντακοσίους γράφοι στίχους ἡμερησίους.» (ι'.) Ἀλλὰ τούτων τῶν παμπόλλων συγγραμμάτων κακῇ τύχῃ οὐδὲ ἓν ἐς ἡμᾶς διασέσωσται. Εἰκότως μέντ' ἄν τις ὑπολάβοι ὅτι τὰ πλεῖστα τῶν στωϊκῶν δογμάτων, οἷα ὑπ' ἄλλων μεταγραφέων καὶ μάλιστα ὑπὸ τοῦ Στοβαίου ἐκ τῶν Χρυσίππου συγγραφῶν αὐτολεξεὶ σχεδόν ἐστιν ἀπηνθισμένα. Τὴν δὲ τελευτὴν τοῦ φιλοσόφου τόνδε τὸν τρόπον Ἕρμιππός φησι παρὰ Διογένει τῷ Λαερτίῳ γενέσθαι· σχολάζοντά ποτ' αὐτὸν ἐν τῷ Ὠδείῳ ὑπὸ τῶν μαθητῶν ἐπὶ θυσίαν κληθῆναι, «ἔνθα προςενεγκάμενον γλυκὺν ἄκρατον καὶ ἰλιγγιάσαντα πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων (περὶ τὸ σθ' ἔτος π. Χριστοῦ) τρία καὶ ἑβδομήκοντα βιώσαντ' ἔτη. ἔνιοι δέ φασι γέλωτι συσχεθέντα αὐτὸν τελευτῆσαι. ὄνου γὰρ τὰ σῦκα αὐτῷ φαγόντος, εἰπόντα τῇ γραΐ, «δίδου νῦν ἄκρατον ἐπιρροφῆσαι τῷ ὄνῳ,» ὑ-

(ι'.) Δ. Λ. Ζ', ρπ'.

περκαγχάσαντα τελευτῆσαι.» — «Ἦν δὲ καὶ τὸ σωμάτιον εὐτελής, ὡς δῆλον ἐκ τοῦ ἀνδριάντος τοῦ ἐν Κεραμεικῷ, ὅς σχεδόν τι ὑποκέκρυπται τῷ πλησίον ἱππεῖ· ὅθεν αὐτὸν ὁ Καρνεάδης Κρύψιππον ἔλεγεν» [παρὰ Διογ. τῷ Λ. Ζ, ζ΄.].

§. μγ΄. Περὶ τοῦ καθόλου χαρακτῆρος τῆς στωϊκῆς φιλοσοφίας

Διαστέλλεται δὲ μάλιστα ἡ στωϊκὴ φιλοσοφία πασῶν τῶν πρότερον, καθ' ὅσον γε τῷ φιλοσοφεῖν πρακτικόν τι τέλος ὑποβάλλεται. Κύριον γὰρ ἔργον ταύτης τῆς φιλοσοφίας οὐκέτι τὸ θεωρητικῶς ἀνασκοπεῖν ἐστι τὴν τῶν ἀνθυφεστώτων ἡμῖν οὐσίαν, ἀλλὰ πρακτικώτερόν τι, τῆς τοῦ ἔνδον ἀνθρώπου ἐνεργείας τέλος τὸ ἔσχατον ἀνευρεῖν προβάλλεται. ὥστε τὸ τὰ ὄντ' εἰδέναι, καθ' ὅσον περ πρὸς τὸ κατ' ἀρετὴν πράσσειν χρήσιμόν πως πέφυκεν, κατὰ τοσοῦτον καὶ ἀναγκαῖον τοῖς στωϊκοῖς εἶναι ἐδόκει· καὶ γὰρ ἄνευ ὀρθῆς τῶν πραγμάτων γνώσεως καὶ συνέσεως οὔτ' ἂν ἀληθὴς ἀρετὴ ἐνδέχοιτο, οὔτ εὐδαιμονία. Οἵ τε πρότερον στωϊκοί, οἵ καὶ μᾶλλον τοῦ κυνικοῦ εἴχοντο τρόπου ὑπέφηνάν πως ἤδη καὶ ὡς ἐν οὐδενὶ σχεδόν τι λόγῳ τὸ θεωρητικῶς εἰδέναι ἐτίθεντο. καὶ γὰρ καὶ Ζήνων' αὐτόν φασι τὰς πρὸς ἀστειοτέραν παίδευσιν συντελούσας ἐπιστήμας ἤτοι τὴν λεγομένην ἐγκύκλιον παιδείαν, ἥπερ ἦν περὶ τὰ μαθήματα καὶ τὰ γραμματικὰ καὶ τὰ παραπλήσια, πάντῃ ἀνωφελῆ εἶναι οἴεσθαι. Λέγεται δέ γε καὶ τὸν μαθητὴν αὐτοῦ Ἀρίστωνα τὸν Χῖον καὶ τὴν φυσικὴν καὶ λογικὴν παρ' οὐδὲν ὡσαύτως λογίζεσθαι, τὴν μὲν ὡς μείζονος λογου

οὖσαν τῆς κατ' ἄνθρωπον διανοίας, ταύτην δὲ ὡς μηδ' ὁπωςτιοῦν εἰς τὸν βίον χρησιμεύουσαν· τὴν ἠθικὴν δὲ μόνην ἔλεγεν ὄφελός τι ἡμῖν παρασκευάζειν. [παρὰ Διογ. τῷ Λ. Ζ] Τῆς τοιαύτης μέντοι ἰσχνῆς καὶ μονομεροῦς παιδείας οὐκ' ἦν μὴ οὐ καθυπέρτερον φανῆναι οἷόν γε τὸν Χρύσιππον ἄνδρα πολυμαθέστατον ὄντα. Ἀλλὰ καὶ οὗτος ἐναντιοῦται πρὸς τὴν Ἀριστοτέλους γνώμην εἰπόντος ὅτι τῷ φιλοσόφῳ θεωρητικὸς καὶ ἐπιστήμης θηρατικὸς βίος προσήκοι καὶ περὶ τῆς θεωρίας, ὡς ἀκροτάτη αὖ εἴη αὕτη εὐδαιμονία· οὕτω γὰρ διαβιοῦν φησιν ὁ Χρύσιππος οὐθὲν ἄλλ' ἐστὶν ἢ ταῖς ἡδοναῖς χαρίζεσθαι (*)· Κυριώτατον ἄρα τέλος τῷ φιλοσοφεῖν οἱ στωϊκοὶ οὐ τὸ εἰδέναι καθ' αὑτὸ προςορίζουσιν, ἀλλὰ τὸ ἠθικῶς πράσσειν ἤτοι τὴν ἀρετήν. ὥστε ὅλην τὴν φιλοσοφίαν μηδὲν εἶναι αὐτοῖς ἄλλο ἢ διδασκαλίαν τε καὶ ἄσκησιν τῆς περὶ τὸ πράσσειν φρονήσεως (α). Καὶ οὕτω τὴν ἠθικὴν λόγου μείζονος ἀξίαν εἶναι ἡγοῦντο τῆς ἄλλης φι-

(*) Παρὰ Πλουτάρχῳ ἐν τῷ περὶ στωϊκῶν ἐναντιωμάτων. ϐ, γ. « Αὐτὸς γοῦν Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ βίων οὐδὲν οἴεται τὸν σχολαστικὸν βίον τοῦ ἡδονικοῦ διαφέρειν· αὐτὰς δὲ παραθήσομαι τὰς λέξεις. « Ὅσοι δὲ ὑπολαμβάνουσι φιλοσόφοις ἐπιβάλλειν μάλιστα τὸν σχολαστικὸν βίον ἀπ' ἀρχῆς, οὗτοί μοι δοκοῦσι διαμαρτάνειν, ὑπονοοῦντες διαγωγῆς τινος ἕνεκεν δεῖν τοῦτο ποιεῖν, ἢ ἄλλου τινὸς τούτῳ παραπλησίου, καὶ τὸν ὅλον βίον οὕτω πως διελκύσαι· τοῦτο δ' ἐστὶν, ἂν σαφῶς θεωρηθῇ, ἡδέως· οὐ γὰρ δεῖ λανθάνειν τὴν ὑπόνοιαν αὐτῶν, πολλῶν μὲν σαφῶς τοῦτο λεγόντων, οὐκ ὀλίγων δ' ἀδηλότερον. »

(α). Sen Ep. 89 : philosophia studium virtutis est, sed per ipsam virtutem. nec virtus esse sine studio sui potest, nec virtutis studium sine ipsa. — Πλούτ. ἐν τῷ περὶ τῶν ἀρεσκ. τοῖς φιλ. ἐν προοιμίῳ. « οἱ μὲν οὖν Στωϊκοὶ ἔφασαν, τὴν μὲν σοφίαν εἶναι θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην· τὴν δὲ φιλοσοφίαν, ἄσκησιν τέχνης ἐπιτηδείου· ἐπιτήδειον δ' εἶναι μίαν καὶ ἀνωτάτω, τὴν ἀρετήν. »

λοσοφίας, ὥστε καὶ τὸν Χρύσιππον φάναι τὴν φυσικὴν ἄλλου μηδενὸς ἕνεκα δεῖν παραλαμβάνειν ἢ τοῦ διακρίνειν ἔχειν τὰ ἀγαθὰ τῶν κακῶν· « οὐκ ἄλλου τινὸς ἕνεκεν ἡ φυσικὴ θεωρία παραληπτή ἐστιν, ἢ πρὸς τὴν περὶ ἀγαθῶν ἢ κακῶν διάστασιν. » (β΄.)

Παρεδέξαντο δὲ οὐχ ἧσσον καὶ οἱ Στωϊκοὶ τὴν τριχῆ τῆς φιλοσοφίας διαίρεσιν εἰς λογικὴν, φυσικὴν καὶ ἠθικήν· τούτων δὲ τὴν ἠθικὴν, ὡς ἂν καὶ πρέπον ἐκ τῆς ὅλης πραγματείας αὐτῶν φανείη, ἐν πλείστου λόγου μοίρᾳ τῶν λοιπῶν εἶχον καὶ εἴ τι ἤνυσαν ἐν ταύτῃ μάλιστα ἤνυσαν. Ἀλλὰ τὸν πυρῆνα, ὡς γ' εἰπεῖν, τοῦ φιλοσοφικοῦ αὐτῶν συστήματος περιλαμβάνει ἡ φυσικὴ, ἡ περὶ τὰς ἐσχάτας ἐστὶν αἰτίας τῶν ὄντων μάλιστα δὲ περὶ τὴν τοῦ Θεοῦ οὐσίαν. Ὅτι δ' ἐν φιλοσοφίᾳ τὴν φυσικὴν πραγματείαν οἷον δὴ τὰς ἐπιστημονικὰς ἐμπεριέχουσαν προαναλήψεις τῆς ἠθικῆς ἀνάγκη πᾶσα προηγεῖσθαι, τοῦτό γε καὶ οἱ πλεῖστοι τῶν στωϊκῶν δεόντως ἔγνωσαν, ὡς καὶ ἐκ τῶν ἀφομοιώσεων δῆλον γίγνεται, ἅς περ ποιοῦνται, ὡς οἷόντ' ἐναργῆ βουλόμενοι καταστῆσαι τὴν ἀμοιβαίαν σχέσιν τῶν τῆς φιλοσοφίας μερῶν πρὸς ἄλληλα. Παρομοιοῦσι γὰρ τὴν φιλοσοφίαν πρὸς ᾠόν· καὶ τὴν μὲν λογικὴν ἰσομοιρεῖν λέγουσι πρὸς τὸ τοῦ ᾠοῦ κέλυφος, τὴν δὲ ἠθικὴν πρὸς τὸ λευκὸν παρέγχυμα καὶ τὴν φυσικὴν πρὸς τὴν λέκιθον· ἔτι δὲ καὶ τὸ ζῶον ὡς σύμβολον τῆς φιλοσοφίας ἀνάλογον παρειλήφασιν, οὗ τὰ μὲν ὀστᾶ καὶ τὰ νεῦρα παραπλήσιον λόγον πρὸς τὴν ἐν φιλοσοφίᾳ λογικὴν ἔφασκον ἔχειν, τὰς δὲ σάρκας πρὸς τὴν ἠθικὴν καὶ τὴν ψυχὴν πρὸς

(β) Πλούτ. περὶ στωϊκ. ἐναντ. κεφ. θ΄, ς΄.

τὴν φυσικὴν (γ'). ὥστ' ἐν τούτοις τοῖς παραδείγμασιν ἡ μὲν λογικὴ ὡς ὄργανον παραλαμβάνεται, ἡ δὲ φυσικὴ ὡς ὁ πυρὴν ἤτοι τὸ ἐνδότατον καὶ κυριώτατον τῆς φιλοσοφίας μέρος.

§. μδ'. Περὶ τῆς λογικῆς κατὰ τοὺς Στωϊκούς.

Τῷ τῆς λογικῆς ὀνόματι πλατυτάτην ἔννοιαν οἱ στωϊκοὶ εἰώθεσαν ἀποδιδόναι· καὶ γὰρ ὑπὸ ταύτην παντοειδεῖς περιελάμβανον μαθήσεις, ἐξ ὧν τινὲς οὐδὲ ὅλως εἰς τὴν φιλοσοφίαν ἀνάγονται, οἷον ἡ γραμματικὴ καὶ ἡ ῥητορική. Εἴτις οὖν ταύτας τὰς θύραθεν προςθήκας περιέλοιτο, γνοίη ἂν τὴν τῶν στωϊκῶν λογικὴν περὶ μηδὲν ἄλλο κυρίως οὖσαν ἢ περὶ τὸ πορίζεσθαι τὸ εἰδέναι καὶ τὸ κριτήριον τῆς ἀληθοῦς τῶν ὄντων ἐννοίας. ποιοῦνται δὲ τὴν περὶ τούτου ἐπίσκεψιν κατὰ τὸν ἐφεξῆς τρόπον·

Γίγνεται γάρ φασιν ἡμῶν ἡ ψυχὴ τὸ πρῶτον, ὥςπερ πίναξ κενὸς ἢ χαρτίον ἄγραφον· εἶτα δὲ κατὰ σμικρὸν τὸ γνωστικὸν αὐτῆς αὐξάνεται, τὰς προσβολὰς τῶν ἐκτὸς ὄντων διὰ τῶν αἰσθήσεων προσδεχομένης· « ὅταν γεννηθῇ ὁ ἄνθρωπος, ἔχει (διάκειται) τὸ ἡγομονικὸν μέρος τῆς ψυχῆς ὥςπερ χαρτίον ἐνεργὸν εἰς ἀπογραφήν. Εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται· πρῶτος δ' ὁ τῆς ἀναγραφῆς τρόπος ἐστὶν ὁ διὰ τῶν αἰσθήσεων (α'.).» Πᾶσα γὰρ Φ α ν τ α σ ί α ἐνεργάζεται τῇ ψυχῇ ἡμῶν ἐκ τῆς τῷ σώματι ὁπωσδήποτ' ἐγγιγνομένης προσβολῆς αἰσθητοῦ τινὸς ὄντος ἤτοι τοῦ φαν-

(γ'.) Δ. Λ. Ζ, μ'.
(α'). Πλουτ. περὶ τῶν ἀρεσκ. τ. φιλοσ. Δ, ιά, ά.

ταστοῦ· «Φαντασία ἐστὶ πάθος ἐν τῇ ψυχῇ γινόμενον, ἐνδεικνύμενον ἑαυτό τε καὶ τὸ πεποιηκός. Φανταστὸν δ' ἐστὶ τὸ ποιοῦν τὴν φαντασίαν, οἷον τὸ λευκὸν καὶ πᾶν ὅ,τι ἂν δύνηται κινεῖν τὴν ψυχήν.» (β'.) Ἐκεῖνο δὲ τὸ πάθος ἢ τὴν προςβολὴν ἐξέλαβον οἱ στωϊκοὶ ὡς τύπωσιν τοῦ πράγματος ἐν τῇ ψυχῇ· «Κλεάνθης δ' ἤκουσε τὴν τύπωσιν—ὥςπερ τὴν διὰ τῶν δακτυλίων γινομένην τοῦ κηροῦ τύπωσιν.» (γ'.) Ἐκ δὲ τούτων τῶν αἰσθήσεων καὶ ἐντυπώσεων καὶ ἀντιλήψεων, τῆς μνήμης τὰ ὁμοειδῆ εἰς ἄλληλα συνειρούσης, γίγνεται ἡ ἐμπειρία· «αἰσθανόμενοί τινος, οἷον λευκοῦ, ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν· ὅταν δ' ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φασὶν ἔχειν ἐμπειρίαν. ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν πλῆθος.» (δ'.) Καὶ τέλος ἐκ τῆς ἐμπειρίας διὰ συλλογισμῶν γίγνονται αἱ κοιναὶ πᾶσιν ἀνθρώποις προλήψεις τε καὶ ἔννοιαι, καθ' ἃς τό,τε φρονεῖν καὶ πράσσειν ῥυθμίζεται. ὥστε ἡ πρωτογόνος ἀρχὴ παντὸς τοῦ εἰδέναι ἤτοι πασῶν τῶν ἐν ἡμῖν φαντασιῶν τε καὶ ἐννοιῶν αἱ διὰ τοῦ σώματος αἰσθήσεις εἰσὶ καὶ αἱ ἀντιλήψεις, αἵ περ ἡμῖν πᾶν τὸ ἐπιστητὸν χορηγοῦσιν· τοῦ γὰρ εἰδέναι αἴτιον ἡμῖν τὸ αἰσθάνεσθαι. κατὰ δὴ οὖν τοῦτον τὸν λόγον ἡ περὶ τοῦ γιγνώσκειν τῶν στωϊκῶν θεωρία εἰς ταὐτόν που συνέρχεται τῇ τῶν αἰσθησιλόγων. Αὕτη δὲ ἡ αἰσθησιλογία (sensualismus)

(β) Πλουτ. περὶ τῶν ἀρεσκ. τοῖς φιλοσ. Δ, ιβ', α'.

(γ) Σέξτ. Ἐμπειρ. πρὸς τοὺς μαθημ. Ζ', σκβ'. αὐτόθι σλ'. «φαντασία ἐστὶ κατ' αὐτοὺς τύπωσις ἐν ψυχῇ.» — Διογ. Λ. Ζ, με'. ν'. «τὴν φαντασίαν εἶναι τύπωσιν ἐν ψυχῇ, τοῦ ὀνόματος οἰκείως μετενηνεγμένου ἀπὸ τῶν τύπων τῶν ἐν τῷ κηρῷ ὑπὸ τοῦ δακτυλίου γινομένων.»

(δ) Πλουτ. περὶ τῶν ἀρεσκ. τοῖς φιλοσ. Δ, ια', ε'.

ἀναγκαίως ἐστὶν ἐχομένη τῆς καθόλου θεωρίας αὐτῶν περὶ τοῦ κόσμου ὑλικῆς παντάπασιν οὔσης, καθ' ἥν γε μόνον τὸ σωματοειδὲς ὡς ἀληθῶς ὑπάρχει. Ἄλλως τε ἡ τοιαύτη μέθοδος οὐκ ἀλλοτρία ἦν οὐδὲ οὔγε μάλιστα οἱ Στωϊκοὶ προέθεντο, τοῦ παρασχεῖν δηλονότι ἑαυτοῖς ἐξωτερικὴν καὶ πραγματικήν τινα ὑπόστασιν, ἐξ ἧς ἂν ὁ ἀνθρωπικὸς νοῦς τὸ νοεῖν πορίζοιτο. ἀμήχανον γὰρ αὐτοῖς ἔδοξεν εἶναι τὸ τὸν ἀνθρωπικὸν νοῦν τἀληθὲς περὶ τὰ ὄντα ἀφ' ἑαυτοῦ πορίζεσθαι, ὥςπεροῦν καὶ τὰς Πλατωνικὰς ἰδέας αὐτὸ τοῦτο ψιλὰ ἐννοήματα ἄντικρυς ἀπεκάλεσαν, οἷς οὐδὲν τῶν ἐνεργείᾳ ὄντων ἀμέσως αὐτοῖς ἀνθυφίσταται· καὶ γὰρ ἐν τοῖς ὄντως ὑπαρκτοῖς οὐδεμίαν φασὶ καθόλου, ἀλλὰ μόνον κατὰ μέρος ὕπαρξιν εἶναι (οὔ φασιν ἀνθρωπότητα εἶναι ἀλλὰ μόνον ἄνθρωπον τόνδε καὶ τοιόνδε, ὡρισμένον)· ὥστε δῆλον τὰς Πλατωνικὰς ἰδέας ἐκ τῶν πείρᾳ ληπτῶν ὄντων παρειλῆφθαι· ἄνευ γὰρ τῆς ἀντιλήψεως ἀνθρώπων τε καὶ ἄλλων ἐνεργείᾳ ὄντων μηδένα ἂν καὶ τῆς ἰδέας αὐτῆς ἀνθρώπου ἢ ἄλλων ὄντων εὐεπήβολον γενέσθαι. «τὰ ἐννοήματά φησι (Ζήνων) μήτε τινὰ εἶναι, μήτε ποιὰ, ὡςανεὶ δέ τινα, καὶ ὡςανεὶ ποιὰ φαντάσματα ψυχῆς· ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων ἰδέας προςαγορεύεσθαι. τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων, ἵππων, κοινότερον εἰπεῖν, πάντων τῶν ζώων καὶ τῶν ἄλλων ὁπόσων λέγουσιν ἰδέας εἶναι. ταύτας δὲ οἱ Στωϊκοὶ φιλόσοφοί φασιν ἀνυπάρκτους εἶναι, καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ περιπτώσεων (*), ἃς δὴ προςηγορίας (**)

(*) Περιπτώσεις οἱ Στωϊκοὶ ἀποκαλοῦσι τὰς τῶν αἰσθητῶν ὄντων ἀντιλήψεις.

(**) Διογ. Λ. Ζ, νή.

καλοῦσι, τυγχάνειν καὶ τὰς ἀλόγους ψυχάς.»— Ἰωάννου Στοβ. ἐκλογῶν Α. σ. τλβ'.

Ἐπεὶ οὖν πᾶσαι αἱ περὶ τὰ ὄντα γνώσεις ἐκ τῶν αἰσθήσεων καὶ φαντασιῶν ἡμῖν ἐγγίγνονται, ταύτας δὲ συμβαίνει καὶ ἀπατηλὰς εἶναι, ζητεῖται τοίνυν, τίνι δήποτε τρόπῳ ἔχοιμεν ἂν τῶν ἐν ἡμῖν φαντασιῶν τὰς μὲν ἀληθεῖς κρίνειν, τὰς δὲ ψευδεῖς; τίνι ἄρα σημείῳ ὡς κανόνι χρώμενοι οἷοί τ' ἂν γενοίμεθ' ἑκάστοτε τὰς ἀληθεῖς δόξας τῶν ψιλῶν φαντασμάτων διαγιγνώσκειν; τοῦτο τοίνυν προεβάλοντο οἱ Στωϊκοί, τὸ κριτήριον τῆς τῶν ὄντων ἀληθείας ἀνευρεῖν. ἔστι δὲ αὐτῶν ἡ ζήτησις τοιάδε τις· εἴπερ ἃς ἔχομέν, φασι, φαντασίας τοῖς φανταστοῖς αὐτοῖς ἁρμόττουσιν, τούτου πέρι νοῦς τις ἀμφοῖν ἐκείνοιν τὴν φύσιν ὑπέρτερος οἷός τ' ἂν εἴη κρίνειν. ἡμεῖς μέν τοι οὐχ οἷοί τ' ἐσμέν· καὶ γὰρ ἀδυνάτου ἡμῖν ὄντος πέραν τῶν ἡμετέρων φαντασιῶν γενέσθαι, ἀδύνατον ὅλως καὶ τὴν συμφωνίαν αὐτῶν πρὸς τὰ πράγματα ἀποδεῖξαι. τοιγαροῦν ἀνάγκη πᾶσα ἐν αὐταῖς ταῖς φαντασίαις τὸ τῆς ἀληθείας πέρι ἢ τοῦ ψεύδους αὐτῶν τεκμήριον ἀναζητεῖν. κατὰ μέτρον ἄρα τῆς ἡμετέρας διανοίας κριτήριον τῆς ἀληθείας ὑπάρχει· τοῦτο δ' οὐδὲν ἄλλο ἐστί, τόγε τὴν ὀρθότητα τῶν ἡμετέρων φαντασιῶν ἐλέγχον, ἢ κράτος τι καὶ πειθὼ ὑπερβάλλουσα, μεθ' ἧς ἡ φαντασία εἰς τὸν νοῦν ἐπεισβάλλει, ἡ ἐνάργεια, ἥπερ ἡμᾶς καὶ ἄκοντας εἰς συγκατάθεσιν βιάζεται. πᾶσα ἄρα φαντασία ταύτην τὴν δύναμιν ἔχουσα, ἀληθής ἐστιν· ἔχοι δ' ἂν τὴν δύναμιν ταύτην καὶ ἐνάργειαν μόνη «ἡ φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη,» οἷον οὐκ ἂν

γένοιτο τὸ ἀπὸ μὴ ὑπάρχοντος κενὸν φάντασμα. τηλικοῦτον δὲ κράτος ἔχουσαν φαντασίαν ὥστε τὴν ψυχὴν, ὡς ἔπος εἰπεῖν, καταλαμβάνειν καὶ κατακυριεύειν ἀπεκάλουν οἱ Στωϊκοὶ φαντασίαν καταληπτικὴν, (έ.) ἥ περ ὡς ὁ Ἐμπειρικός φησιν, «ἐ ν α ρ γ ή ς ἐστι καὶ π λ η κ τ ι κ ὴ μονονουχὶ τῶν τριχῶν κατασπῶσα ἡμᾶς εἰς συγκατάθεσιν.» τὸ κριτήριον ἄρα, ᾧ περ ἂν οἷοί τε εἴημεν τὰς ἀληθεῖς τῶν ψευδῶν διαστέλλειν φαντασιῶν, οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ κατάληψις ἤτοι ἡ φαντασία ἡ καταληπτική (ς'.)

Ἀπὸ τοιαύτης οὖν θεωρητικῆς παρασκευῆς ὁρμώμενοι οἱ Στωϊκοὶ ἀντεμάχοντο πρός τε τοὺς σκεπτικοὺς καὶ τοὺς νέους Ἀκαδημαϊκοὺς, γνώριμον τὴν περὶ τὰ ὄντα ἀλήθειαν φάσκοντες εἶναι. ἀλλὰ καὶ ἐπὶ τὸ πρακτικώτερον ἀποβλέποντες, ἀνεβάλοντο αὐτὸ ἀποδεῖξαι· μηδαμῶς γὰρ ἂν οἷοί τε εἴημέν φασι, μήτε τινὸς ὀρέγεσθαι μήτε πράσσειν ὅλως, εἰμὴ πρότερον φαντασία εὐκρινῶς ἐνειργασμένη ἡμῖν ὑπάρχοι ἐκείνου, πρὸς ὃ κατευθύνοιμεν τὴν ἡμετέραν ἐνέργειαν. καὶ ἀρετὴ δὲ ἀσφαλὴς καὶ ἀσάλευτος (εἴη δ' ἂν τοῦτο τὸ ἀπὸ πεποιθήσεως καὶ προαιρέσεως πράσσειν) οὐδόλως ἂν ἐνδεχομένη ἦν, εἰμήγε ἡ τῶν ὄντων ἀλήθεια γνωρίμη ὑπῆρχε, πίστις δὲ περὶ τῆς ἀληθείας μηδεμία μηδαμῶς ἦν δυνατή (ζ'.).

Ἐν τῷ πρόσθεν λόγῳ εἰρήκαμεν ὅτι οἱ Στωϊκοὶ ἐν τῇ λογικῇ καὶ γραμματικὰς ζητήσεις περιέλαβον.

(έ.) Σέξτ. Ἐμπ. πρὸς τοὺς μαθημ. Ζ. σνζ'.— καὶ Διογ· Λ. Ζ, ν'.

(ς') Διογ. Λ. Ζ, μς'. — Σ. Ἐμπ. πρὸς τοὺς μαθημ. Ζ, σκζ'. «κριτήριον τοίνυν φασὶν ἀληθείας εἶναι οἱ ἄνδρες οὗτοι τὴν καταληπτικὴν φαντασίαν.» Ζ, σνγ'.

(ζ'.) Παρβλ. καὶ Σελλερίου, Τ, Γ', ά, 37 κφξ.

καὶ οὐκ ὀλίγον συνετέλεσαν εἰς ἐπίδοσιν τῆς περὶ τὴν γλῶσσαν θεωρίας· καὶ γὰρ οὗτοι πρῶτοι εἰσὶν οἱ τὴν γραμματικὴν τέχνην συγκροτήσαντες, ἥπερ διὰ τῶν ῥωμαίων γραμματικῶν μέχρις ἡμῶν παραδέδοται. οὗτοι γάρ εἰσιν οἱ ποιήσαντες πάντας σχεδὸν τοὺς περὶ τὴν γραμματικὴν τεχνικοὺς ὅρους πρὸς δήλωσιν τῶν τοῦ λόγου μερῶν καὶ τῶν κλίσεων αὐτῶν. πλεῖστον δ' ἴσως πάντων ἐν τούτῳ ἤνυσεν ὁ Χρύσιππος, ὃς καὶ οὐκ ὀλίγα περὶ γραμματικῆς τέχνης καὶ ἐτυμολογίας συγγράμματα συνέταξεν (ή.).

§. μέ. Περὶ τῆς κατὰ τοὺς Στωϊκοὺς φυσικῆς.

Καὶ πρῶτον περὶ τῶν πρώτων ἀρχῶν παντὸς τοῦ ὑπάρχοντος.

Ἡ κυριωτάτη δόξα ἐξ ἧς περ ἡ τῶν στωϊκῶν φυσιολογία ἤρτηται καὶ ἡ αἰσθησιλογικὴ τῶν ὄντων γνῶσις συνάγεται, εἴη ἂν μάλιστα ἡ ὑπόληψις ἥδε· ὅτι μόνα τὰ ἔνυλα ὡς ἀληθῶς ὑπάρχει· πᾶν γαρ τὸ ὂν καθ' ὅσον γε σώματος μετέχει, ὄντως ὑπάρχει· ἐκτὸς δὲ τῶν σωμάτων οὐδὲν ὅλως ἀληθὲς ὑπάρχει. κατὰ γοῦν τοῦτον τὸν λόγον φαίνεται ἡ τῶν Στωϊκῶν φιλοσοφία τὴν ὕλην ἀρχὴν τῶν ὄντων πάντων πρώτην θεμένη, ἣν καὶ ἐναργέστερόν τε ἀπεφήνατο καὶ συνεπέστερον ἀπέδειξεν πάντων τῶν μέχρι τοῦδε παρ' ἕλλησιν ἀναφυέντων φιλοσοφημάτων. ἐς τοσοῦτον δ' ἤλασαν τῆς τοιαύτης ὑλομανοῦς καὶ ὄντως ἀήθους θεωρίας, ὥστε καὶ αὐτὸν

(η'.) Φέρονται γὰρ παρὰ Διογ. τῷ Λ. Χρυσίππου συγγράμματα «περὶ τῶν πέντε πτώσεων, περὶ λέξεων, περὶ τῆς συντάξεως τῶν λεγομένων, περὶ τῶν ἐτυμολογικῶν.» Ζ, ρϟβ'. ρϟγ'.

τὸν θεὸν καὶ τὴν ψυχὴν καὶ τὰ τῆς ψυχῆς πάθη, οἷον ὀργὴν, φθόνον, χαρὰν, ἔτι δὲ τὰς ἀρετὰς καὶ κακίας καὶ τὰς τοῦ νυχθημέρου ὥρας, τὴν ἑσπέραν, τὴν νύκτα καὶ ἀφηρημένας δὲ ἐννοίας, οἷον τὰς τῶν ὄντων ποιότητας, σώματα πάντα εἶναι ἔφασκον. ταῦτα δὲ ὁ Πλούταρχος δυςανασχετῶν ὧδέ πώς φησιν ἐν τῷ περὶ τῶν κοινῶν ἐννοιῶν πρὸς τοὺς Στωϊκούς. «Ἐν δὲ τῇ ψυχῇ τί παθόντες, ἢ τίνας πάλιν ἄλλας ὑποθέσεις κοσμοῦντες, ἐνδημιουργοῦσι σωμάτων διαφορὰς καὶ ἰδέας, ὀλίγου δέω εἰπεῖν, ἀπείρους τὸ πλῆθος, οὐκ ἂν ἔχοι τις εἰπεῖν· ἀλλ' ὅτι τὰς κοινὰς καὶ συνήθεις ἐξοικίζοντες ἐννοίας, μᾶλλον δὲ ὅλως ἀναιροῦντες καὶ διαφθείροντες, ἑτέρας ἐπειςάγουσιν ἀλλοκότους καὶ ξένας. ἄτοπον γὰρ εὖ μάλα, τὰς ἀρετὰς καὶ τὰς κακίας, πρὸς δὲ ταύταις τὰς τέχνας καὶ τὰς μνήμας πάσας, ἔτι δὲ φαντασίας, καὶ πάθη, καὶ ὁρμὰς, καὶ συγκαταθέσεις, σώματα ποιουμένους, ἐν μηδενὶ φάναι κεῖσθαι, μηδὲ ὑπάρχειν τόπον τούτοις, ἕνα (δὲ) τὸν ἐν τῇ καρδίᾳ πόρον στιγμιαῖον ἀπολιπεῖν, ὅπου τὸ ἡγεμονικὸν συστέλλουσι τῆς ψυχῆς, ὑπὸ τοσούτων σωμάτων κατεχόμενον, ὅσον τοὺς πάνυ δοκοῦντας ἀφορίζειν καὶ ἀποκρίνειν ἕτερον ἑτέρου πολὺ πλῆθος διαπέφευγε. τὸ δὲ μὴ μόνον σώματα ταῦτα ποιεῖν, ἀλλὰ καὶ ζῷα λογικὰ, καὶ ζῴων τοσούτων σμῆνος, οὐ φίλιον οὐδὲ ἥμερον, ἀλλ' ὄχλον ἀντιστάτην κακίαις καὶ πολέμιον νοῦν ἔχοντας, ἀποφαίνειν ἕκαστον ἡμῶν παράδεισον ἢ μάνδραν, ἢ δούριον ἵππον, ἢ τί ἄν τις, ἃ πλάττουσιν οὗτοι, διανοηθείη καὶ προςαγορεύσειεν; ὑπερβολή τίς ἐστιν ὀλιγωρίας καὶ παρανομίας εἰς τὴν ἐνάργειαν καὶ τὴν συνήθειαν. οἱ δ' οὐ μόνον τὰς ἀρετὰς καὶ τὰς κακίας ζῷα εἶναι λέγουσιν, οὐδὲ τὰ

πάθη μόνον, ὀργὰς καὶ φθόνους καὶ λύπας καὶ ἐπιχαιρεκακίας, οὐδὲ καταλήψεις καὶ φαντασίας καὶ ἀγνοίας, οὐδὲ τὰς τέχνας ζῷα, τὴν σκυτοτομικὴν, τὴν χαλκοτυπικήν· ἀλλὰ πρὸς τούτοις ἔτι καὶ τὰς ἐνεργείας σώματα καὶ ζῷα ποιοῦσι, τὸν περίπατον ζῷον, τὴν ὄρχησιν, τὴν ὑπόθεσιν, τὴν προσαγόρευσιν, τὴν λοιδορίαν. ἕπεται δὲ τούτοις καὶ γέλωτα ζῷον εἶναι καὶ κλαυθμόν· εἰ δὲ ταῦτα, καὶ βῆχα καὶ πταρμὸν καὶ στεναγμὸν, πτύσιν τε πάντως καὶ ἀπόμυξιν καὶ τὰ λοιπά· ἔνδηλα γάρ ἐστι. καὶ μὴ δυςχεραινέτωσαν ἐπὶ ταῦτ' ἀγόμενοι τῷ κατὰ σμικρὸν λόγῳ, Χρυσίππου μνημονεύοντες, ἐν τῷ πρώτῳ τῶν φυσικῶν ζητημάτων οὕτω προσάγοντος· «οὐχ ἡ μὲν νὺξ σῶμά ἐστιν, ἡ δ' ἑσπέρα καὶ ὄρθρος καὶ τὸ μέσον τῆς νυκτὸς σώματα οὐκ ἔστιν· οὐδὲ ἡ μὲν ἡμέρα σῶμά ἐστιν, οὐχὶ δὲ καὶ ἡ νουμηνία σῶμα καὶ ἡ δεκάτη καὶ πεντεκαιδεκάτη καὶ ἡ τριακὰς καὶ ὁ μὴν σῶμά ἐστι καὶ τό θέρος καὶ τὸ φθινόπωρον καὶ ὁ ἐνιαυτός» Κεφ. μέ. —Ταύτης δὲ τῆς θεωρίας ἀρχὴν καὶ αἰτίαν ἀποδιδόασιν οἱ Στωϊκοὶ τήν δε· ὄντως ὑπάρχον ἐστὶ πᾶν τὸ δυνάμενον ἤ τι ποιεῖν ἢ πάσχειν ὑφ' ἑτέρου· πᾶν γὰρ τὸ ἐν μηδεμιᾷ ἀμοιβαίᾳ ἐνεργείᾳ πρὸς ἕτερον ὂν, οὐδὲ τὸ παράπαν ὑπάρχει· ἀλλὰ πᾶν ὃ ἂν ποιῇ τι ἢ πάσχῃ ὑφ' ἑτέρου, σῶμά ἐστιν ἐξ ἀνάγκης· μόνη γὰρ ἡ ἐνσώματος οὐσία δύναμίν τε παρέχειν εἰς τὸ μεταβαλεῖν τι πέφυκεν καὶ αὐτή τι πάσχειν ὑφ' ἑτέρου καὶ μεταβάλλεσθαι· τὸ δὲ νοήσει περιληπτὸν ἤτοι τὸ νοητὸν, οὔτ' ἂν ποιεῖν τι οἷόν τε εἴη ὅλως, οὔτ' ἂν πάσχειν. πρβλ. καὶ Πλούτ. περὶ τῶν κοιν. ἐνν. κεφ. λ'. καὶ Cic. Acad. I, 11. Πᾶν ἄρα τὸ ἐν τῷ κόσμῳ μίαν εἶναι ἐνσώματον οὐσίαν ἔλεγον, μηδὲ πολλὰ καὶ ἀλλήλων διάφορα εἴδη τοῦ ὄν-

τος εἶναι, ὥς περ Πλάτων τε καὶ Ἀριστοτέλης ὑπειλήφασιν· ἀλλὰ καὶ τὸ νοήσει περιληπτὸν ἤτοι τὸ νοητὸν, οἷαί περ εἰσὶν αἱ ἐν τῇ φύσει ἐνεργοῦσαι δυνάμεις αἱ εἰδοποιοὶ, καὶ τοῦτο ὁμοίως ἔνυλον οἱ Στωϊκοὶ ἀπεφαίνοντο καὶ διὰ τοῦτο δύναμιν ἔχειν ἐπὶ τὸ σωματικῶς ὑπάρχον ἐπιδρᾷν (ά.).

Ὡς δ' ἐσχάτας καὶ πρώτας αἰτίας πάντων τῶν ἐπὶ μέρους σωματικῶν ὄντων καὶ δὴ καὶ παντὸς τοῦ ὄντως ὑπάρχοντος ἐτίθεσαν οἱ Στωϊκοὶ δύο ἀρχὰς σωματοειδεῖς, τὴν μὲν ὡς πρώτην ὕλην, τὴν δ' ὡς πρώτην δύναμιν ἀλλήλων πάμπαν ἀχωρίστους οὔσας. (β'.) καὶ πρώτην μὲν ὕλην ἔφασκον εἶναι, ὅπερ ὑπόλοιπον τῶν ὄντων μένει, ἐπειδάν τις αὐτῶν τῇ διανοίᾳ τὸ τοιόνδε τι ἐπὶ μέρους εἶναι ἢ τὴν ποιότητα ἀφέληται· τοῦτο δ' ἦν, ὃ πᾶσι τοῖς οὖσιν ὑπόκειται καὶ ἡ κοινὴ πᾶσιν οὐσία,

(α'.) Πλουτ. περὶ στωϊκ. ἐναντ. μγ'. Οἱ στωϊκοὶ φιλόσοφοι ὑπῆρξαν ὑλικοὶ, ὃν τρόπον καὶ ἔνιοι τῶν πατέρων τῆς Ἐκκλησίας, ἐν οἷς καὶ Τερτυλλιανὸς ἐγένετο· ἀλλ' ὑλοποίουν μόνον τὴν θεωρίαν, οὐχὶ δὲ καὶ τὴν πρᾶξιν ἤτοι ἀντεμάχοντο ἁπλῶς πρὸς τοὺς ἰδεολόγους σωματολογίαν ἀντεισάγοντες ἢ περὶ τὸ ὑπόστασιν ἔχον καὶ αἰσθήσει ληπτὸν μάλιστα ὑπῆρχεν. ἡ φιλοσοφία ἄρα αὐτῶν μοναχμός τις ἦν (Monismus), καθ' ὃν τὸ εἶδος ὡς σώματος μετέχον παραλαμβάνεται καὶ δὴ καὶ φύσιν ἔχον ἐφ' ἕτερον σῶμα ἐνεργεῖν, ἀντὶ τοῦ Πλατωνικοῦ καὶ Ἀριστοτελικοῦ δυασμοῦ (Dualismus) ἀντεισαχθεὶς, καθ' ὃν τὸ εἶδος ὡς ψιλὴ καὶ ἀνυπόστατός τις ἰδέα ὑπὲρ τὰ φυσικὰ ὄντα ἀορίστως αἰωρεῖται.

(β'.) Διογ. Λ. Ζ, ρλδ'. — Σεξ. Ἐπειρ. πρὸς τ. μαθημ. Θ, ιά. «Οἱ ἀπὸ τῆς στοᾶς δύο λέγοντες ἀρχὰς, Θεὸν καὶ ἄποιον ὕλην, τὸν μὲν Θεὸν ποιεῖν ὑπειλήφασι, τὴν δ' ὕλην πάσχειν τε καὶ τρέπεσθαι.» Sen. Ep. 65: dicunt Stoici nostri, duo esse in rerum natura, in quibus omnia fiant; Causam et materiam. materia jacet iners, res ad omnia parata, cessatura, si nemo moveat. causa autem, id est ratio, materiam format et quocunque vult versat, ex illa varia opera producit.

ἐξ ἧς γε τὰ πάντα γίγνεται, ἄμορφος, ἄποιος, πάσης μὲν μορφῆς ἐπιδεκτικὴ καὶ δι' ὅλων τρεπτὴ, αὐτὴ μέντοι καθ' αὑτὴν ἀκίνητος ὑπάρχουσα. (γ'.) ὅθεν δὴ φανερὸν ὅτι καὶ ἄλλης τινὸς ἀρχῆς ἐνεργοῦς χρήζει, ἥπερ ἂν ἱκανὴ εἴη κινεῖν τε αὐτὴν καὶ εἰδοποιεῖν καὶ εἰς τὰ καθ' ἕκαστον καὶ συγκεκριμένα ὄντα μεταβάλλειν. καὶ ἔστιν αὕτη ἡ ἀρχὴ, δι' ἧς τῇ ὕλῃ εἶδός τε καὶ ζωὴ προςγίγνεται, δύναμις τῆς ὕλης κινητικὴ κατὰ ταὐτὰ καὶ ὡςαύτως ἤτοι δημιουργικὴ καὶ εἰδοποιὸς, ὅλη τῇ ὕλῃ ἐνδογενὴς οὖσα καὶ διὰ πάσης διήκουσα. (δ'.) λόγον δ' ἔχει πρὸς τὴν ὕλην παραπλήσιον οἷόνπερ τὸ ποιοῦν πρὸς τὸ πάσχον. ταύτην δὴ οὖν τὴν κοσμοποιὸν ἀρχὴν, τὸ ἡγεμονικὸν τοῦ κόσμου ἀποκαλοῦσιν οἱ Στωϊκοὶ θεόν. ἄμφω τοίνυν τούτω τὼ ἀρχὰ, τό τε πάσχον ἤτοι τὴν ὕλην καὶ τὸ ποιοῦν ἤτοι τὸν θεὸν, ἔλεγον οἱ Στωϊκοὶ μὴ μόνον κατ' ἐπιλογισμὸν ἁπλοῦν, ἀλλὰ καὶ ὡς ἀληθῶς ἀλλήλαις ἀντεπιδρᾷν καὶ ἀλλήλων ἀπρὶξ ἔχεσθαι, δύο τε φάσεις ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος εἶναι, ὡςπεροῦν καὶ ἐν τῷ ἀνθρώπῳ ψυχήν τε

(γ'.) Διογ. Λ. Ζ, ρλδ'. – Σεξ. Ἐμπειρ. πρὸς τ. μαθημ. ί, τιδ'. «Ἐξ ἀποίου καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων ὑπεστήσαντο γένεσιν οἱ Στωϊκοί. ἀρχὴ γὰρ τῶν ὄντων κατ' αὐτοὺς ἡ ἄποιος ὕλη καὶ δι' ὅλων τρεπτή.» — Sen. Épist. 65. — Στοβ. Ἐκλογ. Α, σ. τκβ'. «Ζήνων (ἔλεγεν) οὐσίαν εἶναι τῶν ὄντων πάντων πρώτην ὕλην, ταύτην δὲ πᾶσαν ἀΐδιον, καὶ οὔτε πλείω γιγνομένην οὔτε ἐλάττω.» – ἡ ὕλη καλεῖται οὐσία κοινὴ παρὰ Μάρκῳ Αὐρηλίῳ ΙΒ', λ'.

(δ'.) Στοβ. Ἐκλογ. Α, σ. τκβ'. «διὰ ταύτης (τῆς ὕλης) διαθεῖν τὸν τοῦ παντὸς λόγον ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν.» – Διογ. Λ, Ζ', ρλή. «εἰς ἅπαν τοῦ κόσμου μέρος διήκει ὁ νοῦς, καθάπερ ἐφ' ἡμῶν ἡ ψυχή.» — Πλουτ. περὶ τῶν ἀρεσκ. τ. φιλοσ. Α, Ζ', ιζ' «πνεῦμα διῆκον δι' ὅλου τοῦ κόσμου.»

καὶ σῶμα, ὥστε καὶ τὸν ὅλον κόσμον ζῷον εἶναι ἔμψυχον καὶ λογικὸν ἢ νοερόν, οὗπερ σῶμα μὲν τὴν ὕλην, ψυχὴν δὲ τὸν Θεὸν αὐτὸν ἐξύμνουν. [Διογ. Λ. Ζ.]. ταῦτα δὲ ἐστὶ παντελὴς ἀναίρεσις τοῦ τε Πλατωνικοῦ καὶ Ἀριστοτελικοῦ δυασμοῦ.

Β'· *Περὶ τῆς τοῦ Θεοῦ οὐσίας.*

Ὅτι μὲν οὖν οἱ Στωϊκοὶ τὴν τοῦ κόσμου ψυχὴν καὶ δημιουργικὴν δύναμιν ἤτοι τὸν Θεὸν ὡς σῶμα τῇ διανοίᾳ παρίσταντο, συνάγεται ἐξ αὐτοῦ ἐκείνου τοῦ ἀξιώματος αὐτῶν, μηδὲν ὄντως ὑπάρχειν φασκόντων ὅ,τι μὴ καὶ σώματος μετέχοι. ὑπελάμβανον ἄρα τὸν Θεὸν ὡς ὂν σωματοειδές, ἄλλοι ἄλλως τὴν οὐσίαν αὐτοῦ ὁριζόμενοι (έ.)· ἔνιοι μὲν γὰρ «σῶμα νοερὸν καὶ νοῦν ἐν ὕλῃ» αὐτὸν ἀπεκάλεσαν· ἔνιοι δὲ «πνεῦμα νοερὸν καὶ πυρῶδες, οὐκ ἔχον μὲν μορφήν, μεταβάλλον δ' εἰς ἃ βούλεται.» ἄλλοι δὲ πῦρ τεχνικόν· ἄλλοι αἰθέρα· ἄλλοι πνεῦμα διῆκον δι' ὅλου τοῦ κόσμου. ἀλλὰ πάντα ταῦτα τὰ ὀνόματα οὐδὲν ἀλλήλων διαφέρει· πάντα γὰρ τὸν θερμὸν ἀέρα ὑπεμφαίνει ἢ τὸ θερμὸν ῥευστόν, ὅπερ νῦν μὲν αἰθέρα, νῦν δὲ πνεῦμα, ἄλλοτε δὲ πῦρ προςειρήκασι, τοῦ στοιχειώδους μέν τοι πυρὸς

(έ.) Ἔπιθι τὰ κυριώτερα χωρία παρὰ Στοβ. ἐν ἐκλογαῖς Α, σ. νς'. κφξ. «Διογένης καὶ Κλεάνθης Θεὸν λέγουσι τὴν τοῦ κόσμου ψυχήν. Ποσειδώνιος πνεῦμα νοερὸν καὶ πυρῶδες· Ζήνων ὁ στωϊκὸς νοῦν κόσμου πύρινον. Βόηθος τὸν αἰθέρα Θεὸν ἀπεφήνατο». — ὅρα καὶ Διογ· Λ. Ζ, ρλθ'. — καὶ Πλούταρχον ἐν τῷ περὶ τῶν κοινῶν ἐννοιῶν. κεφ. μή. οἱ Στωϊκοὶ «τὸν Θεὸν ἀρχὴν ὄντα σῶμα νοερὸν καὶ νοῦν ἐν ὕλῃ ποιοῦσιν.» — Πορφύρ. παρ' Εὐσεβ. περὶ εὐαγγελ. παρασκ. Δ, ις'. — Πλούτ. περὶ τῶν ἀρεσκ. τ. φιλοσ. Α. ζ', ιζ'. — Cic. N. D. I, 14, 36. Acad. II, 41, 126. — Πλούτ περὶ τῶν ἀρεσκ. Α, ς'. ά.

διαῤῥήδην διαστέλλουσι. Θερμότητα δὲ ἢ πῦρ ὡρίσαντο τὴν ἐνεργὸν καὶ εἰδοποιὸν ἀρχήν· καθ' ὅσον τὴν θερμότητα ἐξεδέχοντο ὡς ἀρχὴν τὸ πᾶν ἐν τῇ φύσει ζωοποιοῦσαν, ὡς δύναμιν παραγωγὸν συμπάσης τῆς ἐνοργάνου ζωῆς καὶ πάσης τῆς αὐξήσεως. (ϛʹ.)

Ἀλλ' οὐχ ἧσσον οἱ Στωϊκοὶ ἐποίουν τὸν Θεὸν καὶ ὄν ὄντως νοερόν τε καὶ ἠθικόν, ἐπευφημοῦντες αὐτὸν νοῦν καὶ λόγον τοῦ παντός (ζʹ.), ζ ῷ ο ν λ ο γ ι κ ὸ ν, κ α ὶ ν ο ε ρ ὸ ν (ήʹ.) ζ ῷ ο ν κ α κ ο ῦ π α ν τ ὸ ς ἀ ν ε π ί δ ε κ τ ο ν (θʹ.), ζ ῷ ο ν μ α κ ά ρ ι ο ν (ιʹ.) ζ ῷ ο ν τ έ λ ε ι ο ν (ιάʹ.) καὶ π α τ έ ρ α π ά ν τ ω ν (ιϐʹ.). ἀπονέμουσι δ' αὐτῷ καὶ πρόνοιαν, ζ ῷ ο ν π ρ ο ν ο η τ ι κ ὸ ν κ ό σ μ ο υ κ α ὶ τ ῶ ν ἐ ν κ ό σ μ ῳ προςαγορεύοντες (γ), ἔτι δὲ φ ι λ ά ν θ ρ ω π ο ν, ε ὐ ε ρ γ ε τ ι κ ὸ ν, ε ὐ π ο ι η τ ι κ ὸ ν καὶ τ ῶ ν π ά ν τ ω ν κ η δ ε μ ο ν ι κ ὸ ν (ιδʹ.) τοὺς μὲν πονηροὺς κολάζοντα,

(ϛʹ.) Πρϐλ. Varro L. L. V, 59· (κατὰ Ζήνωνα) animalium semen ignis is, qui anima ac mens.

(ζʹ.) Πλούτ. περὶ τῶν κοιν. ἐνν. μή, ϐʹ. οἱ Στωϊκοὶ «τὸν Θεὸν—νοῦν ἐν ὕλῃ ποιοῦσιν » — Διογ. Λ. Ζ, ρλή. « εἰς ἅπαν τοῦ κόσμου μέρος διήκει ὁ νοῦς, καθάπερ ἐφ' ἡμῶν ἡ ψυχή». ρλέ. «νοῦν εἶναι Θεόν.»

(ηʹ.) Διογ. Λ. Ζ, ρμζʹ. (θʹ.) αὐτόθι.

(ιʹ.) Πλουτ. περὶ Στωϊκῶν ἐναντιωμάτων λή, γʹ.

(ιαʹ.) Διογ. Λ. Ζ, ρμζʹ. (ιϐʹ.) αὐτόθι.

(ιγʹ.) Διογ. Λ. Ζ, ρλή. « ὁ κόσμος διοικεῖται κατὰ νοῦν καὶ πρόνοιαν.» — Ζ ρμζʹ. Πλουτ. περὶ Στωϊκ. ἐναντ. λή, ά (Χρύσιππος) « πρὸς τὸν Ἐπίκουρον μάλιστα μάχεται καὶ πρὸς τοὺς ἀναιροῦντας τὴν πρόνοιαν.» Ζήνων παρὰ Στοϐ. ἐν Ἐκλογ. Α, σ. ροή.

(ιδʹ.) Ἄρειος Δίδυμος λέγει παρ' Εὐσεϐίῳ ἐν προπαρ. Εὐαγγελ. ΙΕ, ιέ. ὅτι ὁ Θεός ἐστι τῶν ἀνθρώπων κηδεμονικὸς, εὐεργετικὸς, ἀγαθὸς, φιλάνθρωπος κτέ. Καὶ Πλούταρχος ἐν τῷ περὶ τῶν κοινῶν ἐννοιῶν (κεφ. λϐʹ) λέγει· « Καὶ μὴν αὐτοί γε (οἱ Στωϊκοὶ) πρὸς τὸν Ἐπίκουρον οὐδὲν ἀπολείπουσι τῶν πραγμάτων, ἰοὺ, ἰοὺ, φεῦ, φεῦ, βοῶντες, ὡς συγχέοντα τὴν τῶν

ἀνταμείβοντα δὲ τοὺς ἀγαθοὺς (ιέ.). καὶ ὁ περιώνυμος δὲ τοῦ Κλεάνθους ὕμνος Θεὸν αἰνεῖ πανταχοῦ τῆς φύσεως παρόντα, ἱερώτατον, ἠθικώτατον. διὸ οἱ Στωϊκοὶ φανεροὶ μέν εἰσι τὴν ἑαυτῶν θεολογίαν τοῖς κοινῇ νομιζομένοις θεοῖς συμβιβάζοντες, οὐ μέν τοι δέχονται αὐτοὺς ἀνθρωπομόρφους ὄντας, οὐδ' ἀνθρωποπαθεῖς (ιϛ'.). τὸν μὲν οὖν Δία πρεσβύτατον Θεὸν νομίζουσι, πάντα μὲν γεννῶντα, πάντα δὲ διέποντα. τῶν δὲ κοινῇ γεραιρομένων θεῶν ἐνίους μὲν εἰς τοὺς ἀστέρας ἀπένειμαν, ἐνίους δὲ εἰς τὰ στοιχεῖα· προςηγόρευον δ' αὐτοὺς θ ε ο ὺ ς γ ε ν ν η τ ο ύ ς, οἱ σὺν τῷ κόσμῳ γενόμενοι εἰς σωτηρίαν τε αὐτοῦ συντελοῦσιν καὶ διακόσμησιν· κατὰ δὲ τὴν ἐκπύρωσιν τοῦ κόσμου μετὰ τῶν ἄλλων ἁπάντων εἰς τὴν τοῦ Διὸς οὐσίαν συντήκονται. [ἔπιθι Διογ. τὸν Λ. Ζ, ρμϛ'.—καὶ Πλούτ. περὶ Στωϊκ. ἐναντ. κεφ. λή, λθ'.]

Γ'. *Περὶ τῆς τῶν Στωϊκῶν κοσμολογίας.*

Ἐν ἀρχῇ ἦν ὁ Θεὸς μόνος ἤτοι τὸ ἀρχικὸν πῦρ, ὅπερ ἅμα καὶ ὁ ἀνώτατος νοῦς ἐστιν ἢ τἀνάπαλιν ὁ ἀνώ-

θεῶν πρόληψιν, ἀναιρουμένης τῆς προνοίας· « Οὐ γὰρ ἀθάνατον καὶ μακάριον μόνον, ἀλλὰ καὶ φιλάνθρωπον καὶ κηδεμονικὸν καὶ ὠφέλιμον προλαμβάνεσθαι καὶ νοεῖσθαι τὸν Θεόν. »—Πλούτ. ἐν τῷ περὶ Στωϊκῶν ἐναντιωμάτων κεφ. λή, γ' φησὶν « Ἀντίπατρος ὁ Ταρσεὺς (Στωϊκὸς Παναιτίου καθηγησάμενος) ἐν τῷ περὶ θεῶν γράφει κατὰ λέξιν· « Θεὸν τοίνυν νοοῦμεν ζῷον μακάριον καὶ ἄφθαρτον καὶ εὐποιητικὸν ἀνθρώπων. »

(ιε'.) Πλούτ. περὶ Στωϊκ. ἐναντ. κφ. ΙΕ', β'. εἰσάγει τὸν Χρύσιππον λέγοντα, ὡς οἱ θεοὶ τοὺς πονηροὺς τιμωρίαις μετέρχονται, « ὅπως τῶν πονηρῶν κολαζομένων οἱ λοιποὶ παραδείγμασι τούτοις χρώμενοι, ἧττον ἐπιχειρῶσι τοιοῦτόν τι ποιεῖν. » Αὐτόθι. λέ. Χρύσιππός φησι « τὸν Θεὸν κολάζειν τὴν κακίαν, καὶ πολλὰ ποιεῖν ἐπὶ κολάσει τῶν πονηρῶν. »

(ιϛ'.) Ἔπιθι Διογ. τ. Λ. Ζ, ρμζ'. — Lactant. ir. 5 : Stoici aiunt gratiam in Deo esse, iram non esse. Cic off. III, 28 ; numquam nec irasci Deum nec nocere.

τατος νοῦς, ὅς ἐστιν ἅμα καὶ τὸ πρῶτον πῦρ. τοῦτο δὴ τὸ πρῶτον πῦρ αὐτή τε ἦν ἡ οὐσία τοῦ Θεοῦ καὶ ἡ ὕλη ἅμα, ἐξ ἧς γε ὁ κόσμος δευτέρῳ χρόνῳ οἷός τ' ἐγένετο συνεστάναι. ἐκ τούτου οὖν οἷον ἐκ σπέρματος τὸ Σύμπαν τόδε προῆλθεν. τοιγαροῦν ὁ Θεὸς δημιουργεῖ τὸν κόσμον ἐξ ἑαυτοῦ ἐνδοτέρᾳ ἀνάγκῃ καὶ ἰδίᾳ βουλήσει κινούμενος. ἡ κοσμοποιΐα ἄρα ἔργον ἐστὶν αὐτῆς τε τῆς τοῦ Θεοῦ φύσεως καὶ τῆς Προνοίας ἢ Εἱμαρμένης (ιζ΄.)· διὸ οἱ Στωϊκοὶ τὸν Θεὸν καὶ πῦρ ἀπεκάλεσαν «τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου.» (ιή.) ὁ δ' οὖν Δημιουργὸς τῇ ἑαυτοῦ βουλήσει μετέβαλε τὸ πρῶτον ἐκεῖνο πῦρ πυκνώσει τε καὶ ἀραιώσει εἰς τὰ τέσσαρα στοιχεῖα. καὶ «ἡ πυρὸς μεταβολή ἐστι τοιαύτη· δι' ἀέρος εἰς ὕδωρ

(ιζ΄.) Διογ. Λ. Ζ, ρμθ΄. «καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι» — Στοβ. 'Εκλογ. Α, ρπ΄. « Χρύσιππος δύναμιν πνευματικὴν τὴν οὐσίαν τῆς εἱμαρμένης, τάξει τοῦ παντὸς διοικητικήν. » — Πλούτ. περὶ κοιν. ἐνν. λδ΄. « οὐδὲ τὸ ἐλάχιστον ἔστι τῶν μερῶν ἔχειν ἄλλως ἀλλ' ἢ κατὰ τὴν τοῦ Διὸς βούλησιν, ἀλλὰ πᾶν μὲν ἔμψυχον οὕτως ἴσχεσθαι καὶ οὕτω κινεῖσθαι πέφυκεν, ὡς ἐκεῖνος ἄγει, κἀκεῖνος ἐπιστρέφει καὶ ἴσχει καὶ διατίθησιν. » Αὐτ. περὶ Στωϊκ. ἐναντ. λδ΄. — Δ. Λ. Ζ, ρλδ΄. ρλς΄, ρλζ΄. — Cic. N. D. II, 22: Zeno naturam ita definit, ut eam dicat ignem esse artificiosum ad gignendum progredientem via. Censet enim, artis maxime proprium esse, creare et gignere. Ipsius vero mundi, qui omnia complexu suo coërcet et continet, natura non artificiosa solum, sed plane artifex ab eodem Zenone dicitur, consultrix et provida utilitatum opportunitatumque omnium ;—natura mundi omnes motus habet voluntarios conatusque et appetitiones. Talis igitur mens mundi quum sit ob eamque causam vel prudentia vel providentia appellari possit, haec potissimum providet, primum ut mundus quam aptissimus sit ad permanendum, deinde ut nulla re egeat, maxime autem ut in eo eximia pulchritudo sit atque omnis ornatus. (πρβλ. Διογ. Λ. Ζ, ρμθ΄).

(ιη΄) ἔπιθι Στοβαίου 'Εκλογ. Α, ξδ΄, ξς΄. — Διογ. Λ. Ζ, ρνς΄.

τρέπεται· κἀκ τούτου, γῆς ὑφισταμένης, ἀὴρ ἀναθυμιᾶται, λεπτυνομένου τοῦ ἀέρος, ὁ αἰθὴρ περιχεῖται κύκλῳ·» ὁ δ' αἰθὴρ ἐπὶ πλέον λεπτυνόμενος μεταβάλλει εἰς πῦρ· εἶτα δὲ ἐκ τῶν τεσσάρων στοιχείων πάντα τὰ ἐπὶ μέρους ἐν τῷ κόσμῳ συνέστη, φυτά τε καὶ ζῷα καὶ πάντα τἄλλα γένη (ιθ'.), ἤτουν τὸ πῦρ τὸ δημιουργὸν παντοδαπῇ τε μίξει παντοδαπῇ τε εἰδοποιήσει τὰ παντοῖα εἴδη τε καὶ γένη τῶν ὄντων ἀπετέλεσεν. ἐπεὶ οὖν τὸ πρῶτον πῦρ πρώτη οὐσία ἐστὶ τῶν ὄντων, περιείληφεν ἄρα ἐν ἑαυτῷ τὰς ποιότητας, πνεύματα οὔσας καὶ δυνάμεις ἀερώδεις, δι' ὧν ἡ ὕλη εἶδός τε καὶ φυὴν ὡρισμένην λαμβάνει, μάλιστα δὲ πάντας τοὺς σπερματικοὺς λόγους, δι' ὧν ἅπαντα τὰ εἴδη τῶν ὀργανικῶν ὄντων γίγνεταί τε καὶ ἡ ἀδιάλειπτος διάδοσις αὐτῶν εὐοδοῦται. (κ'.).

Ἐπεὶ οὖν ὁ κόσμος δημιούργημα καὶ ὡς ἔπος εἰπεῖν σῶμα Θεοῦ ὑπάρχει, ὅ περ αὐτὸς ὁ Θεὸς ἐξ ἑαυτοῦ γεννᾷ, διὰ τοῦτο τέλειός ἐστι, κάλλιστος καὶ πρὸς τέλος πεποιημένος. (*) ταύτην δὲ τὴν ἐντέλειαν καὶ εὐταξίαν καὶ καλλονὴν τοῦ τῶν ὅλων συστήματος, ἔτι δὲ τὴν μετὰ λόγου τε καὶ προνοίας διακόσμησιν αὐτοῦ προϋ-

(ιθ') Πλουτ. περὶ Στωϊκ. ἐναντ. μά. γ'.—Στοβ. Ἐκλογ. Α, τζ'. — Δ. Λ. Ζ, ρλς'. ρμϐ'.

(κ') Πλουτ. περὶ Στωϊκ. ἐναντ. μγ'. « τὰς δὲ ποιότητας πνεύματα οὔσας καὶ τόνους ἀερώδεις (πᾶν γὰρ τὸ ποιοῦν ἵνα ποιῇ τι σώματος ἀνάγκη μετέχειν ὡς καὶ πρότερον ἐῤῥέθη), οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν.» Διογ. Λ. Ζ, ρμή. « ἔστι δὲ φύσις ἕξις ἐξ αὑτῆς κινουμένη, κατὰ σπερματικοὺς λόγους ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς. » Στοϐ. Ἐκλογ. Α, ξς'· « πῦρ τεχνικὸν ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἅπαντα καθ' εἱμαρμένην γίνεται. »

(*) Τέλεον σῶμα, Πλουτ. περὶ στωϊκ. ἐναντ. μδ', ς'.

φέροντο οἱ Στωϊκοὶ ἑκάστοτε ὡς κυριώτατον τεκμήριον τῆς τοῦ Θεοῦ ὑπάρξεως. «ἔσχον δ' ἔννοιαν τούτου (τοῦ θείου) πρῶτον μὲν ἀπὸ τοῦ κάλλους τῶν ἐμφαινομένων προςλαμβάνοντες· οὐδὲν γὰρ τῶν καλῶν εἰκῇ καὶ ὡς ἔτυχε γίνεται, ἀλλὰ μετά τινος, τέχνης δημιουργούσης. καλὸς δὲ ὁ κόσμος· δῆλον δ' ἐκ τοῦ σχήματος καὶ τοῦ χρώματος καὶ τοῦ μεγέθους καὶ τῆς περὶ τὸν κόσμον τῶν ἀστέρων ποικιλίας. σφαιροειδὴς δὲ ὁ κόσμος· ὃ πάντων τῶν σχημάτων πρωτεύει· μόνον γὰρ τοῦτο τοῖς ἑαυτοῦ μέρεσιν ὁμοιοῦται. περιφερὴς δ' ὢν, ἔχει τὰ μέρη περιφερῆ· διὰ τοῦτο γὰρ, κατὰ τὸν Πλάτωνα, ἐν τῇ κεφαλῇ τὸ ἱερώτατον συνέστηκε, νοῦς. καὶ τὸ χρῶμα δὲ καλόν· κυανώσει γὰρ κέχρωσται, ὃ πορφύρας μέν ἐστι μελάντερον, στίλβουσαν δ' ἔχει τὴν ποιότητα· καὶ διὰ ταύτην τὴν αἰτίαν τῷ τῆς χροιᾶς συντόνῳ διακόπτων τηλικαύτην τοῦ ἀέρος ἀπόστασιν, ἐκ τοσούτων διαστημάτων θεωρεῖται. καὶ ἐκ τοῦ μεγέθους καλός· πάντων γὰρ τῶν ὁμογενῶν τὸ περιέχον καλὸν, ὡς ζῷον καὶ δένδρον. ἐπιτελεῖ τὸ κάλλος τοῦ κόσμου καὶ τὰ φαινόμενα· ὁ μὲν γὰρ λοξὸς κύκλος ἐν οὐρανῷ διαφόροις εἰδώλοις πεποίκιλται·

> Τῷ δ' ἐπὶ καρκίνος ἐστὶ, λέων δ' ἐπὶ τῷ, μετὰ δ' αὐτὸν
> παρθένος, ἠδ' ἐπὶ οἱ χηλαὶ, καὶ σκορπίος αὐτὸς,
> τοξευτήρ τε καὶ αἰγόκερως· ἐπὶ δ' αἰγοκέρωτι
> ὑδροχόος· δύο δ' αὐτὸν ἐπ' ἰχθύες ἀστερόεντες·
> τοὺς δὲ μέτα κριὸς, ταῦρος δ' ἐπὶ τῷ, δίδυμοί τε

μυρία δ' ἄλλα καθ' ὁμοίους τοῦ κόσμου περικλάσεις πεποίηκεν· ὅθεν καὶ Εὐριπίδης φησί·

> τὸ τ' ἀστερωπὸν οὐρανοῦ σέλας,
> χρόνου καλὸν ποίκιλμα, τέκτονος σοφοῦ·

ἐλάβομεν δ' ἐκ τούτου ἔννοιαν Θεοῦ.» (*) [Πλουτ. περὶ τῶν ἀρεσκ. τ. φιλοσ. κεφ. ϛ'. προβλ. καὶ Cic. N. D. II, 5—22.]. ταύτην δὲ τὴν τελειότητα τοῦ σύμπαντος οὐδ' ὁπωςτιοῦν τὰ ἐν τῷ κόσμῳ παντοειδῆ κακὰ παραβλάπτουσιν. καὶ γὰρ τὸ κακὸν αὐτοῦ γε τοῦ ἀγαθοῦ ἕνεκεν ὑπάρχει ὡς ἀναγκαῖος ὅρος ἐναντιώσεως. οὐθὲν γὰρ ἀγαθὸν ἄνευ κακοῦ ἐνδεχόμενόν ἐστιν, οὔτε δικαιοσύνη ἄνευ ἀδικίας, οὔτε ἐγκράτεια ἄνευ ἀκρασίας καί, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, οὐδεμία ἀρετὴ τὸ παράπαν ἄνευ τῆς ἀντιστοιχούσης κακίας ὑπάρχει· πολλῷ δέ τοι μᾶλλον τἀγαθὸν κατὰ τοσοῦτόν γε ἐπιγιγνώσκεταί τε καὶ ἐν διηνεκεῖ ἐνεργείᾳ παραμένει, καθ' ὅσον περ ἂν πρὸς τὸ ἐναντίον, τὸ κακὸν ἀντιμάχηται, καθαπεροῦν καὶ ὁ Χρύσιππός φησιν· «ἡ κακία γίνεται καὶ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον καί, ἵν' οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα· οὔτε γὰρ τἀγαθὰ ἦν.» (κά.). καὶ ἐν τούτῳ μάλιστα τὸ τοῦ Θεοῦ μεγαλεῖον καταφαίνεται, ὅτι τὸ καλὸν συνῆψε τῷ αἰσχρῷ καὶ τἀγαθὸν τῷ κακῷ καὶ οὕτω σύστημα ἐναρμόνιον τὸν ὅλον κόσμον ἀπέφηνεν. πᾶν γὰρ ὃ ἂν ὄντως ὑπάρχῃ, ἀναγκαῖόν ἐστι καὶ

(*) ἔνια δὲ τούτων εἰ καὶ ὑπ' ἄλλων εἰρημένα, παρέλαβον μέν τοι οἱ Στωϊκοὶ πρὸς ἀπόδειξιν τῆς τοῦ Θεοῦ ὑπάρξεως.

(κα') Κατὰ λέξιν ταὐτὰ καὶ ἐν τῷ περὶ τῶν κοινῶν ἐννοιῶν. ιδ', Β'.— Gell. VI, I, 2: Chrysippus in libro περὶ προνοίας quarto; nihil est, inquit, insulsius, qui opinantur bona esse potuisse, si non essent itidem mala. nam cum bona malis contraria sint, utraque necessum est opposita inter sese et quasi mutuo adverso quaeque fulta nisu consistere; nullum adeo contrarium est sine contrario altero. Quo enim pacto justitiae sensus esse posset, nisi essent injuriae? quid item fortitudo intelligi posset, nisi ex ignaviae oppositione? quid continentia, nisi ex intemperantiae?

ἔλλογον καὶ ἀγαθόν· τοῦτο δὲ τὸ φθέγμα οὐδεμία ἄλλη φιλοσοφία οὕτω κατηγορικῶς ἐδίδαξεν, ὥς περ ἡ στωϊκή. καὶ πρὸς τὴν παρὰ Πλάτωνι ὀλιγωρίαν καὶ καταφρόνησιν τοῦ σωματοειδοῦς ἤτοι τῶν φυσικῶν ὄντων ἀντιτιθέασιν οὗτοι τόδε τὸ δόγμα· ὅτι οὐ μόνον τὸ Θεῖον, ἀλλὰ καὶ αὐτὸς ὁ κόσμος ἀγαθός ἐστιν· ἐξ οὗ δὴ καὶ ἡ ἀγάπησις καὶ, ὥς γ' εἰπεῖν, φιλίωσις πρὸς πᾶν τὸ ὑπάρχον προέρχεται.

Ἀλλ' οὗτος δὴ ὁ τοσοῦτον τελείως καὶ ἁρμονικῶς διατεταγμένος κόσμος οὐκ ἔστιν ἀΐδιος· ὡς δ' ἐν χρόνῳ ἀρχὴν ἔσχεν, οὕτως ἐν χρόνῳ καὶ τέλος λαμβάνει. ὥς ποτε ἐκ τῆς πρωτογόνου οὐσίας παρήχθη, οὕτω πάλιν, τοῦ εἱμαρμένου συντελεσθέντος χρόνου, εἰς τὴν πρώτην κατάστασιν ἐπαναστρέφει. καὶ γὰρ τὸ Θεῖον ἐκεῖνο πῦρ, πάντα τὸν κόσμον ἐξ ἑαυτοῦ παραγαγὸν, ἀντιπεριίσταται πρὸς τὰς ἐνσωμάτους οὐσίας αὐτοῦ, ὡς δύναμις κινητικὴ ἢ ὡς παγκόσμιος ψυχή. ἀλλ' ἐν τούτῳ ἐκτρέπεταί πως τῆς ἑαυτοῦ φύσεως τῇ τῶν στοιχείων τοῦ κόσμου ἀφομοιούμενον. ἐξ οὗ δὴ καὶ προσφύεται αὐτῷ, ὡς ἔπος εἰπεῖν, νάρκη τις καὶ ἀδρότης, ἀλλότρια ὄντα τῆς πρώτης οὐσίας αὐτοῦ· διὸ ἀναγκαῖον αὐτὸ καὶ αὖθις διαλυθῆναι. συμβαίνει δὲ τοῦτ' αὐτῷ ὅταν, προϊόντος τοῦ χρόνου, νέον αὖθις μένος ἀναλαμβάνον, ἐπὶ τοσοῦτον ἀεὶ αὔξηται, ἕς τ' ἂν τελευτῶν πᾶν τὸ ὑγρὸν αὐήνῃ τε καὶ ἐκπυρώσῃ καὶ πᾶσαν τὴν ὕλην εἰς ἑαυτὸ ἐξαναλώσῃ (κϐ'.). γίγνεται δὴ οὖν ἡ τῆς ὕλης ἀνάλωσις καὶ

(κϐ') Πλούταρχος ἐν τῷ περὶ στωϊκ. ἐναντ. κεφ. λθ', ϐ'. « ἡ τοῦ κόσμου ψυχὴ αὔξεται συνεχῶς, μέχρις ἂν εἰς αὐτὴν ἐξαναλώσῃ τὴν ὕλην. » πρϐλ. καὶ κεφ. μά. « ὅταν ἐκπύρωσις γένηται, διόλου ζῆν καὶ ζῷον (τὸν κόσμον) εἶναί φησι· σϐεννύμενον δ' αὖθις καὶ παχυνόμενον εἰς ὕδωρ καὶ γῆν καὶ τὸ σωματοειδὲς τρέπεσθαι. » — Cic. N. D. II, 46, 118.

ἡ ἐπάνοδος παντὸς τοῦ κόσμου εἰς τὴν πρώτην κατάστασιν διὰ καθολικῆς ἐκπυρώσεως, ἥ περ πᾶν τὸ σωματοειδὲς τοσοῦτον ὁλοσχερῶς συντήκει, ὥστε μετὰ τὴν ἐκπύρωσιν οὐδὲν ἄλλο ὑπολείπεται ἢ τὸ πρωτόγονον πῦρ, ἤτοι αὐτὸς ὁ Θεός· «ὅταν ἐκπυρώσωσι τὸν κόσμον οὗτοι, κακὸν μὲν οὐδ' ὁ τιοῦν ἀπολείπεται, τὸ δ' ὅλον φρόνιμόν ἐστι τηνικαῦτα καὶ σοφόν.» [Πλουτ. περὶ κοιν. ἐνν. ιζ'.]. Ζεὺς δὲ μόνος πάλιν εἰς ἑαυτὸν περιτέλλεται· οὐδὲν γὰρ ἄλλο ὑπόλοιπον μένει, ἀλλ' ἡ παγκόσμιος ψυχὴ καὶ ἅμ αὐτῇ ἡ αἰθερία τοῦ πυρὸς οὐσία, ἐξ ἧς περ ὁ κόσμος ἐγεγόνει (κγ'.). ἀλλ' αὕτη ἡ τοῦ σύμπαντος κόσμου ἐκπύρωσις οὐκ ἐς ἀεὶ παραμένει, ἀλλὰ, τελειωθείσης αὐτῆς καὶ τοῦ μεγίστου ἐνιαυτοῦ συντελεσθέντος, νέα πάλιν τῶν ὅλων διακόσμησις ἄρχεται, ἥπερ ὡσαύτως κατὰ τοὺς αὐτοὺς νόμους καὶ ἐν ἴσῳ χρόνῳ τῇ πρότερον διαγίγνεται· «Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν (ἤγουν τὴν ὕλην) μεταβάλλειν, οἷον εἰς σπέρμα, εἰς τὸ πῦρ καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν.» (κέ.). ἕκαστος δὲ τῶν ἐπιγιγνομένων κόσμων οὕτω δὴ πανόμοιός ἐστι τῷ πρότερον καὶ τῷ πρώτως γεγενημένῳ, ὥστε οἱ αὐτοὶ ἄνθρωποι ἐν αὐτῷ

(κγ'.) Ἔπιθι τὴν έ σημ. καὶ Πλουτ. περὶ τῶν κοιν. ἐνν, κεφ. λς'· «Λέγει γοῦν Χρύσιππος «ἐοικέναι τῷ μὲν ἀνθρώπῳ τὸν Δία καὶ τὸν κόσμον τῇ δὲ ψυχῇ τὴν πρόνοιαν· ὅταν οὖν ἐκπύρωσις γένηται, μόνον ἄφθαρτον ὄντα τὸν Δία τῶν θεῶν, ἀναχωρεῖν ἐπὶ τὴν πρόνοιαν, εἶτα ὁμοῦ γενομένους ἐπὶ μιᾶς τῆς τοῦ αἰθέρος οὐσίας διατελεῖν ἀμφοτέρους.»

(κδ'.) Νουμήνιος παρ' Εὐσ. εὐαγγ. προπαρασκ. ΙΕ', ιθ'. «ἡ ἀνάστασις ἐκείνη ποιοῦσα ἐνιαυτὸν τὸν μέγιστον.»

(κέ.) Στοβ. ἐκλογ. Α, υιδ'.

ζῶσι καὶ κατὰ τὰ αὐτὰ ὡςαύτως (κς'.). καὶ αὕτη ἡ παγκόσμιος δημιουργία ἤτοι κοσμοποιία ἐπανακυκλεῖται τὸν ὅλον αἰῶνα ἐν χρόνῳ διατεταγμένῳ κατὰ νόμους ἀναλλοιώτους. ἐπιτελεῖται δὲ τῷ ἑνιαίῳ καὶ ἀπταίστῳ καὶ καθολικῷ νόμῳ τῆς εὐταξίας καὶ διακοσμήσεως, ὃς τήν τε τῶν ὅλων δημιουργίαν καὶ τὴν γένεσιν καὶ εἰδοποίησιν καὶ ζωὴν πάντων τῶν καθ' ἕκαςον ἐν τῷ κόσμῳ διέπων ὄντων, ποιεῖ ὥςε μηδὲν ἐν τῷ κόσμῳ εἰκῆ καὶ ὡς ἔτυχε συμβαίνειν, ἀλλὰ πᾶν τὸ γιγνόμενον, οὗ τε ἂν γίγνηται καὶ ὁπόταν, ἑνιαίαν καὶ ἀναγκαίαν ἀποτελεῖν ἀλληλουχίαν αἰτίων τε καὶ αἰτιατῶν. οὗτος δὴ ὁ αὐτὸς ἀεὶ μένων διάκοσμος, καθ' ὅν γε ὁ ὀργασμὸς καὶ ἡ εὐαρμοστία τῆς ὅλης φύσεως τελεσφορεῖται, παντοίοις ὀνόμασιν ὑπὸ τῶν Στωϊκῶν κέκληται· καὶ γὰρ νόμος ὁ κοινὸς ἀποκαλεῖται καὶ ὁ τοῦ παντὸς λόγος καὶ εἱμαρμένη καὶ ἀνάγκη. ἐπεὶ οὖν τὸ θεῖον κατεργάζεται μὲν τὴν ἐν τῷ παντὶ ὀργῶσαν ζωήν, οὐ μέντοι κατά γε τὸ δοκοῦν, οὐδ' ἰδίᾳ δυνάμει αὐτὴν διϊθύνει, πολλῷ δὲ μᾶλλον ὁ τοῦ παντὸς λόγος ἐςίν, ὅς περ μόνον τὸν νόμον καὶ δὴ καὶ μίαν μόνην μορφὴν τοῦ κόσμου ἐπιτελῆ ποιεῖν βούλεται, οἷα περ κατ' ἀνάγκην ἐξ αὐτῆς τῆς τῶν ἀρχῶν φύσεως παντὸς τοῦ ὑπάρχοντος προκύπτει, διὰ τοῦτο ἔφασκον οἱ Στωϊκοὶ Θεὸν καὶ νόμον τὸν κοινὸν τοῦ κόσμου εἱμαρμένην τε καὶ τύχην μηδαμῶς δεῖν ἀλλήλων ὡς ἕτερα χωρίζειν, ἀλλ' ἓν καὶ ταὐτὸν πάντα ὁμοίως ὑπολαμβάνειν. (κζ'.).

(κς'.) Κλήμεντ. Ἀλεξ. στρωμ. Ε, Α, σ. φμθ'. — πρβλ. Ὠριγ. κατὰ Κέλσ. Δ, ξή.

κζ'.) Διογ. Λ. Ζ, ρμθ'. «καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίγνεσθαι—· ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὄντων εἱρομένη ἢ λόγος, καθ' ὃν ὁ

Ταῦτα δὲ τὰ κεφαλαιώδη δόγματα τὰ τὴν φυσικὴν τῶν Στωϊκῶν συναποτελοῦντα οὐ τῆς διανοίας αὐτῶν ἐπινοήματά ἐστιν, ἀλλ' Ἡρακλείτου τοῦ Ἐφεσίου. Ἡράκλειτος γὰρ πρῶτος ἀπεφήνατο ὅτι τὰ ὄντα πάντα ἐν ἀδιαλείπτῳ ῥοῇ ὑπάρχει, διηνεκῶς εἰς ἄλληλα μεταβάλλοντα. Ἡράκλειτος δὲ πρῶτος τὴν πρώτην κινητικὴν δύναμιν πῦρ εἶναι ἔφη, καὶ τὸν κόσμον δὲ πάντα πῦρ κατ' ὀλίγον ἀεὶ μεταβαλλόμενον· αὐτὸς πρῶτος τὴν κατὰ περιόδους ἔκκαυσίν τε καὶ ἀνανεόχμωσιν τοῦ κόσμου ἐδίδαξε καὶ περὶ μεγάλου ἐνιαυτοῦ εἶπεν, ὥς περ μετ' αὐτὸν οἱ Στωϊκοί. ἀλλὰ καὶ τὴν ἠρέμα γιγνομένην μετατροπὴν τοῦ σύμπαντος τὸν τρόπον τοῦτον διωρίσατο· τὸ πρωτόγονον καὶ κοσμογόνον πῦρ μεταβάλλεσθαί φησι πρῶτον μὲν εἰς ἀέρα, εἶτα δὲ εἰς ὕδωρ

κόσμος διεξάγεται». — Πλουτ. περὶ τ. ἀρεσκ. τ. φιλ. Α, κζ'. κφξ. «εἱμαρμένη συμπλοκὴ αἰτιῶν τεταγμένη—, εἱρμὸς αἰτιῶν, τοῦτέστι τάξις καὶ ἐπισύνδεσις ἀπαράβατος». — Sen. consol. ad Helv. c. 8. deus — est fatum et immutabilis causarum inter se cohaerentium series. —Cic. Nat. D. I, 15. – Πλουτ. περὶ Στωϊχ. ἐναντ. λδ', ε'. «ὁ κοινὸς τῆς φύσεως λόγος (ἐστὶ κατὰ τοὺς Στωϊκοὺς) εἱμαρμένη καὶ πρόνοια καὶ Ζεύς.» αὐτόθι. λδ'. ί. «ὁ Διὸς λόγος, δίκη, νόμος, πρόνοια.» Στοβ. ἐκλογ. Α, σ. ῥοή. ὁ Στωϊκὸς Ἀντίπατρος «Θεὸν ἀπεφαίνετο τὴν εἱμαρμένην». — Δ. Λ. Ζ, ρλέ. «ἓν εἶναι Θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία πολλαῖς τ' ἑτέραις ὀνομασίαις προςονομάζεσθαι.» — αὐτόθι, πή. «ὁ νόμος ὁ κοινὸς, ὅςπερ ἐστὶν ὁ ὀρθὸς λόγος, ὁ διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διΐ.» — Πλουτ. περὶ Στωϊχ. ἐναντ. λδ'. δ'. οὐδ' ἐλάχιστον ἐν τῷ κόσμῳ γίγνεται ἄλλως «ἢ κατὰ τὴν κοινὴν φύσιν καὶ κατὰ τὸν ἐκείνης λόγον».» — Στοβ. ἐκλογ. Α, ρπ'. (Πλούτ. περὶ τ. ἀρεσχ. τ. φιλ. Α, κή, γ'.) κατὰ Χρύσιππον «εἱμαρμένη ἐστὶν ὁ τοῦ κόσμου λόγος, ἢ λόγος τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων, ἢ λόγος καθ' ὅν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γενησόμενα γενήσεται.» αὐτ. Α, τκβ'. «διὰ τῆς ὕλης διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν.» Gell. VI, 2, 3.

καὶ τελευταῖον εἰς γῆν· διδάσκει δὲ καθάπερ οἱ Στωϊκοὶ ὅτι ὁ κόσμος ἐπὶ τὸ πρωτογενὲς ἐκεῖνο πῦρ ἐπανιὼν, τὴν αὐτὴν ὁδὸν βαδίζει ἥνπερ διήνυσεν, ὅτε καὶ ἐξ ἐκείνου ὡρμήθη. τόν τε αἴδιον νόμον, καθ' ὃν ἡ παγκόσμιος συντελεῖται λειτουργία, εἱμαρμένην προσαγορεύει καὶ λόγον κοινόν, ὀνόματα ἅπερ καὶ οἱ Στωϊκοὶ ἐξ ἐκείνου παρέλαβον. ὡςαύτως δ' ἂν ἔχοι τις σαφῶς νοῆσαι τῷ Ἡρακλείτῳ τοὺς Στωϊκοὺς καὶ κατὰ τὴν ἠθικὴν πραγματείαν ὁμοφωνοῦντας, καθ'ὅσον περ αὕτη ἀμέσως ἔχεται τῆς φυσικῆς αὐτῶν θεωρίας· καὶ γὰρ καὶ ὁ Ἡράκλειτος τὸ ἄκρον ἀγαθὸν ἐν οὐδενὶ ἄλλῳ εἶναι ἐδόξαζεν, ἢ ἐν τῷ τὴν ἰδίαν βούλησιν τῷ καθόλου νόμῳ ἤτοι τῷ λόγῳ τῷ κοινῷ ὑποτετάχθαι (κή.).

Δ'. Περὶ τῆς τῶν Στωϊκῶν ψυχολογίας.

Τὴν ἀνθρώπειον ψυχὴν μόριόν φασιν εἶναι καὶ ἀπόσπασμα ἢ ἀπόρροιαν τῆς ἐν τῷ παντί. (κθ'.). εἶναι τοίνυν καὶ τὴν ἐν τῷ ἀνθρώπῳ οἵαν περ καὶ τὴν ἐν τῷ παντὶ, αἰθερίαν τίν' οὐσίαν, πῦρ ἢ πνεῦμα ἔνθερμον (λ'.) διὰ παντὸς τοῦ σώματος διῆκον, ὥςπερ καὶ τὴν παγ-

(κή.) Περὶ δὲ τοῦ ὅσον ἡ τῶν Στωϊκῶν φιλοσοφία τῆς Ἡρακλειτείου διαφέρει ἔπιθι Σελλερίου τόμ. Γ, Α' σ. 198 κἑξ.

(κθ'.) Ἐπίκτητος ἐν τῇ πρώτῃ τῶν διατριβῶν (ιδ'.) φησὶν ὅτι «αἱ ψυχαὶ συναφεῖς τῷ Θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα».— παρὰ Μ. Αὐρηλ. Ε, κζ'. κέκληται ἡ ψυχὴ «μέρος καὶ ἀπόῤῥοια Θεοῦ».— Διογ. Λ. Ζ, ρνξ'. «τῆς τῶν ὅλων ψυχῆς μέρη αἱ ἐν τοῖς ζῴοις ψυχαί»,

(λ'.) Διογ. Λ. Ζ, ρνζ'.— Πλουτ. περὶ τ. ἀρεσκ. τ. φιλ. Δ, γ', γ'. κατὰ τοὺς Στωϊκοὺς ἡ ψυχή ἐστι «πνεῦμα θερμόν».— Cic. N. D. III, 14 36. οἱ Στωϊκοὶ ὑπειλήφασιν nihil esse animum, nisi ignem — Tusc. I, 9, 19: Zenoni stoico animus ignis videtur.

κόσμιον διὰ παντὸς τοῦ κόσμου (λά.). ὅτι δὲ σωματοειδὴς ἡ ἀνθρωπίνη ψυχή, δῆλον ἤδη ἐξ αὐτῆς τῆς κοινωνίας μετὰ τοῦ σώματος· «οὐδὲν γὰρ ἀσώματον, φησὶν ὁ Χρύσιππος, ἐφάπτεται σώματος· ἡ δὲ ψυχὴ ἐφάπτεται τοῦ σώματος· σῶμα ἄρα ἡ ψυχή.» (λϐ΄.). τὴν δὲ τῆς ψυχῆς ἕδραν οὐκ ἐν τῷ ἐγκεφάλῳ εἶναι ἔφασκον οἱ πλεῖστοι τῶν στωϊκῶν, ἀλλ' ἐν τοῖς στέρνοις διὰ τὸ καὶ τὴν φωνήν, ἔκφρασιν οὖσαν τῶν τε διανοημάτων καὶ τῶν τῆς ψυχῆς παθῶν, ἐκ τῶν στέρνων ἀναφέρεσθαι. τήν τε ἑνὸς ἑκάστου τῶν ἀνθρώπων ψυχὴν καθόλου μὲν φθαρτὴν ἐδόξαζον εἶναι· καὶ γὰρ ἐπιζῆν μὲν αὐτὴν τῷ σώματι ἔλεγον, μὴ μέντοι καὶ τῷ μεγίστῳ ἐνιαυτῷ, ἐν ᾧπερ γένεσιν ἔσχεν, ἀλλὰ τοῦ σύμπαντος κόσμου ἐκκαυθέντος, πάλιν αὖθις ἐκείνην ἐπὶ τὴν πρωτόγονον ἐπανιέναι ὕλην ἤτοι τὴν τοῦ θείου οὐσίαν (λγ΄.). μόνον δὲ περὶ τούτου ἐδιχάζοντο αὐτῶν αἱ γνῶμαι, εἴπερ πάντων τῶν ἀνθρώπων αἱ ψυχαὶ ὁμοίως μέχρι τῆς τοῦ

(λά.) Χρύσιππος παρὰ Γαληνῷ ἐν τῷ περὶ Ἱπποκράτ. καὶ Πλάτ. Γ, α, σ. ριϐ΄. «ἡ ψυχὴ (φησι) πνεῦμά ἐστιν σύμφυτον ἡμῖν συνεχὲς παντὶ τῷ σώματι διῆκον.» — Δ. Λ. Ζ, ρνζ΄. οἱ στωϊκοὶ φασιν «πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι.»

(λϐ΄.) Νεμεσ. περὶ φύσεως ἀνθρώπου σ. λδ΄. — αὐτόθι σ. λγ΄. Κλεάνθης φησιν ὅτι «οὐδὲν ἀσώματον συμπάσχει σώματι.»

(λγ΄.) Διογ. Λ. Ζ, ρνς΄. — Cic. Tusc. I, 31, 77: Stoici diu mansuros ajunt animos ;. semper negant. 32, 78. Stoici dicunt, animos manere, e corpore quum excesserint, sed non semper. ὁ αὐτὸς παραδίδωσι καὶ τοὺς λόγους τοῦ Παναιτίου κατὰ τῆς ἀθανασίας τῆς ψυχῆς (32, 79.). εἷς δὲ τούτων ἐστὶ καὶ ὁ ἑξῆς : quidquid natum sit, interire : nasci autem animos : quod declaret eorum similitudo, qui procreentur, quae etiam in ingeniis, non solum in corporibus appareat.

σύμπαντος κόσμου ἐκπυρώσεως παραμένουσιν ἢ μόναι αἱ τῶν εὖ πεπαιδευμένων. «Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν μέχρι τῆς ἐκπυρώσεως, Χρύσιππος δὲ τὰς τῶν σοφῶν μόνον·» τὰς γὰρ τῶν ἀπαιδεύτων ἐξιούσας τῶν σωμάτων ἅμα τοῖς συγκρίμασι δι' ἀσθένειαν γίγνεσθαι ἔφη. (λδ'.)· ὡς δ' ἐν συνόλῳ εἰπεῖν, κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένον ἐστὶ τῷ ἀνθρώπῳ τῆς ἀϊδίου στερηθῆναι ὑπάρξεως· μόνος γὰρ ὁ Ζεὺς ἀΐδιος ὁ πάντων θεῶν πρεσβύτατος. ἀλλ' ἀντὶ τούτου ἀποκαλοῦσι τὸν ἄνθρωπον, καθ' ὃ ὂν λογικόν, τέλος καὶ σκοπὸν πάσης τῆς φύσεως καὶ πρώτιστον μέλημα τῆς θείας Προνοίας, αὐτῷ τῷ θεῷ ἰσοφαρίζον καὶ κατ' οὐσίαν συγγενὲς (ἓν ἀνδρῶν, ἓν Θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν Ματρὸς ἀμφότεροι... Πίνδ. Νέμ. ς'. ςίχ. ά...) (λέ.). ὁ γὰρ λόγος πέφυκε τὸ ἡγεμονικὸν εἶναι τῆς ἀνθρωπικῆς ψυχῆς· καὶ δι' αὐτὸν ὁ ἄνθρωπος δύναμιν ἔχει πάντα τε τὰ ὄντα συνιέναι καὶ πασῶν τῶν τοῦ σώματος φαυλοτέρων ὁρμῶν ἐπικρατεῖν. πέφυκεν ἄρα ὁ ἄνθρωπος ἐπί τε τῷ μετὰ λόγου καὶ φρονήσεως τὸν βίον διάγειν καὶ ἐπὶ τῷ ὡς μάλιστα τῆς τε ψυχικῆς τελειότητος καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι (λς'.). πρὸς

(λδ'.) Διογ. Λ. Ζ, ρνζ'. — Πλουτ. περὶ τ. ἀρεσκ. τ. φιλοσοφ. Δ, ζ', 6'.

(λε'.) Cic. Off. I. 7, 22.— Fin. III, 20, 67.— N. D. II, 53, 6.2 — Πορφ. ἐν τῷ περὶ ἐγκρατείας Γ, κ'. «ἡμᾶς αὐτῶν καὶ ἀλλήλων οἱ θεοὶ χάριν ἐποιήσαντο, ἡμῶν δὲ τὰ ζῶα.»— ἴδε καὶ ἀνωτ. σχόλ. κθ'.

(λς'.) Πλουτ. περὶ τ. ἀρεσκ. τ. φιλοσ. Γ, δ', κα' «τῆς ψυχῆς τὸ ἀνώτατον μέρος τὸ ἡγεμονικὸν τὸ ποιοῦν τὰς φαντασίας καὶ τὰς συγκαταθέσεις καὶ αἰσθήσεις καὶ ὁρμάς, καὶ τοῦτο λογισμὸν καλοῦσι.» — Cic. N. D. II, 59, 147. — Δ. Λ. Ζ, πθ' «ἡ ψυχή (ἐστι) πεποιημένη πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου.» — Στοб. Ἐκλογ. 6, σ. ρη'. «ἔχειν γὰ

δὲ τούτοις οἱ Στωϊκοὶ ὥς τι οὐσιῶδες τῆς ἀνθρωπικῆς φύσεως ἐθεώρησαν καὶ ὅτι φύσει κοινωνική ἐστι· πάντες γὰρ οἱ ἄνθρωποι μιᾶς ἐσμεν γενεᾶς καὶ τῆς αὐτῆς μεταλαγχάνομεν φύσεως τῆς λογικῆς. φύσει ἄρα κοινωνικοί ἐσμεν καὶ ἀλλήλων προςδεόμενοι· ὁ γὰρ ἄνθρωπος οὐ μόνον ἐπὶ τῷ γ' ἑαυτῷ ζῆν γέγονεν, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ὁμοίων ἕνεκεν. ὥστ' οὐ μόνον ζῷον λογικόν ἐστιν, ἀλλὰ καὶ ζῷον πολιτικὸν καὶ κοινωνικόν· ὡς δ' ἐν ἑνὶ λόγῳ εἰπεῖν, καὶ τὸ ἀνθρώπειον γένος σύνολόν τι ἐν σμικρῷ ἀποτελεῖ εὖ καὶ καλῶς ἡρμοσμένον, ὥςπερ καὶ τὸ σύμπαν τόδε ἐν μεγάλῳ (λζ'.).

§. μς', Περὶ τῆς τῶν Στωϊκῶν ἠθικῆς

καὶ

Α'. Περὶ τῆς ἀνωτάτης ἠθικῆς ἀρχῆς.

Ἡ τῶν Στωϊκῶν ἠθικὴ ἀκόλουθός ἐστι κατὰ πάντα τῇ φυσικῇ πραγματείᾳ αὐτῶν, ἥπερ, ὡς καὶ πρότερόν μοι δεδήλωται, τὰς κυριωτάτας ἀρχὰς τῆς Στωϊκῆς φιλοσοφίας ἐμπεριλαμβάνει (α'.). καὶ γὰρ ἐν τῇ φυσικῇ πραγματείᾳ δέδεικται ἤδη ὡς ὁ μὲν κόσμος σύνολόν ἐστι κατ' ἀϊδίους νόμους μετὰ λόγου τε καὶ ἁρμονίας τὴν ἑαυτοῦ ὁδὸν βαδίζον, τὰ δὲ καθ' ἕκαστον ὄντα μό-

ἀφορμὰς παρὰ τῆς φύσεως καὶ πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ πρὸς τὴν τῶν ὁρμῶν εὐστάθειαν καὶ πρὸς τὰς ὑπομονὰς καὶ πρὸς τὰς ἀπονεμήσεις κατὰ τὸ σύμφωνον.»

(λζ'.) Στοβ. ἐκλογ. 6, σ. ρβ'. σκδ'. ρλβ'. «ἄνθρωπος φύσει ζῷον λογιστικὸν καὶ κοινωνικὸν καὶ φιλάλληλον.» — Cic. Off. I, 4, 12. — Fin. III, 20, 66. – II, 14, 45. καὶ ἀνωτ. σχόλ. λε'.

(α'.) Ἐπιθι τὰ Χρυσίππῳ εἰρημένα παρὰ Πλουτάρχῳ ἐν τῷ περὶ τῶν Στωϊκ. ἐναντ. θ'.

ριόν τί ἐστι καὶ μέλος τούτου τοῦ ἔμφρονος ὅλου, εἰ καὶ ἐν τῇ καθολικῇ τοῦ σύμπαντος κόσμου ἐκπυρώσει πάλιν αὖθις συντηκόμενα ἀφανίζεται. ὅτι μὲν οὖν ὁ λόγος τῆς ὕλης πάσης ἡγεμονεύει, τὸ δὲ τὶ ἤτοι τὰ καθ' ἕκαστον ὄντα τῷ κοινῷ νόμῳ ἐστὶν ὑποτεταγμένα καὶ πάντα ἐν τῷ συνόλῳ ἐμπεριειλημμένα· ἔτι δ' ὅτι πάντα τὰ ὄντα ἐκ τῆς ἀμεταβλήτου πορείας τοῦ σύμπαντος κόσμου κατ' ἀνάγκην ἐξήρτηται, ταῦτ' ἐστι τὰ τὴν κυριωτάτην ἀρχὴν ἀποτελοῦντα, ἥνπερ οἱ Στωϊκοὶ προστησάμενοι, τὴν περὶ τὸν ὅλον κόσμον φύσιν θεωροῦσι. ταύτῃ δὴ τῇ θεωρίᾳ συνακόλουθόν ἐστι καὶ τὸ ἀνώτατον ἠθικὸν ἀξίωμα αὐτῶν, καθ' ὅπερ ὁ ἰδίᾳ ἄνθρωπος διὰ τὸν ἐνόντα αὐτῷ λόγον οὐ κατά γε τὸ δοκοῦν ὀφείλει πάντα τὸν βίον διάγειν, ἀλλ', ἅτε μέλος ὢν τοῦ ὅλου, κατὰ τὸν νόμον τὸν πᾶσι κοινὸν ὄντα, οὐδὲ τῷ σώματι καὶ ταῖς ἑαυτοῦ ὁρμαῖς χαριζόμενος, ἀλλὰ τῷ λόγῳ πειθόμενος καὶ πρὸς τοῦτο μάλιστα βλέπων, τὸν ἐν ἑαυτῷ ὑπάρχοντα λόγον σύμφωνον καὶ ἁρμονικῶς ἔχοντα πρὸς τὸν λόγον τὸν παγκόσμιον ἤτοι τὸν καθόλου τῆς φύσεως νόμον ἐν πᾶσι τοῖς ἑαυτοῦ ἔργοις ἀποδεικνύναι. λέγουσι δὲ ταῦτα οἱ Στωϊκοὶ ὧδέ πως· κύριον ἀνθρώπῳ τέλος εἶναι τὸ ὁμολογουμένως ἢ ἀκολούθως τῇ φύσει ζῆν· [naturae convenienter ἢ congruenter vivere, naturam sequi.]. ταυτηνὶ τὴν φύσιν, μεθ' ἧς ὁ ἄνθρωπος ἐν ἁρμονίᾳ τὸν βίον διάγειν ὀφείλει, κοινὴν φύσιν ὁ Κλεάνθης προσείρηκεν· σαφέστερον μέντοι ὁ Χρύσιππος ἀποφαίνεται λέγων ὅτι ἀνθρώπῳ προσήκει τῇ τε κοινῇ καὶ τῇ ἀνθρωπικῇ φύσει ὁμολογουμένως διαβιοῦν. οὐκ ὀρθῶς δὲ Διογένης ὁ Λαέρτιος ἐκ ταύτης τῆς διαφόρου ῥήσεως καὶ ἐννοιῶν διαφορὰν ὑ-

πενόησε· καὶ γὰρ Χρύσιππος οὐδὲν ἕτερον Κλεάνθους ἀπεφήνατο, εἰμὴ ὅτι γε τῇ προσθήκῃ ἐκείνῃ ἀκριβέστερον τὴν ῥῆσιν διωρίσατο· αἱ γνῶμαι μέν τοι ἀμφοτέρων κατ' οὐδὲν ἀλλήλων διαφέρουσιν· καὶ γὰρ κατά γε τῶν Στωϊκῶν τὴν θεωρίαν ἡ ἀνθρωπικὴ φύσις, οἷα δὴ μόριόν τι καὶ ἀπόῤῥοια τῆς ὅλης οὖσα φύσεως, ταὐτὸν ἀμφότεραί εἰσιν καὶ ὑπὸ τῶν αὐτῶν κυβερνῶνται νόμων.

Ὅ,τι δὲ οἱ Στωϊκοὶ ἀκολούθως τῇ φύσει ζῆν λέγοντες ἐνενόουν, τοῦτο ἔξω πάσης ἀμφιβολίας ὑπάρχει· καὶ γὰρ οὐθὲν ἄλλο ἐν νῷ εἶχον ἢ τοιοῦτόν τινα βίον, καθ' ὃν ἂν ὁ ἰδίᾳ ἄνθρωπος μηδ' ὁπωςτιοῦν πρὸς τοὺς κατ'ἀνθυπόστασιν ἀντιμάχοιτο νόμους τῆς φύσεως, τῆς τε ἀνθρωπικῆς καὶ τῆς τοῦ ὅλου κόσμου, ἀλλ' ἐν πάσαις ταῖς ἑαυτοῦ βουλήσεσί τε καὶ πράξεσι πειθόμενον ἑαυτὸν παρέχοι τοῖς νόμοις ἐκείνοις τοῖς κοινοῖς· «ἀκολούθως τῇ φύσει ζῆν, ταὐτόν ἐστι τῷ κατ' ἀρετὴν ἑαυτοῦ καὶ κατὰ τὴν ὅλων ζῆν, οὐδὲν ἐνεργοῦντας, ὧν ἀπαγορεύει ὁ νόμος ὁ κοινὸς, ὅςτις ἐστὶν ὁ ὀρθὸς λόγος, ὁ διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διΐ.» (β'.). τὸ κατὰ φύσιν ζῆν εἰς οὐδὲν ἄλλο παρ' αὐτοῖς τείνει ἢ εἰς τὸ μετ' ἐπιγνώσεως καὶ βουλήσεως τοῦτο εἶναι προαιρεῖσθαι, ὅπερ φύσει ὁ ἄνθρωπός ἐστιν, ἤτοι πρῶτον μὲν μόριόν τι τοῦ ὅλου κόσμου τῇ ὑπὸ τοῦ λόγου τοῦ κοινοῦ διεπομένῃ πορείᾳ τῶν ὄντων πειθόμενον· δεύτερον δὲ ζῷον εἶναι λογικὸν μηδαμῶς τῶν ἑαυτοῦ αἰσθήσεων καὶ παθῶν ἡσσώμενον, ἀλλὰ μετὰ λόγου καὶ φρονήσεως καὶ ἐγκρατείας πάντα ὁμοίως πρᾶσσον· καὶ τρίτον μέλος εἶναι κοινωνίας ὄντων λογικῶν, ὅπερ ὅπως πρὸς τὰ

(β'.) Διογ. Λ. Ζ, πη'.

ἑαυτῷ ὅμοια ἔχει ἐπιγιγνώσκον, τὴν ὀφειλομένην μοῖραν ἑκάστοτ' αὐτοῖς ἀπονέμει. κατὰ φύσιν δὴ ὁ ἄνθρωπος ζῇ, ὅταν πράως τε καὶ προθύμως ταῖς ἰθύνσεσι τοῦ θείου καὶ κοινοῦ λόγου ἤτοι τῇ βουλήσει τῆς εἱμαρμένης ὑπείκῃ (γ΄.) καὶ ἐν πᾶσι κατά γε τὴν ἀνθρώπειον φύσιν, ἤτοι ὡς ζῷον λογικὸν καὶ πολιτικὸν καὶ φιλάλληλον πράσσῃ τε καὶ πολιτεύηται· «τοῦ (γὰρ) ἀνθρώπου ὄντος ζῴου λογικοῦ, θνητοῦ, φύσει πολιτικοῦ, φασὶ καὶ τὴν ἀρετὴν πᾶσαν τὴν περὶ ἄνθρωπον καὶ τὴν εὐδαιμονίαν ζωὴν ἀκόλουθον ὑπάρχειν καὶ ὁμολογουμένην φύσει.» διὸ τὸν σοφὸν «γαμήσειν καὶ παιδοποιήσεσθαι, ἀκολουθεῖν γὰρ ταῦτα τῇ φύσει τῇ τοῦ λογιστικοῦ ζῴου καὶ κοινωνικοῦ καὶ φιλαλλήλου.» (δ΄.). καθ' ὅσον μὲν οὖν τοιοῦτος βίος τότε μόνον κατορθωτός ἐστιν, ὅταν ὁ ἄνθρωπος διὰ τοῦ ἐν ἑαυτῷ ὑπάρχοντος λόγου τὸν τῆς φύσεως νόμον ἐπιγιγνώσκων, καθηγεμόνα αὐτὸν προαιρῆται, πασῶν τῶν ἐναντιουμένων ἐπιθυμιῶν τε καὶ παθῶν ἀπαλλασσόμενος· καθ' ὅσον δὲ καὶ εἰς τὸ ὁμολογουμένως ζῆν τὸν ἄνθρωπον τῇ τε οἰκείᾳ καὶ τῇ τοῦ σύμπαντος φύσει, οὐδὲν ἄλλο προὔργου οὕτως ἐστὶν, ὡς αὐτὸ τὸ λογικῶς ζῆν· ἐπεὶ καὶ ἐκ πάσης τῆς τοῦ σύμπαντος φύσεως ἐν μόνῳ τῷ ἀνθρώπῳ ὁ λόγος μάλισθ'

(γ΄.) Διογ. Λ. Ζ, πη΄. «εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν καὶ εὔρροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ὅλου διοικητοῦ βούλησιν.» — Ἄλλως τε οἱ πρότερον στωϊκοὶ (εἴγε τὸν Κλεάνθην μόνον ἐξέλοις, παρ' Ἐπικτήτῳ ἐν διατριβ. Δ, α·) οὐ τοσοῦτον ἐπιμελῶς τε καὶ σαφῶς περὶ τοῦ κατὰ φύσιν ζῆν διέλαβον, ὥς περ οἱ μεταγενέστεροι, οἵ περ αὐτὸ εὐαρέστησιν ἀποκαλεῖν εἰώθεσαν. Ἐπικτήτου διατριβ. Α, ιβ. Β, ς΄. ι΄. — κ.φ.ξ.

(δ) Στοβ. Ἐκλογ. Β, σ. ρλβ΄ — πρβλ. καὶ σ. σκδ΄.

ἡγεμονεύει· φανερὸν ἄρα ὅτι τὸ παρὰ τοῖς Στωϊκοῖς κατὰ φύσιν ζῆν εἰς ταὐτὸν συνέρχεται τῷ κατὰ λόγον ζῆν (έ.). εἰώθασι δὲ τοῦτο λέγειν κατὰ φύσιν ἢ ὁμολογουμένως τῇ φύσει ζῆν· οὗτος δὲ ὅρος τὴν περὶ τούτου δόξαν αὐτῶν ἀποχρώντως ἐμφαίνει· καὶ γὰρ οὐχ ἁπλῶς τὸ κατὰ λόγον ζῆν, ἀλλὰ τὸ μετὰ λόγου τε καὶ φρονήσεως τῇ ὄντως ὑπαρχούσῃ φύσει καὶ τῇ τῶν ὄντων διακοσμήσει, λογικῇ πάντως καὶ ταύτῃ γε οὔσῃ, ἀκολουθεῖν, ὡς ἀνώτατον ἠθικὸν νόμον ἐλογίσαντο. τοιοῦτον ἄρα βίον, τῷ λόγῳ τῷ διακοσμοῦντι, ὅσπερ διὰ τοῦ παντὸς, τῆς τε ἀνθρωπικῆς καὶ τῆς τῶν ὅλων φύσεως διήκει, ὡς ἄρισθ᾽ ὁμολογοῦντα, αὐτὸ τὸ κατ᾽ ἀρετὴν ζῆν εἶναι ἔφασκον οἱ Στωϊκοί.

Β΄. Τὰ κατὰ τοὺς Στωϊκοὺς ἀγαθά.

Ἡ δ᾽ οὖν ἀρετὴ κατὰ τοὺς Στωϊκοὺς τὸ τέλος ἐστὶ τῆς ἀνθρωπικῆς ἐνεργείας ἤτοι τὸ τέλειον ἀγαθόν. περὶ τούτου δὲ καὶ οἱ πλεῖστοι τῶν μέχρι τοῦδε πεφιλοσοφηκότων ὁμολογοῦντες ἀλλήλοις ἦσαν, ὅτι ἡ ἀρετὴ τὸ ἄκρον ἀγαθόν ἐστιν, ἀλλὰ πρὸς ταύτῃ προςετίθεσαν ὑγίειάν τε καὶ πλοῦτον καὶ εὐγένειαν, ὡς ἀγαθὰ καὶ ταῦτά γε ὄντα. οἱ δὲ Στωϊκοὶ οὐκ ἔφασαν πολλὰ εἶναι τἀγαθὰ, οὐδὲ κατὰ ποσὸν ἀλλήλων διαφέρειν. ἀλλ᾽ ὄντως ἀγαθὸν ἐδόκει αὐτοῖς εἶναι μόνον, ὅπερ ἂν καθ᾽ἑαυτὸ ἀξίαν ἔχῃ, ὡςαύτως τε ἐπὶ πάντων ἀεὶ ἀγαθὸν παραμένῃ· πᾶν δὲ τὸ πρός τί πως ἔχον ἤτοι σχετικὴν μόνον ἀξίαν ἔχον, οἷον κάλλος, ὑγίειαν, πλοῦτον καὶ τὰ παραπλήσια, μηδὲ τῆς προςηγορίας ταύτης ἄξιον εἶναι ἔ-

(ε΄.) Διογ. Λ. Ζ, πϛ΄. — Μάρχ. Αὐρηλ. Ζ, ια΄. « τῷ λογικῷ ζώῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστὶ καὶ κατὰ λόγον. »

λεγον τὸ ἐπίπαν. διὸ μόνην τὴν ἀρετὴν προςήκειν ἔφασκον ταύτην τὴν κλῆσιν κεκλῆσθαι, ὡς μόνον ἀγαθὸν καθ' ἑαυτὸ ὂν καὶ ἐπὶ πάντων ἀεὶ ὁμοίως ἔχον (ς'.)· καὶ γὰρ τὴν ἀρετὴν οἱ Στωϊκοὶ οὐ μόνον πρὸς εὐδαιμονίαν αὐτάρκη εἶναι ἡγοῦντο (ζ'.), ἀλλὰ καὶ αὐτὴν τὴν εὐδαιμονίαν ἐν μηδενὶ ἄλλῳ εἶναι ἢ ἐν μόνῃ τῇ ἀρετῇ (η'.). ἄμφω γὰρ τούτω εἰς ταὐτὸν κατ' αὐτοὺς ἀεὶ συνέρχεσθαι φιλεῖ· δῆλον δ' αὐτόθεν· τῷ γὰρ ἀνθρώπῳ, ὁμολογουμένως τῇ τε φύσει καὶ τῇ τῶν ὄντων πορείᾳ διαβιοῦντι, συμβαίνειν ἔφασαν ἐξ ἀνάγκης καὶ ἐν ἀταραξίᾳ τὸν βίον διάγειν ἢ (ὡς αὐτοί φασιν) εὔροιαν βίου ἔχειν. τοῦτο δὲ μηδὲν εἶναι ἄλλο ἢ αὐτήν γε τὴν εὐδαιμονίαν. «εὐδαιμονία ἐστὶν, ὡς οἱ Στωϊκοί φασιν, εὔροια βίου.» εὔροια δὲ βίου αὐτὸ τοῦτό ἐςιν, «ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάςῳ δαίμονος πρὸς τὴν τοῦ τῶν ὅλων διοικητοῦ βούλησιν.» Ταύτης δὲ τῆς ἐννοίας ἐχόμενόν ἐστι καὶ τὸ παρ' Ἐπικτήτῳ παράγγελμα «μὴ ζήτει τὰ γενόμενα γίγνεσθαι, ὡς θέλεις, ἀλλὰ θέλε τὰ

(ς'.) Cic. Acad. pr. II, 42, 130: Aristo, Zenonis auditor, re probavit, quae ille verbis, «nihil esse bonum, nisi virtutem, neque malum, nisi quod virtuti esset contrarium.» — Διογ. Λ, Ζ, ρα'. «μόνον τὸ καλὸν ἀγαθόν· εἶναι δὲ τοῦτο (τὸ καλὸν) ἀρετὴν καὶ τὸ μετέχον ἀρετῆς.» — id. Cic. Paradoxon I.

(ζ'.) Δ. Λ. Ζ, ρκζ'. «αὐτάρκη εἶναι τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν φησὶ Ζήνων καὶ Χρύσιππος.» Ζ, ρκη', πθ'. «ἐν αὐτῇ (τῇ ἀρετῇ) εἶναι τὴν εὐδαιμονίαν.» — Κικέρωνος παραδόξων τὸ δεύτερον ἔχει ἐπιγραφὴν «ὅτι αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν.»

(η'.) Cic. Acad. Post. I, 10, 35. Zeno is erat, qui omnia, quae ad beatam vitam pertinerent, in una virtute poneret, nec quidam aliud numeraret in bonis. Acad. Pr. II, 43, 134; Zeno in una virtute positam beatam vitam putat.

γιγνόμενα, ὡς γίγνεται, καὶ εὑροήσεις.» (θ΄.). ὡςαύτως δὲ καὶ περὶ τοῦ κακοῦ οἱ Στωϊκοὶ κρίνουσιν· μόνον τὸ ἠθικῶς κακὸν κυρίως κακὸν ὠνόμαζον· πᾶν δὲ τὸ λοιπὸν, ὃ ἂν ἀμφοῖν ἐν μέσῳ ὑπάρχῃ, μήτ' ἀγαθὸν εἶναι δοξάζουσι μήτε κακὸν, ὡς μήτε εὐδαίμονα τὸν ἄνθρωπον οἷόν τε ὂν ποιεῖν, ὅταν τῆς ἀρετῆς ἐλλείπῃ, μήτε κακοδαίμονα, ὅταν ἀρετὴν ἔχῃ· ὥςε πάντα τὰ τὴν φύσιν ἐπαμφοτερίζοντα μήτ' ἐν εὐδαιμονίας μέρει τακτέον, μήτ' ἐν κακοδαιμονίας, ἀλλὰ πάντῃ ἀδιάφορα οἰητέον εἶναι. «φασὶν ἀδιάφορον τὸ μήτε πρὸς εὐδαιμονίαν, μήτε πρὸς κακοδαιμονίαν συλλαμβανόμενον, καθ' ὃ σημαινόμενόν φασι τήν τε ὑγείαν καὶ νόσον καὶ πάντα τὰ σωματικὰ καὶ τὰ πλεῖστα τῶν ἐκτὸς ἀδιάφορα τυγχάνειν, διὰ τὸ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συντείνειν. ᾧ γὰρ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτ' ἂν εἴη ἀδιάφορον. διὰ παντὸς δ' ἀρετῇ μὲν καλῶς, κακίᾳ δὲ κακῶς, ὑγείᾳ δὲ καὶ τοῖς περὶ σώματι ποτὲ μὲν εὖ, ποτὲ δὲ κακῶς ἔστι χρῆσθαι, διὸ ταῦτ' ἂν εἴη ἀδιάφορα.» (ι΄.). παραπλησίως δὲ περὶ αὐτῶν φησι καὶ Πλούταρχος· «ᾧ ἔστιν εὖ χρήσασθαι καὶ κακῶς, τοῦτο φασὶ μήτ' ἀγαθὸν εἶναι, μήτε κακόν. πλούτῳ δὲ καὶ ὑγιείᾳ καὶ ῥώμῃ σώματος κακῶς χρῶνται πάντες οἱ ἀνόητοι· διόπερ οὐδέν ἐστι τούτων ἀγαθόν.» (ιά.). συνακολούθως δὲ τοῖς εἰρημένοις κρίνουσι καὶ περὶ τῶν ἐναντίων, οἷον νόσου τε πέρι καὶ ἀλγηδόνος καὶ πενίας καὶ δυςγενείας καὶ ἀδοξίας, ὡς μὴ κακὰ καθ' ἑαυτά γε ὄντα ἀποφαινόμε-

(θ΄.) Σέξτ. Ἐμπειρ. Πυῤῥων. ὑποτυπ. III, ροϐ΄· — ὁ αὐτ. πρὸς τοὺς μαθημ. ΙΑ΄, λ΄. — Δ. Λ. Ζ, πη΄. — Στοϐ. ἐκλογ. Β, σ. 138. — Ἐπικτ. ἐγχ. 8.

(ι΄.) Σέξτ. Ἐμπειρ. πρὸς τοὺς μαθημ. ΙΑ, ξά. — Δ. Λ. Ζ, ργ΄. ρδ΄.

(ια΄.) Πλουτ. περὶ στωϊκ. ἐναντ. λά. α.

νει· οὐδαμῶς γὰρ ταῦτα ἐμποδὼν γίγνεται τῇ κτήσει τῆς ἀρετῆς καὶ δὴ καὶ τῆς εὐδαιμονίας· πολλῷ δὲ μᾶλλον ἔστιν ὅτε καὶ ὠφέλιμά πως τῷ ἀνθρώπῳ ἀποβαίνει, οἷον πενία τε καὶ νόσος καὶ τὰ παραπλήσια. διὸ ὡσαύτως τῶν ἀδιαφόρων εἶναι ἔφασκον καὶ ταύτας τὰς καταστάσεις, αἵ περ τοῖς ἄλλοις ἀνθρώποις κακὰ εἶναι δοκοῦσιν. [Δ. Λ. Ζ, ρβ'. ρδ'.]. ἀλλ' εἴπερ τὸ κατὰ φύσιν ζῆν ὡς τέλειον παράδειγμα βίου προεστήσαντο, οὐ μέντοι οἷοί τ' ἐγένοντο, μᾶλλον δ' οὐδ' ἠβουλήθησαν ἐς τοσοῦτόν γε ὑπερβολῆς ἐλάσαι, ὥστε καὶ ἰσχυρίσασθαι τά τε ἀγαθὰ καὶ τὰ κακὰ τὰ ἔξωθεν μηδ' ὁπωςτιοῦν ἀλλήλων διαφέρειν, μήτε πενίαν πλούτου, μήθ' ὑγίειαν νόσου, μήτ' ἄλλο τι ἄλλου οὑτινοςοῦν τῶν τοιούτων ὁμοίως. οὐδ' αὖ πρὸς τοῦτο ἀντέλεγον, ὡς τὰ ἐξωτερικὰ καλούμενα ἀγαθὰ κατὰ φύσιν [Στοβ. ἐκλογ. β. σ. ρμβ', κ.φ.ξ. ρμη', κ.φ.ξ.] γίγνεται, τὰ δὲ κακὰ παρὰ φύσιν, καὶ τὰ μὲν εὔχρηστά τε καὶ ἐπιτήδεια (commoda) τῷ ἀνθρώπῳ πέφυκεν εἶναι, τὰ δὲ δύςχρηστά τε καὶ ἀνεπιτήδεια (incommoda)· τοὐναντίον δ' ἔφασκον, ὡςεὶ μηδαμῶς τὰ ὄντα ἀλλήλων ἀξίᾳ διέφερον, οὔτ' ἂν αἵρεσις ἐν αὐτοῖς ὑπῆρχεν οὐδεμία μετὰ λόγου καὶ σχεδόν τι οὐθὲν ἂν αἴτιον τοῦ λοιποῦ ὑπελείπετο τοῦ μετὰ λόγου τε καὶ φρονήσεως πάνθ' ὁμοίως διαπράσσειν αἱρεῖσθαι· τό τε τέλος τοῦ βίου μηδὲν ἂν ἦν τότ' ἄλλο ἢ ἀδιαφορία τις καὶ ἀναισθησία. (ιβ'.). οὐκ ἐς τοσοῦτον ἄρα οἱ Στωϊκοὶ προὐχώρησαν,

(ιέ'.) Πλουτ. περὶ τῶν κοιν. ἐννοιῶν. κεφ. κγ'.— Sen. ep. 74. 87. Cic. Leg. I, 21, 55. — Fin. III, 21, 69. 15, 50. τὴν παντελῆ ἀδιαφορίαν ὡς ἀνώτατον τέλος προεβάλετο Ἀρίστων ὁ Ζήνωνος ἀκροασάμενος. —Cic. Acad. II, 42, 130 : ea momenta, quae Zeno in mediis esse voluit, nulla esse censuit. huic summum bonum est, in his rebus neutram in partem moveri, quae ἀδιαφορία ab ipso dicitur.

ἀλλὰ καὶ ἐν τοῖς ἀδιαφόροις ἀλλήλων διαφορὰς κατ' ἀξίαν ἐνεῖδον. διὸ καὶ τριχῇ ταῦτα διῄρουν εἰς αἱρετὰ, ἀπόϐλητα καὶ ἁπλῶς ἀδιάφορα (ιγ'.). αἱρετὰ μὲν οὖν ἢ, ὡς αὐτοί φασι, προηγμένα (ιδ'.) ἔλεγον, ὅσα περ αὐτὰ μὲν καθ' ἑαυτὰ οὔπω ἀγαθά ἐστιν, ἀξίαν μέν τοι πρός τινα ἔχει (ιέ.)· διὸ καὶ προτιμότερα τῶν ἐναντίων, οἷον ζωὴ, εὐπορία, δόξα, εὐγένεια, γονέων τε καὶ τέκνων κτῆσις, σωματικά τε πλεονεκτήματα οἷον ὑγίεια, ῥώμη, εὐεξία, ἀρτιμέλεια, κάλλος· καὶ τέλος ψυχικὰ οἷον εὐφυΐα, τέχνη, δεξιότης, προκοπὴ καὶ τὰ παραπλήσια. πλοῦτος μὲν γὰρ ὑγίεια ἢ ἄλλο τι τῶν τοιούτων οὐκ ἔστιν ἀγαθὰ καθ' ἑαυτὰ, ὡς μὴ οἷά τε ὄντα κατὰ πάντ' εὐδαίμονα τὸν ἄνθρωπον ποιεῖν, ἀλλ' ἔστιν ὅτε καὶ βλαϐερὰ αὐτῷ ἀποϐαίνοντα· μόνη γὰρ ἡ τῆς ἀρετῆς κτῆσις πέφυκε ποιεῖν τὸν ἄνθρωπον εὐδαίμονα. αἱρέσεως δὲ προκειμένης τούτων τε καὶ τῶν ἐναντίων πενίας τε καὶ νόσου, δῆλον ὡς ἐκεῖνα αἱρετώτερά ἐστι τῷ νουνεχεῖ. Χρύσιππος δὲ καὶ «μαίνεσθαί (φησι) τοὺς τὸν πλοῦτον καὶ τὴν ὑγίειαν καὶ τὴν ἀπονίαν καὶ τὴν ὁλοκληρίαν τοῦ σώματος ἐν μηδενὶ ποιουμένους, μηδ' ἀντεχομένους τῶν τοιούτων.» [παρὰ Πλουτ. ἐν τῷ περὶ Στωϊκ. ἐναντιωμ. κεφ. λ', β'.]. ἀποπροηγμένα δὲ ἐκάλουν τὰ ἐναντία τῶν αἱρετῶν, τὰ ἀπαξίαν ἔχοντα, ἅπερ οὐδαμῶς ἂν ὁ φρόνιμος καὶ συνετὸς ἑκουσίως προσδέχοιτο· οἷον

(ιγ'.) ἔπιθι περὶ τούτου Στοϐ. Ἐκλογ. Β, σ, ρμς'—ρνς'.—Δ. Λ. Ζ, ρέ—ρζ'.—Σεξτ. Ἐμπειρ. Πυῤῥων. ὑποτυπ. Γ, ρϟά.— πρὸς τοὺς μαθημ. ΙΑ', 62. κ.φ.ξ.—Cic. de fin. III, 15, 51.

(ιδ'.) Παρὰ Κικέρωνι; promotum, productum καὶ praepositum. —Στοϐ. Ἐκλογ. Β, σ. ρνς'.

(ιε'.) Τὰ ἔχοντα ἀξίαν. Δ. Λ. Ζ, ρέ.

πενίαν, νόσον, ἀλγηδόνα, θάνατον πρόωρον, ἀδοξίαν, ἀδυναμίαν καὶ τὰ παραπλήσια. τέλος δὲ πάντη ἀδιάφορα ἀπεφαίνοντο τὰ μήτε πρὸς τὸ σῶμα, μήτε πρὸς τὴν ψυχὴν ῥοπήν τινα ἔχοντα, τὰ ἄχρηστα καὶ ὅλως ἀῤῥεπῆ πρὸς εὐδαιμονίαν ὄντα· οἷον τὸ δάκτυλον προτείνειν ἢ κάμπτειν, τὸ ξανθὸν ἢ μελάγχρουν τὴν χρόαν εἶναι καὶ τὰ παραπλήσια.

Ἐν δὲ τῇ περὶ τῶν ἀγαθῶν θεωρίᾳ ποιοῦνται μνείαν καὶ τῆς ἡδονῆς· τὴν ἡδονὴν οἱ Στωϊκοὶ οὐκ ἐν ἀγαθοῦ μέρει εἶναί φασι, σχολῇ δέ γε, ὥςπερ Ἐπίκουρος διϊσχυρίζετο, ἀνώτατον εἶναι τέλος τοῦ βίου. πάθος γάρ τι τῆς ψυχῆς καὶ αὐτὴν εἶναι οἷον καὶ τὴν λύπην, τὸν φόβον καὶ τὴν ἐπιθυμίαν (ιϛ΄.)· ἔγερσιν γὰρ εἶναι καὶ πτόησιν, τὴν τῆς φρονίμου καὶ νηφαλίας ψυχῆς γαλήνην θορυβοῦσαν· διὸ μήτε τέλος τοῦ βίου ἀξίως ἂν κεκλῆσθαι, μήτε τι ἀγαθὸν τὸ παράπαν ἢ εὐκτόν. Κλεάνθης δὲ κατὰ τοῦτο τοῖς κυνικοῖς ἔτι ὁμολογῶν, (ιζ΄.) μήτε κατὰ φύσιν αὐτὴν εἶναι ἡγεῖτο, μήτε ἀξίαν ἔχειν ἐν τῷ βίῳ (ιή.)· καὶ οἱ ἄλλοι δὲ Στωϊκοί, εἰ καὶ μὴ ἐς τὸ-

(ιϛ΄.) Δ. Λ. Ζ, ρι΄. « τῶν δὲ παθῶν τὰ ἀνωτάτω, καθά φησιν Ἑκάτων καὶ Ζήνων ἐν τῷ περὶ παθῶν, εἶναι γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν ».

(ιζ΄.) Πρβλ. τὸ τοῦ Ἀντισθένους « μανείην μᾶλλον ἢ ἡσθείην ».

(ιη΄.) Σέξτ. Ἐμπειρ. πρὸς τοὺς μαθημ. ΙΑ΄, ογ΄. « τὴν ἡδονὴν ὁ μὲν Ἐπίκουρος ἀγαθὸν εἶναί φησιν· ὁ δὲ εἰπὼν « μανείην μᾶλλον ἢ ἡσθείην » κακόν· οἱ δ' ἀπὸ τῆς Στοᾶς ἀδιάφορον καὶ οὐ προηγμένον. Ἀλλὰ Κλεάνθης μὲν μήτε κατὰ φύσιν αὐτὴν εἶναι, μήτε ἀξίαν ἔχειν ἐν τῷ βίῳ· ὁ δὲ Ἀρχέδημος κατὰ φύσιν μὲν εἶναι ὡς τὰς ἐν μασχάλῃ τρίχας, οὐχὶ δὲ καὶ ἀξίαν ἔχειν. Παναίτιος δὲ τινὰ μὲν κατὰ φύσιν ὑπάρχειν, τινὰ δὲ παρὰ φύσιν ». Τρεῖς ἄρα αἱ κυριώταται δόξαι περὶ τῆς ἡδονῆς· Ἐπίκουρος μὲν γὰρ ἐξέλαβεν αὐτὴν ὡς ἀγαθὸν, Ἀντισθένης δὲ ὡς κακὸν καὶ οἱ Στωϊκοὶ ὡς ἀδιάφορον.

σοῦταν τῆς ἡδονῆς κατεφρόνουν, πάντες μέν τοι ἀλλήλοις περὶ αὐτῆς ὁμολόγουν, ὅτι ἔχει τινὰ ἀξίαν, καθ' ὅσον περ τῆς ἀρετῆς ἢ τῆς ἠθικῆς ἐνεργείας ἐπιγέννημά ἐστιν, οἷον ἡ χαρὰ καὶ ἡ εὐφροσύνη καὶ τὰ παραπλήσια· ἢ τὴν ἡδονὴν μὲν καθ' ἑαυτὴν μηδεμίαν ἔχειν ἀξίαν ἔφασκον, μηδ' ἀγαθὸν εἶναι τὸ παράπαν· ἀλλ' ἀγαθὰ εἶναι θάρσος καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν (ιθ'.)

Γ'. Περὶ ἀρετῆς καὶ καθήκοντος.

Ἐπεὶ οὖν οἱ Στωϊκοὶ ἀρχὴν ἠθικὴν ἔθεντο τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὃ δὴ καὶ παρασκευαστικὸν τῆς κατ' ἄνθρωπον εὐδαιμονίας ἐστί· δῆλον ὅτι καὶ τὴν ἀρετὴν οὐδὲν ἄλλο ᾤοντο εἶναι ἢ τὸ μετὰ λόγου καὶ συνέσεως πάντα ὁμοίως ἐν τῷ βίῳ πράσσειν, τῇ τῶν ὄντων φύσει ἀκολουθοῦντα. καὶ πάνυ ἐμφατικῶς τοῦτό γε διδάσκουσι, τὸ μετὰ λόγου τε καὶ συνέσεως καὶ ὀρθῆς τῶν ὄντων γνώσεως πάντα ἀεὶ διαπράσσειν (κ'.)· καὶ τὴν ἀρετὴν δ' ὁρίζονται αὐτὸ τοῦτο εἶναι, οἷόν περ καὶ Σωκράτης ὑπείληφεν, ἐπιστήμην δηλονότι. (κά.). Ἐντεῦθεν ἄρα συμβαίνει αὐτοῖς πορίζεσθαι,

(ιθ'.) Δ. Λ. Ζ, ρις'. ϟδ'. — αὐτόθι ϟς'. — Seneca ep. 66, 4. ἀλλὰ de vit. beat. 15: ne gaudium quidem, quod ex virtute oritur, quamvis bonum sit, absoluti boni pars est. — Στοβ. Ἐκλ. B, σ. ρκς'.

(κ'.) Cic. Acad. I, 10, 33: cum superiores philosophi non omnem virtutem in ratione esse dicerent, sed quasdam virtutes natura aut more perfectas, Zeno omnes in ratione ponebat. — Tusc. IV, 15, 34: ipsa virtus brevissime recta ratio dici potest.

(κα'.) Δ. Λ. Ζ, ϟβ'. « Ἀπολλοφάνης μίαν λέγει (τὴν ἀρετὴν), τὴν φρόνησιν. — αὐτόθι. « τὴν ἀνδρείαν εἶναι ἐπιστήμην ὧν . . . » Ἀλλὰ καὶ

ὅπερ καὶ τῷ Σωκράτει, τὴν ἀρετὴν διδακτὸν εἶναι. [Δ. Λ. Ζ, 'ϡά.]. ἀλλὰ μὴν καὶ μίαν εἶναι αὐτὴν ἐκ τῆς αὐτῆς ὑποθέσεως συνάγουσιν, ὥςπερ καὶ Σωκράτης εἴρηκε. (κϐ'.). καὶ ὃς ἂν μίαν τῶν ἀρετῶν ἔχῃ, πάσας ἔχειν·

πᾶσαι αἱ ἄλλαι ἀρεταὶ πρόσω τοῦ λόγου ὡς ἐπιστῆμαι ὁρίζονται.— Ὡσαύτως παρὰ Στοϐ. Ἐκλογ. Β, σ. ρϐ'. καὶ παρὰ Πλουτ. ἐν τῷ περὶ στωϊκ. ἐναντ. ζ', ϐ'. καὶ ἐν τῷ περὶ τῆς ἠθικ. ἀρετ. ϐ'. πᾶσαι αἱ ἀρεταὶ εἰς τὴν φρόνησιν ἢ τὴν ἐπιστήμην ἀνάγονται.

(κϐ'.) Δ. Λ, Ζ, ρξά.— Πλούτ. περὶ Στωϊκ. ἐναντ. ζ', ϐ'. —'Αρίστων ὁ Στωϊκὸς τὰς παντοίας ἀρετὰς « μιᾶς ἀρετῆς σχέσεις ἀπεκάλει ». Περὶ τῆς ἠθικῆς ἀρετῆς κεφ. Β.

« Ἀρίστων δὲ ὁ Χῖος τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς ἀρετὴν ἐποίει καὶ ὑγείαν ὠνόμαζεν· τῷ δὲ πρός τί πως διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν, λευκῶν μὲν ἀντιλαμϐανομένην λευκοθέαν καλεῖν, μελάνων δὲ, μελανθέαν ἤ τι τοιοῦτον ἕτερον· καὶ γὰρ ἡ ἀρετὴ ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα, κέκληται φρόνησις· ἐπιθυμίαν δὲ κοσμοῦσα καὶ τὸ μέτριον καὶ τὸ εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα, σωφροσύνη· κοινωνήμασι δὲ καὶ συμϐολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους, δικαιοσύνη· καθάπερ τὸ μαχαίριον ἓν μέν ἐστιν, ἄλλοτε δὲ ἄλλο διαιρεῖ. καὶ τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον. Ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρεσθαι ὁ Κιττιεὺς, ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις, δικαιοσύνην· ἐν δὲ διαιρετέοις, σωφροσύνην· ἐν δὲ ὑπομενετέοις, ἀνδρείαν· ἀπολογούμενοι δὲ, ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην φρόνησιν ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι. Χρύσιππος δὲ κατὰ τὸ ποιὸν ἀρετὴν ἰδίᾳ ποιότητι συνίστασθαι νομίζων, ἔλαθεν ἑαυτὸν (κατὰ τὸν Πλάτωνα) σμῆνος ἀρετῶν οὐ σύνηθες, οὐδὲ γνώριμον ἐγείρας· ὡς γὰρ παρὰ τὸν ἀνδρεῖον ἀνδρείαν καὶ παρὰ τὸν πρᾶον πραότητα καὶ δικαιοσύνην παρὰ τὸν δίκαιον, οὕτω παρὰ τὸν χαρίεντα χαριεντότητα καὶ παρὰ τὸν ἐσθλὸν ἐσθλότητα καὶ παρὰ τὸν μέγαν μεγαλότητα καὶ παρὰ τὸν καλὸν καλότητα, ἑτέρας τε τοιαύτας ἐπιδεξιότητας, εὐαπαντησίας, εὐτραπελίας, ἀρετὰς τιθέμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν δεομένην ἐμπέπληκε τὴν φιλοσοφίαν.»

εἶναι γὰρ αὐτῶν τὰ θεωρήματα κοινὰ (κγ΄.)· ὥστε ἐν μιᾷ ἑκάστῃ τῶν ἠθικῶν πράξεων συλλήβδην πάσας τὰς ἀρετὰς ἐμπεριλαμβάνεσθαι. πολλαχῶς μὲν οὖν καὶ οἱ Στωϊκοὶ τὴν ἀρετὴν διῄρουν (κδ΄.)· ἔνιοι δ' αὐτῶν τὰς παλαιόθεν παραδεδομένας τέσσαρας ἀρετὰς παρεδέχοντο, ὡς ὁ Ζήνων [Πλούτ. ἐν τῷ περὶ Στωϊκ. ἐναντιωμ. ζ΄, ά.]· οὐχ ἧσσον μέν τοι ἀεὶ τῷ δόγματι τῷ κοινῷ ἐνέμενον, τὰς ἀρετὰς μὴ μόνον ἐν θεωρίᾳ μίαν εἶναι, ἀλλὰ καὶ ἐν πράξει πάσας ἀπρὶξ ἀλλήλων ἔχεσθαι· καὶ γὰρ ἐπὶ τῶν κατὰ μέρος ἐνεργειῶν τότε μόνον πράσσειν τινὰ ἔλεγον ἀσφαλῶς τε καὶ κατὰ πάντα ἀναμαρτήτως, ὁπόταν συλλήβδην πᾶσαι αἱ ἀρεταὶ εἰς τὴν ἐνέργειαν συνέρχωνται.

Οὕτως οὖν τῆς ἀρετῆς ὑπὸ τῶν Στωϊκῶν διωρισμένης, φανερὸν ὅτι τοιάδε τις πρᾶξις ἀξία ἂν εἴη τελέως ἠθικὴ κεκλῆσθαι, ἣ ἂν ἔκ τε τῆς τοῦ ἠθικοῦ νόμου γνώσεως καὶ τῆς ἠθικῆς πεποιθήσεως καὶ προαιρέσεως καὶ ἐντελοῦς περὶ τὸ πρακτέον ἐπιστημοσύνης προέρχηται· καὶ ταύτην δὴ εἰώθεσαν κατόρθωμα ἤτοι πρᾶξιν ἀναμάρτητον ἀποκαλεῖν· διαστέλλουσι δὲ ταύτης πᾶσαν ἄλλην ἐνέργειαν, ἥπερ ἂν τύχῃ ὁμολογουμένως μὲν τῷ ἠθικῷ νόμῳ πεπραγμένη, μὴ μέν τοι καὶ ἀπὸ γνώμης τε καὶ ἠθικῆς φρονήσεως προεληλυθυῖα· τοιαύτη γὰρ ἐνέργεια, οἷα δὴ συνακόλουθος οὖσα τῷ νόμῳ, οὐκ ἀντιβαίνει μὲν πρὸς τὸ λεγόμενον καθῆκον, ἀλλὰ μέση τις πρᾶξις ἀξία προσαγορεύεσθαι, οὐδεμίαν ἠθικὴν ἀξίαν ἔχουσα, ἅτε κατὰ νόμον μόνον πεπραγμένη κατ'

(κγ΄.) Δ. Λ. Ζ, ρκέ. — Πλούτ. περὶ Στωϊκ. ἐναντ. κζ΄.

(κδ΄.) Δ. Λ. Ζ, ϟϛ΄.

ἀρετὴν δὲ οὔπω. μόνας γὰρ τὰς τῶν σοφῶν ἀγαθοεργίας, ἤτοι τῶν ἐναρέτων ἀνδρῶν ἀκριβῆ μὲν ἐπιστήμην τἀγαθοῦ ἐχόντων, ἐν παντὶ δ' ἔργῳ ἐπιμελῶς αὐτὸ μεταδιωκόντων, κατορθώματα ἀποκαλεῖν ἄξιον εἶναι ἔφασαν, τὰς δὲ τῶν κοινῶν ἀνθρώπων καθήκοντα μόνον ἢ πράξεις τινάς, ὡς λέγουσι, μέσας (κέ.).

Πρὸς δὲ τούτοις οἱ Στωϊκοί, ἐξ οὗ γε ὁρισμοῦ ἔθεντο τῆς ἀρετῆς συνῆγον καὶ τόδε, μηδὲν εἶναι τὸ μεταξὺ ἀρετῆς τε καὶ κακίας μεσολαβοῦν· (κς'.)· δῆλον δ' ἐντεῦθεν· ἀρετὴν γὰρ εἶναι ἐδογμάτιζον, ἐν ᾗ ἂν ἐνεργείᾳ ὁ ἐνεργῶν τὴν ἠθικὴν ἀξίαν συνεπιγιγνώσκῃ, οὗ ἑκάστοτ' ἐνεργεῖ καὶ πρὸς τοῦτο ἀεὶ ἀσφαλῶς τε καὶ κατ' ἠθικὴν βούλησιν βλέπῃ· ἐν ᾗ δ' ἂν ἡ τελεωτάτη φρόνησις καὶ ἀμετάβλητος πρόθεσις ἐπιλείπῃ, μηδεμίαν ἐν ταύτῃ ἀρετὴν εἶναι τὸ παράπαν· δυοῖν γὰρ θἄτερον ἤτοι εἶναί που τὴν ἀρετὴν καθ' ὁλοκληρίαν ἔφασαν ἢ μηδ' ὁτιοῦν αὐτῆς μόριον ὑπάρχειν· μηδαμοῦ γὰρ παρεῖναι μέρος αὐτῆς ἁπλῶς μετέχειν. ὥστε τὴν ἀρετὴν καὶ κακίαν παντάπασι καὶ κατ' οὐσίαν γ' ἀλλήλων κεχωρίσθαι· καὶ ἕκαστον δὲ ἄνθρωπον ἤτοι ὅλην τὴν ἀρετὴν ἔχειν ὑποληπτέον ἢ μηδ' ὁτιοῦν αὐτῆς μόριον· κατ' ἀνάγκην ἄρα ἤτοι ἀγαθὸν τελέως αὐτὸν εἶναι συμβαίνειν ἢ τε-

(κε'.) Cic. off. III, 3, 14: haec enim officia, de quibus his libris disputamus, media Stoici appellant: ea communia sunt et late patent; quae et ingenii bonitate multi assequuntur et progressione discendi. illud autem officium, quod rectum (κατόρθωμα) iidem appellant, perfectum atque absolutum est, et ut iidem dicunt, omnes numeros habet, nec praeter sapientem cadere in quemquam potest.

(κς'.) Δ. Λ. Ζ, ρκζ'. — Στοβ, Β, ρϛ'. « ἀρετῆς καὶ κακίας οὐδὲν εἶναι μεταξύ ».

λέως κακόν· ἄλλο δέ τι ἀμφοῖν ἐν μέσῳ μηδὲν ἐγχωρεῖν, ὡς μηδὲ μεταξὺ εὐθέος τε ξύλου καὶ στρεβλοῦ. [Δ. Λ. Ζ, ρκζ'.]. δύο ἄρα γένη ἀνθρώπων κατὰ τοὺς Στωϊκοὺς ὑπάρχει, τῶν τὴν ἀρετὴν μετ' ἐπιστήμης ἐχόντων καὶ τῶν πάμπαν αὐτῆς ἀμοιρούντων· οἱ μὲν οὖν σπουδαῖοί εἰσι καὶ σοφοὶ καὶ ἀστεῖοι, οἱ δὲ φαῦλοι καὶ μωροὶ καὶ ἀπαίδευτοι. καὶ οἱ μὲν διὰ τὸ τὴν ἀρετὴν ἀδιαίρετον εἶναι, συλλαβόντες πάσας κέκτηνται τὰς ἀρετάς· οἱ δ' αὖ διὰ τὸν ἐναντίον λόγον πάσας τὰς κακίας (κζ'.). πᾶσα ἄρα πρᾶξις τοῦ σπουδαίου ἀγαθή ἐστιν (κή.), ἤτοι πασῶν ἅμα τῶν ἀρετῶν ἐκτέλεσις [Στοβ. ἐκλογ. β, ριή.]· τοὐναντίον δ' ὁ φαῦλος οὐδ' ἂν ἐλάχιστον ἀρετῆς μόριον ἐπιτελὲς δύναιτο ποιεῖν. κἀντεῦθεν ἄρα αὖθις συμβαίνει πάντας μὲν τοὺς ἀγαθοὺς καὶ σοφοὺς ἄνδρας ἐξ ἴσου τῆς ἀρετῆς μεταλαγχάνειν, πάντας δὲ τοὺς φαύλους καὶ ἀνοήτους ἐξ ἴσου τῆς κακίας (κθ'.)· «καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ. οὕτω καὶ ὁ πλέον καὶ ὁ ἔλαττον ἁμαρτάνων οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν.» [παρὰ Δ. Λ. Ζ, ρκ'.]. ὡσαύτως δ' ἔλεγον καὶ περὶ τῶν ἰδίᾳ πράξεων πάντα τὰ κατορθώματα καὶ πάντα τὰ ἁμαρτήματα ἴσα εἶναι ἀλλήλοις (λ'.)· ἐπεὶ ἑκάτερα ἑκατέρου, ἐξ ἴσου ἔχεται, τὰ

(κζ'.) Στοβ. Ἐκλογ. Β, σ. ρξή. «ἀρέσκει τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις, δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις».

(κη'.) Δ. Λ Ζ, ρκέ.

(κθ'.) Στοβ. Β, σ, σλς'.

(λ'.) Cic. Parad. 3: ὅτι ἴσα τὰ ἁμαρτήματα καὶ τὰ κατορθώματα. Δ. Λ. Ζ, ρκ'.

μὲν κατορθώματα τοῦ ἀγαθοῦ, τὰ δ' ἁμαρτήματα τοῦ κακοῦ.

Δ'. Ὁ κατὰ τοὺς Στωϊκοὺς σοφός.

Ἐπεὶ οὖν οἱ παλαιότεροι τῶν Στωϊκῶν τὴν ἀρετὴν ὡς πάντῃ ἀφῃρημένην ἔννοιαν ἐξέλαβον, αὐτὴν τὴν ἠθικὴν τελειότητα καθ' ἑαυτὴν ἀρετὴν εἶναι ἀποφαινόμενοι, διὰ τοῦτο οὔτε τὸ σαφέστερον διεξελθεῖν τὴν περὶ τὰς καθ' ἕκαστον ἀρετὰς καὶ τὰ καθήκοντα πραγματείαν κύριον ἔργον ἀνεβάλοντο, οὔτε ὅπως ἂν τὸ ἑαυτῶν δόγμα, ἐκεῖνο τὸ κατὰ φύσιν ζῆν, διὰ πασῶν τῶν ἐν τῷ βίῳ βουλήσεών τε καὶ πράξεων ὑπογραμμὸν τῷ ἀνθρώπῳ ἐπαρκῆ καταστῆσαι τὸν νοῦν ἐπέστησαν· ἀλλ' ἀντὶ τούτου προὐθυμήθησαν ἰδέαν τελέως ἠθικὴν τοῦ ἀγαθοῦ ἀνδρὸς ἤτοι τοῦ σοφοῦ ἐπεκδιηγήσασθαι· δ'ὁ καὶ πᾶσα ἡ ἠθικὴ πραγματεία αὐτῶν, ἅτε δὴ τὴν ἠθικὴν ἰδέαν ὡς καὶ ἐνεργείᾳ κατορθωτὴν ὑποδεῖξαι βουλομένη, ἔξω που τοῦ πρακτικοῦ φέρεται βίου, καὶ ἰδανικόν τι καὶ ὅλως ἀκατόρθωτον ἐλέγχεται θηρῶσα. βούλονται δὴ οὖν τὸν σοφὸν ἄνδρα τελέως ἀγαθὸν, οὑτινοσοῦν ἁμαρτήματος πάμπαν ἀκήρατον (λά.)· ἀλλὰ καὶ τὴν εὐδαιμονίαν πᾶσαν ἐν μηδενὶ ἄλλῳ εἶναι προεδόξασαν ἢ ἐν ἀρετῇ, δῆλον ἄρα ὡς ὁ σοφὸς πρὸς τοῖς ἄλλοις πανευδαίμων ἐστὶ καὶ μακάριος οὕτως, ὥστε μηδ' αὐτοῦ τοῦ Διὸς ἐν μακαριότητι ἀπολείπεσθαι· «ὥςπερ τῷ Διῒ προςήκει σεμνύνεσθαι ἐφ' ἑαυτῷ τε καὶ τῷ βίῳ καὶ μέγα φρονεῖν καὶ, εἰ δεῖ οὕτως εἰπεῖν, ὑψαυχεῖν καὶ κομᾷν καὶ

(λά.) Στοβ. Ἐκλογ. Β, σ. σλ'. κφξ. — Δ. Λ. Ζ, ρκβ', οἱ σοφοί εἰσιν «ἀναμάρτητοι, τῷ ἀπεριπτώτους εἶναι ἁμαρτήματι.»

μεγαληγορεῖν, ἀξίως βιοῦντι μεγαληγορίας· οὕτω τοῖς ἀγαθοῖς πᾶσι ταῦτα προςήκει, κατ' οὐθὲν προεχομένοις ὑπὸ τοῦ Διός.» (λϐ'.). ἔστι δ' ὁ σοφὸς ἐλεύθερος πάντῃ καὶ αὐτάρκης, πάντων τε τῶν οὐκ ἐφ' ἡμῖν πάμπαν ὀλιγώρως ἔχων καὶ οἱαςοῦν τύχης ἐξωτερικῆς ὑπεριδρυμένος· εἰ δὲ ποτέ τινι τύχῃ τῶν ἀφορήτων περιπέσοι, εἴτε ἀλγηδόνι σώματος δυςανασχέτῳ, εἴτε πηρώσει, εἴτε νόσῳ ἀνιάτῳ ἢ οἱαιςδήποτε ἄλλαις ἀνάγκαις, δύναμιν ἔχει ἱκανὴν τὴν ἑαυτοῦ ἐλευθερίαν ἀπὸ τῶν ἔξωθεν παραλυπούντων διασώζειν καὶ ἑαυτὸν καὶ τοῖς ἄλλοις ὁρᾷν παρέχειν ὡς ἀδιαφόρως πρὸς τὸν βίον ἔχει, ἐξάγων τοῦ τοιούτου κακοῦ ἑαυτὸν διαχρώμενος· (λγ'.). καὶ γὰρ τὴν αὐτοχειρίαν οἱ Στωϊκοί, ἣν ἐξαγωγὴν εἰώθεσαν ὑποκορίζεσθαι, μηδαμῶς παρὰ θέμιν εἶναι ἔφασαν· τὸ γὰρ ζῆν καὶ θνήσκειν ὅλως ἀδιάφορα εἶναι· ἐξεῖναι μέντοι μόνῳ τῷ σοφῷ ἑαυτὸν τοῦ βίου ἐξάγειν, ὡς τούτῳ μόνῳ εἰδότι κρίνειν εἰ εὔλογος ἀφορμὴ πρὸς τοῦτο ὑπάρχοι εἴτε καὶ μή. καὶ πολλοὶ τῶν Στωϊκῶν τούτῳ τῷ τρόπῳ ἑαυτοὺς τοῦ ζῆν ἀπήλλαξαν. κυριώτατον δὲ τῷ σοφῷ τέλος τὴν ἀπάθειαν εἶναι ἡγοῦντο, ἤτοι τὴν οἱαςοῦν περιπαθοῦς διαθέσεως παντελῆ ἀπαλλαγήν, πάντων τε τῶν παθῶν καὶ παντὸς τὴν τῆς ψυχῆς γαλήνην τε καὶ ἠρεμίαν ἀμηγέπῃ θροῆσαι δυναμένου· μηδὲν θαυμάζειν μηδέν τε δεδιέναι ἐστὶ τὸ κοινὸν αὐτοῖς παράγγελμα —**nil admirari, nihil metuere**—· βουλόμενοι δὲ τὴν τοῦ σοφοῦ ἀνδρὸς ἰδέαν ἔτι μᾶλλον ἐπὶ τὸ θαυμασιώτερον διασεμνῦναι, περιεῖλκον αὐτὸν τῷ

(λϐ'.) Πλουτ. περὶ στωϊκῶν ἐναντιωμ. ΙΓ'. — Στοϐ. ἐκλογ. Β, σ. ρϟή.

(λγ'.) Δ. Λ. Ζ, ρλ'.

λόγῳ εἰς παντοῖα ἐπιτηδεύματα καὶ ἐπαγγέλματα τῶν ἐν τῷ βίῳ ἐνδεχομένων, ἵνα τὴν κατὰ πάντα τελειότητα αὐτοῦ ἐναργῶς δηλώσειαν. ἐμακάριζον οὖν αὐτὸν ὡς μόνον δυνάμενον τὸ ἐπὶ πάντων ἀληθές τε καὶ ἀγαθὸν ἐπιγιγνώσκειν καὶ τοῖς ἄλλοις μεταδιδόναι καὶ ἐπιτελὲς αὐτὸ ἐν τῷ βίῳ ἑκάστοτε ποιεῖν, ὥστε μόνον τὸν σοφὸν ἔφασκον ὡς ἄριστον καὶ ποιητὴν εἶναι καὶ ῥήτορα καὶ διαλεκτικὸν καὶ στρατηγὸν καὶ βασιλέα· αὐτὸν μόνον καὶ πατέρα ἀγαθὸν καὶ φίλον καὶ εὐεργέτην· αὐτὸν γὰρ μόνον ἅτε φρόνησίν τε καὶ παιδείαν τὴν πρέπουσαν κεκτημένον, συλλήβδην πάντα τὰ καλά τε καὶ γενναῖα ἤθη ἐν ἑαυτῷ ἔχειν. (λδ΄.). ἀλλὰ μὴν ὁ σοφὸς, οἷον δὴ μόνῳ τῷ ἀληθεῖ καὶ λογικῷ τῆς ἀρετῆς νόμῳ ἑπόμενος, παντάπασιν ἀπηλλαγμένος ἐστὶ πάντων τῶν παλαιόθεν παραδεδομένων καὶ ἠθῶν καὶ πολιτικῶν θεσμῶν καὶ τῶν παραπλησίων καὶ οὐδ᾽ ὁπωςτιοῦν εὐλαβεῖται τὸ μὴ τοῖς τοιούτοις προςκρούειν, τοῦτο μόνον ἀεὶ ἐπιμελὲς ποιούμενος, ὅτιοῦν ἂν τῇ τε τῶν ὄντων φύσει καὶ τῇ τοῦ ἀνθρώπου ὡς ὁμολογουμένως ἔχον ἐνίδοι, τοῦτό γε θαρσούντως μάλα καὶ ἀνενδοιάστως ἑκάστοτε διεξεργάζεσθαι.

Ταύτην δὴ τὴν τελεωτάτην τοῦ σοφοῦ ἰδέαν ὡς κύριον

(λδ΄.) Διογ. Λ. Ζ, ρκβ΄. — Πλουτ. περὶ εὐθυμίας, κεφ. 12. « ἔνιοι τοὺς μὲν Στωϊκοὺς οἴονται παίζειν, ὅταν ἀκούσωσι τὸν σοφὸν παρ᾽ αὐτοῖς μὴ μόνον φρόνιμον καὶ δίκαιον καὶ ἀνδρεῖον, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ποιητὴν καὶ πλούσιον καὶ βασιλέα προςαγορευόμενον. » — Horat. Sat. I, 3, 124; Si dives, qui sapiens est, et sutor bonus et solus formosus et est rex: cur optas, quod habes? — Ep. I, 1, 106: sapiens uno minor est Jove: dives, liber, honoratus, pulcher, rex denique regum. — Cic. Acad. II, 44, 136: Sapientes solos reges, solos divites, solos formosos.

τέλος ἐν τῇ ἑαυτῶν ἠθικῇ πραγματείᾳ οἱ Στωϊκοὶ προεστήσαντο καὶ αὐτοῦ γε τούτου ἕνεκα οὐκ ἀνυστὰ πονοῦντες ὤφθησαν· οὐ γὰρ οἷοί τ' ἐγένοντο οὐδένα τῶν ἐπὶ γῆς θνητῶν, οἷόν περ αὐτοὶ τὸν σοφὸν ἐπευφήμουν, τοιοῦτον ὄντα ἐπιδεῖξαι (λέ.), ἀλλὰ καὶ τοὺς ὁμολογουμένους ἄνδρας ἀρίςους γεγονέναι, Σωκράτην τε αὐτόν, φημι, καὶ Διογένη καὶ Ἀντισθένην, ἀμέλει, οὐδὲ τούτους ἐτόλμησαν σοφοὺς ἄντικρυς προςαγορεῦσαι, ὡς ἐν προκοπῇ δὲ μόνον ὄντας, προκοπὴν λέγοντες τὸ τῇ ἀρετῇ κατὰ σμικρὸν πλησιάζειν. [Δ. Λ. Ζ, ϟά.]. ἀλλὰ καθ' ὅν γε ἀφηρημένον ὁρισμὸν αὐτοὶ τῆς ἀρετῆς ἀποδόντες ἔφθησαν καὶ ὁ προκόπτων κατ' οὐδὲν ἂν εἴη τοῦ κακοῦ βελτίων. [Δ. Λ. Ζ, ρκζ'.]. διὸ εἰ καὶ ἐν ἀρχῇ πάντας ἀνθρώπους εἰς δύο γένη διῃρῆσθαι ἔφασαν, εἰς τὸ τῶν σοφῶν καὶ τὸ τῶν ἀνοήτων, φανεροὶ νῦν δή εἰσι μηδὲ ἕνα ὄντως σοφὸν ἐπὶ γῆς ὑπάρχειν δοξάζοντες, ἀλλ' ἅπαντας τοὺς θνητοὺς ἀνοήτους τινὰς τὴν φύσιν εἶναι καὶ φαύλους· ὥσθ' ὅνπερ οἱ Στωϊκοὶ ὄντως σοφὸν ἐμακάριζον ἐν λόγοις μόνον καὶ θεωρίᾳ τοῦτον ὑπάρχειν ἐνδέχεται· ἐκ δὴ οὖν ταύτης τῆς θεωρίας ὅλως ἀνέφικτον ἀνθρώπῳ τὴν ἀρετὴν εἶναι συνάγεται καὶ τὸ κατ' ἀρετὴν δ' ἐν τῷ βίῳ πράσσειν δι' αὐτό γε τοῦτο ἀμήχανον· διὸ εἰκότως ἄν τις φαίη καὶ τοῦ βίου ὅλως παραιτεῖσθαι δεῖν ὡς ἀλυσιτελοῦς ἀποβαίνοντος. ταῦτα δὴ τὰ ἀτοπήματα τῆς τῶν Στωϊκῶν ἠθικῆς πραγματείας, ἅπερ ἤδη καὶ οἱ πάλαι ἀποχρώντως ἐξήλεγξαν.

§. μζ'. Περὶ τῶν ὕστερον Στωϊκῶν.

Βουληθέντες οὖν οἱ Στωϊκοὶ παράδειγμα ὄντως σο-

(λέ.) Σέξτ. ἐμπειρ. πρὸς μαθημ. Θ, ρλγ'.

φοῦ ἀνδρὸς ἐπιδεῖξαι, οὕτω δὴ τέλειον τὸ ἀνθρώπινον ἦθος ἀπήτησαν ὥστε ὑπὲρ μοῖραν θνητοῦ μεταρσιολογοῦντες ἐφάνησαν καὶ πόῤῥω πάνυ τοῦ πρακτικοῦ ἀφεστηκότες βίου. τοῦτο δ' οὐδ' αὐτοὶ οἱ Στωϊκοὶ εἶχον ὅπως ἂν μὴ οὐχ ὁμολογήσαιεν· ἀλλ' ἐπεὶ ἐχρῆν αὐτοῖς δι' ἥν περ τῆς ἑαυτῶν φιλοσοφίας πρώτην ἀρχὴν ἔθεντο, πλεῖστον κῦρος ἀπονέμειν εἰς τὸ τὰ ἑαυτοῖς ἀρέσκοντα τῷ κοινῷ πᾶσι τοῖς ἀνθρώποις λόγῳ κατὰ πάντα συμφωνεῖν, διὰ τοῦτο ἐπάναγκες εἶναι ἔδοξε τὴν διαφωνίαν ἐκείνην, ὡς δυνατὸν μάλιστα, διαλῦσαι· διὸ καὶ ἔνια μὲν μειλίσσοντες, ἔνια δὲ συγχωροῦντες καὶ τὸ ἐν πᾶσιν ἄγαν πάντοθεν περιστέλλοντες, πᾶσαν ἐπιμέλειαν ἐποιοῦντο τὴν ἑαυτῶν ἠθικὴν πραγματείαν τῇ κοινῇ τῶν ἀνθρώπων γνώμῃ, ὡς ἀνυστὸν, συμβιβάσαι καὶ τῷ πρακτικῷ ἤτοι τῷ ὄντως ὑπάρχοντι βίῳ, ὡς ἔπος εἰπεῖν, συνδιαλλάξαι. οὕτως οὖν καὶ Χρύσιππος, « ἐν τῷ πρώτῳ περὶ ἀγαθῶν τρόπον τινὰ συγχωρεῖ καὶ δίδωσι τοῖς βουλομένοις τὰ προηγμένα καλεῖν ἀγαθὰ καὶ κακὰ τἀναντία.» (ά.). οἱ δ' ὕστερον Στωϊκοὶ, ἐν οἷς ὁ Σένεκας, ἔτι σαφέστερον τὸν πλοῦτον ἀγαθὸν εἶναι ἀπεφήναντο, τά τε ἄλλα ὑπάρχοντα, οἷα δὴ εἰς ἀρετῆς κτῆσιν ἁμηγέπῃ συντελοῦντα ὡς ὀνήσιμα ἐδέχοντο· πρὸς δὲ τούτοις καὶ τὴν εἰς δύο γένη διακριδὸν τῶν ἀνθρώπων διαίρεσιν τῶν τε σοφῶν καὶ τῶν ἀνοήτων, ὡς καὶ τὸ πάντας τοὺς ἀνοήτους ἴσους ἀλλήλοις εἶναι πλαγίως πως ἀνέθεντο. ἀδυνατούντων γὰρ αὐτῶν σοφόν τινα ἐπιδεῖξαι, ἀφ' ἑαυτῆς ἤρθη ἡ διάκρισις ἐκείνη· ἥ τε πεῖρα ἱκανῶς αὐτοὺς ἔπεισεν ὁμολογῆσαι τούς τ' ἀγαθοὺς

(ά.) Πλούτ. ἐν τῷ περὶ Στωϊκ. ἐναντ. λ', θ'.

ἀλλήλων τὸ ἦθος διαφέρειν καὶ τοὺς φαύλους ὡςαύτως. καὶ τελευτῶντες συνέφασαν μεταξὺ προκοπῆς καὶ ἤθους ἀνιάτου διαφοράν τινα ὑπάρχειν.

Τοιαύταις δέ τισι συγκαταθέσεσι τὸ ἐξ ἀρχῆς αὐςηρὸν τῆς ἑαυτῶν ἀγωγῆς κολάσαι πειρώμενοι, τάς τε ἀκρότητας τρόπον τινὰ ἐξομαλῦναι, ἔλαθον ἑαυτοὺς τὸ συνακόλουθον ἀποβαλόντες, ὅπερ τὸν ἰδιάζοντα χαρακτῆρα τῆς ἑαυτῶν φιλοσοφίας μέχρι τοῦ νῦν ἀπειργάζετο καὶ ἤρξαντο ἤδη πρὸς τὰ τῶν ἄλλων φιλοσοφημάτων ἀξιώματα ἀποκλίνειν, πρὸς ἅπερ πρότερον παγίως πάνυ ἀντιλέγοντες διετέλουν.

Οὕτω δὴ τῶν περὶ τὰ διάφορα δόγματα ἐναντιοτήτων κατὰ βραχὺ, ὥς γ᾽ εἰπεῖν, ἀμβλυνομένων, τελευτῶσαι πᾶσαι αἱ φιλοσοφικαὶ αἱρέσεις συνδιηλλάγησάν τε ἀλλήλαις καὶ συνηρμόσθησαν· διὸ καὶ πᾶσα ἡ φιλοσοφία ἐπὶ τὸ ἐκλεκτικώτερον ἐντεῦθεν ἐτράπετο. ὑπεναντίως πως ἄρα οἱ ὕστερον Στωϊκοὶ πρὸς τοὺς πρότερον ἔχουσιν, καθ᾽ ὅσον μάλιστα τά τε ἑαυτῶν δόγματα πρὸς τὰ τῶν κοινῶν ἀνθρώπων καὶ τὰς καθ᾽ ἡμέραν βιωτικὰς χρείας συνδιαλλάξαι τε καὶ συμβιβάσαι προτίθενται καὶ ἃ ἂν αὐτοῖς ὡς ἄριστ᾽ ἔχοντα φανείη ἐκ τῶν ἄλλων φιλοσοφημάτων πρᾴως τε καὶ προθύμως παραλαμβάνειν.

Πρῶτος δὲ τούτων τῶν συμβιβαςικῶν τε καὶ ἐκλεκτικῶν Παναίτιος ἐγένετο ὁ Ῥόδιος, γεννηθεὶς μὲν περὶ τὸ πέμπτον καὶ ἑβδομηκοστὸν, τελευτήσας δὲ περὶ τὸ δωδέκατον ἔτος τῆς δευτέρας π. χ. ἑκατονταετηρίδος [ροέ.— ριβ΄. π. χ.]. παντὸς δὲ μᾶλλον τοῦτο φιλοσοφῶν ἐσκόπει τὴν ἀπὸ τῆς στοᾶς αἵρεσιν ὅσον οἷόν τε δημοτικὴν καταστῆσαι· διὸ οὐχ ὃν τρόπον ἐν τοῖς παιδευτηρίοις, ἐδίδασκεν αὐτὴν, ἀλλ᾽ ἐν ῥητορικοῖς καὶ πᾶσι βα-

τοῖς λόγοις διεξῄει (β΄.). τοιοῦτο δέ τι εἰς νοῦν βαλόμενος, οὐχ οὕτω περὶ τὴν λογικὴν καὶ φυσικὴν ἐσπούδαζεν, ὅσον περὶ τὴν ἠθικὴν ἤτοι τὴν πρακτικὴν φιλοσοφίαν. ἐν δὲ τῇ ἠθικῇ πραγματείᾳ κατὰ τοσοῦτόν γε τῶν παλαιτέρων Στωϊκῶν ἀπέστη, καθ' ὅσον τὸ τραχὺ καί, ὡς ἔπος εἰπεῖν, πρόςαντες τῶν Στωϊκῶν ἀξιωμάτων ὡς οἷόν τε μάλιστα ὁμαλῦναι ἀνεβάλετο καὶ τὴν ἠθικὴν τῷ κοινωνικῷ βίῳ ἁρμόζουσαν ἀποδεῖξαι· διὸ καὶ οὐκ ἔφη τὴν ἀρετὴν αὐτάρκη εἶναι πρὸς εὐδαιμονίαν, ἀλλὰ καὶ τῶν οὐκ ἐφ' ἡμῖν ἐπικουρημάτων, ὑγιείας τε καὶ χορηγίας καὶ ἰσχύος προςδεῖσθαι. [Δ. Λ. Ζ, ρκή.]. ἀλλ' οὐδὲ τὴν ἀπάθειαν καὶ ἀναλγησίαν προςίετο, ἥνπερ οἱ παλαιότεροι τῶν Στωϊκῶν ὡς καλὸν γέρας τῷ σοφῷ προςήκουσαν ἀπεφαίνοντο [Gell. XII, 5, 10.]· τοιαύτης διαλλακτικῆς φύσεώς ἐστι καὶ τὸ περιώνυμον περὶ τοῦ καθήκοντος σύγγραμμα αὐτοῦ (Cic ad Att. XVI, 11 4.), ὅπερ καὶ Κικέρων οἷον ὑπογραμμὸν ὑπεβάλετο τῷ ἑαυτοῦ ὁμωνύμῳ συντάγματι de officiis. φανερὸς δ' ἐστὶν ὁ Παναίτιος τὸ σύγγραμμα ἐκεῖνο οὐ τῶν σοφῶν χάριν συγγεγραφέναι, ἀλλὰ μόνον τῶν ἐν προκοπῇ ὄντων ἕνεκεν. διὸ οὐδὲ περὶ τοῦ κατορθώματος ἐν αὐτῷ διείληφεν, ἀλλὰ περὶ τοῦ καθήκοντος. ἔτι δὲ καὶ πρῶτος οὗτος τῶν ὕστερον Στωϊκῶν ἐπὶ τὸ ἐκλεκτικώτερον ἀποκλίνας φαίνεται· τόν τε γὰρ Πλάτωνα διετέλει θαυμάζων (γ΄.) καὶ τοὺς ἐπιφανεστέρους τῶν Ἀκαδημαϊκῶν

(β΄.) Cic. de fin. IV, 23, 79. – de Off. II, 10, 35 : popularibus verbis est agendum et usitatis, idque eodem modo fecit Panaetius.

(γ΄.) Cic. Tusc. I, 32, 79 : Panaetius Platonem omnibus locis divinum, sapientissimum, sanctissimum, Homerum philosophorum appellat.

καὶ περιπατητικῶν ἀεὶ ἐπαινῶν, τῶν δ' ἐκείνοις δεδογμένων συχνὴν μνείαν ποιούμενος (δ'.) καὶ ἔνια αὐτῶν ἄσμενος παραλαμβάνων. ἀλλὰ μὴν ὁ Παναίτιος καὶ ἐπὶ τούτῳ ἐλλόγιμος ἐγένετο ὅτι δι' αὐτὸν μάλιστα ἡ Στωϊκὴ φιλοσοφία καὶ εἰς Ῥωμαίους εἰςήχθη καὶ ἐπίδοσιν οὐ τὴν τυχοῦσαν παρ' αὐτοῖς ἔλαβεν. Ἀθήνηθεν γὰρ ὁρμηθεὶς καὶ φιλοσοφίας ἤδη εὖ μάλα ἥκων, εἰς Ῥώμην δ' ἀφικόμενος, τῷ τε Λαιλίῳ οἰκεῖος πάνυ ἐγένετο καὶ δι' αὐτοῦ ὕστερον Σκιπίωνι τῷ Ἀφρικανῷ ἐπικεκλημένῳ, παρ' ᾧ ὑποδοχῆς τε τῆς ἀρίστης ἠξίωτο καὶ τοὐντεῦθεν ἀεὶ αὐτῷ συνείπετο. συγκαταλέγονται δὲ τοῖς ὁμιληταῖς αὐτοῦ καὶ οὐκ ὀλίγοι τῶν διασήμων ῥωμαίων· ἐπανελθὼν δ' αὖθις Ἀθήναζε μέχρι τελευτῆς τοῦ βίου διετέλεσε τῆς τῶν Στωϊκῶν αἱρέσεως προϊστάμενος.

Πάντων δὲ τῶν Παναιτίῳ ὡμιληκότων ἐλλογιμώτατος ἐγένετο Ποσειδώνιος ὁ Ἀπαμεύς, ὃς ἀμφὶ τὸ πέμπτον καὶ τριακοστὸν ἔτος τῆς δευτέρας π. χ. ἑκατονταετηρίδος ἐγεννήθη. συστησάμενος δ' ἐν Ῥόδῳ φιλοσοφικὴν σχολήν, ἄλλους τε πολλοὺς ἔσχεν ἀκροατὰς καὶ μὴν καὶ Κικέρωνα, ᾧ καὶ ὕστερον διετέλει ἀντεπιστέλλων· ἔτι δὲ καὶ Πομπήϊον, ὃς τῆς τε ὁμιλίας αὐτοῦ ζηλωτὴς ἐς τὰ μάλιστα ἐγένετο καὶ ἄλλως θαυμαστής. ἦν δὲ τῶν Στωϊκῶν ἁπάντων λογιώτατος, ἀνὴρ παντοίας μαθήσεως ἀνάπλεως καὶ ἄλλως δραστικώτατος. ἐν φιλοσοφίᾳ γε μὴν τήν τε διαλλακτικὴν καὶ ἐκλεκτικὴν τοῦ Παναιτίου μέθοδον ἐπὶ πλέον ἀεὶ μετιών, τοῦτο

(δ'.) Cic. de fin. IV, 28, 79: Panaetius semper habuit in ore Platonem, Aristotelem, Xenocratem, Theophrastum, Dicaearchum, ut ipsius scripta declarant.

μάλιστα τέλος προέθετο, τὴν Στωϊκὴν φιλοσοφίαν τῇ Πλατωνικῇ καὶ Ἀριστετολικῇ, ὅσον ἐνῆν, συμβιβάσαι, καθ' ὅσα τε οὐσιώδη μέρη τὰ παντοῖα φιλοσοφήματα ἀλλήλοις ὁμολογεῖ ἔνδηλα καταστῆσαι καὶ λόγῳ τῷ εἰκότι τὰς παντοειδεῖς θεωρίας ἀλλήλαις συγκεραννὺς, πάσας τὰς περὶ φιλοσοφίαν ἔριδάς τε καὶ λογομαχίας διὰ παντὸς διαλῦσαι. τἀνάπαλιν δὲ ὁ κατ' ἐκεῖνον τὸν χρόνον τῆς Ἀκαδημίας ἡγούμενος, Ἀντίοχος ὁ Ἀσκαλωνείτης [περὶ τὸ ξθ'. π. χ. τὸ ζῆν μεταλλάξας] τὸ τῆς στοᾶς φιλοσόφημα εἰς τὴν Ἀκαδημίαν ἐκ παντὸς τρόπου μετοχετεῦσαι ἐπειρᾶτο. οὕτω κατισχύουσα ἦν τότε ἡ συγκριτικὴ λεγομένη τῆς φιλοσοφίας μέθοδος.

§. μή. Περὶ τῆς παρὰ Ῥωμαίοις Στωϊκῆς φιλοσοφίας.

Ἡ Στωϊκὴ φιλοσοφία, ὡς δημοτική τις καὶ ἐκλεκτικὴ οὖσα, τῆς δ' ὑπὲρ φύσιν τε καὶ συστηματικῆς πραγματείας πάντῃ ὀλιγωροῦσα, ἔτι δὲ πρὸς τὸ ἠθικῶς πράσσειν μόνον ἀποβλέπουσα, ἔμελλε δή που παρὰ τοῖς πλείστοις τῶν Ῥωμαίων διαφερόντως εὐδοκιμῆσαι καὶ πάντων τῶν ἐξ Ἑλλήνων φιλοσοφημάτων πλεῖστον ὅσον ἐν Ῥώμῃ κατισχῦσαι. καὶ γὰρ ὅσα περ τῇ τῶν Ῥωμαίων φύσει καθόλου τε εἰπεῖν καὶ ἰδίᾳ νῦν δὴ, ὁπότε ἡ ἐλευθερία ὁσημέραι κατελύετο, τοῖς γενναιοτέροις αὐτῶν εὖ μάλα ἤρεσκε, πάντα ἡ Στωϊκὴ φιλοσοφία ἐν ἑαυτῇ συλλαβοῦσα ἐμπεριεῖχεν. καὶ γὰρ αὕτη περὶ τὰς ἐν τῷ κοινωνικῷ βίῳ πράξεις μάλιστα ἦν, πάσης ἀκαρπώτου θεωρίας πάμπαν ἀλλοτρία οὖσα, τά τε ἤθη σκληραγωγοῦσα καὶ τῇ τοῦ ἰδίᾳ ἀνθρώπου ψυχῇ πλεῖστον κῦρος

προςνέμουσα, τῆς δ' ἀρετῆς περιπαθέστερον ἀντεχομένη, τά τε ἰδίᾳ συμφέροντα καὶ πάντα τὸν κόσμον παρ' οὐδὲν σχεδόν τι τιθεμένη. καὶ ἐπὶ τῆς δεσποτείας τῶν αὐτοκρατόρων οἱ πλεῖστοι τῶν ἀντιπολιτευομένων ἐπὶ ταύτην τὴν φιλοσοφίαν, ὡς ἐπὶ καταφύγιόν τι ἐτράποντο, ἥπερ τούτου γε ἕνεκεν καὶ πολιτικὸν χαρακτῆρα τανῦν λαβοῦσα, δύςφημος καὶ ὕποπτος καθέστηκεν. ἔψεγον γὰρ αὐτὴν οἱ ἐναντίοι λέγοντες ὅτι ὑπεροπτικὴ τὴν φύσιν οὖσα, τὰ δὲ τῶν πάλαι Ῥωμαίων ἤθη καὶ τὸ δημοκρατικὸν πολίτευμα κομιδῇ προςιεμένη, δυςαρέστους τινὰς καὶ νεωτεροποιοὺς τοὺς μετιόντας αὐτὴν ἀπεργάζεται (α).

Καὶ μὴν καὶ ἐπὶ τῶν αὐτοκρατόρων τῶν κατὰ τὸν πρῶτον μετὰ Χριστὸν αἰῶνα βασιλευσάντων οὐκ ὀλίγοι τῶν στωϊκῶν ἐπὶ τοῖς ἑαυτῶν φρονήμασιν, οἱ μὲν θανάτῳ, οἱ δὲ ἀειφυγίᾳ ἐζημιώθησαν. ἐπὶ δὲ Δομιτιανοῦ καὶ ἐξελασία τῶν φιλοσόφων ἁπάντων ἐκ Ῥώμης ἐγένετο, ἐν οἷς περ καὶ Στωϊκοὶ ἦσαν, οἷος, φέρ' εἰπεῖν, ὁ Ἐπίκτητος (β'.).

(α'.) Τάκιτος ἐν τοῖς χρονικοῖς (XIV, 57.) ἀφηγεῖται Ῥουβέλλιον Πλαῦτον παρὰ Νέρωνι διαβληθῆναι, ne fingere quidem cupidinem otii, sed veterum Romanorum imitamenta praeferre, assumpta etiam Stoicorum arrogantia sectaque, quae turbidos et negotiorum adpetentes faciat. XVI, 22.

(β'.) Δίων ὁ Κάσσιός φησιν (ξζ'. ιγ'.) ὅτι « τὸν Ῥούστικον τὸν Ἀρουλῆνον ἀπέκτεινεν (ὁ Δομιτιανὸς), ὅτι ἐφιλοσόφει.—ἄλλοι τε ἐκ τῆς αὐτῆς ταύτης τῆς κατὰ τὴν φιλοσοφίαν αἰτίας συχνοὶ διώλοντο, καὶ οἱ λοιποὶ πάντες ἐξηλάθησαν αὖθις ἐκ τῆς Ῥώμης. Tac. Agric. 2: expulsi insuper sapientiae professores atque omnis bona ars in exilium acta. Plin. Paneg. 47: Studia sapientiae, quae priorum temporum immanitas exsiliis puniebat. Gell. N. A. XV, 11, 3: neque il-

Οὕτως οὖν οἱ παρὰ Ῥωμαίοις ὀπαδοὶ τῆς Στωϊκῆς φιλοσοφίας ἐπὶ μὲν τῶν πολιτικῶν πραγμάτων καὶ τῶν ἠθῶν δύναμίν τινά πως ἔσχον, ἥκιστα μέν τοι ἠδυνήθησαν τὸ τῆς ἑαυτῶν φιλοσοφίας σύστημα ἐπὶ τὸ ἐπιστημονικώτερον προαγαγεῖν. ἐν γὰρ ταῖς ἑαυτῶν συγγραφαῖς τῶν νοήσει εἰλικρινεῖ καὶ λογισμῷ περιληπτῶν θεωριῶν πάμπαν ἀφεστηκότες, κοινωφελῆ τινα ἠθικὴν διεξιέναι μᾶλλον προύθυμοῦντο, τὰ πρὸς τὸν βίον χρήσιμα ὄντα παραινοῦντες καὶ ῥητορικῇ δεινότητι τοὺς ἀκροωμένους πείθειν ἐπιζητοῦντες, τὸν δὲ λόγον καὶ τὴν πρώτην αἰτίαν τοῦ οὕτω καὶ οὐκ ἄλλως χρῆναι ἑκάστοτε ἐν τῷ βίῳ ποιεῖν, ὥς γ' ἐπὶ τὸ πλῆθος ἀνεξέταστον ἐῶντες. τρεῖς δὲ ἐπιφανέστατοι τῶν Στωϊκῶν συγγραφεῖς ἐπὶ ῥωμαίων ἀνέλαμψαν, Σένεκας, Ἐπίκτητος καὶ Μάρκος ὁ Αὐρήλιος. τούτων δὲ Σένεκας μὲν οὐ πάνυ τι τὸ ἦθος ἀνεπίληπτος ἀνὴρ γεγονώς, κομψείαις μὲν ῥητορικωτέραις, παραινέσεσι δὲ καὶ ἐνθυμήμασι παντοίοις ἄγαν πεπυκασμένῃ λέξει χρώμενος, τὴν Στωϊκὴν φιλοσοφίαν ἐν τοῖς ἑαυτοῦ συγγράμμασι τρόπον τινὰ ἠλλοιωμένην διεξήει, μεγαλήγορόν τινα καὶ αὐτάρεσκον ἀρετὴν ἐπαγγελλόμενος. Ἐπίκτητος δὲ ἐν Ἱεραπόλει τῆς Φρυγίας γεννηθείς,

lis solum temporibus nimis rudibus philosophi ex urbe Roma pulsi sunt (ἐν ἔτει ἑξηκοστῷ δευτέρῳ τῆς δευτέρας π. Χ. ἑκατονταετηρίδος, δόγματι τῆς Συγκλήτου); verum etiam Domitiano imperante senatusconsulto ejecti, atque urbe et Italia interdicti sunt. Qua tempestate Epictetus quoque philosophus propter id senatusconsultum Nicopolim Roma decessit. Suet. Dom. 10: interemit Junium Rusticum, quod Paeti Thraseae et Helvidii Prisci laudes edidisset, appellassetque eos sanctissimos viros: cujus criminis occasione philosophos omnes urbe Italiaque summovit.

πρῶτον μὲν δοῦλος, ὕστερον δὲ ἐλεύθερος γενόμενος, τὰς φιλοσόφους διατριβὰς ὡςαύτως ἐν Ῥώμῃ ἐποιεῖτο. τέλος δὲ τῶν φιλοσόφων ψηφίσματι τῆς γερουσίας ἐκδιωχθέντων πάντων (τῷ ϟδ΄. ἔτει μ. Χ.), ἔφυγε καὶ ὁ Ἐπίκτητος εἰς Νικόπολιν τὴν ἐπὶ τῷ Ἀμβρακικῷ κόλπῳ κειμένην, ἔνθα φιλοσοφικὴν σχολὴν ἐγκαθιδρυσάμενος, πλεῖστον ηὐδοκίμησε. σκοπὸν δὲ κύριον ἐν φιλοσοφίᾳ τὸν πρακτικὸν ἔθετο βίον· πάντες γὰρ οἱ λόγοι αὐτοῦ πᾶσιν εὔληπτοι ὄντες εἰς κοινὴν ἠθοποιίαν ἔτεινον, τὴν ἀποχὴν μετὰ ἠπιότητος ἐγκωμιάζοντες. ἤρεσκε δὲ μάλιστα αὐτῷ ὡς ἀξίωμα τοῦ βίου «τὸ ἀνέχου καὶ ἀπέχου.» καὶ αὐτὸς μὲν οὐδὲν σύγγραμμα τοῖς ὕςερον κατέλιπεν· Ἀρριανὸς δὲ ὁ τούτου μαθητὴς τὰς φιλοσοφικὰς τοῦ διδασκάλου ὁμιλίας ἀπομνημονεύσας ἐν συγγράμματι κατέγραψεν, ὅπερ ἐξ ὀκτὼ βιβλίων συγκείμενον, «διατριβαὶ Ἐπικτήτου» ἐπιγραφὴν φέρει, ἐξ ὧν τὰς ἡμισείας ὁ χρόνος ἡμῖν παρέδωκε. συνέγραψε δὲ ὁ αὐτὸς καὶ σύνοψιν τῆς τῶν Στωϊκῶν ἠθικῆς, «ἐγχειρίδιον Ἐπικτήτου» ἐπιγράψας· ἦν δὲ τὸ βιβλίον καὶ παρὰ τοῖς πάλαι οὕτως ὀνομαστὸν, ὥστε καὶ ὁ Σιμπλίκιος ὑπόμνημα εἰς αὐτὸ συνέταξεν.

Ἀλλὰ διὰ Μάρκον Αὐρήλιον τὸν Ἀντωνῖνον ἡ Στωϊκὴ φιλοσοφία πορφύραν περιβαλομένη, ἐπὶ βασιλείου θρόνου γερασμίως ἐκάθισε. Μάρκος Αὐρήλιος ὕστατος τῶν ἐν τῇ Στωϊκῇ αἱρέσει εὐκλεῶς διαλαμψάντων ἀνδρῶν, εἴπερ τὰς γνώμας καὶ τὰ ἐνθυμήματα «τὰ εἰς ἑαυτὸν», ἅπερ ἐν συντάγματι ἀξιολογωτάτῳ ἐξέθετο, ὀνόματι φιλοσοφίας ἔξεστιν ἀποκαλεῖν. τουτὶ τὸ σύγγραμμα οὐ πάνυ τι συνεστηκυῖαν ἐν φιλοσοφίᾳ γνώμην ἐμφαίνει, ἦθος μέν τοι φιλάνθρωπόν τε ἐς τὰ μάλιστα

καὶ γενναῖον, πάσης τε ὁσιότητος ἀνάπλεων. τὸ δ' οὖν ἀξίωμα τὸ βασιλικὸν, ὡς λέγω, καὶ ἡ βασιλικὴ πρόνοια παρεσκεύασαν αὖθις τῇ στωϊκῇ φιλοσοφίᾳ ἐπὶ τῶν Ἀντωνίνων κῦρός τε μέγα καὶ ὀπαδοὺς παμπόλλους· ἀνὰ πάντα γὰρ τὸν ῥωμαϊκὸν κόσμον οὐ τὴν τυχοῦσαν διάδοσιν ἔσχεν.

§. μθ'. Περὶ τῆς τῶν ἐπικουρείων φιλοσοφίας

καὶ

πρῶτον περὶ Ἐπικούρου.

«Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, τὸν δῆμον Γαργήττιος, γένους τοῦ τῶν Φιλαϊδῶν, ὥς φησι Μητρόδωρος ἐν τῷ περὶ εὐγενείας. τοῦτόν φασι ἄλλοι τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ, κληρουχησάντων Ἀθηναίων τὴν Σάμον, ἐκεῖ τραφῆναι, (ά.) ὀκτωκεδεκέτη δὲ ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν Ἀκαδημίᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος. τελευτήσαντος δ' Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκου, μετελθεῖν εἰς Κολοφῶνα πρὸς τὸν πατέρα. χρόνον δέ τινα διατρίψαντ' αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα, πάλιν ἐπανελθεῖν εἰς Ἀθήνας ἐπ' Ἀνεξικράτους· καὶ μέχρι μὲν τινος κατ' ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ πως τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσασθαι. Ἐφάψασθαί τε φιλοσοφίας αὐτός φησιν ἔτη γεγονὼς τέτ-

(α'.) Διὸ καὶ οἱ ἐναντίοι ἰσχυρίζοντο ὡς οὐκ εἴη γνησίως ἀστός. Δ. Λ. Ι'. δ'.

ταρα καὶ δέκα. Ἀπολλόδωρος δ' ὁ Ἐπικούρειος ἐν τῷ πρώτῳ περὶ τοῦ Ἐπικούρου βίου φησὶν ἐλθεῖν αὐτὸν ἐπὶ φιλοσοφίαν καταγνόντα τῶν γραμματιστῶν, ἐπειδὴ μὴ ἐδυνήθησαν ἑρμηνεῦσαι αὐτῷ τὰ περὶ τοῦ παρ' Ἡσιόδῳ χάους.» τούτοις δὲ οὐκ ἀπᾷδον δοκεῖ καὶ ὅπερ Ἕρμιππος ὡςαύτως παρὰ Διογένει τῷ Λαερτίῳ φησὶ « γραμματοδιδάσκαλον αὐτὸν γεγενῆσθαι, ἔπειτα μέν τοι περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις, ἐπὶ φιλοσοφίαν ἀΐξαι.» ἀπεκάλει δὲ καὶ αὐτὸς ἑαυτὸν κατ' ἀρχὰς Δημοκρίτειον καὶ πάρεστι νοῆσαι ἐν τῇ ἑαυτοῦ θεωρίᾳ, μάλιστα δ' ἐν τῇ φυσικῇ οὐκ ὀλίγα ὡς ἀληθῶς παρὰ Δημοκρίτου παρειλημμένα. ἓξ δὲ καὶ τριάκοντα ἔτη γεγονὼς ἱδρύσατο Ἀθήνησι φιλοσοφικὴν σχολὴν, ἧς μέχρι τελευτῆς διετέλεσεν ἐξάρχων. τῶν δὲ γυμνασίων πάντων ἤδη ὑπ' ἄλλων κατειλημμένων, ἐν τοῖς κήποις τὰς φιλοσόφους διατριβὰς ἐποιεῖτο, οὓς Ἀθήνησιν ἐκέκτητο καὶ μετὰ θάνατον τοῖς περὶ ἑαυτὸν ἐκληροδότησεν (β'.). ἀνὴρ δὲ προςηνής τε καὶ φιλάνθρωπος τὸ ἦθος ὤν, διῆγε βίον εὔχαρίν τε ἅμα καὶ κόσμιον σὺν ὁμιληταῖς τε καὶ φίλοις ἀεὶ χαίρων καὶ εὐφραινόμενος. ἐχρῶντο δ' οἱ περὶ αὐτὸν ἀλλήλοις μάλα οἰκείως, ὥστε καὶ παρὰ πολλοῖς τῶν ὕστερον πάνυ ὀνομαστὴν γενέσθαι τὴν τῶν Ἐπικουρείων φιλίαν. ἀλλὰ καὶ πολὺς μὲν λόγος διατεθρύλληται περὶ τῆς φιληδονίας καὶ φαύλης ἡδυπαθείας τῆς τῶν Ἐπικουρείων ἀγέλης (γ'.). αἱ πλεῖσται μέν τοι τούτων τῶν λοιδοριῶν συκοφαντίαι ἢ ὑπερβολαὶ ἐοίκασιν εἶναι.

(β'.) Δ. Λ. I', ι'. ιζ'.

(γ'.) Hor. Ep. I, 4, 15: me pinguem et nitidum bene curata cute vises, cum ridere voles Epicuri de grege porcum.

τὰ γοῦν ἀξιώματα αὐτοῦ γε τοῦ Ἐπικούρου κατ' οὐδένα τρόπον τὴν ἄφρονα ἡδονὴν ἐπαινοῦσιν· αὐτός τε ὁ Ἐπίκουρος ἐπὶ σωφροσύνῃ τε καὶ κοσμιότητι καὶ ἠθῶν ὁσιότητι οὐκ ὀλίγον ἐγκωμιάζεται. καὶ περὶ τὴν τελευτὴν τοῦ βίου πολλαῖς σωματικαῖς ἀλγηδόσι συνεσχημένος, πάνυ καρτερικὸς ἐφάνη καὶ δύο καὶ ἑβδομήκοντα ἔτη γεγονώς, ὡς ἀληθῶς φιλοσοφοῦντι ἀνδρὶ προςήκει, ἐν ἡσυχίᾳ τε καὶ ἱλαρότητι τὸ ζῆν μετήλλαξεν. [τῷ σό ἔτει π. Χ.].

Ἐγένετο δὲ ὁ Ἐπίκουρος πολυγραφώτατος· περὶ τὰ τριακόσια γὰρ συγγράμματα κατέλιπε, πλείονα καὶ τῶν Ἀριστοτέλους· καὶ τοῦτο τόσῳ μᾶλλον θαυμαστότερον δοκεῖ, καθ' ὅσον γε μετρίας ἦν μαθήσεως ὁ ἀνὴρ, τῶν ἐπιστημονικωτέρων ἢ, ὡς αὐτὸς ἔλεγε, μεταρσίων λόγων πάνυ καταφρονῶν. οἱ δὲ περὶ αὐτὸν οὐδέποτε ἀλλήλοις ἐδιχονόησαν, τῶν τοῦ ἀρχηγέτου δογμάτων σφόδρα ἀντεχόμενοι· ἀλλὰ καὶ οὐδὲ εἷς τῶν Ἐπικουρείων ἐλλόγιμος κατέστη, πλὴν εἴ τις Λουκρήτιον τὸν ῥωμαῖον τούτων ἐξέλοι· ἐντεῦθεν ἄρα δῆλον ὡς ἡ πρώτη καταβολὴ τῆς τῶν Ἐπικουρείων ἀγωγῆς οὐ πάνυ τι εὐφυῶς εἶχεν εἰς βλάστησιν ἐπιστημονικῶν μαθήσεων καὶ ἐπὶ πλέον αὔξησιν. ἄλλως τε οὐδ' αὐτῷ γε τῷ Ἐπικούρῳ βουλομένῳ ἤρχετο τὸ τοὺς ἑαυτῷ συνόντας εἰς τελείωσιν τῆς σφετέρας αἱρέσεως κατὰ δύναμιν συμβάλλεσθαι· τοὐναντίον δὲ, παρῄνει αὐτοῖς τὰ κυριώτατα τῶν ἑαυτῷ δεδογμένων ἀπὸ στόματος μανθάνειν, ἐπιτομὰς αὐτῶν πρὸς εὐχερεστέραν μάθησιν ποιούμενος. τινὰς δὲ τῶν ἐπιτομῶν παραδέδωκεν ἡμῖν μάλιστα Διογένης ὁ Λαέρτιος, ὃς καὶ θαυμαστὴς ἐς ἄκρον τοῦ Ἐπικούρου φαίνεται.

Β'. *Τίς ποτ' ἐστὶν ἡ περιωπὴ τῆς κατ' Ἐπίκουρον φιλοσοφίας.*

Ἡ ἀρχὴ, ἀφ' ἧς Ἐπίκουρος εἰς τὸ φιλοσοφεῖν ὁρμᾶται μάλα σαφῶς διατρανοῦται, ἐν ᾧ περ ὁρισμῷ τῆς φιλοσοφίας ἀπέδοτο· τὴν γὰρ φιλοσοφίαν ἐνέργειαν εἶναι ἔλεγε «λόγοις καὶ διαλογισμοῖς τὸν εὐδαίμονα βίον περιποιοῦσαν» (δ'.). Ἡ φιλοσοφία ἄρα παρ' αὐτῷ οὐδενὸς ἄλλου στοχαστική ἐστιν ἢ τέλους τινὸς πρακτικοῦ, βίου, ὅσα γε τἀνθρώπεια, εὐδαιμονεστάτου. πᾶν τε τὸ εἰδέναι κατὰ τοσοῦτον αὐτῷ λόγου ἄξιον φαίνεται, καθ' ὅσον περ ἂν εὐδαιμονίας ὑπάρχῃ ποριστικόν. ἐνθυμητέον δ' ὅτι καὶ οἱ Στωϊκοὶ ἤδη μείζονος ἀξίαν τῆς θεωρητικῆς τὴν πρακτικὴν ὠφέλειαν ἡγήσαντο καὶ πρὸς τῇ ἠθικῇ μάλιστα ἦσαν, τὴν λογικὴν καὶ φυσικὴν ἐν ἐλαχίστῳ λόγῳ τιθέμενοι. ἀλλ' ὁ Ἐπίκουρος ἔτι μᾶλλον τοῦτο ποιεῖ· καὶ γὰρ πάσας τὰς θεωρητικὰς ἐπιστήμας, ὧν οὐδὲν ὄφελος ὁρᾷ πρὸς τὸν βίον τὸν πρακτικὸν, ὡς ἀνωφελεῖς ἀποφαινόμενος, φανερός ἐστιν αὐτῶν πάμπαν ὀλιγωρῶν. ἔτι δὲ καὶ τὴν φυσιολογίαν διὰ τὸ χρησίμην εἶναι ἐν τῷ βίῳ λόγου τινὸς ἀξίαν εἶναι οἴεται· φησὶ γὰρ τὸν τὰς φυσικὰς τῶν ὄντων αἰτίας μὴ εἰδότα, ἀδύνατά ἐστι δεισιδαιμονίας τε ἐπιεικῶς ἀπηλλάχθαι καὶ φόβων μυρίων ἡμῖν ἐμποιουμένων ἀπὸ οἰωνῶν, θείων κολάσεων, καὶ ἄλλων τοιούτων, ἅπερ τὴν τῆς ψυχῆς γαλήνην θορυβοῦντα, τὴν εὐδαιμονίαν σφόδρα περικείρει. ὡς συντεμόντι ἄρα εἰπεῖν, καθ' ὅσον περ οἱ Ἐπικούρειοι τὴν περὶ τὸν βίον σοφίαν τέλος κύριον ἐν τῷ φιλοσοφεῖν

(δ'.) Σέξτ. ὁ Ἐμπειρ. πρὸς τοὺς μαθημ. ΙΑ', ρξθ'. — Δ. Λ. Ι', ρκβ'. «μελετᾶν χρὴ τὰ ποιοῦντα τὴν εὐδαιμονίαν.»

προβάλλονται, ταὐτόν που τοῖς Στωϊκοῖς φαίνονται ἐπιζητοῦντες, τὴν τοῦ ἰδίᾳ ἀνθρώπου ὅσον οἷόν τε πρακτικὴν τελειότητα· παρ' ἀμφοτέροις γὰρ ἡ φιλοσοφία περὶ οὐδὲν ἄλλο ἐστὶν ἢ περὶ τὸ ἀνευρίσκειν τὸν νόμον, καθ' ὃν ὁ ἄνθρωπος πάντα πράσσειν ὀφείλει· διὸ καὶ παρ' ἀμφοτέροις ἡ ἠθικὴ μάλιστα πρωτεύει. ἔστι μέν τοι καὶ διαφορά τις ἐν τούτοις· οἱ μὲν οὖν περὶ τὸν Ἐπίκουρον πρὸς τὸν ἰδίᾳ καὶ σωματοειδῆ ἄνθρωπον ἀποβλέπουσιν· οἱ δὲ ἀπὸ τῆς στοᾶς πρὸς τὸν καθόλου καὶ λόγον ἔχοντα· οἱ μὲν γὰρ τὴν τοῦ ἰδίᾳ ἀνθρώπου εὐαρέστησιν καὶ ἡδονὴν ὡς ἠθικὸν τέλος αἰνοῦσιν· οἱ δ' αὖ τὸ τὸν ἰδίᾳ ἄνθρωπον τῇ καθόλου ἀνθρωπικῇ φύσει ἤτοι τῷ λόγῳ καὶ νόμῳ τῷ ἠθικῷ προθύμως μάλα πείθεσθαι.

Γ'. Ὅπως ἡ τοῦ Ἐπικούρου φιλοσοφία διῄρηται.

Διαίρεσιν δὲ ὁ Ἐπίκουρος τῆς ἑαυτοῦ φιλοσοφίας ἐποιήσατο, ἥνπερ ἀνέκαθεν συχνοὶ παρεδέξαντο, τὴν εἰς τρία μέρη δηλονότι. ἀλλὰ τὰ δύο μέρη αὐτῆς ὡς τῇ ἠθικῇ προὔργου ὄντα παρείληφε· καὶ γὰρ πάσας τὰς ἐπιστημονικὰς ζητήσεις, ὡς καὶ πρότερόν μοι εἴρηται, κατὰ τοσοῦτον μόνον λόγου ἀξίας ἡγεῖται, καθ' ὅσον εἰς εὐδαιμονίαν βίου συντελεστικαὶ ὑπάρχουσι. τὴν δ' οὖν φυσικὴν καὶ τὴν λογικήν, ἥνπερ αὐτὸς τὸ κανονικόν, ἤτοι τῶν τοῦ εἰδέναι κανόνων διδασκαλικὸν μέρος προσείρηκεν, ὡς ἁπλῶς τῇ ἠθικῇ ἐπικουρούσας λογίζεται. διὸ καὶ ἡμεῖς τὴν ἠθικὴν ἀμφοῖν τῶν λοιπῶν πραγματειῶν προτάσσομεν, εἰ καὶ οἱ Ἐπικούρειοι ἐν ταῖς ἑαυτῶν ὁμιλίαις τὴν εἰωθυῖαν τάξιν ἦσαν τηροῦντες.

Δ'. Περὶ τῆς κατ' Ἐπίκουρον ἠθικῆς.

Ἀνώτατον ἀγαθὸν καὶ κυριώτατον ἀνθρώπῳ τέλος

τὴν εὐδαιμονίαν εἶναι ὁ Ἐπίκουρος ἀποφαίνεται· ταύτην δ' εἶναι ὅλην ἐν ἡδονῇ· ἡ ἡδονὴ ἄρα κατ' αὐτὸν κύριον ἀνθρώπῳ τέλος καὶ ἀγαθὸν πρῶτον ὑπάρχει. [Δ. Λ. Ι', ρκή. ρκθ'.]. τεκμηριοῖ δὲ τὸ δόγμα τοῦτο λέγων ὅτι καὶ πάντα τὰ ζῷα ἅμα γεννώμενα τὴν μὲν ἡδονὴν μεταδιώκει, τὴν δ' ἀλγηδόνα φεύγει φύσει. διὸ τὴν ἡδονὴν «ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς καὶ ἐπὶ ταύτην καταντῶμεν ὡς κανόνι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες.» [Ι', ρκθ'.]. καθ' ὅσον μὲν οὖν ὁ Ἐπίκουρος τὴν ἡδονὴν πάσης τῆς ἀνθρωπικῆς ἐνεργείας κύριον τέλος εἶναι λέγει, δῆλός ἐστι τοῖς παλαιτέροις τῶν ἡδονικῶν ἐπικληθέντων καὶ μάλιστα τῷ Ἀριστίππῳ ὁμολογῶν· σαφέστερον μέν τοι τὴν αἱρετὴν ἡδονὴν ὁριζόμενος, οὐκ ὀλίγον τῆς Ἀριστίππου δόξης ἀφίσταται καὶ ἐν αὐτῷ τούτῳ ἐστὶν ὁ ἰδιάζων τῆς Ἐπικουρείου φιλοσοφίας χαρακτὴρ, ὅτι σωφρονεστέραν τε καὶ βελτίονα ἡδονὴν ἀντὶ τῆς Ἀριστίππου εἰσάγει. διαστέλλεται γὰρ ἡ κατ' Ἐπίκουρον ἡδονὴ ἐκείνης κατὰ τὰ ἐφεξῆς μάλιστα.

Πρῶτον μὲν οὖν Ἀρίστιππος τὴν ἐκ τοῦ παραυτίκα ἡδονὴν ἤτοι τὴν τοῦ νυνὶ παρόντος ἀπόλαυσιν ἔσχατον τέλος εἶναι ἀνθρώπῳ θετέον ἔλεγεν· ὁ δ' Ἐπίκουρος τοὐναντίον, ταύτην τὴν ἡδονὴν ἀληθῆ εὐδαιμονίαν καὶ τέλος ἀνώτατον ἀνθρώπῳ ἐπιφημίζει, ἥ τις ἂν φύσιν ἔχοι παρ' ὅλον τὸν βίον ἐμμένειν. τὴν δ', ὡς ἔπος εἰπεῖν, τυφλὴν ἀπόλαυσιν, ἣν ἂν ὁ νυνὶ παρὼν χρόνος ἀπὸ ταὐτομάτου πως κομίζοι, μήπω ἀξίαν εἶναί φησιν εὐδαιμονίας ὄνομα κεκλῆσθαι· δέον γὰρ ἀεὶ τό τε παρελθὸν καὶ μέλλον προσυπολογίζεσθαι, καὶ ἐκ πολλῶν ἡδονῶν μετὰ λόγου τε καὶ συνέσεως τὴν ἀρίστην τε καὶ χρονιωτάτην

ἀεὶ προαιρεῖσθαι· «ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο (ἡ ἡδονὴ) καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα, ἀλλ' ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυςχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολουθῇ, πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. πᾶσ' οὖν ἡδονὴ, διὰ τὸ φύσει ἔχειν οἰκείως, ἀγαθὸν, οὐ πᾶσα μέν τοι αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα κακὸν, οὐ πᾶσα δὲ φευκτὴ ἀεί. τῇ μέν τοι συμμετρήσει καὶ συμφερόντων καὶ ἀσυμφόρων βλέψει ταῦτα πάντα κρίνειν καθήκει· χρώμεθα γὰρ τῷ μὲν ἀγαθῷ κατά τινας χρόνους ὡς κακῷ, τῷ δὲ κακῷ τοὔμπαλιν ὡς ἀγαθῷ.— τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν φρόνησις», ἥτις τὸν ἡδὺν παρασκευάζει βίον [Δ. Λ. ρκθ'—ρλβ'.].

Εἶτα δὲ Ἀρίστιππος μὲν τὴν διὰ τοῦ σώματος ἡδονὴν ὡς τὴν τιμιωτάτην λογίζεται, Ἐπίκουρος μέν τοι προαιρεῖται ταύτης τὴν τῆς ψυχῆς· φέρονται μὲν τόποι τινὲς τῶν Ἐπικούρου συγγραφῶν τἀναντία μαρτυροῦντες, ὡς ἐν τῇ «περὶ τέλους» πραγματείᾳ φησίν· «οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθὸν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονὰς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων καὶ τὰς δι' ἀκροαμάτων καὶ τὰς διὰ μορφῶν» [Δ. Λ. Ι', ς']· ἀναγράφεται δ' αὐτῷ καὶ τόδε τὸ φθέγμα· «ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή» (έ.)· καὶ Μητρόδωρος δ' ὁ ἑταῖρος καὶ φίλος Ἐπικούρου φέρεται παρὰ Πλουτάρχῳ οὑτωσεὶ πρὸς τὸν ἀδελφὸν γράφων, «οὐδὲν δεῖ σώζειν τοὺς Ἕλληνας, οὐδ' ἐπὶ σοφίᾳ στε-

(ε'.) Παρ' Ἀθην. ΙΒ, ξζ', σ. φμς'.

φάνων παρ' αὐτῶν τυγχάνειν, ἀλλ' ἐσθίειν καὶ πίνειν οἶνον, Τιμόκρατες, ἀβλαβῶς τῇ γαστρὶ καὶ κεχαρισμένως. καὶ πάλιν πού φησιν ἐν τοῖς αὐτοῖς γράμμασιν· ὡς καὶ ἐχάρην καὶ ἐθρασυνάμην, ὅτι ἔμαθον παρ' Ἐπικούρου ὀρθῶς γαστρὶ χαρίζεσθαι· καὶ περὶ γαστέρα γὰρ, ὦ φυσιολόγε Τιμόκρατες, τὸ ἀγαθόν.» (ϛ'.). Ἀλλὰ πάντα τὰ λεχθέντα καὶ τὰ τούτοις παραπλήσια φθέγματα τοῦτο μάλιςα κατ' Ἐπίκουρον ἐθέλει λέγειν, ὅτι πᾶσα ἡδονὴ καὶ πᾶσα λύπη εἰς τὸ εὖ ἢ κακῶς τὸ σῶμα ἔχειν καταντᾷ· κατὰ τοῦτον δὲ τὸν λόγον οὐκ ἂν εἰκότως τις ἔξαρνος γένοιτο ὅτι οὐ τὸν πρὸς τὰ ἡδέα γαργαλισμὸν τῶν αἰσθήσεων ὁ Ἐπίκουρος κυριώτατον τέλος ἀνθρώπῳ θετέον εἶναι ἔφασκεν, ἀλλὰ τὴν ὡς ἐκ τῆς εὐεξίας τε καὶ γαλήνης τῶν κατὰ τὸ σῶμα ποριζομένην τῇ ψυχῇ χαράν τε καὶ εὐφροσύνην. ἄλλως τε ἀποδιδόασι τῷ Ἐπικούρῳ καὶ ῥήσεις τινὰς, ἐν αἷς τὰς τῆς ψυχῆς ἡδονὰς μείζονας ἀποφαίνεται τῶν σωματικῶν (ζ'.)· ἐπιψέγων δὲ τὴν διὰ τοῦ σώματος ἡδονὴν, ὡς ὀλιγοχρόνιον οὖσαν, προαιρεῖται τὴν τῆς ψυχῆς, ἥτις οὐκ ἐν τῇ παραυτίκα ἀπολαύσει τοῦ προςπίπτοντός ἐστιν, ἀλλὰ «κατὰ μνήμην τῶν ἀγαθῶν ἢ προςδοκίαν» τό τε παρελθὸν καὶ μέλλον ἐν ἑαυτῇ πως ἐμπεριλαμβάνει (Ϭ, πθ'.). διὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὴν σωματικὴν ἀλγηδόνα ἐλάσσονα δέχεται τῆς κατὰ τὴν ψυχὴν (Ι', ρλζ'.)· τὸν δὲ σοφὸν καὶ ἐν στρεβλώσει τεταμένον εὐδαίμονα εἶναί φησι, ἅτε τῶν οὐκ ἐφ' ἑαυτῷ πάμπαν ὀλιγωροῦντα·

(ϛ'.) Πλουτ. ἐν τῷ «ὅτι οὐδὲ ζῆν ἔστιν ἡδέως κατ' Ἐπίκουρον.» κεφ. ιϛ'.

(ζ'.) Δ. Λ. Ι', ρλζ'. — Τὴν μὲν διὰ τοῦ σώματος ἡδονὴν ἐδήλουν οἱ περὶ τὸν Ἐπίκουρον τῷ ῥήματι ἥδεσθαι, τὴν δὲ τῆς ψυχῆς τῷ χαίρειν.

συνᾴδει δὲ τούτῳ τῷ λόγῳ καὶ ἅπερ τελευτῶν πρὸς Ἰδομενέα τὸν ἑταῖρον ἔγραφε· «τὴν μακαρίαν ἄγοντες καὶ ἅμα τελευταίαν ἡμέραν τοῦ βίου ἐγράφομεν ὑμῖν ταυτί. στραγγουρία τε παρηκολουθήκει καὶ δυςεντερικὰ πάθη ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους. ἀντιπαρετάττετο δὲ πᾶσι τούτοις τὸ κατὰ ψυχὴν χαῖρον ἐπὶ τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ.»—(Ι', κβ'.). ὅτι δὲ οἱ Ἐπικούρειοι περὶ πολλοῦ τὴν τῆς ψυχῆς ἡδονὴν ἐποιοῦντο, δῆλον ποιεῖ καὶ τόδε· πλεῖστον γὰρ τὴν φιλίαν ἀγάμενοι διετέλουν· αὐτός τε ὁ Ἐπίκουρος τὴν φιλίαν ἐλογίζετο ὡς ἀγαθόν, τὰ μάλιστα εἰς εὐδαιμονίαν τοῦ ὅλου βίου συντελεςικὸν (Ι',ρμή.), τοσούτου αὐτὴν τιμώμενος ὥστε καὶ λέγειν τὸν σοφόν, ὅταν ἀνάγκη παρῇ, προθύμως μάλα ὑπὲρ τοῦ φίλου τεθνήξεσθαι· (Ι', ρκά.)· καὶ τὴν φίλων δ' εἰς ἀλλήλους συναρμογὴν οἱαςοῦν ἰδιωφελείας οὕτως ἀλλοτρίαν ἠβούλετο ὥστε μηδὲ κοινότητα οὐσιῶν ἐν τοῖς ἑαυτοῦ ὁμιληταῖς εἰςαγαγεῖν, ὥς περ ὁ Πυθαγόρας ἄξιον εἶναι ἡγεῖτο· καὶ γὰρ τοιοῦτόν τι θέσπισμα δυςπιστίαν τινά πως ἐν φίλοις προϋπάρχουσαν ὑπεμφαίνει, ἣν μηδ' ὑποπτεῦσαι τὸ παράπαν ἔξεστιν (Ι', ιά.). ὅτι δὲ οἱ περὶ τὸν Ἐπίκουρον τούτοις τοῖς παραγγέλμασι περί τε τῆς ἀξίας καὶ τῆς χρησιμότητος τῆς φιλίας ἐν παντὶ τῷ βίῳ ἀκολουθοῦντες ἦσαν, πολλαχῶς μαρτυρεῖται· καὶ ἄλλως δὲ ἡ τῶν Ἐπικουρείων ἠθικὴ καλοκἀγαθίας ἀποπνεῖ οὐ τῆς τυχούσης, διάθεσιν φιλόφρονα καὶ συμπαθῆ πρὸς τοὺς ἀνθρώπους συνιστᾶσα. αὕτη δὴ ἡ διάθεσις ἐκφαίνεται μάλιστα ἐν τῷδε τῷ ἀποφθέγματι αὐτῶν «τὸ εὖ ποιεῖν ἥδιόν ἐστι τοῦ πάσχειν.» (παρὰ Πλουτ. ἐν τῷ ὅτι οὐδὲ ζῆν ἐστιν ἡδέως κατ' Ἐπίκ. κεφ. ιέ.). ὁμολογητέον τοίνυν

ὅτι ὁ Ἐπίκουρος πάντα κάλων ἐνέτεινεν εἰς τὸ ἀποδεῖξαι τὸ περὶ τῆς ἡδονῆς δόγμα, ὡς ἀνυστὸν, βέλτιον.

Τρίτον δὲ καὶ τελευταῖον, ἡ ἡδονὴ, ἥν περ Ἀρίστιππος ἐπρέσβευε διαστέλλεται τῆς κατ' Ἐπίκουρον καὶ κατὰ τοῦτο· Ἀρίστιππος μὲν γὰρ πραγματικήν τινα καὶ ὅσον οἷόν τε σύντονον ἡδονὴν ἐθήρα· Ἐπίκουρος μέν τοι ἡδονὴν μετρίαν ἤτοι οὐ μόνον ἐγκράτειαν, ἀλλὰ καὶ περιστολὴν τῶν τε ἐπιθυμιῶν καὶ τῶν παθῶν, νηφαλιότητα καὶ αὐτάρκειαν ἐπῄνει. καὶ εἰκότι γε λόγῳ εἰς τὰ τοιαῦτα ὁ Ἐπίκουρος περιέστη· τὸν γὰρ τῆς ἡδονῆς ὁρισμὸν τιθέμενος ὅλον τὸν βίον πρὸ ὀφθαλμῶν εἶχε· διὸ τοιαύτην τινὰ ἡδονὴν μεταδιώκειν συνεχώρει, οἵα περ ἂν τῇ παρ' ὅλον τὸν βίον εὐπραγίᾳ εὐαρμόστως ἔχειν φανείη. ὥστε ἀκολασίαν μὲν καὶ ὕβριν σαφῶς μάλα ἀποδοκιμάζει, σώφρονα δὲ ἀπόλαυσιν τῶν ἐν τῷ βίῳ ἡδέων ἐγκωμιάζει. ἀποφαίνεται δὲ περὶ τῶν τοιούτων ἔν τινι τῶν σωζομένων ἐπιστολῶν τόν δε τὸν τρόπον· (παρὰ Δ. τῷ Λ. Ι, ρλ΄. κφξ.). «καὶ τὴν αὐτάρκειαν δ' ἀγαθὸν μέγα νομίζομεν, οὐχ ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα, ἀλλ' ὅπως, ἐὰν μὴ ἔχωμεν τὰ πολλὰ, τοῖς ὀλίγοις ἀρκώμεθα, πεπεισμένοι γνησίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα ταύτης δεόμενοι· καὶ ὅτι τὸ μὲν φυσικὸν πᾶν εὐπόριστόν ἐστι, τὸ δὲ κενὸν δυςπόριστον. οἵ τε λιτοὶ χυλοὶ ἴσην πολυτελεῖ διαίτῃ τὴν ἡδονὴν προςφέρουσιν, ὅταν ἅπαν τὸ ἀλγοῦν κατ' ἔνδειαν ἐξαιρεθῇ· καὶ μάζα καὶ ὕδωρ τὴν ἀκροτάτην ἀποδίδωσιν ἡδονὴν, ἐπειδὰν ἐνδέων τις αὐτὰ προςενέγκηται. τὸ συνεθίζειν οὖν ἐν ταῖς ἁπλαῖς καὶ οὐ πολυτελέσι διαίταις, καὶ ὑγιείας ἐστὶ συμπληρωτικὸν καὶ πρὸς τὰς ἀναγκαίας τοῦ βίου

χρήσεις ἄοκνον ποιεῖ τὸν ἄνθρωπον (ή.)· καὶ τοῖς πολυτελέσιν ἐκ διαλειμμάτων προσερχομένους κρεῖττον ἡμᾶς διατίθησι καὶ πρὸς τὴν τύχην ἀφόβους παρασκευάζει. ὅταν οὖν λέγωμεν ἡδονὴν τέλος εἶναι, οὐ τὰς τῶν ἀσώτων ἡδονὰς καὶ τὰς ἐν ἀπολαύσει κειμένας λέγομεν, ὥς τινες ἀγνοοῦντες καὶ οὐχ ὁμολογοῦντες ἢ κακῶς ἐκδεχόμενοι νομίζουσιν, ἀλλὰ τὸ μήτ' ἀλγεῖν κατὰ σῶμα μήτε ταράττεσθαι κατὰ ψυχήν. οὐ γὰρ πότοι καὶ κῶμοι συνείροντες, οὐδ' ἀπολαύσεις ἀφροδισίων, οὐδ' ἰχθύων καὶ τῶν ἄλλων, ὅσα φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νήφων λογισμὸς καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς καὶ τὰς δόξας ἐξελαύνων, ἀφ' ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος.» καὶ οὕτω πόῤῥω ὁ Ἐπίκουρος ἐσκήνηται τοῦ θετικήν τινα καὶ ὅσον οἷόν τε ἰσχυρὰν ἡδονὴν ὡς ἀνώτατον τέλος ἀνθρώπῳ μακαρίζειν, ὥστε καὶ πολλῷ μᾶλλον τὴν κυρίως οὐσίαν καὶ τὸ τέλος πάσης ἡδονῆς ἐν μηδενὶ ἄλλῳ εἶναι ἔφασκεν ἢ ἐν ἀλυπίᾳ, ἢ ἀοχλησίᾳ· «τότε γὰρ ἡδονῆς (φησι) χρείαν ἔχομεν, ὅταν ἐκ τοῦ μὴ παρεῖναι τὴν ἡδονὴν ἀλγῶμεν· ὅταν δὲ μὴ ἀλγῶμεν, οὐκέτι τῆς ἡδονῆς δεόμεθα» (Ι', ρκή.). ὥστε προσήκει τὸν σοφὸν μᾶλλον τὰ λυποῦντα καὶ κναίοντα φεύγειν ἢ τὰ ταῖς αἰσθήσεσιν ἡδέα ἐπιζητεῖν. εἰλικρινεστάτην δὲ ἡδονήν, ἅτε δὴ μονιμωτάτην οὖσαν, τὴν ἀταραξίαν τῆς ψυχῆς ἢ τὴν τοῦ θυμοειδοῦς γαλήνην ἔλεγεν εἶναι, ἥτις ἐπὶ παντὸς τῶν ἐν τῷ βίῳ συμβαινόντων ἀλυπίαν τε καὶ εὐαρέστησιν ἡμῖν παρασκευάζει. τοιαύτη δέ τις τοῦ θυμοῦ γαλήνη καὶ ἱλαρότης μόνον ἐκ λόγου τε καὶ συνέ-

(η'.) Οἱ Ἐπικούρειοι πάνυ λιτῇ διαίτῃ ἐχρῶντο. Ι', ιά.

δεως καὶ ἑνὶ λόγῳ ἐκ τῆς ἀρετῆς τῷ ἀνθρώπῳ προςγίγνεται· Διὸ ἐκ παντὸς τρόπου τὴν ἀρετὴν μάλιστα θηρατέον ἔφη· ἀλλ' οὐ δι' ἑαυτὴν ἁπλῶς αἱρετὴν αὐτὴν εἶπεν, ἀλλὰ τῆς εὐδαιμονίας ἕνεκεν· ἀμήχανον γὰρ ταύτην λαβεῖν χωρὶς ἐκεινης (Ι', ρλή.)· ἐπεὶ «οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φ ρ ο ν ί μ ω ς καὶ κ α λ ῶ ς καὶ δ ι κ α ί ω ς·» τὴν ἀρετὴν ἄρα πρᾶγμα ζηλωτὸν ἡγεῖτο, ὅπερ ὁ ὄντως σοφὸς παρὰ πάντα τὸν βίον ἐκ παντὸς τρόπου μεταδιώκειν ὀφείλει, οὐχ ὡς τέλος κύριον αὐτὴν καθ' αὑτήν, ἀλλ' ὡς τῆς εὐδαιμονίας οὖσαν ποριστικήν· καὶ ἑκάστην δὲ τῶν ἰδίᾳ ἀρετῶν πρὸς λόγον εὐδαιμονίας ὁ Ἐπίκουρος κρίνει· τὴν μὲν γὰρ ἀνδρείαν ἐπαινεῖ ὡς οἵους τε εἶναι ἡμᾶς ποιοῦσαν φόβων τε παντοίων καὶ ἀλγηδόνων ἐπικρατεῖν (Cic. de fin. I, 15, 49,)· τὴν δὲ σωφροσύνην ὡς ἐκ πασῶν τῶν ἡδονῶν διδάσκουσαν μετὰ λόγου προαιρεῖσθαι τὴν ὡς πλείστην μὲν χαράν, ὡς ἐλαχίστην δὲ λύπην ἡμῖν προξενοῦσαν (ib. 14, 47.)· τὴν δὲ δικαιοσύνην, παρ' ὅσον ὁ μὲν δίκαιος ἄνευ φόβου καὶ ταραχῆς γλυκὺν καὶ ἥμερον βίον παρὰ τοῖς ὁμοίοις διάγει, ὁ δ' ἄδικος ὑπὸ φόβου ἀπαύστως ἐλαύνεται καὶ κατατρύχεται ἔνδον (ibid. C. 16.)· «ὁ δίκαιος ἀταρακτότατος, ὁ δ' ἄδικος πλείστης ταραχῆς γέμων.» (Δ. Λ. Ι', ρμδ'.).

Ε'. Περὶ τοῦ κανονικοῦ παρὰ τοῖς Ἐπικουρείοις λεγομένου μέρους τῆς φιλοσοφίας.

Ἐπεὶ οὖν ὁ Ἐπίκουρος πάσας τὰς ἐπιστημονικὰς θεωρίας, αἵτινες οὐδὲν πρὸς τὸν πρακτικὸν συντείνουσι βίον ἐν οὐδενὶ σχεδόν τι λόγῳ ἐποιεῖτο, διὰ τοῦτο τὰ λοιπὰ δύο μόρια τῆς φιλοσοφίας, τό τε κανονικὸν λεγόμενον

καὶ τὸ φυσικὸν ὡς ἐν παρέργου μέρει παρεξῆλθεν. ἐν μὲν οὖν τῷ κανονικῷ τὴν τοῦ κριτηρίου τῆς ἀληθείας εὕρεσιν ζήτημα προβάλλεται· τοὺς δὲ λογικοὺς τοῦ διανοεῖσθαι τύπους ὡς πρὸς οὐδὲν χρησίμους ἡγούμενος, πάσης ἐπιστημονικῆς ἐρεύνης πάμπαν ἀπαξιοῖ. τό γε μὴν κριτήριον, ᾧ τἀληθὲς τοῦ ψευδοῦς διακρίνεται, ὁρίζεται, ὡς εἰκὸς, καθ' ἥν γε πρώτην αὐτὸς τῆς φιλοσοφίας ἀρχὴν ἔθετο ἤγουν αἰσθησιφανῶς. ὡςπεροῦν ἐν τῇ πράξει τὸ ἐκ τῶν αἰσθητῶν προςγιγνόμενον τῷ σώματι αἴσθημα, τουτέστι τὴν ἡδονὴν καὶ ἀλγηδόνα κριτήριον εἶναι ἔφασκεν, ὡςαύτως ἐν θεωρίᾳ τὴν διὰ τῶν αἰσθήσεων τῶν πργμάτων ἀντίληψιν (ἣν αὐτὸς αἴσθησιν προςείρηκε) κριτήριον εἶναι τοῦ ἀληθοῦς καὶ ψευδοῦς. εἰ μὴ οὖν ταῖς αἰσθήσεσι πιστεύσομεν, μηδὲν τεκμήριον τῆς τῶν ὄντων ἀληθείας ἡμῖν ὑπολειφθήσεσθαι ἔλεγε καὶ δὴ καὶ μηδεμίαν πεποίθησιν ἐν ἡμῖν κατορθωτὴν γενήσεσθαι. πολλῷ γὰρ ἧσσον τῇ διὰ τῆς διανοίας ἐπιγνώσει τῶν ὄντων ἔχοιμεν ἂν πιστεύειν, ἥνπερ ἐκ μόνης τῆς διὰ τῶν αἰσθήσεων ἀντιλήψεως ποριζόμεθα. πᾶσαν ἄρα αἴσθησιν ὁ Ἐπίκουρος ἀληθῆ εἶναι ἔφασκεν· διὸ καὶ τὴν λεγομένην ἀπάτην μηδαμῶς ἀπὸ τῶν αἰσθήσεων, ἀλλ' ἀπὸ τοῦ ἐν ἡμῖν γνωστικοῦ εἰκὸς ἐπισυμβαίνειν. τὴν περὶ τοῦ αἰσθητοῦ ἄρα δόξαν, ἣν ἑκάστοτε λαμβάνομεν διακριτέαν εἶναι ἔφη ἀπὸ τῆς αἰσθήσεως αὐτῆς καθ' ἑαυτήν. ταύτην γὰρ τὴν δόξαν καὶ ψευδῆ εἶναι ἐνδέχεσθαι· τὰς δ' αἰσθήσεις πεφυκέναι ἀεὶ τἀληθὲς περὶ τῶν ὄντων ἡμῖν εἰςαγγέλλειν.

Ἐκ δὲ δὴ ταύτης τῆς διὰ τῶν αἰσθήσεων ἀντιλήψεως τῶν ὄντων καὶ ἄλλο τῆς ἀληθείας γνώρισμα ὁ Ἐπίκουρος πορίζεται, τὴν π ρ ό λ η ψ ι ν, ἣν καὶ ἐ π ί ν ο ι α ν

καὶ καθολικὴν νόησιν προςείρηκεν (Ι', λγ'.)· γίγνεσθαι δέ φησι ταύτην διὰ τῆς μνήμης, πολλὰς ὁμοιοειδεῖς αἰσθήσεις ἀλλήλαις ἐπισυναπτούσης (Ι', λγ'.). ὀνόματι δὲ τὴν πρόληψιν ἐκδηλοῦσθαι· «ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ὑποτεταγμένον ἐναργές ἐστιν.»

ΣΤ'. *Περὶ τῆς κατ' Ἐπίκουρον φυσικῆς.*

Ὡςαύτως δὲ καὶ τὴν περὶ φύσεως θεωρίαν ὁ Ἐπίκουρος, καθ' ὅσον περ εἰς εὐδαίμονα βίον λυσιτελεῖ λόγου τινὸς ἀξίαν εἶναι κρίνει· τὸ δ' ἐπιστημονικῶς τῆς τῶν ὄντων φύσεως πέρι τοὺς λόγους ἀναζητεῖν παρ' οὐδὲν σχεδόν τι τίθεται· ἐπὶ τοσοῦτον δὲ τῇ τοιαύτῃ θεωρίᾳ τὴν διάνοιαν ἐφιστάναι βούλεται, ἐφ' ὅσον ἂν ἱκανὸν ᾖ τῆς τε δεισιδαιμονίας ἀπὸ τῶν μετεώρων ἡμᾶς ἀπαλλάσσειν καὶ τὴν δέουσαν γαλήνην τε καὶ ἠρεμίαν τῇ ψυχῇ παρασκευάζειν· εἰ μὴ γάρ, ἔφη, τῶν μετεώρων τὰ ἀήθη καὶ τἄλλα τὰ ἐν τῇ φύσει δεινὰ φαινόμενα, οἷον λαίλαπες, ἀστραπαί τε καὶ βρονταὶ καὶ σεισμοί, ὅτε φόβος ὁ ἀπὸ τοῦ θανάτου καὶ τῆς ἐν Ἅιδου πάθης τὴν τῆς ψυχῆς ἡσυχίαν ἐθορύβει, οὐδ' ὁπωςτιοῦν ἂν τῆς φυσικῆς ἐχρῄζομεν πραγματείας· νῦν μέν τοι οὔτε ψυχῆς γαλήνη, οὔθ' ἡδονὴ ἀθορύβητος κατορθωτή ἐστιν ἄνευ τοῦ τὰς αἰτίας τῶν ἐν τῇ φύσει συμβαινόντων δεόντως εἰδέναι. (Ι', ρμβ', ρμγ'.).

Διεξιὼν δὲ τὰ περὶ τὴν φύσιν ὁ Ἐπίκουρος, φανερός ἐστι τῇ Δημοκρίτου θεωρίᾳ ἑπόμενος, ἥνπερ πασῶν τῶν ἄλλων πλεῖστον προςίετο, ὡς πάσης ἀντιφάσεως πάμ-

παν ἀπηλλαγμένην. ὥςπεροῦν ὁ Δημόκριτος, οὕτω καὶ ὁ Ἐπίκουρος μόνον τὸ σωματοειδὲς ὄντως ὑπάρχειν ἀποφαίνεται· πρὸς δὲ τῷ σωματοειδεῖ, πάλιν κατὰ Δημόκριτον, καὶ ἄλλην ἀρχήν τινα τῶν ὄντων, τὸ κενὸν ἢ τὴν χώραν παραλαμβάνει. «εἰ γὰρ μὴ ἦν, ὃ κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα, ὅπου ἦν, οὐδὲ δι' οὗ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα. παρὰ δὲ ταῦτα οὐθὲν ἐπινοηθῆναι δύναται οὔτε περιληπτῶς, οὔτε ἀναλόγως τοῖς περιληπτοῖς» — (Ι', μ'.). τέλος δὲ καὶ τὴν ἀτομολογίαν τοῦ Δημοκρίτου ὁ Ἐπίκουρος παρείληφε· συντεθεῖσθαι γὰρ ἔφη τὰ σώματα πάντα ἐξ ἀγεννήτων, ἀφθάρτων καὶ ἀμεταβλήτων τινῶν μορίων ἤτοι ἀτόμων. κινεῖσθαι δὲ τὰς ἀτόμους ταύτας κατὰ τὴν κάτω φορὰν πρὸ αἰῶνος διὰ τὸ βάρους τινὸς μετέχειν· συγκρουομένας δ' ἀλλήλαις καὶ ἀποπαλλομένας κραδαίνεσθαί τε ἔφη καὶ περιδινεῖσθαι καὶ οὕτω τὸν κόσμον ἢ τοὺς κόσμους παράγειν. συμβαίνειν δὲ τὴν κοσμοποιίαν μὴ κατὰ λόγον, ἀλλὰ κατὰ νόμους τινὰς ἀναγκαίους. καὶ γὰρ Ἐπίκουρος, καθάπερ καὶ Δημόκριτος, οὐ κατὰ πρόνοιαν, πρός τι τέλος ἀφορῶσαν, τὸν κόσμον γεγονέναι δοξάζει, ἀλλὰ πάντων τῶν ἐν τῇ φύσει φαινομένων κατ' αἰτίαν τινὰ φυσικὴν πάντως γιγνομένων, ταυτηνὶ τὴν φυσικὴν αἰτίαν δέον ἑκάστου ἀναζητεῖν, οὗ ἄν τις ἐπιστήμην λαβεῖν ἐθέλῃ. οὕτω δὴ τὰ περὶ τὴν φύσιν ὁ Ἐπίκουρος θεωρῶν, πρός τε τὴν κοινὴν πᾶσι περὶ τῶν θεῶν δόξαν ἀντέλεγε καὶ πρὸς ἃ οἱ πολλοὶ περὶ θείας τινὸς προνοίας ἐνόμιζον, ὡς τὸν κόσμον πάντα κατά τι τέλος διεπούσης. τὸ γὰρ εἶναι θεοὺς νομίζειν ἀπὸ φόβου ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐγγενέσθαι ἔλεγεν· φόβον γὰρ ᾤετο

εἶναι τὴν οὐσιώδη φύσιν τῆς παρ' ἀνθρώποις ἰσχυούσης θρησκείας (ὡς ὁ Λουκρήτιος ἐπιμαρτυρεῖ)· καὶ τὴν φιλοσοφίαν οὐθὲν ἄλλο προτίθεσθαι δεῖν ἔφη ἢ τὸ τοὺς ἀνθρώπους τοῦ τοιούτου φόβου καὶ τῆς ἐκ τούτου ἐντηκομένης τῇ ψυχῇ ταραχῆς κατὰ τὸ δυνατὸν ἀπαλλάσσειν. οὐ μέντοι ἐς τοῦτο τόλμης ἤλασεν, ὥστε θεοὺς μηδ' ὑπάρχειν τὸ παράπαν ἰσχυρίσασθαι· τοσόνδε δὲ μόνον ἔφη ὡς οὐκ ἐνεργοί εἰσιν ἐν τῇ τοῦ κόσμου κυβερνήσει· μακάριοι γάρ τινες τὴν φύσιν ὄντες, πάσης φροντίδος παντός τε πόνου πάντῃ ἐλεύθεροί εἰσιν, οὔτε τοῦ κόσμου φροντίζοντες, οὔτε τῶν ἀνθρώπων· καὶ γὰρ μακαριότης αὐτό γε τοῦτό ἐστι τὸ τῶν τοιούτων πάντων ὁμοίως ἀπηλλάχθαι. «τὸ μακάριον καὶ ἄφθαρτόν (φησιν) οὔτ' αὐτὸ πράγματ' ἔχει, οὔτ' ἄλλῳ παρέχει, ὥστ' οὔτ' ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον.» (Ι', ρλθ'.) [ὡς εἴπερ τά τε ἀνθρώπεια καὶ τὸν ὅλον κόσμον διέπειν ἔξω τῆς τοῦ θείου φύσεως ὑπῆρχε καὶ πόνον αὐτῷ παρεῖχεν! πάνυ ἰδιωτικῶς καί, ὡς ἔπος εἰπεῖν, ἀγροίκως ἄλλα τε πολλὰ ὁ Ἐπίκουρος ἐφθέγξατο, οὐχ ἥκιστα δὲ καὶ τοῦτο.] τοιούτους δὲ θεοὺς (ἐν μακαριότητι φρενὶ ἀνθρώπου ἀσήμῳ ὡς ἐν ληθαργίᾳ καθεύδοντας) ἀπείρους εἶναι τὸν ἀριθμὸν ἔφασκεν· καὶ ἀνθρώπου μὲν εἴδει παρεμφερεῖς ὄντας, στερεμνίου δὲ καὶ ἁπτοῦ σώματος ἀπηλλαγμένους, αἰθέριον δὲ φύσιν ἔχοντας, ἐν τοῖς μετακοσμίοις, ἤτοι τοῖς μεταξὺ τῶν ἀπείρων κόσμων διαστήμασι, βίον ἀθορύβητον καὶ μακάριον τὸν αἰῶνα πάντα διάγειν, ὑπ' οὐρανὸν ἀεὶ ἱλαρὸν εὐφραινομένους.—ὅλως ἀλλοκότους θεοὺς λέγων. ἔοικε δ' οὖν ὁ Ἐπίκουρος διὰ πάσης τῆς περὶ τῶν θεῶν πραγματείας ταὐτὸν τέλος μεταδιώκειν, ὅπερ καὶ διὰ τῆς λοιπῆς φυ-

σιολογίας, ἤτοι τὸν ἀπὸ τῶν θεῶν φόβον ὡς τὴν τῆς ψυχῆς γαλήνην θροοῦντα, ὡς δυνατὸν μάλιστα, ἐξαλεῖψαι. καὶ πάνυ σαφῶς που εἴρηκε τοῦτο, ὅτι οἵους περ αὐτὸς τὴν φύσιν εἶναι ὑπείληφε τοὺς θεοὺς, οὐχ οἷοί τ' ἂν εἶεν οὗτοι φόβον τοῖς ἀνθρώποις παρέχειν· καὶ οὐ μόνον τὸν ἀπὸ τῶν θεῶν φόβον, ἀλλὰ καὶ τὸν ἀπὸ τοῦ θανάτου καὶ τῶν ἐν Αἴδου πάντων προθυμούμενος καταλῦσαι, τὴν ψυχὴν οὐκ ἔφη, τοῦ σώματος φθαρέντος, αὐτὴν καθ' αὑτήν που παραμένειν, ἀλλ' αὐτίκα οἴχεσθαι, ὡς σωματοειδές τι πνεῦμα διαλυθέν. μηδὲ συνιέναι ἔχειν ἔφασκεν ὅπως ποτὲ οἱ ἄνθρωποι οὕτω τὸν θάνατον ὀῤῥωδοῦσι, μηδ' ὁπωστιοῦν φοβερὸν καθ' ἑαυτὸν ὄντα· ἅμα γὰρ τῷ θανάτῳ παντελῆ ἀναισθησίαν συμβαίνειν (θ'.)· μηδὲν ἄρα κακὸν τὸν θάνατον εἶναι.

§. ν'. Περὶ τῆς σκεπτικῆς λεγομένης αἱρέσεως

καὶ πρῶτον

Περὶ τῆς καθόλου ἀρχῆς τῆς τοιαύτης ἀγωγῆς.

Σκοποῦντι αὐτίκα δῆλον γενήσεται ὅτι οἱ σκεπτικοὶ ἐπικληθέντες φιλόσοφοι ἐκ τῆς αὐτῆς ἀρχῆς ὡρμήθησαν, ἐξ ἧς γε οἵ τε ἀπὸ τῆς Στοᾶς καὶ οἱ περὶ τὸν Ἐπίκουρον· πρακτικὸν γάρ τι καὶ οὗτοι ὄφελος θηρῶντες, εἰς ἐπίσκεψιν ἦλθον τῶν ὄντων, τὴν εὐδαιμονίαν κυριώτατον ἀν-

(θ'.) Δ. Λ. Ι', ρκδ'. ρκέ. ρλθ'. — Σέξτος Ἐμπειρικὸς ἐν Γ' τῶν Πυῤῥωνείων ὑποτυπώσεων (σχθ'.) « καὶ ὁ Ἐπίκουρος δέ φησιν «ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς.»

θρώπῳ τέλος εἶναι ἀποφαινόμενοι. ἔτι δὲ καὶ κατὰ τοῦτο ἐκείνοις ὁμολογοῦσιν ὅτι τὴν εὐδαιμονίαν ὅλην ἐν τῇ τῆς ψυχῆς ἀταραξίᾳ εἶναι τίθενται· ἀλλὰ καὶ πέρα που ἐκείνων ἐξηνέχθησαν, καθ' ὅσον τῇ ἰδίᾳ τοῦ ἀνθρώπου γνώμῃ ὑπερβάλλον κῦρος προσένειμαν. εἰ μὲν οὖν ἔχοι τις ἂν καὶ περὶ τῶν Ἐπικουρείων καὶ αὐτῶν δὲ τῶν Στωϊκῶν εἰπεῖν, ὅτι τὸν ἄνθρωπον ἰδίᾳ ἀπὸ τοῦ ἀνθυφεστῶτος κόσμου ἀπομονῶσαι ἐπεχείρησαν, πολλῷ τοι δικαιότερον εἴποι ἂν τοῦτο περὶ τῶν Σκεπτικῶν, ὡς καθ' ὑπερβολὴν αὐτό γε τοῦτο πεποιηκότων. τὴν γὰρ τῆς ψυχῆς γαλήνην τε καὶ ἠρεμίαν, ἣν κύριον τῷ φιλοσοφεῖν σκοπὸν ὑπεβάλοντο, τότε μόνον ἐφικτὴν εἶναι ἡγοῦντο, ὅταν ὁ ἄνθρωπος ἰδίᾳ (τὸ πρόσωπον) τῆς τῶν ἐκτὸς ὄντων γνώσεως πάντῃ ὀλιγωρήσας, ἑαυτοῦ γε μόνου, ἄλλου δὲ οὐδενὸς ἐπιστρεφὴς γένηται.

Β'. Περὶ τῆς παλαιοτέρας τῶν Σκεπτικῶν χορείας.

Ἀρχηγὸς τῆς σκεπτικῆς στάσεως Πύῤῥων ἐγένετο ὁ Πλειστάρχου, Ἠλεῖος, ὃς πρότερον μὲν ζωγράφος ἦν τῶν μετρίων καὶ Βρύσωνος τοῦ Στίλπωνος ἤκουσεν· εἶτα δὲ μετ' Ἀναξάρχου (*) Ἀλεξάνδρῳ τῷ Μακεδόνι

(*) «Ἀνάξαρχος ὁ Ἀβδηρίτης, ὁ παρὰ Μητροδώρῳ τῷ Χίῳ τῆς Δημοκρίτου αἱρέσεως σπάσας τὰ νάματα, καὶ παρὰ μὲν τῷ Μακεδόνι εὐδοκιμήσας, ὑπὸ δὲ Νικοκρέοντος ἐν ὅλμῳ σιδηροῖς ὑπέροις ἀπηνῶς συνθλασθείς· ὅτε καὶ τὸ διαβόητον ἐκεῖνο ἐν τῷ πτίσσεσθαι ἀνεφθέγξατο, οὗ τὴν μνήμην, οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν «πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δ' οὐ πτίσσεις.» ἐκ τῆς λογικῆς τοῦ ἡμετέρου Εὐγενίου τοῦ Βουλγάρεως σ. 14 §. ιή. παρὰ Διογ. τοῦ Λ. θ'. νθ'. εἶχε γὰρ ἐχθρὸν Νικοκρέοντα, τὸν Κύπρου τύραννον ὁ Ἀνάξαρχος, «καί ποτε ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ

επόμενος, εἰς Ἰνδίαν ἀφίκετο· καὶ αὐτόθι μὲν τοῖς γυμνοσοφισταῖς, ἐν δὲ τῇ Περσίᾳ τοῖς Μάγοις εἰς κοινωνίαν λόγων πάντως ἦλθεν. κἀκεῖθεν δ' ἐπανελθὼν εἰς τὴν πατρίδα καὶ τὸ ἐντεῦθεν ὅλος πρὸς τῇ φιλοσοφίᾳ ὤν, ἀγωγὴν ἰδίαν συνεστήσατο. εἰώθει δὲ τὰ πολλὰ εἰς ἐρημίαν ἀνθρώπων ἀναχωρεῖν, σπανίως ἐπιφαινόμενος τοῖς οἰκείοις· τοῦτο δ' ἐποίει ἀκούσας ποτὲ Ἰνδοῦ τινος Ἀναξάρχῳ ὀνειδίζοντος, «ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι οὗτος ἀγαθὸν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων.» ἐπεὶ δὲ τὸν κόσμον πάντα (ὥςπερ οἱ Ἰνδοὶ) οἷον φάσμα ἀβέβαιον καὶ ἀπάτης ἀνάπλεων ἔλεγεν, ἀληθείας πάμπαν ἀπολειπόμενον, «οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον», ἀκόλουθον παρῄνει καὶ τὸν βίον τῷ φιλοσόφῳ εἶναι, μηδὲν ἐκτρέπεσθαι μηδέν τε φυλάσσεσθαι, ἀλλ' ἅπαντα ἀδιαφόρως ὑφίστασθαι καὶ «ἁμάξας, εἰ τύχοι, καὶ κρημνοὺς καὶ κύνας καὶ ὅσα τοιαῦτα, μηδὲν ταῖς αἰσθήσεσιν ἐπιτρέποντα.» ἀλλὰ τοῦτον τὸν ἐν Ἕλλησι φυόμενον γυμνοσοφιστὴν κύνα ποτέ φασιν ἐπισυθέντα εὐπετῶς διασοβῆσαι, καὶ ὃς τῷ ἐπισκώψαντι ἑτοίμως εἶπεν, «ὡς χαλεπὸν εἴη ὁλοσχερῶς ἐκδῦναι τὸν ἄνθρωπον· διαγωνίζεσθαι δὲ, ὡς οἷόν τε, πρῶτον μὲν τοῖς ἔργοις πρὸς τὰ πράγματα· εἰ δὲ μὴ, τῷ γε λόγῳ.» χρόνῳ δὲ ἑαυτὸν ἀσκῶν, ἰσχὺν μείζονα προςέλαβε καί φασι «σηπτικῶν ποτε φαρμάκων, καὶ τομῶν, καὶ καύσεων ἐπί τινος ἕλκους αὐτῷ προςενεχθέντων, ἀλλὰ μηδὲ τὰς

δεῖπνον; εἰπεῖν φασιν, ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι, ἀποῤῥίπτων πρὸς τὸν Νικοκρέοντα. ὁ δὲ μνησικακήσας, μετὰ τὴν τελευτὴν τοῦ βασιλέως, ὅτε πλέων ἀκουσίως προςηνέχθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν» τῷ εἰρημένῳ τρόπῳ, Κυκλωπικῶς ἀνεῖλεν.

ὀφρῦς συναγαγεῖν.» — «Ποσειδώνιος δὲ καὶ τοιοῦτό τι διέξεισι περὶ αὐτοῦ. τῶν γὰρ συμπλεόντων αὐτῷ ἐσκυθρωπακότων ὑπὸ χειμῶνος, αὐτὸς γαληνὸς ὢν ἀνέῤῥωσε τὴν ψυχὴν, δείξας ἐν τῷ πλοίῳ χοιρίδιον ἐσθίον, καὶ εἰπὼν, ὡς χρὴ τὸν σοφὸν ἐν τοιαύτῃ καθεστάναι ἀταραξίᾳ.» ἦν δὲ αὐτῷ καὶ μαθητὴς τῶν ἐλλογίμων Εὐρύλοχος ὀνόματι, τὴν αὐτὴν τῷ διδασκάλῳ, ὡς ἔοικεν, ἕξιν ἀσκῶν, ἀλλ' οὐδὲν ἧσσον καὶ οὗτος ἐν βραχμανικῇ ἀσκήσει ὢν, τὸ ἑλληνικὸν καὶ πέρα τοῦ μετρίου διετράνωσε· φασὶ γὰρ αὐτὸν «ὡς οὕτω παρωξύνθη ποτὲ, ὥςτε τὸν ὀβελίσκον ἄρας μετὰ τῶν κρεῶν, ἕως τῆς ἀγορᾶς ἐδίωκε τὸν μάγειρον.» τὸν δ' οὖν Πύῤῥωνα ὑπὸ τῆς πατρίδος οὕτω τιμηθῆναί φασιν «ὥστε καὶ ἀρχιερέα καταστῆσαι αὐτὸν καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλειαν ψηφίσασθαι.» διήκουσε δὲ τοῦ Πύῤῥωνος πρὸς τοῖς ἄλλοις «Ἑκαταῖος θ' ὁ Ἀβδηρίτης καὶ Τίμων ὁ Φλιάσιος ὁ τοὺς σίλλους πεποιηκὼς καὶ Ναυσιφάνης Τήϊος, οὗ φασί τινες ἀκοῦσαι Ἐπίκουρον. οὗτοι πάντες Πυῤῥώνειοι μὲν ἀπὸ τοῦ διδασκάλου ἀπορητικοὶ δὲ καὶ σκεπτικοὶ καὶ ἔτι ἐφεκτικοὶ καὶ ζητητικοὶ ἀπὸ τοῦ οἷον δόγματος προςηγορεύοντο.» Ἔοικε δὲ μάλιστα τὰ τῶν Μεγαρικῶν δόγματα καὶ τὰ τοῦ Δημοκρίτου ἀγαγεῖν αὐτὸν εἰς τὸ σκεπτικὸν εἶδος τοῦ φιλοσοφεῖν· οὐδὲν μέντοι σύγγραμμα αὐτὸς κατέλιπεν, ὥστε ὅσα τῶν αὐτῷ δεδογμένων ἡμῖν παραδέδοται ἐκ τῶν Τίμωνος σίλλων (ά.) δοκεῖ πάντα παρειλῆφθαι. τελευ-

(ά.) Ἐποίησε δ' ὁ Τίμων τοὺς σίλλους ἐν τρισὶ βιβλίοις περὶ τὸ σο' ἔτος π. Χ. ἐν τόνῳ ἑξαμέτρῳ, ἐν οἷς πάντας τοὺς Ἕλληνας φιλοσόφους, πλὴν Πύῤῥωνος τοῦ διδασκάλου καὶ τῶν Σκεπτικῶν, εὐφυῶς πάνυ καὶ ἀστείως ἐπέσκωπτεν,

τήσαντος δὲ τοῦ Πύῤῥωνος, ἐνενήκοντα ἤδη ἔτη γεγονότος, ἀνεδέξατο μὲν τὴν σκεπτικὴν ἀγωγὴν Τίμων ὁ σιλλογράφος, σχολὴν μέντοι ἰδίαν οὐδ' οὗτος ἱδρύσατο. διὸ καὶ μετ' οὐ πολὺ ἐξέλιπεν ὁ Πυῤῥώνειος τρόπος, ὃς ἐν ταύτῃ τῇ πρώτῃ περιόδῳ οὔπω ἐπιστημονικὴ μέθοδος καθειστήκει.

Προῆλθε δὲ ἡ Πυῤῥώνειος ἀγωγὴ ἀπὸ τοῦδε μάλιςα τοῦ προβλήματος ὁρμηθεῖσα· «τίνα χρὴ τρόπον ἡμᾶς πρὸς τὰ πράγματα διακεῖσθαι;» (Ἀριστοκλ. παρ' Εὐσεβ. ἐν Εὐαγγελ. προπαρασκ. ΙΔ'. ιή. κθ'.) πρὸς δὲ λύσιν τοῦ προταθέντος ἀνεβάλετο κατὰ πρῶτον ἀναζητῆσαι «ὁποῖα πέφυκε τὰ πράγματα;» καὶ περὶ τούτου ἀπεφήνατο· «μήτε τὰς αἰσθήσεις ἡμῶν μήτε τὰς δόξας ἀληθεύειν ἢ ψεύδεσθαι·» (β'.) μήτε γὰρ τὴν διὰ τῶν αἰσθήσεων ἀντίληψιν τῶν ὄντων εἰλικρινῆ ἡμῖν τὴν ἀλήθειαν ἐπιμαρτυρεῖν· τὰ γὰρ ὄντα οὐχ ὡς αὐτὰ καθ' αὑτά ἐςιν, ἀλλ' ὡς ἡμῖν δοκεῖ εἰςαγγέλλειν ἔφη· μήτε τὴν διὰ τοῦ λογισμοῦ γνῶσιν αὐτῶν· καὶ γὰρ πάσας τὰς ἰδέας ἃς ἔχομεν περί τε τῶν ἄλλων ἁπάντων καὶ περὶ τοῦ ἀγαθοῦ τε καὶ κακοῦ μὴ ἐξ αὐτῶν τῶν ἀνθυφεστώτων ἀμέσως πορίζεσθαι, ἀλλὰ νόμῳ τε καὶ ἔθει ἡμῖν ἐγγίγνεσθαι. (Θ', ξά.)· ὥστε ἕκαστον τῶν ὄντων οὐ μᾶλλον τόδε ἢ τόδε φασὶν, ἀλλ' οὐδὲ « μᾶλλον ἔστιν ἢ οὐκ ἔστιν. » (Ἀριστοκλ. ἔνθ. ἀν.). τοιγαροῦν μηδὲν ἂν ἔχειν ἡμᾶς ὁ ρ ί ζ ε ι ν (Δ. Λ. ρϐ'. ρδ'·)· παντὶ γὰρ λόγῳ λόγον ἀντικεῖσθαι (Θ', ρς'.)· ὥστε μηδαμῶς ἄλλως ἐγχωρεῖν τῷ φιλοσόφῳ ἔχειν πρὸς τὰ ἐκτὸς ὄντα ἢ ἐφεκτικῶς· καὶ ταυτηνὶ τὴν ἕξιν ἐποχὴν καὶ ἀφασίαν καὶ ἀκαταληψίαν

(β'.) Ἀριστοκλῆς ἔνθα ἀνωτέρω.

προσηγόρευον (Θ', ξά. ρζ'.). τό τε περὶ πάντων ἐπέχειν ἤτοι τὸ διστάζειν γνώμην περὶ τῶν ὄντων θετικὴν ἢ ἀναιρετικὴν ἀποφαίνεσθαι, εὐδαιμονίαν τῷ φιλοσοφοῦντι παρασκευάζειν ἔφασαν. καὶ γὰρ τῇ ἐποχῇ σκιᾶς δίκην τὴν ἀ τ α ρ α ξ ί α ν καὶ ἀπάθ ε ι α ν ἕπεσθαι (Θ', ρζ', ρή.). ὃς γὰρ ἂν τὴν σκέψιν προαιρούμενος πάσης οἰκείας δόξης παραιτῆται, ἐν ἡσυχίᾳ ζῆν τοῦτον ἔφασαν, φροντίδων, παθῶν καὶ ἐπιθυμιῶν πάμπαν ἀπηλλαγμένον καὶ πρὸς τὰ ἐκτὸς ἡμῶν ἀγαθά τε καὶ κακὰ τελέως ἀδιαφοροῦντα. ἐν ταύτῃ δὲ τῇ παντελεῖ ἀπαθείᾳ καὶ πᾶσαν εἶναι ἀνθρώπῳ τὴν εὐδαιμονίαν ἔφασκον.

Γ'. *Περὶ τῆς νεωτέρας τῶν Σκεπτικῶν αἱρέσεως.*

Ταύτης οὖν τῆς ἐπὶ Πύῤῥωνος γενομένης πρώτης καταβολῆς τοῦ περὶ πάντων ὁμοίως ἐπέχειν πολλῷ ἀξιολογωτέρα γέγονεν ἡ μετά τινας ἑκατονταετηρίδας πάλιν ἀναφυεῖσα αἵρεσις, ἥτις τὸν ἐφεκτικὸν τρόπον περὶ τὴν τῶν ὄντων κατάληψιν ἐπὶ πλέον διασκευάσασα, ἐπιστημονέστερον τοὐντεῦθεν ἤρξατο ἀντιλέγειν πρὸς οἱανδήποτε φιλοσοφίαν ἀληθές τι καὶ βέβαιον περὶ τῆς τῶν ὄντων φύσεως ἰσχυριζομένην, ἤτοι πρὸς πᾶσαν δογματικὴν φιλοσοφίαν.

Ἤγειρε δὲ μάλιστα τὴν τοιαύτην τῶν ὄντων ἐπίσκεψιν Αἰνεσίδημος ὁ Κνώσσιος, ὃς περὶ τὴν ἀρχὴν τοῦ κατὰ Χριστὸν αἰῶνος ἀκμάσας «Πυῤῥωνείων λόγων ὀκτὼ συνέγραψε βιβλία.» συμπεριείληφε δὲ τοὺς κυριωτάτους λόγους, οἵπερ πρὸς πᾶσαν δογματικὴν φιλοσοφίαν ἀντιμάχονται, εἰς δέκα τρόπους, οἳ πάντες τούτου τοῦ τέλους στοχάζονται, τοῦ ἀποδεῖξαι ὅτι ὅλος ἀδύ-

νατός ἐστιν ἀληθής τε καὶ ἀναμάρτητος τῶν ἀνθυφεστώτων πραγμάτων γνῶσις. (Δ. Λ. θ'. οθ', κ. φ. ξ.). εἰσὶ δὲ οἱ ἐφεξῆς· «πρῶτος, ὁ παρὰ τὰς διαφορὰς τῶν ζῴων πρὸς ἡδονὴν καὶ ἀλγηδόνα, καὶ βλάβην καὶ ὠφέλειαν. συνάγεται δὲ δι' αὐτοῦ, τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν προςπίπτειν φαντασίας, καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. τῶν γὰρ ζῴων—τὰ μὲν οὕτως, τὰ δ' οὕτως συγκέκριται. διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν ὀξύτατοι, κύνες δὲ, ὀσφρητικώτατοι. εὔλογον οὖν τοῖς διαφόροις τοὺς ὀφθαλμοὺς, διάφορα καὶ τὰ φαντάσματα προςπίπτειν. καὶ τῇ μὲν αἰγὶ τὸν θαλλὸν εἶναι ἐδώδιμον, ἀνθρώπῳ δὲ πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν τρόφιμον, ἀνθρώπῳ δὲ θανάσιμον.— Δεύτερος, ὁ παρὰ τὰς τῶν ἀνθρώπων φύσεις καὶ τὰς ἰδιοσυγκρισίας. Δημοφῶν γοῦν ὁ 'Αλεξάνδρου τραπεζοκόμος ἐν σκιᾷ ἐθάλπετο, ἐν ἡλίῳ δὲ ἐῤῥίγου. Ἄνδρων δὲ ὁ 'Αργεῖος, ὥς φησιν 'Αριστοτέλης, διὰ τῆς ἀνύδρου Λιβύης ὥδευεν ἄποτος. καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ γεωργίας, ἄλλος δ' ἐμπορίας ὀρέγεται· καὶ ταὐτὰ οὓς μὲν βλάπτει, οὓς δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον.—Τρίτος, ὁ παρὰ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. τὸ γοῦν μῆλον, ὁράσει μὲν ὠχρὸν, γεύσει δὲ γλυκὺ, ὀσφρήσει δὲ εὐῶδες ὑποπίπτει.» καὶ ἡ αὐτὴ δὲ αἴσθησις τοῦ αὐτοῦ πράγματος ἄλλοτ' ἀλλοίαν φαντασίαν ἡμῖν εἰςαγγέλλει, οἷον ἡ ὅρασις. « ἀκολουθεῖ οὖν μὴ μᾶλλον εἶναι τοῖον τὸ φαινόμενον ἢ ἀλλοῖον.— τέταρτος, ὁ παρὰ τὰς διαθέσεις καὶ κοινῶς, παραλλαγάς· οἷον, ὑγίειαν, νόσον· ὕπνον, ἐγρήγορσιν· χαρὰν, λύπην· νεότητα, γῆρας· θάρσος, φόβον· ἔνδειαν, πλήρωσιν· μῖσος, φιλίαν· θερμασίαν, ψύξιν· παρὰ τὸ πνεῖν, παρὰ τὸ πιεσθῆναι τοὺς πό-

ρους. ἀλλοῖα οὖν φαίνεται τὰ προςπίπτοντα παρὰ τὰς ποιὰς διαθέσεις. — πέμπτος ὁ παρὰ τὰς ἀγωγὰς καὶ τοὺς νόμους καὶ τὰς μυθικὰς πίστεις καὶ τεχνικὰς συνθήκας καὶ δογματικὰς ὑπολήψεις. ἐν τούτῳ περιέχεται τὰ περὶ καλῶν καὶ αἰσχρῶν· περὶ ἀληθῶν καὶ ψευδῶν· περὶ ἀγαθῶν καὶ κακῶν· περὶ θεῶν καὶ γενέσεως καὶ φθορᾶς τῶν φαινομένων πάντων. τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθόν, ἄλλοις δὲ κακόν. ὅθεν περὶ τἀληθοῦς ἡ ἐποχή. — ἕκτος, ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτί, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. ἡ γοῦν πορφύρα διάφορον ὑποφαίνει χρῶμα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ λύχνῳ. ἀγνοοῦμεν οὖν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ.—ἕβδομος, ὁ παρὰ τὰς ἀποστάσεις καὶ ποιὰς θέσεις καὶ τοὺς τόπους καὶ τὰ ἐν τοῖς τόποις. κατὰ τοῦτον τὸν τρόπον τὰ δοκοῦντ' εἶναι μεγάλα, μικρὰ φαίνεται· τὰ τετράγωνα, στρογγύλα· τὰ ὁμαλά, ἐξοχὰς ἔχοντα· τὰ ὀρθά, κεκλασμένα· τὰ ὠχρά, ἑτερόχροα. ὁ γοῦν ἥλιος παρὰ τὸ διάστημα μικρὸς φαίνεται· καὶ τὰ ὄρη πόρρωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν δὲ τραχέα. ἔτι ὁ ἥλιος ἀνίσχων μέν, ἀλλοῖος· μεσουρανῶν δέ, οὐχ ὅμοιος. καὶ τὸ αὐτὸ σῶμα ἐν μὲν ἄλσει, ἀλλοῖον· ἐν δὲ ψιλῇ γῇ ἕτερον. καὶ ἡ εἰκὼν παρὰ τὴν ποιὰν θέσιν. ἐπεὶ οὖν οὐκ ἔνι ἔξω τόπων καὶ θέσεων ταῦτα κατανοῆσαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν.— ὄγδοος, ὁ παρὰ τὰς ποσότητας καὶ ποιότητας αὐτῶν, ἢ θερμότητας ἢ ψυχρότητας, ἢ ταχύτητας ἢ βραδύτητας, ἢ ὠχρότητας ἢ ἑτεροχροιότητας. ὁ γοῦν οἶνος, μέτριος μὲν ληφθεὶς ῥώννυσι, πλείων δὲ παρίησιν· ὁμοίως καὶ ἡ τρο-

φὴ καὶ τὰ ὅμοια.» διὸ οὐκ ἂν ἔχοιμεν τῶν ὄντων τήνδε ἢ τήνδε τὴν ἰδιότητα ἁπλῶς τε καὶ ἀσφαλῶς κατηγορεῖν. —«Ἔννατος, ὁ παρὰ τὸ ἐνδελεχὲς, ἢ ξένον, ἢ σπάνιον· οἱ γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται, οὐ θαυμάζονται· οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται.— Δέκατος, ὁ κατὰ τὴν πρὸς ἄλληλα σύμβλησιν· καθάπερ τὸ κοῦφον, παρὰ τὸ βαρύ· τὸ ἰσχυρὸν, παρὰ τὸ ἀσθενές· τὸ μεῖζον, παρὰ τὸ ἔλαττον· τὸ ἄνω, παρὰ τὸ κάτω. τὸ γοῦν δεξιὸν, φύσει μὲν οὐκ ἔστι δεξιὸν, κατὰ δὲ τὴν ὡς πρὸς τὸ ἕτερον σχέσιν νοεῖται. μετατεθέντος γοῦν ἐκείνου, οὐκέτ' ἐστὶ δεξιόν. ὁμοίως καὶ πατὴρ καὶ ἀδελφὸς ὡς πρός τι· καὶ ἡμέρα, ὡς πρὸς τὸν ἥλιον· καὶ πάντα ὡς πρὸς τὴν διάνοιαν. ἄγνωστα οὖν τὰ πρός τι ὡς καθ' ἑαυτά. καὶ οὗτοι μὲν οἱ δέκα τρόποι.» (παρὰ Διογ. τῷ Λ. Θ, οθ', κ. φ. ξ.).

Ἀγρίππας δὲ εἷς τῶν Αἰνεσιδήμου διαδόχων διϊσχυρίσατο μάλιστα τόδε· ὅτι πασαδήποτε μὲν ἀπόδειξις ἀποδείξεως ἄλλης χρήζει καὶ αὕτη πάλιν ἄλλης καὶ οὕτως ἐπ' ἄπειρον, ἅμα δὲ οὐθὲν χρὴ ἀναπόδεικτον ὡς ἀρχήν τινος τίθεσθαι· καὶ γὰρ εὐλόγως ἄν τις ἀντὶ ταύτης καὶ ἄλλην ἐπίσης τιθείη. Ἀγρίππας μὲν τοίνυν (τοῖς Ἀριστοτέλους λόγοις πως χρώμενος) μόνην τὴν ἐπιστήμην, ὥς τι τῶν ἀκατορθώτων ὑπείληφεν. Αἰνεσίδημος δὲ, ὡς καὶ ἄρτι ἐλέχθη, αὐτὴν τὴν τῶν φυσικῶν ὄντων πρώτην ἀντίληψίν τε καὶ γνῶσιν ὡς μηδ' ἐνδεχομένην ὑποδεῖξαι τοῖς δέκα τρόποις προέθετο.

Ὑστέρῳ μέντοι χρόνῳ, ἀρχομένου τοῦ τρίτου μετὰ Χριστὸν αἰῶνος, Σέξτος ὁ τῆς χορείας γεγονὼς τῶν ἐμπειρίᾳ χαιρόντων ἰατρῶν καὶ διὰ τοῦτο Ἐ μ π ε ι ρ ι κ ὸ ς ἐπικληθεὶς, ἐπεχείρησε προαγαγεῖν τὴν σκεπτικὴν ἀ-

γωγὴν, ὡς ἠδύνατο μάλιστα. περιγέγονε δ' ἡμῖν αὐτοῦ τρία μὲν βιβλία Πυῤῥωνείων ὑποτυπώσεων, ἕνδεκα δὲ πρὸς τοὺς δογματικοὺς καὶ μαθηματικοὺς (τοὺς λογικοὺς, καὶ φυσικοὺς καὶ ἠθικοὺς καὶ γραμματικοὺς καὶ ῥήτορας κ. λ. π.). καὶ οὗτος δὲ κυρίως τὸ τῶν ὑπὲρ αἴσθησιν ἔννοιαν εἰλικρινῆ λαμβάνειν, ὡς ἀκατόρθωτον ἡγούμενος, μᾶλλον τὴν ἐπιστήμην ἢ τὴν περὶ τὰ ἀνθυφεστῶτα πράγματα ἐμπειρίαν, ὅ ἐστι μᾶλλον τὰ φιλοσοφικὰ συστήματα ἀποδοκιμάζει ἢ τὸν κοινῇ τοῖς ἀνθρώποις ὑπάρχοντα νοῦν. ἀλλὰ πᾶσα ἡ τοῦ Σέξτου σκεπτικὴ μέθοδος οὐθὲν ἄλλο ἔοικεν ἐπιζητοῦσα ἢ τὸ συνδιαλλάξαι ἑαυτὴν πρὸς τὸν βίον τὸν πρακτικὸν καὶ τὸ ἐμπειρίᾳ ὑπάρχον. καὶ γὰρ ὁμολογεῖν αὐτὸν ὁρῶμεν ὡς οὐκ ἀνυστὸν τῇ παντελεῖ ἀδιαφορίᾳ, ὡς ἀρχῇ, παρ' ὅλον τὸν βίον ἀμετατρέπτως ἀκολουθεῖν, ἀλλ' ἀνάγκη καὶ τὸν σκεπτικὸν ἐν πᾶσι τοῖς ἑαυτοῦ ἔργοις τά τε ἔθιμα καὶ τὰς παραδόσεις καὶ τὴν περὶ τὰ πράγματα πεῖραν ὡς κῦρός τι καὶ πάνυ ἔχοντα πάντ' ἀποδέχεσθαι. πρὸς δὲ τούτοις ὁμολογεῖ καὶ τόδε· ὡς οὐκ ἔστι διὰ τῆς σκέψεως τῶν τε εὐαρέστων καὶ δυςαρέστων ἐντυπώσεων τῶν ἐγγιγνομένων ἡμῖν ἀπὸ τοιούτων ἢ τοιούτων πραγμάτων καὶ καταστάσεων πάμπαν ἀλλοτριοῦσθαι. διὸ πρὸς τὰ κατὰ φύσιν τε καὶ ἀνάγκην μὴ παντελῆ ἀπάθειαν μεταδιώκειν παρῄνει, ἀλλὰ μετριοπάθειαν· τοῦτο δέ ἐςιν, ὅσον οἷόν τε ἀπτόητον καὶ γαλήνιον συμπεριφέρεσθαι τὸν θυμὸν πρὸς πάντα ὁμοίως τὰ ὑπαντῶντα.

§ νά. Περί τε τῆς μέσης καὶ τῆς νέας Ἀκαδημίας.

Καὶ ἡ Πλατωνικὴ φιλοσοφία εἰς τὴν λεγομένην μέσην

τε καὶ τὴν νέαν Ἀκαδημίαν ὑστέρῳ χρόνῳ περιελθοῦσα, ἐπὶ τὸ σκεπτικώτερον εἶδος ἀπέκλινε. διαστέλλεται μέντοι ἡ σκέψις, ἣν αὕτη προὐβάλετο τῆς τῶν κυρίως λεγομένων Σκεπτικῶν, καθ' ὅσον ἐκείνη μὲν ἐκ θεωρίας ὁρμᾶται, ἡ δὲ Πυῤῥώνειος ἐκ πρακτικῆς τινος ὠφελείας, τὴν τῆς ψυχῆς ἀταραξίαν θηρεύουσα.

Ἀρχηγέτης δὲ τῆς μέσης λεγομένης Ἀκαδημίας (Δ, κή.) Ἀρκεσίλαος ἐγένετο ὁ Σεύθου, Πιταναῖος τῆς Αἰολίδος, ὃς περὶ τὸ τις' ἔτος π. Χ. γεννηθεὶς, Κράτητος τελευτήσαντος, τὴν τῆς Ἀκαδημίας καθηγεσίαν διεδέξατο καὶ περὶ τὸ σμά ἔτος π. Χ. τὸ ζῆν μετήλλαξεν. «ἤκουσε δὲ κατ' ἀρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ, πολίτου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, μεθ' οὗ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ, μεθ' ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράντορα. ἀλλὰ καὶ τὸν Πύῤῥωνα, κατά τινας, ἐζηλώκει· καὶ τῆς διαλεκτικῆς εἴχετο, καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων. ἦν δὲ ἀξιωματικώτατος καὶ συνηγμένος, καὶ ἐν τῇ λαλιᾷ διαστα(λ)τικὸς τῶν ὀνομάτων· ἐπικόπτης θ' ἱκανῶς καὶ παῤῥησιαστής· ἔτι δὲ εὑρεσιλογώτατος ἀπαντῆσαι εὐστόχως καὶ ἐπὶ τὸ προκείμενον ἀνενεγκεῖν τὴν περίοδον τῶν λόγων, καὶ ἅπαντι συναρμόσασθαι καιρῷ. πειστικός τε ὑπὲρ πάνθ' ὁντινοῦν. παρὸ καὶ πλείους πρὸς αὐτὸν ἀπήντων εἰς τὴν σχολὴν, καίπερ ὑπ' ὀξύτητος αὐτοῦ ἐπιπληττόμενοι· ἀλλ' ἔφερον ἡδέως· καὶ γὰρ ἦν ἀγαθὸς σφόδρα, καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας. ἔν τε τῷ βίῳ κοινωνικώτατος ἐγένετο. καὶ εὐεργετῆσαι πρόχειρος ἦν, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος.» καὶ ὁ ἱερὸς δὲ Πλούταρχος ἐν τῷ πονήματι «πῶς ἂν

τις διακρίνεις τὸν κόλακα τοῦ φίλου» ἀφηγεῖται καὶ τόδε τὸ χάριεν· «νοσοῦντος γὰρ Ἀπελλοῦ τοῦ Χίου, τὴν πενίαν καταμαθὼν ὁ Ἀρκεσίλαος, ἐπανῆλθε μὲν αὖθις ἔχων εἴκοσι δραχμὰς καὶ καθίσας πλησίον, ἐνταῦθα μὲν εἶπεν οὐδὲν ἢ τὰ Ἐμπεδοκλέους στοιχεῖα ταυτί· πῦρ, καὶ ὕδωρ, καὶ γαῖα καὶ αἰθέρος ἤπιον ὕψος. ἀλλ' οὐδὲ κατάκεισαι σὺ δεξιῶς. ἅμα δὲ διακινῶν τὸ προςκεφάλαιον αὐτοῦ, λαθὼν ὑπέβαλε τὸ κερμάτιον. ὡς οὖν ἡ διακονοῦσα πρεσβῦτις εὗρε καὶ θαυμάσασα τῷ Ἀπελλῇ προςήγγειλε, γελάσας ἐκεῖνος Ἀρκεσιλάου, εἶπε, τουτὶ τὸ κλέμμα» (ἢ τὸ παίγνιον). ἀλλὰ καὶ ἄλλοτε χιλίας ἀπέστειλε. συχνοῖς τε ἄλλοις «ἐπήρκει καὶ συνηράνιζε· καὶ λέγεταί ποτέ τινος ἀργυρώματα λαβόντος εἰς ὑποδοχὴν φίλων καὶ ἀποδιδόντος, ἐπεὶ πένης ἦν, χαρίσασθαι. οὕτως δ' ἄτυφος ἦν ὁ ἀνὴρ, ὥστε τοῖς μαθηταῖς παρῄνει καὶ ἄλλων ἀκούειν. καί τινος Χίου νεανίσκου μὴ ἀρεσκομένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου τοῦ προειρημένου, αὐτὸς ἀπαγαγὼν συνέστησε τῷ φιλοσόφῳ, παραινέσας εὐτακτεῖν.» ἦν δὲ πρὸς ἀκόσμους ἡδονὰς εὐεπίφορος παρὰ θέμιν καὶ ἔστιν ὅτε ἀκολαστοτέρᾳ καὶ ἀγροικοτέρᾳ τῇ παῤῥησίᾳ ἐχρῆτο. τὴν δὲ θεωρίαν αὐτοῦ, ἐπεὶ οὐδὲν σύγγραμμα κατέλιπεν, ἀτελῶς καὶ ὡς ἔγγιστα μόνον γιγνώσκομεν. τῶν Πλατωνικῶν δὲ δογμάτων μάλιστα ἀντεχόμενος, τὰ τῆς Σωκρατικῆς καὶ Πλατωνικῆς φιλοσοφίας ἐπὶ τὸ σκεπτικώτερον εἰρημένα παραλαβὼν, ἐπὶ πλέον προήγαγεν, ἐπισχὼν τὰς ἀποφάνσεις διὰ τὰς φύσει ὑπαρχούσας τοῖς λόγοις ἐναντιότητας. εἶδος μέν τοι τῇ ἑαυτοῦ φιλοσοφίᾳ τὸ ἀντιλογικὸν περιῆψεν· καὶ γὰρ τὰ ἑαυτῷ δοκοῦντα, πρὸς τὰς τῶν ἄλλων γνώμας, μάλιστα δὲ πρὸς τὴν τῶν Στωϊκῶν

περὶ τοῦ εἰδέναι θεωρίαν ἀντιλέγων, ὑπέβαλλεν. (α΄.) οἱ μὲν γὰρ Στωϊκοὶ τὴν διὰ τῶν αἰσθήσεων ἀντίληψιν τῶν ὄντων ἀσφαλῆ τε καὶ ἀληθῆ εἶναι ἰσχυρίζοντο. ὁ δὲ Ἀρκεσίλαος τοὐναντίον, μηδεμίαν τὸ παράπαν βεβαίαν εἶναι τῶν ὄντων ἀντίληψιν ἔφασκεν. ἔτι δὲ οἱ μὲν Στωϊκοὶ τὴν φαντασίαν τὴν καταληπτικὴν ἤτοι τὴν ἐνάργειαν καὶ πειθὼ τῇ ψυχῇ παρέχουσαν, ὡς κριτήριον τῆς ἀληθείας εἰςηγοῦντο. ὁ δ' αὖ Ἀρκεσίλαος πρὸς ταῦτ' ἔλεγεν ὅτι ψευδὴς δόξα τὴν αὐτήν που δύναιτ' ἂν τῷ ἀνοήτῳ πειθὼ παρέχειν, ἥν περ καὶ ἡ ἀληθὴς τῷ σοφῷ· τὴν καταληπτικὴν ἄρα φαντασίαν, ὡς ἐπίσης τῇ τε ψευδεῖ καὶ ἀληθεῖ ὑπολήψει παρομαρτοῦσαν ἤτοι καὶ τῷ ἀνοήτῳ ἐπισυμβαίνουσαν μηδαμῶς ἐξεῖναι ἔφη ὡς κριτήριον τῆς ἀληθείας παραλαμβάνειν. (Σέξτ. Ἐμπειρ. πρὸς τοὺς μαθημ. Ζ, ρνγ΄). τὸ εἰδέναι τι ἄρα ἀσφαλῶς, ἀμήχανον ὅλως ἔφη· ἀλλὰ καὶ τὸ μηδὲν ἔχειν εἰδέναι ὡςαύτως ἀμήχανον ἀκριβῶς εἰδέναι (β΄.). μηδὲν τοίνυν ἄλλο ὑπολείπεσθαι ἔφη ἢ τὸ ἀποφεύγειν θετικὴν ἢ ἀναιρετικὴν γνώμην περὶ τοῦ προκειμένου ἀποφαίνεσθαι, ἢ ὡς ἀλ-

(α΄.) Cic. de Orat. III, 18: Arcesilaus ex variis Platonis libris sermonibusque Socraticis hoc maxime arripuit, nihil esse certi, quod aut sensibus aut animo percipi possit: quem ferunt primum instituisse, non, quid ipse sentiret, ostendere, sed contra id, quod quisque se sentire dixisset, disputare.

(β΄.) Cic. Acad. Post. I, 12, 45: itaque Arcesilaus negabat, esse quidquam, quod sciri posset, ne illud quidem ipsum, quod Socrates sibi reliquisset. sic omnia latere in occulto: neque esse quidquam, quod cerni aut intelligi posset; quibus de caussis nihil oportere neque profiteri, neque affirmare quemquam, neque assensione approbare. huic rationi quod erat consentaneum faciebat, ut contra omnium sententias disputaret.

λως εἰπεῖν, τὸ περὶ πάντων ὁμοίως ἐπέχειν. ἀλλ' ἐν τῷ κοινωνικῷ βίῳ περί τε τὴν τοῦ ἀγαθοῦ αἵρεσιν καὶ τὴν τοῦ κακοῦ φυγὴν τὸ εὔλογον (τοῦτο δ' ἐστὶ τὸ πλείονας ὑπάρχειν τοὺς ὑπέρ τινος πράξεως λόγους ἢ τοὺς ἐναντίους), ἀεὶ μέτρον παραλαμβάνειν παρῄνει. «ὁ περὶ πάντων ἐπέχων κανονιεῖ τὰς αἱρέσεις καὶ φυγὰς καὶ κοινῶς τὰς πράξεις τῷ εὐλόγῳ· τὴν μὲν γὰρ εὐδαιμονίαν περιγίγνεσθαι διὰ τῆς φρονήσεως, τὴν δὲ φρόνησιν κινεῖσθαι ἐν τοῖς κατορθώμασι, τὸ δὲ κατόρθωμα εἶναι, ὅπερ πραχθὲν, εὔλογον ἔχει τὴν ἀπολογίαν· ὁ προσέχων οὖν τῷ εὐλόγῳ κατορθώσει καὶ εὐδαιμονήσει.» (γ'.). καὶ ταῦτα κατὰ τἀναντία πρὸς τοὺς Σκεπτικοὺς ἔφη, οἵτινες καὶ περὶ αὐτῶν τῶν ἠθικῶν ἐννοιῶν ὑπενδοιάζοντες ἦσαν, διϊσχυριζόμενοι τὴν τοῦ ἀγαθοῦ καὶ κακοῦ διαστολὴν μὴ φύσει, ἀλλὰ νόμῳ τε καὶ ἔθει τοῖς ἀνθρώποις γίγνεσθαι.

Οἱ δὲ μετ' Ἀρκεσίλαον ἐχομένως τὴν αἵρεσιν διαδεξάμενοι οὐ πάνυ ἐπιφανεῖς τινες ὑπῆρξαν· «Λακύδης Ἀλεξάνδρου, Κυρηναῖος· οὗτός ἐστιν ὁ τῆς νέας Ἀκαδημίας κατάρξας, Ἀρκεσίλαον διαδεξάμενος· ἀνὴρ σεμνότατος καὶ οὐκ ὀλίγους ἐσχηκὼς ζηλωτάς· φιλόπονός τε ἐκ νέου καὶ πένης μὲν, εὔχαρις δ' ἄλλως καὶ εὐόμιλος.— ἐσχόλαζε δὲ ἐν Ἀκαδημίᾳ, ἐν τῷ κατασκευασθέντι κήπῳ ὑπὸ Ἀττάλου τοῦ βασιλέως· καὶ Λακύδειον ἀπ' αὐτοῦ προσηγορεύετο καὶ ἓξ πρὸς τοῖς εἴκοσιν ἔτη τῆς σχολῆς ἀφηγησάμενος, παρέδωκεν αὐτὴν ἔτι ζῶν Τηλεκλεῖ τε καὶ Εὐάνδρῳ, τοῖς Φωκαεῦσι. παρὰ δ' Εὐάνδρου διεδέξατο Ἡγησίνους Περγαμηνός.» τούτων δὲ πάντων προέχων Καρνεάδης ἀνέλαψεν ὁ Ἡγησίνου διάδοχος (γεν-

(γ'.) Παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ Ζ, ρνή.

νηθεὶς μὲν περὶ τὸ σιδ' ἔτος, τελευτήσας δὲ περὶ τὸ ρκθ' π. Χ.). Καρνεάδης, Ἐπικώμου ἢ Φιλοκώμου, Κυρηναῖος, ἀνὴρ μάλα ἀγχίνους καὶ ἐπιμελὴς ὤν, ἀνεζωπύρωσέ τε καὶ τρόπον τινὰ ἐπέῤῥωσε τὴν ἤδη ἐν παρακμῇ οὖσαν αἵρεσιν καὶ τῆς νέας λεγομένης Ἀκαδημίας ὡς ἀληθῶς καθηγεμὼν πρῶτος ἀνεφάνη. ἐλλόγιμος δὲ μάλιστα καθειστήκει, ὅτι τὰ σκεπτικὰ ἀξιώματα τὰ ἐν ταύτῃ τῇ φιλοσοφίᾳ ὑπάρχοντα ἐπιστημονικωτέρᾳ μεθόδῳ διεξήγαγεν· οὐ γὰρ ἱκανὸν αὐτῷ ἔδοξεν, ὥσπερ τῷ Ἀρκεσιλάῳ τὰς ἐκ τῆς Σκεπτικῆς ἀγωγῆς ἀρχὰς ἐν ἐριστικοῖς λόγοις διεξελθεῖν, πρὸς πᾶσαν δογματικὴν φιλοσοφίαν ἀντιμαχόμενος, ἀλλὰ καὶ τὴν τοῦ πιθανοῦ ἔννοιαν, ἥτις κατά γε τὰ ἀξιώματα τῆς νέας Ἀκαδημίας ἀντὶ τῆς τοῦ ἀληθοῦς ἐννοίας εἰςάγεται, ἀκριβέστερον ἐπισκεψάμενος, τὸ μᾶλλον καὶ ἧσσον τοῦ πιθανοῦ ἐκ παντὸς τρόπου διορίσασθαι ἐπειράθη. προὔργου δὲ πάντων μάλιστα ἡγήσατο εἶναι πρὸς τὴν τῶν Στωϊκῶν περὶ τοῦ εἰδέναι θεωρίαν ἀντειπεῖν καὶ ὀνομαστὸς δ' ἐγένετο ἐπὶ τῇ ἀγχινοίᾳ καὶ ἐπιμελείᾳ, ᾗ περ χρώμενος πρὸς τὰ ἐκείνοις δεδογμένα ἀντέλεγεν. καί φασιν αὐτὸν συχνάκις ἐπιλέγειν ἐκεῖνο, «εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν ἐγώ.» (Δ. Λ. Δ, ξβ'.). ἐπειρᾶτο δὲ μάλιστα πρὸς τοὺς Στωϊκοὺς ἀντειςαγαγεῖν, ὡς οὐθὲν ὑπάρχοι τῆς ἀληθείας τεκμήριον· διὸ ἀδύνατον ὅλως εἴη τὴν ἀληθῆ ἔννοιαν τῆς ψευδοῦς διακρίνειν. «ὁ Καρνεάδης οὐ μόνον τοῖς Στωϊκοῖς, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸ αὐτοῦ ἀντιδιετάσσετο περὶ τοῦ κριτηρίου. καὶ δὴ πρῶτος μὲν αὐτῷ καὶ κοινὸς πρὸς πάντας ἐστὶ λόγος, καθ' ὃν παρίσταται, ὅτι οὐδέν ἐστιν ἁπλῶς ἀληθείας κριτήριον· οὐ λόγος, οὐκ αἴσθησις, οὐ φαντασία, οὐκ ἄλλο τι τῶν

όντων· πάντα γὰρ ταῦτα συλλήβδην διαψεύδεται ἡμᾶς.» (δ'.). κυριώτατον δὲ μάλιστα λόγον τοῦ μὴ οἵους τ' εἶναι ἡμᾶς τὴν ἀλήθειαν συνιέναι τῶν ὄντων προὔφέρετο τόνδε· ὅτι πολλαί εἰσιν αἱ ψευδεῖς ἔννοιαι καὶ ταῖς ἀληθέσι τοσοῦτον παραπλήσιαι δοκοῦσαι, ὥστε μηδένα ἂν ἔχειν τὰς ἀληθεῖς τῶν ψευδῶν ἑκάστοτε διαγιγνώσκειν. διὸ καὶ δισσοὺς λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἐφεξῆς ἀλλήλων διεξιέναι εἰώθει, οὔτ' αὐτὸς ἀποφαινόμενος, οὔτε ἄλλῳ παρέχων εἰκάσαι, ὁπότερον αὐτοῖν μᾶλλον προςίετο. (έ.). περιβόητον δὲ δεῖγμα τῆς τοιαύτης ἀντιλογικῆς τέχνης παρέσχεν ὁ Καρνεάδης ἐν Ῥώμῃ, ἔνθα παρὰ τῶν Ἀθηναίων πρεσβευτὴς ἀπεστάλη (περὶ τὸ ρνέ ἔτος π. Χ.)· δύο γὰρ λόγους κατόπιν ἀλλήλων διεξῆλθε τὸν μὲν ἐγκωμιαστικὸν, τὸν δ' ἕτερον ψεκτικὸν τῆς δικαιοσύνης (ς'.). ταύτῃ δὲ τῇ ἀγωγῇ συνακόλουθον ἦν τὸ ὑπολαμβάνειν ὅλως ἀδύνατον εἶναι

(δ'.) Παρὰ Σέξτῳ τῷ Ἐμπειρ. πρὸς τοὺς μαθημ. Ζ, ρνθ'.

(ε'.) Cic. Acad. II, 45, 139: Clitomachus (μαθητὴς καὶ διάδοχος τοῦ Καρνεάδου) affirmabat, nunquam se intelligere potuisse, quid Carneadi probaretur.

(ς'.) Ἔπεμψαν δὲ ταύτην τὴν πρεσβείαν οἱ Ἀθηναῖοι, μεγάλην παραιτούμενοι ζημίαν ὑπὸ Ῥωμαίων ἑαυτοῖς ἐπιβληθεῖσαν. ἦσαν δὲ πρεσβευταὶ Καρνεάδης ὁ Ἀκαδημαϊκὸς, Διογένης ὁ Στωϊκὸς καὶ Κριτόλαος ὁ περιπατητικός· ἐν τούτῳ τῷ καιρῷ ὁ Καρνεάδης τοὺς ἀντιφατικοὺς περὶ δικαιοσύνης λόγους εἶπεν. Cic. Rep. III, 6 (ap. Lact. inst. V, 14): Carneades quum legatus ab Atheniensibus Romam missus esset, disputavit de justitia copiose. sed idem disputationem suam postridie contraria disputatione subvertit, et justitiam, quam pridie laudaverat, sustulit, non quidem philosophi gravitate, cujus firma et stabilis esse debet sententia, sed quasi oratorio exercitii genere, in utramque partem disserendi. quod ille facere solebat, ut alios quidlibet asserentes posset refutare.

τὸ εἰδέναι· καὶ δὴ καὶ τὸν σοφὸν εἰκὸς μηδέποτε περὶ μηδενὸς τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι. τοῦτο δ' ἦν τὸ ἐπέχειν καὶ ἡ ἐποχή. ἀλλ' ὅτι μὲν οὖν ἡ τοιαύτη ἐποχὴ ἐν τοῖς βιωτικοῖς πράγμασιν ἀνήνυτός ἐστι καὶ τοῦ νοῦ οὕτω μετεώρου μένοντος, τὸ πράσσειν ὅλως αἴρεται· διὰ δὴ τοῦτο ἐπὶ πάσης πρακτικῆς ἐνεργείας κριτηρίου τινὸς πάντως χρῄζομεν, ὅπως ἂν δυεῖν πράξεων ἀλλήλαις ἀντικειμένων τὴν ἀρίστην ἔχοιμεν αἱρεῖσθαι, ταῦτα πάντα καὶ ὁ Καρνεάδης συνωμολόγει. καὶ κριτήριον ἐν τῷ πράσσειν τὴν πιθανότητα ἔθετο. προςήκειν γὰρ ἔφη τὴν πιθανωτέραν τῆς ἧσσον πιθανῆς γνώμης ἀεὶ προτιμᾶσθαι. καί τοι γὰρ τοῦ εἰδέναι αὐτοῦ ἀδυνάτου ὄντος, πολλὰς τὰς τοῦ πιθανοῦ βαθμίδας ὑπάρχειν καὶ τῆς πεποιθήσεως δ' ὡςαύτως τῆς ἐνεργαζομένης ἡμῖν ἐκ τῆς γνώμης, ἧς περ ἑκάςοτε περί τινος ἔχομεν. ὑπάρχειν μὲν γὰρ ἔφη ὁ Καρνεάδης φαντασίας ἢ δόξας ἁπλῶς πιθανὰς διὰ τὸ μεμονωμένας ἡμῖν παρίστασθαι· ὑπάρχειν δὲ ἄλλας πιθανάς τε καὶ ἀπερισπάστους διὰ τὸ ὑπ' ἄλλων ἐπιμαρτυρεῖσθαι καὶ ἄλλας τελευταῖον πιθανὰς, ἀπερισπάστους καὶ ἅμα περιωδευμένας ἤτοι πάντοθεν ἠκριβωμένας, ὁπόταν καὶ πᾶσαι αἱ ἐκείναις συνειρμέναι δόξαι ἐπίσης ὡς πιθαναί τε καὶ ἀπερίσπαστοι δοκιμάζωνται. ταύτας δὲ τὰς κατὰ ποσὸν τοῦ πιθανοῦ διαφορὰς καὶ ἐπὶ τῶν ἠθικῶν ὁ Καρνεάδης παραλαμβάνει, λέγων πρὸς μὲν τὰ ἀδιάφορα ταῖς ἁπλῶς πιθαναῖς δόξαις στερκτέον, πρὸς δὲ τὰ λόγου ἄξια ταῖς ἀπερισπάστοις καὶ πρὸς τὰ ἀναγκαῖα, ὧν, φέρ' εἰπεῖν, ἡ εὐδαιμονία, ταῖς περιωδευμέναις ἤτοι πάντοθεν διηκριβωμέναις δόξαις χρηστέον. (παρὰ Σέξτῳ τῷ Ἐμπειρ. πρὸς τοὺς μαθηματ. Ζ, ρογ'-ρπθ'.).

Ὅμως δ' οὖν αὕτη ἡ σκεπτικὴ τῆς ὕστερον Ἀκαδημίας ἀγωγή, καθ' ἣν τὸ μὲν εἰδέναι ἀνέφικτον ἐλογίσθη, τὸ δὲ πιθανῶς περὶ τῶν ὄντων ἐπαίειν, ἱκανὸν ἀνθρώπῳ εἶναι, ὡς ἐν συνόλῳ εἰπεῖν, οὐδὲν ἄλλο ἐμφαίνει ἢ γῆρας καὶ παρακμὴν τῆς διανοίας τῶν τότε πρὸς τὰς ἐπιστήμας σχολαζόντων. τοῦτο δ' ἦν μαρασμὸς τῆς περὶ φιλοσοφίαν φύσεως.

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ.

ΠΕΡΙ ΤΗΣ ΝΕΑΣ ΠΛΑΤΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

§. νϐ΄. Μετάϐασις ἐπὶ τὴν τοιαύτην φιλοσοφίαν.

Τὰ φιλοσοφικὰ συστήματα τὰ τὸ πᾶν κῦρος τῇ ἀνθρώπου γνώμῃ ἀποδιδόντα ἱκανῶς ἡμῖν δεικνύει, οἵαν ὁ τῶν Ἑλλήνων νοῦς κατὰ τὰς δύο τελευταίας ἑκατονταετηρίδας τὰς πρὶν Χριστοῦ γεννήσεως φορὰν ἔλαϐεν. δυςανασχετῶν γάρ πως ὁ ἔνδον ἄνθρωπος καὶ πρὸς τὸν ἀνθυφεστῶτα κόσμον ἀδιαφορῶν, χαίρειν δ' αὐτὸν καὶ ὅλως ἐάσας, ἑαυτοῦ νῦν δὴ μάλιστ' ἐπεστράφη. τηνάλλως μέν τοι εἰς ἀσφαλοῦς τινος ϐάσεως ἀναζήτησιν ὥρμησε. τῶν γὰρ ϐιωτικῶν πραγμάτων μεστῶν ἤδη ταραχῆς καταστάντων καὶ πασῶν τῶν δοξασιῶν ἀδιακρίτως συγχεομένων, οὐχ οἷός τ' ἐγένετο εὐςοχῆσαι τοῦ ποθουμένου. οὕτω δὲ μετέωρον καὶ σαλεύουσαν ἔχων τὴν συνείδησιν, κόρῳ τινὶ καὶ ἄσῃ κατὰ σμικρὸν περιπέπτωκε, πρὸς τὰ παρόντα ὡς ὅλως ἀνεπαρκῆ δυςφορῶν. καὶ τὸ περὶ πάντων δ' ὑπενδοιάζειν, ἅπερ ποτὲ παρὰ τοῖς πάλαι ὡς ἀληθῆ τε ἴσχυε καὶ ἀγαθὰ, ἐνειργάσατο τῇ τοῦ φιλοσοφοῦντος ψυχῇ, ἀντὶ τῆς ἐλπιζομένης ἡσυχίας τε καὶ γαλήνης, πολλῷ μᾶλλον τοὐναντίον· τέλος δὲ ἡ μετὰ πόθου ὁρμὴ πρός τι ἀνώτερον τούτου γε τοῦ κόσμου τοῦ αἰσθητοῦ, τουτέστι πρός τι αὐτὸ καθ' αὑτὸ ἀληθές τε καὶ ϐέϐαιον, εἴ πέρ ποτε καὶ ἄλλοτε δήλη τὰ νῦν καθέστηκεν. ἐκ ταύτης οὖν τῆς ψυχικῆς τῶν φιλοσοφούν-

των διαθέσεως καὶ ἕξεως προῆλθε καὶ ὁ περὶ τὰ θρησκευτικὰ ἔνθεος ζῆλος ὁ παρὰ πάντα τὸν χρόνον τῶν τριῶν πρώτων αἰώνων ἀπὸ τῆς τοῦ Χριστοῦ ἐπιφανείας ἐκνικήσας· καὶ αὐτὸ τοῦτο ἦν τὸ αἴτιον, ὅπερ μάλιστα εἰς διάδοσιν τῆς χριστιανικῆς διδασκαλίας συνετέλεσεν. τοῦ μὲν οὖν ἐνεργείᾳ ὑπάρχοντος οἱ τανῦν ἄνθρωποι, ὡς ἔπος εἰπεῖν, ἀλλοτριωθέντες, μηκέτι δὲ τοῖς ὑπὸ τῶν προγόνων περὶ θεῶν νομιζομένοις στέργοντες,πρὸς δὲ τὰς ἀντιφατικὰς τῶν φιλοσόφων γνώμας λίαν δυσπιστοῦντες, πόθῳ ἐνθέρμῳ εἰς τὰ ἐπέκεινα τοῦ πέρας ἔχοντος κόσμου ἐφέροντο καὶ ἀληθείας εἰλικρινοῦς τε καὶ βεβαίας σφόδρα ἠφίεντο. ὥστε ἀπαλλαγὴ μὲν ἀπὸ τοῦ πεπερασμένου διὰ τῆς εἰς τὸ ὄντως ὂν ἤτοι τὸ ἀπόλυτον ἐξάρσεως, ἀπαλλαγὴ δὲ καὶ ἀπὸ τοῦ ἀβεβαίου διὰ τῆς ἀμέσου συναφείας μετὰ τοῦ ἀπολύτου, ἄμφω τούτω κυριώτατον καθειστήκει τέλος, ὅπερ κατ' ἐκεῖνον τὸν χρόνον σχεδόν τι πάντες προεβάλοντο. τὴν φιλοσοφίαν λοιπὸν ἐδέησε πάντως ταύτῃ τῇ κοινῇ πάντων ὁρμῇ ἀκολουθῆσαι καὶ ὅσα τοῖς πρώην φιλοσοφήσασιν ἔδοξεν ἐπὶ τὸ ἰδανικώτερον καὶ ὀργιαστικώτερον ἀποκλῖναι. Διὸ καὶ τὰ ἐν τούτῳ τῷ χρόνῳ ἀναφυέντα φιλοσοφήματα ὑπερφυσικόν τινα καὶ μυστικὸν καί, ὡς ἂν φαίη τις, θεοσοφικὸν χαρακτῆρα πάντα προςέλαβε. τὸ δ' ἐν τούτοις ζητούμενον οὐκέτι τὰ αἰσθήσει ἢ διανοίᾳ ληπτὰ ὄντα ἐστίν, ἀλλὰ τὸ τούτων ἐπέκεινά που ὑπάρχον, θεῖόν τι ὅλως καὶ ὑπερκόσμιον· ἥ τ' αὖ μέθοδος, ᾗ γε τοῦτο ἐπιδιώκουσιν, οὐχ ἡ τοῦ διανοεῖσθαί ἐστιν, ἀλλ' ἡ τοῦ ἀμέσως πως θεᾶσθαι, ἤτοι τὸ δι' ἐκστάσεως τὰ τοῦ θείου κόσμου μυστήρια μυεῖσθαι. ταύτῃ δὲ τῇ μυστικῇ ἀγωγῇ παντοδαπαὶ δεισιδαιμονίαι ἐπον-

ται καὶ πρὸς θεουργικὰς τέχνας καταφορὰ, πίστις τε εἰς θαύματα καὶ δαίμονας καὶ ὅσα γε ἄλλα θεῖα σημεῖα. ἔτι δὲ ἡ τῆς ἑλληνικῆς φιλοσοφίας σύγκρασις μετὰ τῆς ἀνατολικῆς, ἥ περ μάλιστα ἐν Ἀλεξανδρείᾳ τελουμένη, τὴν τῶν Ἀλεξανδρέων θρησκευτικὴν φιλοσοφίαν παρήγαγεν (ἐπιφανέστατος δὲ ταύτης ἀρχηγὸς Φίλων ἐγένετο ὁ Ἰουδαῖος, ἐπὶ Χριστοῦ ἀκμάσας), μέγα μέρος εἰς προαγωγὴν τῆς τότε εὐδοκιμούσης θεουργικῆς αἱρέσεως συνεβάλετο· καὶ τελευτῶντα πάντα τὰ θρησκεύματα καὶ πάντα τὰ φιλοσοφήματα εἰς ἄλληλα συνεκρίθη (synkretismus). καὶ γὰρ τῇ τοιαύτῃ μεθόδῳ χρώμενοι, ἤλπιζον τὰ ἑκασταχοῦ τῆς ἀληθείας ὑπάρχοντα ἴχνη εἰς ταὐτὸν συναγαγόντες, τὴν δὲ θρησκευτικὴν πίστιν τῶν ἐθνικῶν ἐθίμων καὶ τῆς παρεισφρησάσης διαφθορᾶς ἀποκαθήραντες, μίαν φιλοσοφίαν συγκεράσασθαι, οἵαν τε οὖσαν ἅμα καὶ τόπον καθολικῆς θρησκείας ἐπέχειν. τὰς δὲ τοιαύτας ὁρμὰς καὶ δοξασίας τῶν τότε καιρῶν συλλαβοῦσα, πάσας ἐν ἑαυτῇ περιείληφεν ἡ νέα Πλατωνικὴ φιλοσοφία, ἥπερ πρὸς τὸν ἤδη κατισχύσαντα χριστιανισμὸν τὰ ἔσχατα πειρωμένη, καὶ ἐκ τῆς τοῦ Πλάτωνος ἰδεολογίας ὡς ἐξ ἀκηράτου καὶ ἱερᾶς πηγῆς τὰ κράτιστ' ἀρυομένη, τὴν τῶν ἐθνικῶν περὶ παντὸς τοῦ κόσμου θεωρίαν ἐπὶ τὸ θρησκευτικώτερον καὶ φιλοσοφικώτερον μεθαρμόσαι προέθετο καὶ οὕτως ἐφάμιλλον αὐτὴν τῇ χριστιανικῇ διδασκαλίᾳ ἀναδεῖξαι. φαίη μὲν οὖν ἄν τις εἰκότως τὴν τοιαύτην φιλοσοφίαν μὴ μόνον λῆξιν, ἀλλὰ καὶ ἀνακεφαλαίωσιν ὅλης τῆς παρ' Ἕλλησι φιλοσοφίας γεγονέναι. καὶ γὰρ Πλατωνικάς τινας ἀρχὰς οἷον κρηπῖδα θεμένη, πάνθ' ὅσα τοῖς πρώην φιλοσοφήσασιν ἔδοξεν, ἐκ νέου αὖθις εἰς σύνολόν τι συνῆψε καὶ

τὰς ἀντιθέτους ζητήσεις τὰς ἐπ' ἀμφοῖν τῶν πρόσθεν περιόδων γενομένας, ὡς ἀνυστόν, ἀλλήλαις διήλλαξε. τοῖς μὲν οὖν φιλοσοφήμασι τῆς τρίτης περιόδου κοινὸν ἡ ἀγωγὴ αὕτη ἔχει τὸ ἀπὸ τοῦ ἐσωτερικοῦ ἀνθρώπου εἰς κατάληψιν τῶν ὄντων ὁρμᾶσθαι, τοῖς δ' ἐν τῇ δευτέρᾳ περιόδῳ τὸ ἐσπουδακέναι μάλιστα ἔκ τινος ἰδανικῆς τῶν ὄντων ἀρχῆς φιλοσοφικὴν συστῆσαι πραγματείαν περὶ τὴν τῶν ἐκτὸς ἡμῶν ὄντων φύσιν οὖσαν. ὥστε καὶ λόγον που ἔχοι τις ἂν ἀποκαλέσαι αὐτὴν ἐσχάτην μέν, ἀλλ' οὐ τὴν τυχοῦσαν σπουδὴν καὶ ἐνέργειαν τῆς τῶν Ἑλλήνων διανοίας (α').

§ νγ'. Ἱστορία τῆς νέας Πλατωνικῆς λεγομένης φιλοσοφίας.

Ἀρχηγὸς τῆς νέας Πλατωνικῆς φιλοσοφίας Ἀμμώνιος ἐγένετο ὁ καὶ Σακκᾶς ἐπικαλούμενος· οὗτος περὶ τὸ σ' ἔτος ἀπὸ τῆς Χριστοῦ γεννήσεως σχολὴν φιλοσοφικὴν ἐν Ἀλεξανδρείᾳ συνεστήσατο, ἣν νέαν Πλατωνικὴν ἐπωνόμασαν παρὰ τὸ τοὺς αἱρεσιώτας μηδὲν ἄλλο δοκεῖν βούλεσθαι ἢ μαθητὰς γνησίους καὶ ἑρμηνευτὰς τῶν τῷ Πλάτωνι δεδογμένων· τῷ γὰρ ὄντι τὰ πλεῖστα τῶν δογμάτων παρ' ἐκείνου φαίνονται ἠρυσμένοι, εἰ καὶ οὐκ ὀλίγα τῶν Ἀριστοτέλους τε καὶ τῶν Στωϊκῶν αὐτοῖς ἀνέμιξαν. ἐπεὶ δ' αὐτὸς ὁ Ἀμμώνιος οὐδὲν σύγγραμμα τοῖς ὕστερον κατέλιπε, δίκαιοί ἐσμεν ὡς καθηγεμόνα πρῶτον τῆς τοιαύτης ἀγωγῆς τὸν Πλωτῖνον παραλαμβάνειν, ὃς τοῦ Ἀμμωνίου διήκουσεν. ἐγεννήθη δὲ ὁ Πλωτῖνος περὶ τὸ πέμπτον ἔτος τοῦ τρίτου μετὰ Χριστὸν αἰῶνος καὶ ἐτελεύτησεν ἔτη γεγονὼς πέντε καὶ

(α') Ἔπιθι Κιρχνερίου, περὶ τῆς τοῦ Πλωτίνου φιλοσοφίας. 1854.

ἑξήκοντα. συνέγραψε δὲ καὶ πολυπληθῆ φιλοσοφικὰ συγγράμματα, ἅπερ Πορφύριος ὁ μαθητὴς αὐτοῦ εἰς ἐννεάδας διακοσμήσας εἰς φῶς ἐξήνεγκε μετὰ τὸν θάνατον τοῦ διδασκάλου. ταῦτα δὴ τὰ τοῦ Πλωτίνου συγγράμματα ὡς τὴν εἰλικρινεστάτην καί, ὡς γ᾽ εἰπεῖν, διαυγεστάτην πηγὴν ὑποληπτέον, ἐξ ἧς ἂν τὰ γνήσια τῆς αἱρέσεως δόγματ᾽ ἀρύτεσθαι ἔχοιμεν. ἦν δ᾽ ὁ Πλωτῖνος ἐν Ῥώμῃ διδάσκων, ἔνθα πλεῖστον ὅσον ἄλλως τε ηὐδοκίμει καὶ πολλοὺς ὁμιλητὰς ἐφειλκύσατο, οἵπερ αὐτὸν ὥς τι ὂν ἀνθρωπικῆς μοίρας θειότερον ἐσέβοντο. εἰς δὲ διάδοσιν τῆς Πλωτίνου θεωρίας συνεβάλετο εἰς τὰ μάλιστα ὁ Πορφύριος (γεννηθεὶς μὲν περὶ τὸ τριακοστὸν τρίτον ἔτος τοῦ τρίτου μετὰ Χριστὸν αἰῶνος, τελευτήσας δὲ περὶ τὸ τέταρτον τοῦ τετάρτου), ὃς ἐπίσης ἐν Ῥώμῃ τὸν βίον διῆγε διδάσκων καὶ εὐλήπτῳ καὶ γλαφυρᾷ ἀγορεύσει οὐκ ὀλίγους ὀπαδοὺς τῆς αἱρέσεως προςηγάγετο. Μετὰ δὲ τὸν Πορφύριον Ἰάμβλιχος ὁ μαθητὴς αὐτοῦ ἐλλογιμώτατος πάντων κατέστη· ὥστε καὶ τὸ κλέος τοῦ Πορφυρίου αὐτοῦ ἐπεσκίασεν ἡ πολλὴ λαμπηδὼν τοῦ Ἰαμβλίχου, εἰ καὶ ὁ Ἰάμβλιχος ἐν φιλοσοφίᾳ τοῦ διδασκάλου ἀπελείπετο. περὶ δὲ τοῦ βίου αὐτοῦ οὐδὲν ἄλλο ἴσμεν ἢ ὅτι κατὰ τοὺς τόπους τῆς Ἀνατολῆς ἐδίδασκε καὶ ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου τὸ ζῆν αὐτόθι μετήλλαξεν. (α΄.) ἐκώλυσε δὲ καὶ περιέκειρε

(α΄) Εὐνάπιος ὁ Σαρδιανὸς (περὶ τὸ υ΄ ἔτος μετὰ Χριστὸν γενόμενος) συνέγραψε καὶ τοῦ Ἰαμβλίχου τὸν βίον, ὅς ἐστιν ἐν τῷ περιγραφὴν φέροντι «βίοι φιλοσόφων καὶ σοφιστῶν» τριῶν καὶ εἴκοσι τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον ἀκμασάντων (ἐκδοθέντες ὑπὸ Βοϊσσονάδου ἐν ἔτει ᾳωκϐ΄.), ἀλλὰ σχεδὸν οὐδὲν πλέον ἡμῖν περὶ τοῦ φιλοσόφου παραδίδωσιν, πλὴν ἤ τεράστιά τινα ὑποδείγματα τῆς θαυματουργικῆς αὐτοῦ δυνάμεως. ἐκ δὲ τῶν παμ-

τὴν τῆς αἱρέσεως ἐπίδοσιν, καθ' ὅσον περ ἔτι πλείονας προλήψεις τε καὶ δεισιδαιμονίας εἰς αὐτὴν φιλοτιμότερόν πως εἰσήγαγεν. εἰ μὲν γὰρ οἱ πρότερον αὐτοῦ ἀκμάσαντες, οἷοι Πλωτῖνός τε καὶ Ἰάμβλιχος τὸ τὸν Θεὸν ἀμέσως πως θεᾶσθαι διὰ τῆς ἐκστάσεως, ἀνώτατον τέλος τῇ φιλοσοφίᾳ ὑπεβάλλοντο, ἀλλ' ὁ Ἰάμβλιχος οὐκ ὀλίγην μοῖραν καὶ τῇ μαντευτικῇ καὶ γοητευτικῇ καὶ εἰκονολατρείᾳ καὶ πᾶσι τοῖς τοιούτοις προσένειμε· περὶ φιλοσοφίαν δὲ τῇ συγκριτικῇ καὶ, ὡς ἔπος εἰπεῖν, τῶν ἀσυγκλώστων συγκλωστικῇ μεθόδῳ ἐχρήσατο καὶ τῆς περὶ τοὺς ἀριθμοὺς τῶν Πυθαγορείων μυσταγωγίας εἰς τὴν αἵρεσιν ταύτην φέρων πολὺ χρῆμ' ἀνέμιξεν. τελευταῖος δὲ τῶν ἐν ταύτῃ τῇ χορείᾳ διαλαμψάντων ἀνδρῶν ἐγένετο ὁ Πρόκλος (β'), ὃς γεννηθεὶς μὲν ἐν Βυζαντίῳ κατὰ τὸ δωδέκατον ἔτος τοῦ πέμπτου μετὰ Χριστὸν αἰῶνος ἀπεδήμησεν εἰς Ἀθήνας κατὰ φιλοσοφίας ἔφεσιν, ἔνθα Πλουτάρχου τε καὶ Συριανοῦ τῶν νέων Πλατωνικῶν ἠκροάσατο· εἶτα δὲ καὶ τὸν Συριανὸν

πόλλων τοῦ Ἰαμβλίχου συγγραφῶν ὀλίγα τινὰ περιλείμματα ἡμῖν περιγέγονεν, ὧν τὰ πλεῖστα μέρη ἐστὶ συγγράμματός τινος περὶ τῆς τῶν Πυθαγορείων φιλοσοφίας, ὅπερ ἐπὶ τούτῳ συνέγραψεν, ἐφ' ᾧ τε τὰ τῶν Πυθαγορείων οἷά τε εἶναι προοδοποιεῖν τοῖς βουλομένοις εἰς τὰς τοῦ Πλάτωνος θεωρίας ἐγκύπτειν. σώζεται δὲ τούτου ἔτι καὶ νῦν βιβλία πέντε, ὧν τὸ πρῶτον τὰ περὶ αὐτὸν τὸν Πυθαγόραν καὶ τὸ Πυθαγορικὸν συνέδριον περιλαμβάνει, πολλῶν δ' ἄλλων συγγραμμάτων τοῦ Ἰαμβλίχου οὐδὲν ἄλλο ἢ τὰς ἐπιγραφὰς γιγνώσκομεν.

(β') Ἀρύσαιτο δ' ἄν τις τὰ περὶ τὸν Πρόκλον ἐκ μόνου τοῦ βίου, ὃν Μαρῖνος ἡμῖν κατέλιπεν. εὑρίσκεται δ' ὁ βίος τανῦν καὶ ἐν τῷ ἐπιμέτρῳ τῆς ὑστάτης ἐν Παρισίοις γενομένης ἐκδόσεως Διογένους τοῦ Λαερτίου. ἀλλὰ καθ' ὑπερβολὴν ἐγκωμιαστικῶς ἐστι συντεταγμένος· οὐθὲν γὰρ ἄλλο προτίθεται, πλὴν ἕν, τὸν Πρόκλον παράδειγμα τελεώτατον πασῶν τῶν φιλοσοφικῶν τε ἅμα καὶ θεουργικῶν ἀρετῶν ἀναδεῖξαι.

διεδέξατο, αὐτὸς καθηγεμὼν τῆς σχολῆς γενόμενος καὶ περὶ τὸ πέμπτον καὶ ὀγδοηκοστὸν ἔτος τοῦ πέμπτου αἰῶνος τὸ ζῆν μετήλλαξεν. Οὗτος δὴ ὁ Πρόκλος τὰς κατ' ἐκεῖνον τὸν χρόνον ἐπικρατούσας δεισιδαιμονίας καὶ τὰς τῆς ὅλης σχολῆς φαντασιοκοπίας ἀποδεξάμενος, ἀλλοκότῳ διαλεκτικῇ καὶ λεπτολόγῳ εἰς ἄκρον συναρμόσαι ἐπεχείρησεν, καὶ συστηματικῇ μεθόδῳ χρησάμενος, τὸ τῆς νέας Πλατωνικῆς ἀγωγῆς εἶδος ἐτελείωσεν. ἦν δὲ ὁ ἀνὴρ πολυμαθής τε ἄλλως καὶ πολυγραφώτατος, οὗ περ καὶ μέχρις ἡμῶν διεξοδικά τινα ὑπομνήματα εἰς τὸν Πλάτωνα διασέσωσται (γ').

Αὕτη δὴ οὖν ἡ ὕστερον αἵρεσις, οἵα περ ἤρξατο γίγνεσθαι ἀπὸ Ἰαμβλίχου, διαςέλλεται τῆς προγενεστέρας (ἣν Πλατωνικὴν εὐλόγως ἄν τις ἀποκαλέσειεν), καθ' ὅσον περ ἐν αὐτῇ αἱ μυσταγωγίαι καὶ οἱ θειασμοὶ πολλῷ μᾶλλον ὑπερίσχυσαν. Πλωτῖνος μὲν γὰρ τήν τε μαγείαν καὶ γοητείαν δύναμίν τιν' ἔχειν ἔλεγεν, αὐτὸς μέντοι πρὸς οὐδὲν αὐτῇ ἐχρήσατο· τοὐναντίον δὲ οἱ ὕστερον θιασῶται τηλικοῦτον κῦρος τῇ θεουργίᾳ ἤτοι τῇ τέχνῃ τοῦ θεούς τε καὶ δαίμονας διὰ μαγγανιῶν ἀνάγειν καὶ κατάγειν, ὥστε καὶ τῆς φιλοσοφίας τιμιωτέραν αὐτὴν ποιεῖσθαι. καὶ τελευτῶντες ἤδη ψυχῇ τε ὅλῃ καὶ διανοίᾳ εἰς πάνυ ἀτόπους καὶ μαντικὰς δεισιδαιμονίας, εἰς γοητείας καὶ ὀπτασίας, εἰς ἐνύπνια καὶ ὅσας ἄλλας τοιαύτας τερθρείας παγίως πάνυ ἐπίστευον. καὶ περὶ αὐτοῦ τοῦ Ἰαμβλίχου διεμυθολόγουν οἱ ὁμιληταί, ὅτι προςευ-

(γ') Καὶ τὸ μὲν εἰς τὸν πρῶτον Ἀλκιβιάδην ὑπόμνημα ὁ Κρεϋζέριος εἰς φῶς ἐξέδωκε, τὸ δὲ εἰς Κρατύλον ὁ Βοϊσσονάδης, τὸ δ' εἰς Παρμενίδην Σταλβώμιος, τὸ δ' εἰς Τίμαιον Σνεϊδέριος, τὰ ἅπαντα δὲ συγγράμματα ἐξέδοτο ὁ Κουσῖνο; εἰς τόμους ἕξ.

χόμενος πλέον ἢ ὅσον δέκα πήχεων τῆς γῆς ὑπερήρετο· καὶ περὶ Πρόκλου δὲ λόγος παραπλησίως κατεῖχεν, ὡς ὀνείρατα αὐτῷ προςεφοίτα, ἅπερ τά τε μέλλοντα προεσήμαινε καὶ τὰ κρύφια ἀπεκάλυπτε. καί ποτε αὐτῷ ἠγγέλη ὅτι ἡ Νικομάχου ψυχὴ τοῦ Πυθαγορείου ἐν αὐτῷ οἰκοῖ· ἔτι δ' ὅτι τῇ προσευχῇ νόσους παντοίας ἰᾶτο καὶ ἐπῳδαῖς, ὄμβρον δέ ποτε ἀπὸ αὐχμοῦ ἐποίησε καὶ σεισμὸν κατέπαυσεν. ἀλλὰ καὶ οἱ πλεῖστοι τῶν ὕστατα ἐν ταύτῃ τῇ χορείᾳ εὐδοκιμησάντων ἄλλα τε θεῖα ἔργα ἐξειργάσαντο καὶ δὴ καὶ τὰ μέλλοντα, ὡς ἔπος εἰπεῖν, προεθεῶντο. καὶ ἑνί γε λόγῳ πάντες οἱ θειασμοὶ καὶ πᾶσαι αἱ τερθρεῖαι τῆς τὰ λοίσθια ἤδη πνεούσης πολυθείας εἰς ταὐτὸ τέλος συνῆλθον τῇ νέᾳ Πλατωνικῇ αἱρέσει, ὥστε συναμφότεραι, ἥ τε πολυθεία καὶ αὕτη δὴ ἡ νέα Πλατωνικὴ φιλοσοφία ἑκατέρα ἑκατέραν συνεπισπωμένη ἠφανίσθησαν. ἀλλ' ἡ τῆς νέας Πλατωνικῆς φιλοσοφίας κατάλυσις οὐ διὰ γῆρας μόνον καὶ ἐσωτερικὴν ὀλιγοδρανίαν ἐπισυνέβη, ἀλλὰ καὶ βίας ἕνεκεν τῆς ἔξωθεν προελθούσης. ἐξ οὗ γὰρ χρόνου ἡ χριστιανικὴ διδασκαλία ἐπὶ πλεῖστον ἴσχυσεν, ἤρξαντο οἱ εἰς Χριστὸν πιστεύοντες αὐτοκράτορες κατὰ τὸ καρτερὸν πιέζειν τὴν πολυθείαν. ἤδη δὲ καὶ ὅτε ὁ Πρόκλος εἰς Ἀθήνας ἦλθεν, οἱ τῇ πολυθείᾳ ἐμμένοντες, ὧν ὑπέρμαχοι ἔσχατοι οἱ τῆς νέας Πλατωνικῆς ἀγωγῆς ζηλωταὶ ἐγεγόνεσαν, ἐν παραβύστῳ που ἀνακεχωρηκότες καὶ πάνυ συνεσταλμένοι ἦσαν· καὶ οἱ μὲν ναοὶ τῶν ἑλληνικῶν θεῶν ἔρημοι καθειστήκεσαν, αἱ δὲ ἱερουργίαι ἐν κρυπτῷ τοὐντεῦθεν ἀνεμποδίστως ἐτελοῦντο. τέλος δὲ Ἰουστινιανὸς ὁ μέγας αὐτοκράτωρ ἦν ὁ τὴν ὀλεθρίαν ἐπενεγκὼν πληγὴν τῇ πολυθεϊκῇ φιλοσοφίᾳ, διατάγματι ἀπειπὼν (ἐν ἔτει

ἐννάτῳ καὶ εἰκοστῷ τοῦ ἕκτου μ. Χ. αἰῶνος) μηδὲ ἐξεῖναι ὅλως τοῦ λοιποῦ Ἀθήνησι φιλοσοφίαν διδάσκειν. Διὸ καὶ οἱ ἐπιφανέστατοι τῶν τηνικαῦτα φιλοσοφούντων, ἐν οἷς καὶ Σιμπλίκιος, ὁ πολυμαθὴς τῶν Ἀριστοτελικῶν συγγραμμάτων ὑπομνηματιστὴς, ἀπεδήμησαν εἰς Περσίαν πρὸς Χοσρόην τὸν βασιλέα, περὶ οὗ φήμη ἦν διαδεδομένη, ὡς εἴη ἡγεμὼν φιλόσοφος κατ' οὐδὲν τῆς Πλάτωνος γνώμης τε καὶ εὐχῆς ἀπολειπόμενος. ἀλλὰ μέντοι δεινῶς πάνυ τῆς καλῆς ψευσθέντες ἐλπίδος, ὑπέστρεψαν αὖθις Ἀθήναζε (δ'). ἀλλ' οὐκ ἐξῆν αὐτοῖς τοῦ λοιποῦ τὴν ἑαυτῶν σχολὴν αὐτόθι ἀνιδρύσασθαι. τούτων δ' ἀποθανόντων, συναπέθανεν ἅμα καὶ ἡ πολυθεϊκὴ φιλοσοφία.

§ νδ'. Περὶ τοῦ συστήματος τῆς νέας Πλατωνικῆς φιλοσοφίας κατὰ τὸν Πλωτῖνον,

καὶ πρῶτον

περὶ τῆς θέας τοῦ μάλιστα καθόλου ὄντος ἤτοι τοῦ ἀπολύτου.

Τῶν πάλαι φιλοσοφικῶν αἱρέσεων ἤδη ἐν παρακμῇ οὐσῶν, τῆς δὲ Σκεπτικῆς ἀγωγῆς ῥοπήν τε καὶ βρῖθος ἐπὶ τῆς τῶν φιλοσοφούντων διανοίας ἀσκούσης, δυσπιστία τις κατὰ σμικρὸν ηὐξήθη, πρὸς πᾶσαν διαλεκτικὴν φιλοσοφίαν ἀντιμαχομένη· διὸ καὶ τοῦ φιλοσοφικῶς τὰ ὄντ' ἀνασκοπεῖν πάντες ἤδη ἀπηλπικότες ἀπέστησαν,

(δ') Ταύτην δὲ τὴν περιπέτειαν ἐπὶ τὸ τραγικώτερον ἀσκήσας ὁ Σούμπτιος, ἀφηγεῖται ἐν τῷ συγγράμματι « περὶ τῆς Ἀθήνησιν ἐπιμονῆς τῶν φιλοσοφικῶν σχολῶν. »

ἄλλην δέ τινα ὁδὸν ἁπλῆν ἤδη ἐτράποντο, οἵαν τ' ἔσεσθαι ἐλπίζοντες εἰς ἄμεσον τοῦ θείου ἀντίληψιν καὶ οἷον θέαν ἀσφαλέστατ' αὐτοὺς ἄξειν· τούτῳ δὴ τῷ θείῳ ὡς ἀνυστὸν μάλιστα ταὐτίζεσθαι, κυριωτάτη σπουδὴ πᾶσι τοῖς νῦν δὴ φιλοσοφοῦσι καθέστηκεν, οἵπερ πᾶν τὸ μέχρι τοῦδε δεδομένον καὶ ἐπιστητόν, ὡς πρὸς τὴν παροῦσαν χρείαν ἀνεπαρκὲς ὄν, οὐδ' ὁπωςτιοῦν ἔστεργον. (§ νβ'.). τοιαύτῃ οὖν σπουδῇ συνεσχημένοι καὶ πᾶσαν διαλεκτικὴν μέθοδον ὁλοτελῶς ὑπερορῶντες, τὸ ὡς ἀληθῶς γε ὂν οὐδενὶ ἄλλῳ τρόπῳ παρ' ἑαυτοῖς λαμβάνειν ἐπειρῶντο ἢ ἀμέσῳ τινὶ καὶ ἐσωτερικῇ θέᾳ, ἥπερ ὁτιοῦν ἂν τὸ ἀνθρώπειον τοῦ θείου χωρίζειν δύναιτο, ἄρδην ἀπὸ τοῦ μέσου ἆραι ἔμελλεν. τὸ γὰρ ὕψιστόν, φησιν ὁ **Πλωτῖνος**, οὔτ' ἂν ταῖς αἰσθήσεσιν εἴη ληπτόν· τὸ γὰρ ἐκτὸς πᾶν καὶ σώματι περιβλητὸν σκιά τις ἄντικρύς ἐστιν οὐσίας ἄμοιρος· ἥ τε διὰ τῶν αἰσθήσεων ἀντίληψις οὐδὲν ἄλλο, πλὴν εἰ μή γε ὄνειρον· οὔτ' αὖ λογισμῷ τε καὶ διανοίᾳ περιληπτὸν ἄν που γένοιτο ἐκεῖνο· καὶ γὰρ ἄμφω τούτω, ἥ τε διάνοια καὶ ὁ λογισμὸς ταὐτόν που σημαίνοντα, ἀχωρίστως τῆς διὰ τῶν αἰσθήσεων ἐγγιγνομένης ἡμῖν φαντασίας ἔχεται καὶ οὐκ ἐπέκεινα τοῦ ἐν τόπῳ τε καὶ χρόνῳ ὑπάρχοντος διαβιβάζει. ἀλλ' οὐδὲ τῇ ἐκ τῶν προτέρων τοῦ γνωστικοῦ ἐνεργείᾳ ἤτοι αὐτῇ γε τῇ νοήσει ληπτὸν εἴη ἂν τὸ ὕψιστον· καὶ γὰρ καὶ ἐν ταύτῃ διχασμὸς σκοπεῖται· χωρὶς γὰρ τὸ νοοῦν τοῦ νοουμένου νοεῖται καὶ δὴ καὶ ἑαυτοῦ γε ἐκτὸς τὸ νοοῦν τὸ νοητὸν ἀντιπαρίσταται. εἴη δ' ἂν ἀνθρώπῳ τὸ θεῖον ἐφικτόν, φησὶν ὁ **Πλωτῖνος**, οὐδεμιᾷ ἄλλῃ μηχανῇ ἢ τῷ τὴν ψυχὴν ἀμέσως πως αὐτοῦ ἐφάπτεσθαι, καθ' ὃ πᾶσα διαφορὰ τοῦ θείου καὶ ἀνθρωπίνου ὄντος καταλύεται· τοῦτο

ὅ' ἐστὶν, ἐνὶ λόγῳ, οὐθὲν ἄλλο ἢ τὸ θεᾶσθαι τὸ ὑπὲρ αἴσθησιν καὶ εἰς ἓν καὶ ταὐτὸν αὐτῷ συνέρχεσθαι· ἀλλ' ἐν τῷ θεᾶσθαι πᾶσαι αἱ ἰδέαι ἀναιροῦνται καὶ τὸ βέβαιον τῆς διανοίας καὶ τῆς συνειδήσεως ἡ ἐνάργεια εἰς ἔκστασιν ἀναλύονται καὶ ἐνθουσιασμόν· ἀποβάλλει γὰρ ἡ ψυχὴ τὸ ἑαυτῇ συνειδέναι, ὡς τῇ ἀϊδίῳ μονάδι εἰς ἓν καὶ ταὐτὸν συνερχομένη· καὶ γὰρ βακχείᾳ τινὶ ὅλη διαχεῖται, ἥπερ πάσης ἄλλης ἀπολαύσεως τιμιωτέρα καὶ λόγου παντὸς κρείσσων ὑπάρχει. βαιὸν μέντοι χρόνον τοῖς θνητοῖς ἐνθάδε δέδοται ἐν τοιαύτῃ παραμένειν καταστάσει. Πλωτῖνος δὲ περὶ ἑαυτοῦ διηγεῖται ὅτι πολλάκις τὸ θεῖον ἐθεάσατο καὶ εἰς ταὐτὸν αὐτῷ συνῆλθεν. Ἐνν. Δ, ή.

β'. Περὶ τῆς τοῦ ἀπολύτου οὐσίας.

Εἴπερ ἡ ἐν ἡμῖν συνείδησις πεπεῖσθαι μέλλει ὅτι τὸ θεῖον θεασαμένη, τοῦ ὑψίστου καὶ καθόλου ὄντος ἤτοι τοῦ ἀπολύτου, ὡς ἀληθῶς, τετύχηκεν, ἀνάγκη πᾶσα τοῦ θείου τούτου πάντα ὁρισμὸν καὶ πᾶν ὄνομα περιαιρεθῆναι, οἷόν τε ὂν ἐκεῖνο πεπερασμένον αὖθις ἀπελέγξαι. καθάπερ γὰρ ἐν τῷ ἐσωτερικῷ ἀνθρώπῳ οὐχὶ ὁ νοῦς, ἀλλὰ τὸ ὑπὲρ νοῦν ὄν, ἡ ἁπλῆ καὶ δι' ἐκστάσεως γιγνομένη θέα τοῦ γνωστικοῦ τὸ πρῶτον καὶ τιμιώτατόν ἐστιν, οὕτω κἀν τῷ ἀνθυφεστῶτι κόσμῳ ἀνωτάτη ἀρχὴ παντὸς τοῦ ὑπάρχοντος τὸ τελέως ἁπλοῦν ὑποληπτέον· οὐ γὰρ ἂν θέμις εἴη ἐκεῖνο τὸ πρῶτον, ὡς μόριά τε ἔχον καὶ μεριστὸν, νοεῖν, οἵαν περ ἄν τις εἰκότως τὴν νόησιν εἴποι, ἀλλὰ πολλῷ τοι μᾶλλον εἰκὸς αὐτὸ ὑπολαμβάνειν, ὡς τὸ ἓν ᾧ γε τῶν διαφορῶν ἑκάστη τὴν ἀρχὴν ἔχει, αὐτὸ μέντοι οἱασοῦν διαφορᾶς κρεῖσσον ὑπάρχον.

Εἰ μὲν οὖν τὸ καθόλου ὂν τελέως ἁπλοῦν ἐστιν, οὐδ' ἂν ἔχοι τις αὐτὸ ὡς ἐν τύπῳ λαβεῖν καὶ ὀνόματι διορίσαι· ἐπέκεινα γὰρ πάντων (transscendent) ὄν, ἄληπτόν ἐστι καὶ δὴ καὶ παντὸς ὀνόματος ὑπέρτερον (α)· κατ' ἄρνησιν δὲ μόνον ἐνδέχεται περὶ αὐτοῦ εἰπεῖν, ὡς ἔστιν ἄπειρον (οὐ πεπερασμένον), ἄμορφον καὶ ἀνείδεον ἢ κατὰ Πλάτωνα ἀειδὲς, τὸ οἱασοῦν ποιότητος καὶ μορφῆς ὑπεριδρυμένον. Διὸ μήτε νόησιν, μήτε βούλησιν, μήτε ἐνέργειαν ἔχειν αὐτό φησιν ὁ Πλωτῖνος· καὶ νόησιν μὲν μὴ ἔχειν· ἐπεὶ τὸ νοοῦν νοητοῦ τινος πάντως πρὸς τὸ νοεῖν προςδεῖται· μήτ' αὖ βούλησιν καὶ ἐνέργειαν ἔχειν· καὶ γὰρ ἑκάτερον τούτοιν ὁρμή τίς ἐστι, πρός τι ἐκτός γε τοῦ νοοῦντος ὑπάρχον ἀγαθὸν ὁρμῶσα. τοὐναντίον δὲ τὸ πρώτως ὂν, ὡς οὐδενὸς δεόμενον καὶ αὔταρκες ὑποληπτέον. ἀλλὰ γὰρ μηδὲ τὸ ζῆν τε καὶ εἶναι ὅλως κατηγορεῖν αὐτοῦ ὁ Πλωτῖνος τετόλμηκεν, ᾧ γὰρ ἂν τὸ εἶναι ᾖ, διωρισμένον πως εἶναί φησι, τὸ δ' ἀνώτατον πάντων αἴτιον πρότερον ἡγητέον τοῦ διωρισμένου. τρία δέ τινα μόνον τοῦ πρώτου ὄντος κατηγορεῖ, τὸ πρῶτον καὶ τὸ ἓν καὶ τὸ ἀγαθὸν αὐτὸ ἀποκαλῶν. ἀλλ' οὐδὲν ἧσσον αὐτὸς πάλιν ὁμολογεῖ ὅτι τὸ κατηγόρημα, τὸ ἓν, οὐ θετικῶς τὴν τοῦ ἀπολύτου οὐσίαν ὁρίζεται, ἀλλὰ μόνον ἀρνητικὴν ἔννοιαν ἔχει, τὰ πολλὰ ἀποκλεῖον. ὡςαύτως δ' ἄν τις εἴποι καὶ περὶ τοῦ ἀγαθοῦ· οὐδὲ γὰρ τοῦτο τὴν τοῦ ἀπολύτου οὐσίαν ὁρίζεται· καὶ γὰρ σαφῶς ὁ Πλωτῖνος λέγει ὅτι τὸ ἀπόλυτον οὐ καθ' ἑαυτὸ ἀγαθόν ἐστιν, ἀλλ' ἐν σχέσει πρὸς τὸν κόσμον, καθ' ὅσον περ αὐτῷ (ὥσπερ καὶ παρὰ Πλάτωνι ἡ

(α') « ὄνομα αὐτῷ οὐ προςήκει. »

ἰδέα τοῦ ἀγαθοῦ) τό, τε εἶναι καὶ συνεστάναι παρέχει· «οὐ τοίνυν, φησὶν, οὐδ' ἀγαθὸν αὐτῷ, ἀλλὰ τοῖς ἄλλοις· ταῦτα γὰρ δεῖται αὐτοῦ, αὐτὸ δ' οὐκ ἂν δέοιτο αὐτοῦ.» (β'.). ὥστε ἀμφότεροι οὗτοι οἱ ὁρισμοὶ οὐδεμίαν ἀληθῆ γνῶσιν τοῦ ἀπείρου ὄντος χορηγοῦσιν· ἀμήχανον γὰρ περὶ αὐτοῦ θετικῶς εἰπεῖν ὅ,τι πότ' ἐστὶν αὐτὸ καθ' αὐτὸ, ἀλλὰ μόνον ἐν σχέσει πρὸς τὸν γεγεννημένον κόσμον. ἔστι δ' ἐν ταύτῃ τῇ σχέσει αἴτιον τῶν πάντων ἡ πρώτη δύναμις. τὸ τοιόνδε ἄρα μόνον, ὅτι ὁ Θεὸς πρωτίστη ἐστὶ πάντων ἀρχὴ καὶ δύναμις, θετικῶς ὁ Πλωτῖνος τοῦ πρώτου ὄντος κατηγορεῖ, ὅσα δ' αὐτῷ ἄλλα ἀποδέδωκε πάντα κατ' ἄρνησιν ἀποδέδωκεν.

γ'. Ὅπως τὸ ὑπάρχον ἐγένετο.

Καθ' ὅσον τὸ ἀρχῆθεν ὂν αὐτὸ καθ' αὐτὸ δύναμίς ἐστι καὶ ἰσχὺς, δημιουργικῶς ἐνεργὸν φαίνεται καὶ ἄλλων παραγωγόν. πᾶν γὰρ τὸ ὑπάρχον γέννημά ἐστι ταύτης τῆς δημιουργικῆς ἐκπορεύσεως τοῦ ἀρχεγόνου ὄντος ἐξ ἑαυτοῦ. ἀλλ' ὅπως μὲν ὁ Πλωτῖνος τὴν τῶν ὄντων ἐκ Θεοῦ προέλευσιν ἐκλαμβάνει, ὅπως δ' αὐτὴν τῷ προηγηθέντι δόγματι συμβιβάζει, λέγοντι ὅτι πάσης ἐνεργείας τὸ θεῖον ὑπέρτερον τυγχάνει ὂν, τούτου πέρι οὐ πάνυ σαφῶς, ἀλλὰ δι' εἰκόνων ἀποφαίνεται. τὸ ἐξ ἀρχῆς ὂν, φησι, πληθύον, τρόπον τινὰ ὑπερχεῖται· ὥς περ γὰρ πηγὴ ποταμοῖς γένεσιν παρέχει, αὐτὴ μηδέποτε φθίνουσα, οὕτω καὶ τὸ πρώτως ὂν τὰ ὄντα πάντ' ἐξ ἑαυτοῦ γεννᾷ, αὐτὸ μήτε μειούμενον μήτε ἀλλοιούμενόν

(β') ς', ζ, μά.

ποτε τὴν πρώτην οὐσίαν. παραπλήσιον γὰρ ἡλίῳ τὸ θεῖον πέφυκεν, ὥςπερ ἀκτῖνας φωτὸς τὸ σύμπαν τόδε προπέμπειν. κέχρηται δὲ ταύτῃ τῇ τροπικῇ φράσει ὁ Πλωτῖνος οὐχ ἁπλῶς, ἀλλ' ἐξ ἀνάγκης· οὐθὲν γὰρ ἔχει ἡμῖν εἰπεῖν περὶ τοῦ ὅπως ποτὲ ὁ κόσμος ὅδε ἀρχῆθέν τε ἔφυ καὶ νῦν ἔτι σώζεται. καθ' ἣν γὰρ ἰδέαν τοῦ θείου ἀπέδοτο, παντάπασιν ἀνυπόστατόν ἐστιν αὐτὸ καὶ ἀδρανὲς καὶ δὴ καὶ ἥκιστα αἴτιον τῶν γιγνομένων. οὐδὲ ἀπόῤῥοιά τις ἐκ Θεοῦ ἐστι κυρίως ὁ κόσμος κατὰ τὰ Πλωτίνου διδάγματα· πρὸς ταύτην γὰρ τὴν δόξαν λαμπρῶς πάνυ ἀντιμάχεται, εἰ καὶ ὡς ἐξ αὐτῆς τῶν εἰκόνων αἱ πλεῖσται ὁρμῶνται καὶ παραβολῶν αἷς κέχρηται, ἀλλὰ καὶ τῇ ἰδέᾳ, ἣν περὶ τοῦ Θεοῦ πρότερον ἐδήλωσε, τὸ τῆς ἀποῤῥοίας δόγμα ὅλως ἀσυμβίβαστον φαίνεται. καὶ γὰρ πᾶν τὸ ἔκ τινος ἀποῤῥέον λαμβάνει μέρος τῆς οὐσίας τοῦ ἐξ οὗ γε ἀποῤῥεῖ, ἀλλὰ τούτῳ τῷ τρόπῳ, τῇ μεθέξει τῆς θείας οὐσίας, οὐκ ἂν δέξαιτο ὁ Πλωτῖνος τὸ Σύμπαν τόδε γενέσθαι· καὶ γὰρ τὸ ἐξ ἀρχῆς ὂν ὡς πάντοθεν ἐν ἑαυτῷ ἀπεστραμμένον καὶ τοῦ πέρας ἔχοντος παντὸς κεχωρισμένον ἐδόξασε. Διὸ καὶ τὸ παραχθὲν πρὸς τὸ πρώτως ὂν ἥκιστα ὡς μέρος πρὸς τὸ ὅλον ἔχειν φησὶν, ἀλλ' ὥςπερ ἐνέργειαν πρὸς αἴτιον. ἐθέλει δὲ λέγειν τοῦτο, ὅτι τὸ πᾶν καὶ ὁ κόσμος οὐκ ἐξ αὐτῆς γε τῆς πρώτης οὐσίας ἀμέσως ἐγένετο, ἀλλὰ τῇ ἐνεργῷ δυνάμει ἐκείνης προῆλθεν. καὶ τὸ αἴτιον δὲ πάντων λέγειν τὸ ἀρχῆθεν ὂν οὐ πάνυ τι συνᾷδον δοκεῖ, ᾗ περ ἰδέᾳ ὁ Πλωτῖνος περὶ αὐτοῦ εἶχεν· καὶ γὰρ παντὶ αἰτίῳ ἐξ ἀνάγκης ἀφύκτου ἕπεται τὸ ἐνεργεῖν (γ'), τὸ δ' ἀρχῆθεν ὂν ὁ

(γ') Εἰ μὲν τὸ ἐνεργεῖν ἐξ ἐλευθέρας ὁρμᾶται βουλήσεως, φανερὸν ὡς

Πλωτῖνος ὡς ἀπολύτως αὔταρκες καὶ οὐδενὸς ἄλλου ἐπιδεόμενον ἐξύμνησεν. ὅθεν πάντῃ ἄπορον φαίνεται ὅπως ἂν τὸ πρῶτον δεύτερόν τι δύναιτο γεννῆσαι, πάσης ἐπιδράσεως ἐκτὸς διατελοῦν.

δ'. Περὶ τῆς κατὰ πρόοδον ἀξιώσεως τῶν ὄντων.

Τὸ πρώτως ὑπὸ τοῦ πρώτου ὄντος γεννηθὲν ἐγγύτατα τυγχάνει ὂν αὐτοῦ πάντων τῶν ἄλλων ὄντων, ἀλλ' ἤδη καὶ ἀτελέστερον ἐκείνου τοῦ πρώτου γεγονός· πέφυκε γὰρ τὸ αἴτιον τοῦ αἰτιατοῦ ἀεὶ τελειότερον εἶναι καὶ εὐσθενέστερον. αὐτὴ δὲ ἡ ἀπὸ τῶν ἐντελεστέρων εἰς τὰ ἀτελέστερα πρόοδος σκοπεῖται καὶ τοῦ πρόσω, μέχρι τῶν κατωτάτω εἰδῶν τοῦ ὑπάρχοντος. καθ' ὅσον γάρ τι ἑκαστέρω τοῦ ἀρχῆθεν αἰτίου γίγνεται καὶ διὰ μεσολαβούντων αἰτίων τοῦ πρώτου χωρίζεται, κατὰ τοσοῦτον καὶ ἀτελέστερον καθίσταται. ὥστε τὸ σύνολον τῶν ὄντων κλιμακηδὸν ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω συνήρθρωται, ὧν μόνα τὰ ὕψιστα ἐγγὺς τῆς πρώτης τυγχάνοντα οὐσίας ἐπικοινωνεῖ τε ἔτι αὐτῆς καὶ κατ'οὐσίαν συγγενῆ ὑπάρχει. τόνδε δὲ τὸν τρόπον διέξεισιν αὐτὰ ὁ Πλωτῖνος· πρῶτον γὰρ γέννημα τοῦ ἐξ ἀρχῆς ὄντος τὸν Νοῦν γεγονέναι φησί, τῆς μὲν ἁπλότητος τοῦ Ἑνὸς τῇ καθαρῶς νοητῇ οὐσίᾳ ἔτι ἐχόμενον, ἅμα δὲ καὶ διαφορὰν ἤδη καὶ ἀντίθεσιν ὡς νοοῦντος πρὸς νοητόν, ζωήν τε καὶ κίνησιν ἤτουν νόησιν ἐν ἑαυτῷ περιλαμβάνοντα. οὗτος δὴ ὁ παρὰ Πλωτίνῳ Νοῦς ὁ αὐτός ἐστι τῷ Ἀριστοτε-

οὐ κατ' ἀνάγκην ἄψυχτον τελεῖται· ἀλλ' ὁ Πλωτῖνος τῆς τοῦ ἀπολύτου προελεύσεως εἰς τὸ πέρας ἔχον οὐ βούλησιν μεσολαβοῦσαν αἰτιᾶται, ἀλλ' ἐσωτερικήν τινα ἀνάγκην εἰσηγεῖται.

λικῷ, πλὴν ὅσον ἀπὸ τοῦ πρώτου τόπου εἰς τὸν δεύτερον ὑποβιβασθείς. Ὁ δὲ Νοῦς νοῶν παράγει τε καὶ νοεῖ ἰδέας, τὰ (κατὰ Πλάτωνα) παραδείγματα πάντων τῶν ἐπὶ μέρους αἰσθητῶν. κατὰ τοῦτον ἄρα τὸν λόγον ὁ Νοῦς ἐστι κ ό σ μ ο ς ν ο η τ ό ς, ἐν ᾧ αἱ ἰδέαι ἔτι εἰς ἑνότητα ἀλλήλαις συνηρμοσμέναι ὑφίστανται· δημιουργὸς δ' ἐστὶ τῆς ἰ δ έ ᾳ πολυειδείας, καθαπεροῦν ἐκεῖνο τὸ Ἓν δημιουργὸν ἦν τοῦ εἶναι καθόλου. ἐκ δὲ δὴ τοῦ Νοῦ, τῇ παραγωγῷ αὐτοῦ δυνάμει, ἣν ἐξ ἐκείνου τοῦ Ἑνὸς πεπόρισται, τῆς ἐντελεχείᾳ ζωῆς ἡ ἀρχὴ ἐκπορεύεται, τουτέστιν ἡ ψ υ χ ή, καὶ πρῶτον μὲν ἡ καθόλου ἤτοι ἡ παγκόσμιος ψυχή, ἀλλ' εἶτ' αὐτὴ καὶ τὰς ἐπὶ μέρους ψυχὰς τὰς ἀλλήλων διαφυείσας ἐν ἑαυτῇ συλλαβοῦσα περιέχει. ἔστιν οὖν ἡ ψυχὴ οἷον ὅρος τοῦ κόσμου τοῦ νοητοῦ· τὰ μὲν γὰρ τῷ Νῷ ἐπικοινωνεῖ, ὃς αὐτῇ τὸ νοεῖν καὶ τὴν νόησιν παρέχει καὶ οἵαν τ' εἶναι αὐτὴν ποιεῖ τὰς ἰδέας τῶν πολλῶν ὄντων ὡς τὸ ἀρχῆθεν Ἓν θεᾶσθαι· τὰ δὲ καὶ τοῦ αἰσθητοῦ κόσμου ἤδη ἐξικνεῖται. συνάπτεται γάρ πως ἡ ψυχὴ τῷ ἐσχάτῳ, ἀτελεστάτῳ καὶ δὴ καὶ τὸν εἱρμὸν τῶν ὄντων νοητῶς ἐπικόπτοντι στοιχείῳ, ἤτοι τῇ ὕλῃ, εἰσδύει εἰς ταυτηνὶ τὴν ὕλην ἵνα σχηματίσῃ καὶ εἰδοποιήσῃ αὐτὴν πρὸς τὰ ἀρχῆθεν ἰδανικὰ παραδείγματα τοῦ κόσμου τοῦ νοητοῦ καὶ κοινωνὸν τῆς ἐν ἑαυτῇ ζωῆς ποιήσῃ. ταύτῃ τοι οὖν τῇ εἰς ἀλλήλας κοινωνίᾳ τῆς τε ψυχῆς καὶ τῆς ὕλης ὁ φαινόμενος ἤτοι ὁρατὸς κόσμος γίγνεται, εὐταξίᾳ τε καὶ πολυειδείᾳ καλὸν μέν τι ἔτι ἀεί, ἥκιστα δ' ἀληθὲς καὶ ὄντως ὑπάρχον, ἐν διηνεκεῖ δὲ ῥοῇ καὶ μεταλλαγῇ ἄνω κάτω κυμαῖνον ἀπείκασμα τοῦ κόσμου τοῦ νοητοῦ. καὶ γὰρ καὶ ἡ ὕλη, ἐξ ἧς γε συνέστη, οὔ τι ὡς ἀληθῶς ὑπάρχον ἐστὶν, ἀλλὰ

κενὸν φάσμα καὶ τὸ ἁπλῶς δυνάμει εἶναι, ἐξ ἴσου τε ἀνείδεον, μένοντος δὲ εἴδους ἤτοι βεβαίας ὑπάρξεως ἀνεπίδεκτον, μᾶλλον δὲ παντὶ εἴδει πολέμιον, καὶ ἐξ ἴσου πάσης αὖ μορφῆς ἐπιδεκτικὸν ὑπάρχει. ἔστι δὲ ἡ τοιαύτη τῆς ὕλης ἀντίληψις, ὥς τινος μὴ ὄντος, Πλατωνική· ἀλλ' ὁ Πλωτῖνος κατὰ τοσοῦτον προσωτέρω τοῦ Πλάτωνος ἐλαύνει, καθ' ὅσον σαφῶς πάνυ τὴν ὕλην, ὡς τὸ πρῶτον κακὸν καὶ τὴν πρώτην αἰτίαν παντὸς αἰσχροῦ τε καὶ κακοῦ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐκλαμβάνει, καὶ δὴ καὶ περὶ τῆς ψυχῆς φησιν ὅτι αὐτὴ μὲν καθ' αὑτὴν θεία τε καὶ ἀγαθὴ ὑπάρχει, ἀλλὰ τῆς ὕλης ἐφαπτομένη τῷ πονηρῷ καὶ κακῷ περιπίπτειν δύναται.

ε. Ὁ τοῦ ἐσωτερικοῦ ἀνθρώπου βίος ὁ πνευματικός.

Ταύτῃ τοι οὖν τῇ ἄρτι λεχθείσῃ διδασκαλίᾳ, ᾗ περ ἡ Πλατωνικὴ φιλοσοφία οἷον ὑπογραμμὸς ὑφίσταται, καθ' ὅ γε μέρος τὸν διχασμὸν ἔχει, συνακόλουθον ἐν τῷ πρακτικῷ βίῳ ἦν τὸ τὸν νοῦν ὡς οἷόν τε μάλιστα τὸν αἰσθητὸν κόσμον φεύγειν, ἀτελῆ τε ὄντα καὶ ταπεινόν. ὥσπεροῦν ἡ παγκόσμιος ψυχὴ οὕτω καὶ αἱ κατὰ μέρος τὸ μέσον ἔχουσι μεταξὺ τῆς ὑπὲρ αἴσθησιν χώρας καὶ τῆς αἰσθήσει περιληπτῆς τοῦ ὑπαρκτοῦ. ἐκ γὰρ τοῦ κόσμου τοῦ νοητοῦ, ἐκείνης τῆς γνησίας καὶ μακαριστῆς πατρίδος, ἐν ᾗ ἁγνὴν δίαιταν εἶχον ἀποπτᾶσαι, εἰς τόνδε τὸν γνοφώδη τῶν αἰσθήσεων κατῆλθον ἐπὶ τῷ εἰδοποιῆσαί τε αὐτὸν καὶ τῇ πολυειδείᾳ, ὡς ἔπος εἰπεῖν, ζωοποιῆσαι. αὕτη ἡ εἰς τὸν σωματικὸν κόσμον κατάδυσις ποιεῖ τὴν ψυχήν, τῆς οὐρανόθεν καταγωγῆς ἐπιλανθανομένην, τῷ σωματοειδεῖ διαχεῖσθαι, καὶ κινδυνεύειν

οὕτως ἐν αὐτῷ ὅλως ἀφανισθῆναι, τῆς τε πρῴην κοινωνίας πρὸς τὸν θεῖον κόσμον καὶ τῆς ἁγνότητος καὶ ἰσχύος καὶ μακαριότητος διὰ παντὸς ἀφαιρεθῆναι. μέλημα τοίνυν ἀνθρώπῳ τοῦτο μόνον ἔστω, ἐκείνην τὴν πρώτην καὶ ἀληθῆ πατρίδα αὖθις ἀνακτᾶσθαι, πᾶν τὸ ἀλλότριον τῆς ἀληθοῦς οὐσίας τῆς ἑαυτοῦ ψυχῆς ἐκ παντὸς τρόπου ἀποχωρίζειν ἤτοι τοὺς δεσμοὺς τοῦ σωματοειδοῦς μᾶλλον καὶ μᾶλλον καταλύειν. αὕτη δὴ οὖν ἡ κάθαρσις ἀπὸ τοῦ αἰσθητοῦ καὶ τοῦ ἐν ἀνθρώπῳ ζῳώδους ἡ ὡς ἀληθῶς ἀρετή ἐστι· τὸ πᾶν ἄρα ἐν τούτῳ ἡ ἀπὸ παντὸς ἐγκράτεια ἰσχύει, ὅπερ ἂν φύσιν ἔχοι τὴν ψυχὴν τῷ αἰσθητῷ καὶ τῷ σώματι δυςαπαλλάκτως ἐμπορπᾶν. ἡ δὲ ψυχὴ τῶν αἰσθήσει ληπτῶν ὄντων ὑπεραιρομένη καὶ εἰλικρινῶς ἀσώμου ὑπάρξεώς τε καὶ ζωῆς περιεχομένη, ἀεὶ μᾶλλον οἵαν θ' ἑαυτὴν καθίστησι τὴν ἑαυτῆς φύσιν τὴν νοερὰν πάλιν αὖθις ἀναγνωρίζειν, τὴν δ' ἐπέκεινα τῶν γηίνων πατρίδα ἐν ἐκστάσει ὀπτάνεσθαι, ὅπως τε τῷ νῷ καὶ διὰ τοῦ νοῦ ἐκείνῳ τῷ ἀρχῆθεν Ἑνὶ ἀναποσπάστως ἥρμοσται εἰδέναι. οὕτως οὖν ἡ ψυχή, τοῦ σώματός ποτε θανάτῳ περιπεσόντος, ἀληθοῦς ἐπανόδου εἰς τὸν ἄνω κόσμον ἀξιοῦται· ἀλλὰ καθ' ὅσον καὶ ἐνθάδε τοῦ τε ἐπὶ μέρους καὶ αἰσθητοῦ ἑαυτὴν μᾶλλον ἀλλοτριοῦσα διατελεῖ καὶ τὸ ὄμμα τὸ νοερὸν εἰς ἑαυτὴν ἐπιστρέφουσα, κατὰ τοσοῦτον καὶ ἐν τῷδε τῷ ἐπὶ γῆς βίῳ ἐγγυτέρω τῆς θέας γίγνεται τοῦ πρώτως αἰτίου καὶ δὴ καὶ τῆς ὑπὲρ πᾶν τιμιωτέρας μακαριότητος, ἥπερ ἐστὶ τὸ συνειδέναι ἑαυτῇ τῷ Θεῷ μίαν τε οὖσαν καὶ τὴν ἑαυτῆς οὐσίαν τὴν θείαν αὖθις ἀναλαβοῦσαν.

Παρὰ δὲ τοῖς μεταγενεστέροις ἀρχηγοῖς ἀπὸ **Πορφυρίου** μέχρι τοῦ **Πρόκλου** ἡ νέα **Πλατωνικὴ** ἀγωγὴ σχε-

δόν τι οὐδεμίαν οὐσιώδη μεταβολὴν ἔλαβε· καὶ γὰρ οὗτοι οἱ ἄνδρες τῇ πολυθεΐᾳ ὑπουργοῦντες, τὰς μὲν τοῦ νοητοῦ κόσμου οὐσίας τε καὶ δυνάμεις εἰς πολὺ πλῆθος διασχίσαι ἐπεχείρησαν· καὶ πλείστῃ δὲ πάντων ἀγχινοίᾳ τε καὶ δεξιότητι περὶ τὰ τοιαῦτα ὁ Πρόκλος φαίνεται κεχρημένος. (δ'.) ὅμως δ' οὖν αὐτῇ τῇ φιλοσοφίᾳ σχεδόν τι εἰς οὐδὲν ἡ πραγματεία αὐτοῦ ἀποβαίνει. Διὸ καὶ πολλοῦ μὲν λόγου ἀξία τυγχάνει ὡς πρὸς τὴν θεολογικὴν μετασκευὴν τῆς προκειμένης αἱρέσεως, ἀλλὰ τῇ ἱστορίᾳ τῆς φιλοσοφίας δι' αὐτό γε τοῦτο οὐκέτι προςήκουσα.

(δ'.) ἔπιθι τὸ Κιρχνερίου σύγγραμμα. σ. 209 κ. φ. ξ.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

σελ.

Εἰσαγωγή 1—17

ΜΕΡΟΣ ΠΡΩΤΟΝ,

Ἡ πρὸ τοῦ Σωκράτους φιλοσοφία. 18—192

Διαίρεσις τῆς πρὸ τοῦ Σωκράτους φιλοσοφίας . 18

Θαλῆς. 20

Ἀναξίμανδρος 25

Ἀναξιμένης 30

Μετάβασις εἰς τὰ συστήματα τὰ ζητητικὰ τῆς αἰτίας 32

Ἡράκλειτος. 34

Ἐμπεδοκλῆς. 51

Ἀναξαγόρας 63

Ἀτομολογία, Λεύκιππος καὶ Δημόκριτος. . . 79

Περὶ τῆς Πυθαγορικῆς ἀγωγῆς. 89

Περὶ Ἐλεατῶν 127

Ξενοφάνης. 130

Παρμενίδης 138

Ζήνων. 150

Μέλισσος 158

Περὶ τῆς Σοφιστικῆς 162

Πρωταγόρας 175

Γοργίας 178

Πρόδικος 182

Ἱππίας. 190

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

Περὶ τῶν ἰδεολογικῶν συστημάτων . . 192—574

Μετάβασις ἐπὶ τὴν Σωκρατικὴν φιλοσοφίαν . . 192

σελ.

Σωκράτης 194
Ἡ Σωκράτους φιλοσοφία 224
Τίνες αἱρέσεις ἐκ τῆς Σωκρατικῆς φιλοσοφίας ἐβλάστησαν. 243
Ἀντισθένης καὶ οἱ κυνικοί. 244
Ἀρίστιππος καὶ οἱ Κυρηναϊκοὶ ἢ ἡδονικοί. . . 247
Εὐκλείδης καὶ οἱ Μεγαρικοί 255
Μετάβασις εἰς τὰ Πλάτωνος 260
ΠΛΑΤΩΝΟΣ βίος καὶ συγγράμματα 260
Διαίρεσις τῆς Πλατωνικῆς φιλοσοφίας. . . . 271
Ὁρισμὸς τῆς διαλεκτικῆς 273
Γένεσις καὶ αἴτια τῆς Πλατωνικῆς ἰδεολογίας . 275
Περὶ τῆς Πλατωνικῆς ἰδεολογίας 282
Κρίσις περὶ τῆς Πλατωνικῆς ἰδεολογίας . . . 296
Περὶ τῆς κατὰ Πλάτωνα Φυσικῆς.
καὶ
ἥτις ἐστὶν ἡ κατὰ Πλάτωνα ὕλη 299
Περὶ τῆς φύσεως τοῦ Παντός 306
Ἀνάλυσις τῶν τεσσάρων περὶ ἀθανασίας τῆς ψυχῆς λόγων, οὕσπερ Πλάτων ἐν τῷ Φαίδωνι προτίθησιν. 341
Περὶ τῆς κατὰ Πλάτωνα ἠθικῆς. 423
Περὶ Πολιτείας. 437
Ὀλίγα τινὰ περὶ τῆς παλαιᾶς Ἀκαδημίας . . 462
Περὶ Ἀριστοτέλους 463
Περὶ τῶν Ἀριστοτέλους συγγραμμάτων . . . 471
Ὁ καθόλου χαρακτὴρ τῆς Ἀριστοτελικῆς φιλοσοφίας. 478
Διαίρεσις αὐτῆς. 481
Περὶ τῆς Ἀριστοτέλους *λογικῆς* 483
Περὶ τῆς Μεταφυσικῆς 486
Περὶ τῆς φυσικῆς τοῦ Ἀριστοτέλους. 511

σελ.

Περὶ τοῦ συστήματος τοῦ παντός 516
Περὶ τῆς ὀργανικῆς φύσεως 522
Περὶ τοῦ ἀνθρώπου 525

Περὶ τῆς κατ' Ἀριστοτέλη ἠθικῆς.

α'. Ὅ,τι ποτὲ τὸ ἠθικῶς πράσσειν ἐστίν . . . 531
β'. Περὶ τοῦ ἄκρου ἀγαθοῦ. 534
γ'. Θεωρία περὶ τῆς ἀρετῆς. 545

Περὶ τῆς κατὰ Ἀριστοτέλη πολιτικῆς.

α'. Ὁρισμὸς τῆς πολιτείας 558

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

Περὶ τῆς μετ' Ἀριστοτέλη φιλοσοφίας, καὶ οἵα τις ἦν καθόλου. 575—676
Περὶ τῆς ἀρχαιοτέρας στωϊκῆς φιλοσοφίας . . 580
Περὶ τοῦ καθόλου χαρακτῆρος τῆς στωϊκῆς φιλοσοφίας. 589
Περὶ τῆς *Λογικῆς* κατὰ τοὺς Στωϊκούς . . . 592

Περὶ τῆς κατὰ τοὺς Στωϊκοὺς *Φυσικῆς*
καὶ πρῶτον περὶ τῶν πρώτων ἀρχῶν παντὸς τοῦ ὑπάρχοντος 597
β'. Περὶ τῆς τοῦ Θεοῦ οὐσίας. 602
γ'. Περὶ τῆς τῶν Στωϊκῶν κοσμολογίας. . . . 604
δ'. Περὶ τῆς τῶν Στωϊκῶν Ψυχολογίας. . . . 613

Περὶ τῆς *Ἠθικῆς* τῶν Στωϊκῶν 616

Περὶ τῶν ὕστερον Στωϊκῶν. 634
Περὶ τῆς παρὰ Ῥωμαίοις Στωϊκῆς φιλοσοφίας . 639
Περὶ τῆς τῶν Ἐπικουρείων φιλοσοφίας

καὶ

πρῶτον περὶ Ἐπικούρου. 643
Β'. Τίς ποτ' ἔστιν ἡ περιωπὴ τῆς κατ' Ἐπίκουρον φιλοσοφίας. 646

σελ.
Γ'. Ὅπως ἡ τοῦ Ἐπικούρου φιλοσοφία διῄρηται. 647
Περὶ τῆς τῶν Σκεπτικῶν αἱρέσεως καθόλου. 659
Β'. Περὶ τῆς παλαιοτέρας. 660
Γ'. Περὶ τῆς νεωτέρας 664
Περί τε τῆς μέσης καὶ τῆς νέας Ἀκαδημίας. 668

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ.

Περὶ τῆς νέας Πλατωνικῆς φιλοσοφίας . . . 677
Περὶ τοῦ συστήματος τοῦ Πλωτίνου 685

ΕΛΕΓΧΟΣ ΠΑΡΟΡΑΜΑΤΩΝ.

σ. 14. σχολίου στίχ. 9. δὲ φησι, γρ. δέ φησιν. — αὐτ. στίχ. 10 πρὸ Σωκράτους γρ. ὅτι πρὸ Σ. — σ. 16. στίχ. τελευτ. κατὰ τοσοῦτόν γε, γρ. κατὰ τοσοῦτον δὲ. — σ. 19. στίχ. 16. ἀνθυφεστῶσα, γρ. ἀνθυφεστῶτα. — σ. 23. στίχ. 9. πᾶν, γρ. ὅτι πᾶν. — σ. 27. στίχ. 5. ἐνέργεια γρ. ἐνέργεια, — σ. 35. σχόλ. (ϛ'.) στίχ. 9. μίσος, γρ. μῖσος. — σ. 37. στίχ. 5. ἐπὶ τῷ, γρ. ἐπὶ τὸ. — σ. 45. σχόλ. (κϛ'.) οὐκοῦν, γρ. οὔκουν. — σ. 56. στίχ. 24. ὅτί πότ' ἐστιν, γρ. ὅ τι πότ' ἐστὶν. — σ. 85. στίχ 7. συνενησμένων, γρ. συννενησμένων. — σ. 85. στίχ. 16. ἐστι, γρ. ἐστὶ. — σ. 87. σχολ. (ιη') στίχ. 15. συνάγωγόν τι, γρ. συναγωγόν τι. — σ. 126. στίχ. 8. καὶ ἠθική, γρ. καὶ ἡ ἠθική. — σ. 146. στίχ. 13. ἐφθη, γρ. ἔφθη. — σ. 186. στίχ. 13 καὶ 14. ἀντὶ τοῦ τὶ, γρ. τί.—σ. 214. ςίχ. 11. ἀντὶ τοῦ ὁ Σωκράτης, γρ. αὐτόν.— σ. 217. ςίχ. 24. ἐπικαλεσάμενος, γρ. ἐπικαλεσαμένῳ.— σ. 224. στίχ. 5. διασχφηνίσαί τε, γρ. διασαφηνίσαι τε. — σ. 230. στίχ. 2. διάγραψον τὸ ὁ ἄνθρωπος. — αὐτ. στίχ. 22. ἐπιγνόντά τε, γρ. ἐπιγνόντα τε. — σ. 257. στίχ. 16. ἄλλο, γρ. ἄλλῳ. — σ. 262. σχολ. στίχ. 11. τίς πότ' ἐστιν, γρ. τίς ποτ' ἐστίν. — σ. 263. στίχ. 12. παρασκευᾶσαι, γρ. παρασκευάσαι,. — σ. 269. στίχ. 9. γρ. ἐνιαῖον. — σ. 294. στίχ. 11. τἴτε, γρ. εἴτε. — σ. 349. στίχ. 18. γράφ. γελωτοποιοῦ. — σ. 362. στίχ. 9. γρ. κατασκευάσαι. — αὐτ. στίχ. 29. διάγραψον τὸ πρῶτον ἐπικρατῆσαι. — σ. 390. στίχ. 14. γρ. ἀνόμοιον. — σ. 391. στίχ. 24. γρ. ἀναζητῶν. — σ. 398. σχολ. στίχ. 5. γρ. μεταδιδόναι. αὐτ. ςίχ. 10. γρ. τὸν νοῦν. — σ. 403. στίχ. 1. γρ. ἦ. — σ. 423. ςίχ. 6. ὁμιληκότων, γρ. ὡμιληκότων. αὐτ. στίχ. 11. διὰ μέτρου,

γρ. διαμέτρου. — σ. 491. στίχ. 15. διάγραψον τὸ τ ά ς. — σ. 512 στίχ. 10. μετὰ τὸ συγγραμμάτων πρόσθες α ὑ τ ο ῦ.— σ. 518. στίχ. 3. καὶ οὖ, γρ. καὶ οὔ. — σ. 520. στίχ. 16. γρ. ὡμολόγηταί που. — σ. 521. στίχ. 13. γρ. ἐναλλαγή. — σ. 525. στίχ. 16. ἄνθρωπος γρ. ἄνθρωπος,. — σ. 528. στίχ. 1. ἥτοι γρ. ἤτοι. στίχ. 2. ἧσσόν γε, γρ. ἧσσόν γε. — σ. 531. στίχ. 14. τον καὶ τέλος, γρ. τον, καὶ τέλος. — αὐτ. ἀρετί, γρ. ἀρετή. — σ. 559. στίχ. 28. γρ. Χαρώνδας. — σ. 560. στίχ. 3. παίδας γρ. παῖδας. αὐτ. στίχ. 22. διάγραψον τὸ «καὶ ὅτι ἄνθρωπος φύσει ἡ πόλις ἐστὶ,». — σ. 635. στίχ. 27. ἤρθη, γρ. ἤρθη. — σ. 649. στίχ. 27. οὐτωσεί, γρ. οὑτωσί. — σ. 682. στίχ. 4. Ἰάμβλιχος, γρ. Πορφύριος.

ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ.

Ἡ Α. Μεγαλειότης ὁ πρώην σεπτὸς τῆς Ἑλλάδος βασιλεὺς ΟΘΩΝ ὁ Α΄. σώμ. 20

ΕΝ ΑΘΗΝΑΙΣ.

Τὸ Σ. Ὑπουργ. τῶν στρατ. 20
Ὁ πρίγκηψ Ὑψηλάντης. 25
Φίλιππος Α. Οἰκονομίδης. 1
Ι. Δ. Χατζίσκος
Δ. Ζωμπολίδης.
Δ. Μαρῖνος.
Κ. Τσαλίκης.
Κ. Ζερβός.
Γ. Π. Πιτσιλαδῆς.
Ἀθ. Δημητριάδης μακραῖος.
Δημήτριος Α. Φίλιος.
Η. Α. Συνοδινός.
Ἐμ. Νικολαΐδης.
Χαρίσιος Παπαμάρκου.
Περικλῆς Ἰασιμίδης.
Μιχαὴλ Α. Τουρτουλίδης.
Δημήτριος Γεωργιάδης.
Παναγιώτης Καπλανίδης.
Ἀριστείδης Ταταράκης.
Η. Βενετοκλῆς.
Στυλιανὸς Δ. Εὐαγγελινοῦ.
Ἰω. Μπουρτσέλας.
Ἰω. Τσιουκόπουλος Μακεδών.
Ἀντώνιος Κωστόπουλος.
Π. Ι. Ρηγόπουλος φοιτητής.
Γεώργιος Ὁμηρίδης Ἰήτης.
Ἀντώνιος Δ. Παπαδάκης.
Ἰακ. Ἀσπιώτης.
Ἀλέξ. Ἀλεξανδρόπουλος.
Γρηγόριος Ἀντωνιάδης ἱεροδ.
Θεμιστοκλῆς Σαλτέλης.
Ἀναστάσιος Χρηστίδης.
Μιχαὴλ Γεωργιάδης.
Παναγ. Παπαβασιλειάδης.
Ἰωάννης Ἀδαμαντιάδης.
Κωνσταντῖνος Γ. Βαϊάνης.
Χρῆστος Νικολαΐδης.
Ἀθαν. Παπαγεωργίου.
Κοσμᾶς Σταυρίδης.
Γρηγόριος Στρατής.
Γ. Ν. Τζερέπης.
Γεώργιος Α. Βλάχος.
Ἰωάννης Δ. Πλάκας.
Κλέαρχος Ἐπιδάμνιος.
Παναγιώτης Γαλανόπουλος.
Παναγιώτης Παπαναστασίου.
Νικ. Σ. Κωνσταντόπουλος.

ΕΝ ΣΜΥΡΝΗ.

Ἡ Εὐαγγελικὴ σχολή. 10

ΕΝ ΒΟΥΚΟΥΒΕΣΤΙΩ.

Ἡ Δημοσία βιβλιοθήκη. 1
Ὁ πρίγκηψ Κωνσταντῖνος Γρηγορίου Σοῦτσος. 4
Σ. Γκιώνης Γεν. Πρόξενος τῆς Ἑλλ. 2
Γεώργιος Καταλοῦζος πέντε

μὲν σώματα διὰ τὴν δημοσ.
βιβλ. τοῦ Πανεπιστημίου,
πέντε δὲ διὰ τὴν ἐν Δημι-
τσάνῃ βιβλ. τῆς Σχολῆς. 10
Γ. Π. Βενιζέλος γραμμ. τοῦ
ἐν Βουκ. Ἑλλ. Προξ. 1
Κωνσταντῖνος Ζάππας. 2
Ἐπαμινώνδας Φραγκούδης. 1
Κωνσταντῖνος Δημάδης.

ΕΝ ΠΕΤΡΑΥΠΟΛΕΙ.

Ὁ Κόμης Ἀλέξ. Τολκόης. 1
Γεώργιος Συμβουλίδης 2
Γεώργ. Δεστούνης. 1
Γαβριὴλ Δεστούνης.

Ἐπειδὴ τοῦδε τοῦ βιβλίου ὁ ὄγκος μείζων ἢ κατὰ προσδοκίαν ἀποβέβηκεν, ἀποχωρίσαντες τὸ πάλαι ἡμῖν συντεταγμένον «προοίμιον εἰς τὴν ἱστορίαν τῆς φιλοσοφίας», ἐκδώσομεν αὐτὸ μετ' οὐ πολλὰς ἡμέρας εἰς βιβλίον χωριστὸν ἀντὶ τοῦ προαγγελθέντος λόγου τοῦ πρὸς τὴν ἑλληνικὴν νεολαίαν. Καὶ ταύτην μὲν τὴν ἱστορίαν τῆς παρ' Ἕλλησι φιλοσοφίας τιμῶμεν δραχμῶν ὀκτὼ μὲν καὶ ἡμισείας τοῖς φιλομούσοις συνδρομηταῖς, καθ' ἅπερ προήγγελται, δραχμῶν δ' ἐννέα πᾶσι τοῖς λοιποῖς· τοῦ δὲ προοιμίου τάσσομεν τιμὴν δραχμῶν τεσσάρων διὰ πάντας ὁμοίως, ἀνατιθέντες τοῖς ἐκτὸς τῶν Ἀθηνῶν καὶ τὴν ἀπότισιν τῶν κομίστρων καὶ εἰσαγωγικῶν τελῶν ἀμφοτέρων τῶν βιβλίων.

Τὸν δὲ λόγον τὸν πρὸς τὴν Ἑλληνικὴν νεολαίαν σχεδόν τι διπλάσιον τὸ μῆκος ἐσόμενον τοῦ ὅσον οὔπω ἐκδοθησομένου προοιμίου τιμήσομεν ἀντὶ δραχμῶν ἓξ καὶ ἡμισείας ὡς ἔγγιστα.

Ἐν δὲ τῷ προοιμίῳ γίγνεται λόγος περὶ ἄλλων πραγμάτων, οὐδεὶς δὲ περὶ τῶν ὅρων, οἷς ἐχρησάμεθα ἐν τούτῳ τῷ πονήματι. Φανερὸν δὲ ὡς ἄκαιρον ἂν ἦν, εἴπερ ἐνταῦθα περὶ ὀνομάτων λόγους ἠβουλόμην παρατεῖναι. Ἀνατίθημι τοίνυν τὴν κρίσιν τούτων τε πέρι καὶ τοῦ ὅλου ἔργου τοῖς ἐπιδήμοσι περὶ τὸ τοιοῦτον εἶδος τῆς μαθήσεως, ἧς πάνυ ὀλίγοι παρ' ἡμῖν μετέχουσιν. Ἄλλων δὲ ἄλλως τε ἐν πάσῃ ἀμαθίᾳ καὶ δὴ καὶ θρασύτητι κυλινδομένων ἀνθρώπων καὶ τῶν πᾶσι τοῖς συγγραφεῦσι κοινοτάτων σχημάτων τε καὶ τρόπων τοῦ ἕλληνος λόγου ἀπίστως τῇ Ἀληθείᾳ ἀγεύστων ὄντων τὰς ἀναιδεστάτας φωνασκίας παρ' οὐδὲν τίθεμαι· ἐπεὶ ὁρῶ πρὸς τοῖς ἄλλοις αὐτοὺς οὐδὲ ἐλάχιστον μόριον εὐφυΐας ἑλληνικῆς μετέχοντας, οἵπερ οὐδὲ τοῦτο τῇ διανοίᾳ πότ' ἄρα εἰληφότες φαίνονται ὅτι οὔτε ἡ παντοίων πλημμελημάτων ἀνάμεστος καὶ δὴ καὶ ἀνώνυμος προκατάκρισις καὶ προκαταβοὴ αὐτῶν περὶ πραγμάτων παντάπασί γε αὐτοῖς ἀγνώστων τῆς τῶν εὖ φρονούντων γνώμης κυριεύσει, οὔτε ἡ ὑπ' ἐμοῦ ἐν παρέργου μέρει, ὡς εἰκός, γιγνομένη ἀπολογία, ἀλλ' ὅτι ἔστι τις μεταξὺ ἡμῶν ἀμφοτέρων τρίτος κριτὴς ἴσος καὶ ἐπιεικής, τὸ ὡς ἀληθῶς σοφὸν καὶ φιλοδίκαιον μέρος τῶν ἡμετέρων πολιτῶν, οἵτινες, τὰ ἐμὰ ἔργα πρὸς τοὺς ἀπὸ παραβύστου ἀνάνδρως βαλλομένους λόγους ἐκείνων παραβάλλοντες, κρινοῦσιν. Ἐπεὶ οὐκ ἐρήμη δὴ ἡ Ἑλλὰς ἀνδρῶν σπουδαίων οὕτως, ὡς ἄνθρωποι ἀφανεῖς, ἀπαίσιοι καὶ ἀγεννῶς φθονεροὶ ἡγοῦνται, ἐλπίδα ἔχοντες ἐσχάτην ὅτι ἡ κακόβουλος καὶ ἀνοσία προκατάκρισις ἔργων, ἀσύγγνωστον ἔλλειψιν ἀναπληρούντων, τὸ πᾶν κῦρος ἕξει παρὰ πᾶσι τοῖς πολίταις. Ταῦτα μὲν δὴ ταῦτα ἔν γε τῷ παρόντι.

Βουλοίμην δ' ἂν τοσόνδε μόνον ἐνταῦθα ὀνομάτων πέρι εἰπεῖν, ὅπερ καὶ προεθέμην, ὅτι ὀρθῶς τὰ πράγμαθ' ὁρίζεται ὁ αὐτὰ τὰ πράγματα εἰδώς· γνῶσις δὲ πραγμάτων εἴη ἂν καὶ γνῶσις τῆς τε ἀρχῆς καὶ προόδου ἤτοι τῆς ἱστορίας αὐτῶν. Ὡσαύτως δ' ἄν τις εἴποι καὶ περὶ τοῦ ἐφεξῆς· τὸ τὰ

ὑπάρχοντα ἑκάστῳ ἀγαθὰ εἰς τὸ κοινὸν κατατιθέναι καὶ κοινῇ αὐτῶν ἕκαστον οὕτω μετέχειν, μηδενὶ οὐσίαν ἰδίαν συγχωροῦντας, οὔ τις ἀξίωσίς ἐστιν παρὰ τοῖς νεωτέροις τὸ πρῶτον φανεῖσα· καὶ γὰρ οἱ πάλαι Ἕλληνες πολλῷ δεξιώτερον αὐτὴν ἔθεντο, ἅτε δούλους νομίζοντες, καὶ πολλῷ εὐφυέστερον κατέκριναν. Δηλοῖ δ' ἡμῖν μάλιστα Πλάτων μὲν ἐν πολιτείᾳ, Ἀριστοφάνης δὲ ἐν ἐκκλησιαζούσαις εὐφυέστερον καὶ Ἀριστοτέλους αὐτοῦ τὸ ἀλλόκοτον τῆς ἀξιώσεως ἐλέγξας. Ὡς δ' ἐν παρόδῳ εἰρήσθω μοι καὶ τόδε πολλοῖς τῶν ἡμετέρων πολιτῶν, ὅτι τὰ νεώτερα ἔθνη εἰς τὰ περὶ τὰ εἴδη τῶν πολιτευμάτων καὶ τὸ πολιτεύεσθαι ἐν γένει οὐδαμοῦ ἂν φανεῖεν πρὸς τοὺς πάλαι Ἕλληνας· οὐδὲ γὰρ ἐκπαραβάλλουσι τῇ ἀληθείᾳ κατὰ τὴν περὶ τὰ τοιαῦτα ἐμπειρίαν πρὸς τοὺς πάλαι Ἕλληνας οἱ νεώτεροι, ὡς μαρτυρεῖ ἄλλα τε πάμπολλα καὶ τὸ ἀφανισθὲν σύγγραμμα τοῦ Ἀριστοτέλους, ἐν ᾧ περὶ ἑξήκοντα καὶ ἑκατὸν δυοῖν δεόντων πολιτευμάτων ἀλλήλων πάντως διαφόρων διελάμβανεν. Ὥστε τοὺς νῦν Ἕλληνας, βουλομένους ὀνομάσαι τὰ περὶ τὸ πολιτεύεσθαι καθόλου, προσήκει πρώτιστα πάντων ἐξετάζειν, εἴπως οἱ ἐμπειρότατοι περὶ τὰ τοιαῦτα, λέγω δὴ τοὺς Ἕλληνας, ῥητῷ ὀνόματι ἐκάλουν ἢ ὅπως ἂν ὡς ἔγγιστα αὐτὰ ἐκάλουν. Ἔνιοι γὰρ τῶν νῦν Ἑλλήνων τοὺς παρὰ Γαλάταις communistes καλουμένους κοινοκτήμονας ἀποκαλοῦσιν, ὅπερ δηλοίη ἂν τοὺς τὰ κοινὰ κεκτημένους. Ἀλλὰ συντομίας χάριν λέγομεν ὅτι ἔδοξεν ἡμῖν τούτους τοὺς κοινοκτήμονας οὐκ ὀρθῶς καλουμένους κοινωνικοὺς ἁπλῶς προσαγορεῦσαι (ὅρα σ. 2, σχόλ.), ὡς ἐπαγγελλομένους μάλιστα τὰ ἑαυτῶν κτήματα καὶ τοὺς ἡμερινοὺς πόνους εἰς τὸ πᾶσι κοινὸν κατατιθέναι, ᾧπερ ὀνόματι ἐπὶ παραπλησίας χρήσεως ἄλλοι τε ἄνδρες ἔξοχοι καὶ ὁ κλεινὸς Πυθαγόρας ἐκέχρητο. Τοὺς δὲ παρὰ Γαλάταις socialistes ἰσοπολίτας καὶ τοὺς τὰ τούτων φρονοῦντας ἰσοπολιτικοὺς ἡμεῖς γε ἀποκαλοῦμεν· ἐπεὶ κατὰ πάσας τὰς παντοειδεῖς αὐτῶν φάσεις ἴσην πολιτείαν ἔφασκον ζητεῖν καὶ ἴσην στάσιν πάντων ὁμοίως τῶν πολιτῶν πρὸς ἀλλήλους, ἀγωγῇ μὲν καὶ παιδείᾳ τὸ πᾶν νέμοντες, παρὰ πᾶσι δ' ἀνθρώποις ὁμοίως τὴν αὐτὴν ἀξίαν ὑποτιθέντες καὶ τὰ παντοειδῆ πάθη τἀνθρώπεια ἐν οὐδενὶ λόγῳ ποιούμενοι. Ἐκ δὲ δὴ ταύτης τῆς κενῆς μακαρίας καὶ τερθρείας (Οὐτοπίας ὁμωνύμου συγγράμματί τινι Utopia Θωμᾶ τοῦ Μόρου, 1518) προῆλθε συνακολούθως τῷ χρόνῳ τὸ περὶ κοινότητος τῶν οὐσιῶν δόγμα (παρά τισι δὲ αὐτῶν καὶ γυναικῶν καὶ τέκνων καὶ λοιπῶν), ὅπερ οἱ κοινωνικοὶ ἔτι καὶ νῦν διατελοῦσι πρεσβεύοντες, ἀντιφάσεσι παγγελοίοις σφᾶς αὐτοὺς ἐμβάλλοντες.

Ἄριστον δὲ πάντων τῷ θείῳ Πλάτωνι κἀν τούτῳ πείθεσθαι, ἀμωσγέπως ἡμᾶς πολλάκις παραινοῦντι ἔχαιρειν ὀνομάτων κόμπον, ὡς δυνατόν, ἀποφεύγειν, ὅπου ἂν αὐτὰ ἐπιστημονικῆς ἀκριβείας ἀνάγκη μὴ ἐπιβάλλῃ.

Oberm

BSB Bayerische StaatsBibliothek

MDZ Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Schwegler, Albert,

[Nichtlateinische Schriftzeichen] <...> Geschichte der griech. Philosophie von Albert Schwegler, vollendet von C. Köstlin, übersetzt und .. vermehrt von Dem. Alex. Handjeri

Athen 1867

Ph.u. 452 ug
urn:nbn:de:bvb:12-bsb10046966-6